PLATONIS
OPERA.

EX RECENSIONE
HENRICI STEPHANI
PASSIM EMENDATA
ADIECTIS
SCHOLIIS ET NOTT. CRITT.
EDIDIT
CHRIST. DAN. BECK.

TOMVS I.

LIPSIAE
SVMTIBVS ET TYPIS CAROLI TAVCHNITII.
1813.

PLATONIS
EYTHYPHRO,
APOLOGIA SOCRATIS,
CRITO, PHAEDO,
THEAGES,
AMATORES, THEAETETVS.

EX RECENSIONE
HENR. STEPHANI
PASSIM EMENDATA
ADIECTIS
SCHOLIIS ET NOTT. CRITT.
EDIDIT
CHRIST. DAN. BECK.

LIPSIAE
SVMTIBVS ET TYPIS CAROLI TAVCHNIZII.
1813.

Quum librarius et typographus clarissimus, qui omnes graecos scriptores veteres, laudabili consilio, ex optimis editionibus accurate repeti, Godofr. Henr. Schaefero curante, pretioque modico vendi voluit, Platonis scripta, quae inprimis desiderabantur, quam primum edi cuperet; essent autem rationes quaedam et causae, cur amicissimus Schaeferus nollet huius editionis curam suscipere: vir optimus mecum ea de re egit, tandemque reluctanti persuasit, vt operam in ea re meam ponerem. Nam quae

promissae sunt operum Platonis editiones, eas non intra aliquot annos ad finem perductum, neque paucis voluminibus absolutum iri, neque exiguo pretio venditum, iisque, quod grauissimum erat, hanc nullo modo obfuturam, facile poterat prospici, atque iudicari, honestissimo librario, qui aliorum iuribus et commodis non inuidet, suum persequi institutum recte licere. Vt noua textus graeci recensio aut recognitio fieret nec tempus nec consilium harum editionum permittebant; vt Stephani textus saepius emendaretur, res et ratio flagitabat. Adhibita eam in rem sunt praesidia deinceps indicata ita, vt, quantum is saepissime recentiorum emendationes sequerer, meo tamen numquam non vterer iudicio, quod etiam in scri-

plura vocabb. Attica plerumque, et in nonnullis formis vbique, restituenda sequntus sum. In his libris quos Fisch. ediderat, capitum numeros ex eius edd. addidi. Quum librarius voluisset Stephani adnotationes margini appositas repeti, quumque correctiones Steph. textus indicandae diligenter, adiectis causis, sensus autem difficiliorum locorum, suadentibus multis, breuiter declarandus esset, exstitit uberior adnotatio, potissimum critica, quamquam et in ea breuitatis iustae habita est ratio. Addita sunt, et cuique volumini addentur, scholia graeca, tum a Ruhnkenio edita, tum ex Olympiodoro aliisque excerpta ea quidem, quae ad interpretationem, non ad philosophicas nugas, pertinent. Adiicietur etiam Timaei glossarium

et fortassis aliud. Ita intra triennium haec Platonis editio, quantum fieri summa cura potuerit, emendata et accurate descripta, accessionibus non spernendis locupletata, absolvetur, quae vt probetur harum litterarum amatoribus iisque, quibus non licet multum his libris impendere, multos coëmere, inprimis inseruiat, optamus.

Scrips. Lipsiae Cal. Febr. A. MDCCCXIII.

EDITIONVM ALIORVMQVE PRAESIDIORVM ADHIBITORVM INDEX.

Post latinam operum Platonis versionem a Marsilio Ficino confectam (Florent. per Laurent. Venetum, probabiliter 1482. et deinde saepius 1491. etc. editam), postea a multis interpolatam, prima graeca prodiit Aldina editio: Platonis opera omnia graeca. Venet. in aedibus Aldi et Andr. Soceri, mense Sept. 1513. fol.

Basileensis I. s. Valderiana ed. cui Oporinus praefuit: Platonis Opera omnia cum Commentariis Procli in Timaeum et Politica, thesauro veteris philosophiae maximo, graece. Adiectus etiam est in Platonis omnia sententiarum et verborum memorabilium index. Basileae apud Io. Valderum, mense Martio 1534. fol.

Basileensis II. s. Hopperiana, a Marco Hoppero ex schedis Arnoldi Arlenii curata, Basil. 1556.

per Henr. Petri, fol., in qua Procli commentarii omissi sunt.

Stephaniana. Platonis Opera, quae extant omnia. Ex noua Ioannis Serrani interpretatione, perpetuis eiusdem notis illustrata: quibus et methodus et doctrinae summa breuiter et perspicue indicatur. Eiusdem annotationes in quosdam suae illius interpretationis locos. Henr. Stephani de quorundam locorum interpretatione iudicium, et multorum contextus Graeci emendatio. (Paris.) 1578. Excudebat Henr. Stephanus III. fol.

Hanc expresserunt:

Editio Lugdunensis, MDXC. apud Guil. Laemarum, fol., Is. Casauboni consilio adornata, ita ut scripta eo, quo disposuit Ficinus, ordine legerentur;

Wecheliana, quae ordinem edit. Steph. sequuta est, sed orationem graecam non satis diligenter reddidit: Divini Platonis Opera omnia quae extant. Marsilio Ficino interprete. Graecus contextus quam diligentissime cum emendatioribus exemplaribus collatus est: Latina interpretatio e quam plurimis superiorum edd. mendis expurgata etc. Francofurti, apud Claud. Marnium et haeredes Aubrii MDCII. fol.

Bipontina. Platonis philosophi quae exstant, graece ad editionem Henr. Stephani accurate expressa cum Marsilii Ficini interpretatione. Praemittitur L. III. Laertii de vita et dogm. Plat. cum notitia litteraria. Accedit varietas lectionis. Studiis societatis Bipontinae. Biponti ex typogr. Societatis cIↃIↃCCLXXXI — LXXXVII. voll. XI. 8. quibus separatim accesserunt: Dialogorum Platonis

Emendationes plurium locorum Plat. exhibent:

pologia Socratis, Charmides, Hippias maior. Scholarum in vsum edidit L. F. Heindorfius. Praefixa est annotatio critica in Apologiam Socratis. Berolini MDCCCV. 8.

Platonis dialogi tres, Phaedo, Sophistes, Protagoras. Emendauit et annotatione instruxit L. F. Heindorfius. Berolini MDCCCX. 8.

Platonis Dialogi duo, Gorgias et Theaetetus. Emendauit et annot. instruxit L. F. Heindorfius. Accedit Auctarium animaduersionum Philippi Buttmanni. Berol. MDCCCV. — In not. crit. indicatur litt. H. aut compendio Hdf.

Platonis Dialogi IV. Meno, Crito, Alcibiades vterque cum virorum doctorum animaduersionibus. Curauerunt I. E. Biester et Ph. Buttmannus DD. Editio tertia emendatior auctior. Berol. MDCCCXI. 8.

Platonis Dialogorum Delectus. Pars I. Euthyphro. Apologia Socratis. Crito. Ex recensione et cum latina interpretatione F. A. Wolfii. In vsum praelectionum. Berol. MDCCCXII. 4. min. Indicatur litt. W.

Platonis Phaedon, explanatus et emendatus prolegomenis et annotatione Dan. Wyttenbachii. Lugduni Bat. MDCCCX. 8. — Indicatur nominis initio Wytt.

Crito, Apologia Socr. et particula Phaedonis leguntur etiam, animaduersionibus adiectis, in Iacobsii Chrestom. graeca, praefixo etiam hoc titulo: Socrates oder Auszüge aus den philos. Schriftstellern der Griechen. Für die mittlern Classen gelehrter Schulen. Iena. 1808. 8.

Caroli Morgenstern, Prof. Acad. Dorpat., Symbolae Criticae in Platonis Critonem, a Biestero ac Buttmanno nuper tertio editum (praemissae Catalogo praelect. semestrium aestiuarum in acad. Dorp. a. MDCCCXII.) fol.

Zu Platon's Phaedon. Von F. A. Wolf. Berl. 1811. 4. min.

Non erat cur hic laudaremus aut editiones, quarum nullus fuit vsus criticus (vt Io. Northi Plat. dialogorum selectorum de rebus divv., Io. Sam. Mülleri sex dialogorum, I. H. Winckleri Phaedonis, aliorum eiusdem dialogi); F. A. Wolfii Theagis cum Protag. et Ione 1782. Io. Ios. Stutzmanni 'Ερασταῖν; aut libellos criticos ab aliis adhibitos (Gottlebeni aliorumque) aut versiones (e quibus memoranda tamen videtur haec: Ueber das Wahre, Gute und Schöne, drey Dialogen, der Theaetetos, Philebos, Hippias der gr. nach einem berichtigten Texte übersetzt von F. Hülsemann, L. 1807. cum introduct. et comm., etsi eius coniecturis parum tribuendum est).

OLYMPIODORI
VITA PLATONIS.

Φέρε δὲ καὶ τὸ γένος εἴπωμεν τοῦ φιλοσόφου, οὐ πολυηκοΐας χάριν, ἀλλ᾽ ὠφελείας καὶ παιδεύσεως μᾶλλον τῶν προσιόντων αὐτῷ. Οὐ γάρ τις οὗτος οὔτις, ἀλλὰ μᾶλλον πολλῶν ἐπίστροφος ἦν ἀνθρώπων. Λέγεται γὰρ ὁ Πλάτων υἱὸς γενέσθαι πατρὸς μὲν Ἀρίστωνος τοῦ Ἀριστοκλέους, ἀφ᾽ οὗ τὸ γένος εἰς Σόλωνα τὸν νομοθέτην ἀνέφερε. Διὸ καὶ κατὰ ζῆλον προγονικὸν Νόμους ἔγραφεν ἐν ιβ´ βιβλίοις, καὶ Πολιτείας σύστασιν ἐν ιά. Μητρὸς δὲ προῆλθε Περικτιόνης, ἥτις ἀπὸ Νηλέως τοῦ Κόδρου κατήγετο. Φασὶν οὖν, ὅτι φάσμα Ἀπολλωνικὸν συνεγένετο τῇ μητρὶ αὐτοῦ, τῇ Περικτιόνῃ, καὶ ἐν νυκτὶ φανὲν τῷ Ἀρίστωνι, ἐκέλευσεν αὐτῷ μὴ μιγνύναι τῇ Περικτιόνῃ μέχρι τοῦ χρόνου τῆς ἀποτέξεως. Ὁ δὲ οὕτω πεποίηκε· καὶ γεννηθέντα τὸν Πλάτωνα λαβόντες οἱ γονεῖς, βρέφος ὄντα, τεθείκασιν ἐν τῷ Ὑμηττῷ, βουλόμενοι ὑπὲρ αὐτοῦ τοῖς ἐκεῖ θεοῖς, Πανὶ καὶ Νύμφαις, καὶ Ἀπόλλωνι Νομίῳ, θῦσαι· καὶ κειμένου

αὐτοῦ, μέλιτται προσελθοῦσαι πεπληρώκασιν αὐτοῦ τὸ στόμα κηρίων μέλιτος· ἵνα ἀληθὲς περὶ αὐτοῦ γένηται, Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. Καλεῖ δὲ αὐτὸν πάντοθεν καὶ τοῖς κύκνοις ὁμόδουλον, ὡς ἐξ Ἀπόλλωνος προελθών· Ἀπολλωνιακὸν γὰρ τὸ ὄρνεον. Ἐν ἡλικίᾳ δὲ γενόμενος, πρῶτον μὲν ἐφοίτησε Διονυσίῳ τῷ γραμματιστῇ, πρὸς μάθησιν κοινῶν γραμμάτων· οὗ καὶ ἐν Ἐρασταῖς μέμνηται, ἵνα μήτε Διονύσιος, ὁ διδάσκαλος, ἄμοιρος εἴη τῆς παρὰ Πλάτωνι μνήμης. Εἶτα μετ' ἐκεῖνον γυμναστῇ μὲν ἐχρήσατο διδασκάλῳ, Ἀρίστωνι τῷ Ἀργείῳ, ὑφ' οὗ καὶ Πλάτων, ὥς φασι, μετωνομάσθη, πρότερον Ἀριστοκλῆς λεγόμενος τῷ τοῦ πάππου ὀνόματι. Ἐκλήθη δ' οὕτω, διὰ τὸ δύο μόρια τοῦ σώματος ἔχειν πλατύτατα, τό τε στέρνον καὶ τὸ μέτωπον, ὡς δηλοῦσι πανταχοῦ αἱ ἀνακείμεναι αὐτοῦ εἰκόνες, οὕτω φαινόμεναι. Ἄλλοι δέ φασι, μὴ διὰ τοῦτο μετονομασθῆναι αὐτὸν, ἀλλὰ διὰ τὸ πλατὺ, καὶ κεχυμένον, καὶ ἀναπεπταμένον, τοῦ ἀνακειμένου χαρακτῆρος· καθάπερ φασὶ καὶ Θεόφραστον οὕτω μετονομασθῆναι διὰ τὸ θεῖον τῆς φράσεως, πρότερον Τύρταμον λεγόμενον. Μουσικῆς δὲ διδάσκαλον ἔσχε Δράκοντα τὸν Δάμωνος μαθητήν· μέμνηται δὲ τούτου ἐν τῇ Πολιτείᾳ. Τρία δὲ καὶ ταῦτα ἐπαιδεύοντο οἱ Ἀθήνησι παῖδες· φημὶ δὲ γράμματα, μουσικὴν, παλαίειν· οὐχ ἁπλῶς· ἀλλὰ γράμματα μὲν, διὰ τὸ κοσμεῖν τὸν λόγον, τὸν ἐν αὐτοῖς· μουσικὴν δὲ, διὰ τὸ τιθασσεύειν τὸν θυμόν· πα-

λαίειν δὲ, καὶ γυμνάζεσθαι, διὰ τὸ ἀναῤῥωννύναι τὸ τῆς ἐπιθυμίας χαλαρόν. Καὶ ὁ Ἀλκιβιάδης δὲ παρ' αὐτῷ τὰ τρία ταῦτα φαίνεται παιδευθείς· διὸ καί φησι πρὸς αὐτὸν Σωκράτης· Αὐλεῖν δὲ οὐκ ἐβούλου, καὶ τὰ ἑξῆς. Ἐφοίτησε δὲ καὶ παρὰ γραφεῦσι, παρ' ὧν ὠφελήθη τὴν μίξιν τῶν χρωμάτων, ὧν ἐν Τιμαίῳ μέμνηται. Μετὰ ταῦτα δὲ καὶ παρὰ τοῖς τραγικοῖς ἐπαιδεύθη, παιδευταῖς νομιζομένοις εἶναι τῆς Ἑλλάδος. Προσῆλθε δὲ τούτοις διὰ τὸ ἀπὸ τῆς τραγικῆς γνωμικὸν καὶ σεμνὸν, καὶ τὸ ἡρωϊκὸν τῶν ὑποθέσεων. Καὶ τοῖς διθυράμβοις δὲ πρὸς τιμὴν τοῦ Διονύσου, ἐφόρου λεγομένου τῆς γενέσεως, ὡμίλησε· τούτῳ γὰρ ὁ διθύραμβος ἀνέκειτο, ἀφ' οὗ καὶ τὸ ὄνομα εἶχε. Διθύραμβος γὰρ ὁ Διόνυσος, ὡς ἐκ δύο θυρῶν ἐξελθὼν, τῆς τε Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. Εἰώθεισαν γὰρ οἱ ἀρχαῖοι τὰ αἰτιατὰ ὀνομάζειν τοῖς τῶν αἰτίων ὀνόμασι, καθάπερ καὶ τὸν Διόνυσον καλοῦσι· διὸ καὶ ὁ Πρόκλος περὶ τούτου φησὶν, Ὅσσ' εἶδον τεκέεσιν ἐφημίξαντο τοκῆες. Ὅτι δὲ τοὺς διθυράμβους ὁ Πλάτων ἤσκητο, δῆλον ἐκ τοῦ Φαίδρου τοῦ διαλόγου, πάνυ πνέοντος τοῦ διθυραμβώδους χαρακτῆρος· ἅτε τοῦ Πλάτωνος τοῦτον πρῶτον γράψαντος διάλογον, ὡς λέγεται. Ἔχαιρε δὲ πάνυ καὶ Ἀριστοφάνει τῷ κωμικῷ καὶ Σώφρονι· παρ' ὧν καὶ τὴν μίμησιν τῶν προσώπων ἐν τοῖς διαλόγοις ὠφελήθη. Λέγεται δὲ οὕτως αὐτοῖς χαίρειν, ὥστε καὶ, ἡνίκα ἐτελεύτησεν, εὑρεθῆναι ἐν τῇ κλίνῃ αὐτοῦ Ἀριστοφάνην καὶ Σώφρονα· καὶ Ἐπίγραμμα

δὲ τοιοῦτον εἰς Ἀριστοφάνην αὐτὸς πεποίηκεν· Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται, Ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους. Ἐκωμῴδησε δὲ αὐτὸν ἐν τῷ Συμποσίῳ τῷ διαλόγῳ, ὡς κωμῳδίαν ὠφεληθείς· καὶ γὰρ ποιήσας αὐτὸν ὑμνοῦντα τὸν Ἔρωτα, εἰςάγει αὐτὸν μεταξὺ λυγγὶ περιπεσόντα, καὶ μὴ δυνάμενον πληρῶσαι τὸν ὕμνον. Ἐποίησε δὲ καὶ Τραγικὰ ποιήματα, καὶ Διθυραμβικά, καὶ ἄλλα τινά, ἅπερ πάντα κατέκαυσε τῆς Σωκράτους πειραθεὶς διατριβῆς, εἰπών τι τοιοῦτον ἔπος, Ἥφαιστε, πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει. Γραμματικὸς δέ τις Ἀνατόλιος ἐνταῦθά ποτε τὸ ἔπος εἰπὼν ηὐδοκίμησεν εἰς Ἥφαιστον ἄρχοντα, ἐπιστάντι τῇ πόλει· εἶπε δὲ αὐτὸν οὕτως· Ἥφαιστε, πρόμολ' ὧδε· Φάρος νύ τι σεῖο χατίζει. Φασὶ δ', ὅτι, ἡνίκα ὁ Σωκράτης ἤμελλε δέχεσθαι, ὄναρ εἶδεν, ὅτι κύκνος ἄπτερος ἐν τοῖς γόνασιν αὐτοῦ καθῆστο, καὶ παραχρῆμα πτεροφυήσας ἀνέπτη εἰς τὸν ἀέρα, καὶ ἔκλαγξέ τι λιγυρόν, ὡς πάντας θέλξαι τοὺς ἀκούοντας· τοῦτο δὲ ἐδήλου τὴν μέλλουσαν δόξαν τοῦ ἀνδρός. Μετὰ δὲ τὴν τελευτὴν Σωκράτους, διδασκάλῳ πάλιν ἐχρήσατο Κρατύλῳ τῷ Ἡρακλειτείῳ, εἰς ὃν καὶ διάλογον ὁμώνυμον ἐποίησεν, ἐπιγράψας Κρατύλος, ἢ περὶ ὀρθότητος ὀνομάτων. Μετὰ τοῦτον δὲ πάλιν στέλλεται εἰς Ἰταλίαν, καὶ διδασκαλεῖον εὑρὼν ἐκεῖ τῶν Πυθαγορείων συνιστάμενον Ἀρχύταν, πάλιν ἔσχε διδάσκαλον τὸν Πυθαγόρειον ὁμώνυμον· ἔνθα καὶ Ἀρχύτου μέμνηται. Ἐπειδὴ δὲ δεῖ τὸν φιλόσοφον φιλοθεάμονα

εἶναι τῶν τῆς φύσεως ἔργων· στέλλεται καὶ εἰς Σικελίαν, θεασόμενος τοὺς κρατῆρας τοῦ πυρός, τοὺς ἐν τῇ Αἴτνῃ, καὶ οὐ Σικελικῆς τραπέζης χάριν, ὦ γενναῖε Ἀριστείδη, ὡς σὺ φῄς. Γενόμενος ἐν Συρακούσαις πρὸς Διονύσιον τὸν μέγαν, τύραννον ὄντα, ἐπειρᾶτο εἰς ἀριστοκρατείαν μεταβάλλειν τὴν τυραννίδα· διὸ καὶ πρὸς αὐτὸν ἀφῖκτο, καὶ τοῦ Διονυσίου ἐρομένου αὐτόν, Τίνα νομίζεις ἐν ἀνθρώποις εὐδαίμονα εἶναι; ὡς δὴ νομίζων, ὅτι περὶ αὐτοῦ φήσει ὁ φιλόσοφος, κολακεύων αὐτόν· ὁ δὲ ἀπεκρίνατο, ὅτι Σωκράτην. Πάλιν ἐπανήρετο αὐτόν, Τί νομίζεις ἔργον ἀνδρὸς εἶναι πολιτικοῦ; ὁ δὲ ἀπεκρίνατο, τὸ τοὺς πολίτας βελτίους ποιεῖν. Τρίτον αὐτὸν ἐπανήρετο, Τί οὖν; τὸ ὀρθῶς δικάζειν σμικρόν σοὶ δοκεῖ; δόξαν γὰρ εἶχεν ὁ Διονύσιος ἐπὶ τοῦ ὀρθῶς δικάζειν· ὁ δὲ ἀπεκρίνατο, μηδὲν ὑποστειλάμενος, Σμικρὸν μὲν οὖν, καὶ πολιτικοῦ μέρος ἔσχατον· ἀκεσταῖς γὰρ ἐοίκασιν οἱ ὀρθῶς δικάζοντες, οἵτινες τὰ διεῤῥωγότα ἱμάτια ἀνυφαίνουσι. Τέταρτον αὐτὸν ἐπανήρετο, Τί τύραννον εἶναι; οὐκ ἀνδρεῖον; Πάντων μὲν οὖν, ἔφη, δειλότατον, ὁπότε καὶ τὰ κουρευτικὰ μαχαίρια διαδέδοικε, μὴ διὰ τούτων ἀπόληται. Ἐπὶ τούτοις οὖν ὁ Διονύσιος ἀγανακτήσας, προεῖπεν αὐτῷ ἡλίου ὄντος ὑπὲρ γῆς ἐκ τῶν Συρακούσων ἀπαλλάττεσθαι· καὶ οὕτως ἀτίμως ὁ Πλάτων ἀπὸ τῶν Συρακουσῶν ἐδιώχθη. Τῆς δὲ δευτέρας ὁδοῦ τῆς εἰς Σικελίαν αἰτία αὕτη. Μετὰ τὸν θάνατον Διονυσίου τοῦ μεγάλου διαδέχεται τὴν τυ-

ραννίδα Διονύσιος ὁ Διονυσίου, μητρὸς ἀδελφὸν ἔχων τὸν Δίωνα, ὃς ἐκ πρώτης ὁδοῦ ὁμιλητὴς ἐγένετο Πλάτωνος. Γράφει οὖν αὐτῷ ὁ Δίων, Ὅτι, ἐὰν παραγένῃ, νῦν ἐλπίς ἐστι μεταβαλεῖν τὴν τυραννίδα εἰς ἀριστοκρατείαν. Διὰ τοῦτο τοίνυν τὴν δευτέραν ὁδὸν ποιησάμενος, καὶ διαβληθεὶς ὑπὸ τῶν δορυφόρων τοῦ Διονυσίου πρὸς αὐτὸν, ὡς βουλεύεται τὴν ἀρχὴν περιποιῆσαι τῷ Δίωνι, καὶ καταλῦσαι τὸν Διονύσιον, κρατηθεὶς ὑπ' αὐτοῦ, παρεδόθη Πόλλιδι τῷ Αἰγινήτῃ, ἐμπορευομένῳ εἰς Σικελίαν, πρὸς πρᾶσιν. Ὁ δὲ ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν, εὗρεν Ἀννίκεριν ἐκεῖ, τὸν Λίβυν, μέλλοντα πλεῖν ἐπὶ τὴν Ἦλιν, ἐφ' ᾧ τεθρίππῳ ἀγωνίσασθαι. Περιτυχὼν οὖν τῷ Πόλλιδι, ὠνεῖται παρὰ αὐτοῦ τὸν Πλάτωνα, κρείττω τὴν δόξαν ταύτην πάσης ἐν τεθρίππῳ νίκης ἡγησάμενος· περὶ οὗ καὶ Ἀριστείδης φησὶν, ὅτι οὐδεὶς ἐγίνωσκεν Ἀννίκεριν, εἰ μὴ Πλάτωνα ἐπρίατο. Τῆς δὲ τρίτης ὁδοῦ πάλιν ἀφορμὴ γέγονε τῆς εἰς Σικελίαν αὕτη· δημευθεὶς ὁ Δίων ὑπὸ τοῦ Διονυσίου, καὶ ἀφαιρεθεὶς τῶν ὄντων, ἐν δεσμωτηρίῳ ἐβλήθη. Γράφει οὖν τῷ Πλάτωνι, ὅτι ὑπέσχετο ὁ Διονύσιος ἀφεῖναι αὐτὸν, εἰ Πλάτων αὖθις ἀφίξεται πρὸς αὐτόν· ὁ δὲ τῷ ἑταίρῳ βοηθήσων, ἑτοίμως ὑπέστη καὶ τὴν τρίτην ὁδόν. Καὶ ταῦτα μὲν περὶ τῆς ἀποδημίας τοῦ φιλοσόφου τῆς εἰς Σικελίαν. Ἰστέον δὲ, ὅτι καὶ εἰς Αἴγυπτον ἀπῆλθε πρὸς τοὺς ἐκεῖ ἱερατικοὺς ἀνθρώπους, καὶ ἔμαθε παρ' αὐτῶν τὴν ἱερατικήν. Διὸ καὶ ἐν τῷ Γοργίᾳ φησὶν, Οὐ μὰ τὸν Κύνα, τὸν παρ'

Αἰγυπτίοις θεόν. Ὃ γὰρ παρὰ τοῖς Ἕλλησι δύναται τὰ ἀγάλματα, τοῦτο παρὰ τοῖς Αἰγυπτίοις τὰ ζῶα, σύμβολα ὄντα ἑκάστου τῶν θεῶν, ᾧ ἀνάκειται. Βουλόμενος δὲ καὶ τοῖς Μάγοις ἐντυχεῖν, διὰ τὸ κατ᾿ ἐκεῖνον τὸν καιρὸν ἐν Περσίδι συνεστάναι πόλεμον, μὴ δυνηθεὶς παρ᾿ αὐτοὺς ἐλθεῖν, ἀφίκετο εἰς τὴν Φοινίκην· καὶ Μάγοις ἐκεῖ ἐντυχὼν, παρέλαβε τὴν μαγικήν. Διὸ καὶ ἐν τῷ Τιμαίῳ φαίνεται τῆς θυτικῆς ἔμπειρος ὤν, σημεῖά τε λέγων ἥπατος καὶ σπλάγχνων, καὶ τοιαῦτά τινα. Ἀλλὰ ταῦτα μὲν πρὸ τῶν τριῶν τῶν εἰς Σικελίαν ἀφίξεων ἔδει ῥηθῆναι. Ἀφικόμενος δὲ εἰς τὰς Ἀθήνας διδασκαλεῖον ἐν τῇ Ἀκαδημίᾳ συνεστήσατο μέρος τι τούτου τοῦ Γυμνασίου τέμενος ἀφορίσας ταῖς Μούσαις. Καὶ μόνῳ τῷ Πλάτωνι ἐνταῦθα Τίμων ὁ μισάνθρωπος συνῆν. Πολλοὺς δὲ πάνυ πρὸς μάθησιν ἀφείλκετο, καὶ ἄνδρας, καὶ γυναῖκας ἀνδρείῳ σχήματι, παρασκευάζων ἀκροᾶσθαι αὐτοῦ, καὶ κρείττονα πάσης φιλοπονίας τὴν ἑαυτοῦ φιλοσοφίαν ἐπιδεικνύς. Καὶ γὰρ καὶ τῆς Σωκρατικῆς εἰρωνείας ἀπήλλακτο, καὶ τοῦ ἐν ἀγορᾷ καὶ ἐπὶ τῶν ἐργαστηρίων διατρίβειν, καὶ τοὺς νέους θηρῶντα ποιεῖσθαι τοὺς λόγους. Ἀπήλλακτο δὲ καὶ τοῦ σεμνοῦ ὅρκου τῶν Πυθαγορείων, τοῦ ἀποκεκλεισμένας ἔχειν τὰς θύρας, καὶ τοῦ Αὐτὸς ἔφα· πολιτικώτερον ἑαυτὸν παρέχων πρὸς ἅπαντας. Πολλοὺς τοίνυν ἐραστὰς αὐτοῦ καταστήσας, καὶ πλείστους ὠφελήσας, μέλλων τελευτᾶν ἐνύπνιον εἶδεν, ὡς, κύκνος γενόμενος, ἀπὸ δένδρου εἰς δένδρον μετέρχε-

ται, καὶ ταύτῃ πόνον πλεῖστον παρεῖχε τοῖς ἐξευταῖς. Ὁ Σιμμίας, ὁ Σωκρατικὸς, ἔκρινεν, ὅτι ἄληπτος ἔσται τοῖς μετ᾽ αὐτὸν ἐξηγεῖσθαι βουλομένοις αὐτόν· ἰξευταῖς γὰρ ἐοίκασιν οἱ ἐξηγηταὶ, τὰς ἐννοίας τῶν ἀρχαίων πειρᾶσθαι βουλόμενοι· ἄληπτος δέ ἐστιν, ἐπειδὴ καὶ φυσικῶς, καὶ ἠθικῶς, καὶ θεολογικῶς, καὶ ἁπλῶς πολλαχῶς, ἐστὶν ἀκούειν τῶν αὐτοῦ, καθάπερ καὶ τῶν Ὁμήρου. Δύο γὰρ αὗται ψυχαὶ λέγονται γενέσθαι παναρμόνιοι· διὸ παντοδαπῶς ἐστὶν ἀκούειν ἀμφοτέρων. Ἀποθανόντος δ᾽ αὐτοῦ, πολυτελῶς αὐτὸν ἔθαψαν οἱ Ἀθηναῖοι, καὶ ἐπέγραψαν ἐν τῷ τάφῳ αὐτοῦ, Τοὺς δύ᾽ Ἀπόλλων φῦσ᾽, Ἀσκληπιὸν ἠδὲ Πλάτωνα· Τὸν μὲν ἵνα ψυχὴν, τὸν δ᾽ ἵνα σῶμα, σόοι. Καὶ ταῦτα μὲν περὶ τοῦ γένους τοῦ φιλοσόφου.

ΑΛΒΙΝΟΥ ΕΙΣΑΓΩΓΗ

ΕΙΣ ΤΟΥΣ

ΠΛΑΤΩΝΟΣ

ΔΙΑΛΟΓΟΥΣ.

Ὅτι τῷ μέλλοντι ἐντεύξεσθαι τοῖς Πλάτωνος Διαλόγοις προσήκει πρότερον ἐπίστασθαι αὐτὸ τοῦτο, τί ποτέ ἐστιν ὁ διάλογος. Οὔτε γὰρ ἄνευ τέχνης τινὸς καὶ δυνάμεως γεγραμμένοι εἰσὶν, οὔτε τεχνικῶς γνωρίσαι ῥᾴδιον τῷ γε θεωρίας ἀπείρως ἔχοντι. Ἀρέσκει δὲ τῷ φιλοσόφῳ περὶ παντὸς οὑτινοσοῦν τὴν σκέψιν ποιούμενον, τὴν οὐσίαν τοῦ πράγματος ἐξετάζειν· ἔπειτα, τί τοῦτο δύναται, καὶ τί μή, πρὸς ὅ, τί τε χρήσιμον πέφυκε, καὶ πρὸς ὃ μή. Λέγει δὲ ὧδε. Περὶ παντὸς, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ, περὶ οὗ ἂν ᾖ ἡ βουλὴ, ἢ περὶ τοῦτο ἁμαρτάνειν ἀνάγκη· τοὺς δὲ πολλοὺς λέληθεν, ὅτι οὐκ ἴσασι τὴν οὐσίαν ἑκάστου. ὡς οὖν εἰδότες, οὐ διομολογοῦνται ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ τὸ εἰκὸς ἀποδιδόασιν· οὔτε γὰρ ἑαυτοῖς, οὔτ᾽ ἄλλοις, ὁμολογοῦσιν. Ἵνα οὖν μὴ

τοῦτο πάθωμεν ἐντυγχάνοντες τοῖς Πλάτωνος Διαλόγοις, αὐτὸ τοῦτο, ὅπερ ἔφην, σκεψώμεθα, τί ποτ' ἐστιν ὁ διάλογος· οὐδὲ γὰρ ἄνευ τέχνης τινὸς καὶ δυνάμεώς εἰσι γεγραμμένοι. Ἔστι τοίνυν οὐκ ἄλλό τι, ἢ λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν πολιτικῶν καὶ φιλοσόφων πραγμάτων, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς.

β΄. Λόγος μὲν οὖν λέγεται ὁ διάλογος, καθάπερ ὁ ἄνθρωπος ζῶον. Ἐπεὶ δὲ ὁ λόγος ἐστὶν ὁ μὲν ἐνδιάθετος, ὁ δὲ προφορικός, ἀκουσόμεθα τοῦ προφορικοῦ· καὶ ἐπεὶ τούτου ὁ μέν ἐστι κατὰ διέξοδον λεγόμενος, ὁ δὲ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν, ἴδιον τοῦ διαλόγου ἐρωτήσεις καὶ ἀποκρίσεις· ὅθεν ὁ λόγος ἐξ ἐρωτήσεως εἶναι λέγεται. Τὸ δὲ περί τινος τῶν πολιτικῶν καὶ φιλοσόφων πραγμάτων πρόςκειται, διότι οἰκείαν εἶναι δεῖ τὴν ὑποκειμένην ὕλην τῷ διαλόγῳ. Αὕτη δέ ἐστιν ἡ πολιτικὴ καὶ φιλόσοφος. Ὡς γὰρ τῇ τραγῳδίᾳ, καὶ ὅλως τῇ ποιήσει, οἰκεία ὕλη ὑποβέβληται τῶν μύθων, οὕτω τῷ διαλόγῳ ἡ φιλόσοφος, τουτέστι τὰ πρὸς φιλοσοφίαν. Τὸ δὲ μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων διαφόρων ἐν τοῖς λόγοις ὄντων τὸν βίον, τῶν μὲν φιλοσόφων, τῶν δὲ σοφιστικῶν, τὰ οἰκεῖα ἤθη δεῖ ἑκάστῳ ἀνατιθέναι· τῷ μὲν φιλοσόφῳ τὸ γενναῖον, καὶ τὸ ἁπλοῦν, καὶ τὸ φιλάληθες· τῷ δὲ σοφιστικῷ τὸ ποικίλον, καὶ τὸ παλίμβολον, καὶ τὸ

φιλόδοξον· τῷ δὲ ἰδιωτικῷ τὸ οἰκεῖον. Ἐπὶ τούτοις φησί, καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς· καὶ μάλα εἰκότως. Ὡς γὰρ τῇ τραγῳδίᾳ, καὶ τῇ κωμῳδίᾳ, τὸ οἰκεῖον μέτρον δεῖ, [καὶ τῇ] λεγομένῃ ἱστορίᾳ τὸ πλάσμα, οὕτω καὶ τῷ διαλόγῳ τὴν οἰκείαν λέξιν καὶ σύνθεσιν ἔχειν, τὸ Ἀττικόν, τὸ εὔχαρι, τὸ ἀπέριττον, τὸ ἀνενδεές.

γ΄. Εἰ δέ τις λεγόμενος λόγος μὴ, καθάπερ εἶπον, εἰδοποιούμενος, ἀλλ' ἐνδεὴς ὢν τούτων, λέγοιτο εἶναι διάλογος, οὐκ ὀρθῶς ἂν λέγοιτο. Οὕτω τὸ παρὰ Θουκυδίδῃ λεγόμενον τῶν δυνάμεων εἰδοποιεῖν τὴν ἰδιότητα τῶν διαλόγων, ἀλλὰ μᾶλλον δύο δημηγορίας κατ' ἐνθύμησιν ἀλλήλοις ἀναγεγραμμένας. Ἐπεὶ οὖν, ὅ, τί ποτέ ἐστιν ὁ διάλογος, τεθεωρήκαμεν, περὶ τῆς διαφορᾶς αὐτοῦ τοῦ κατὰ Πλάτωνα διαλόγου ἴδωμεν, τουτέστι περὶ τῶν χαρακτήρων, πόσοι τέ εἰσιν οἱ ἀνωτάτω, καὶ πόσοι ἐκείνων ὑποδιαιρεθέντες εἰς τοὺς ἀτόμους ἐστήσαντο.

δ΄. Περὶ μὲν οὖν χαρακτήρων δύο ὄντων, ὑφηγητικοῦ καὶ ζητητικοῦ, ὁ μὲν ὑφηγητικὸς ἥρμοσται πρὸς διδασκαλίαν καὶ πρᾶξιν τοῦ ἀληθοῦς, ὁ δὲ ζητητικὸς πρὸς γυμνασίαν, καὶ ἀγῶνα, καὶ ἔλεγχον τοῦ ψεύδους· καὶ ὁ μὲν ὑφηγητικὸς τῶν πραγμάτων στοχάζεται, ὁ δὲ ζητητικὸς τῶν προσώπων.

ε΄. Τῶν μὲν οὖν τοῦ Πλάτωνος Διαλόγων ὑπάγονται, τῷ μὲν φυσικῷ ὁ Τίμαιος· τῷ δὲ ἠθικῷ ἡ Ἀπολογία· τῷ δὲ λογικῷ Θεάγης, Κρατύλος, Λύσις, Σοφιστής, Λάχης, Πολιτικός· τῷ δὲ ἐλεγκτικῷ Παρ-

μενίδης, Πρωταγόρας· τῷ δὲ πολιτικῷ Κρίτων, Φαίδων, Μίνως, Συμπόσιον, Νόμοι, Ἐπιστολαί, Ἐπινομίς, Μενέξενος, Κλειτοφῶν, Φίληβος· τῷ δὲ πειραστικῷ Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης· τῷ δὲ μαιευτικῷ Ἀλκιβιάδης· τῷ δὲ ἀνατρεπτικῷ Ἱππίας, Εὐθύδημος, Γοργίας.

ς'. Ἐπεὶ οὖν τεθεωρήκαμεν τὴν διαφορὰν αὐτῶν, ὡς πέφυκε γίγνεσθαι, καὶ τοὺς χαρακτῆρας· ἐπὶ τούτοις λέγωμεν, ἀπὸ ποίων Διαλόγων δεῖ ἀρχομένους ἐντυγχάνειν τοῦ Πλάτωνος λόγῳ. Διάφοροι γὰρ δόξαι γεγόνασιν. Οἱ μὲν γὰρ ἀπὸ τῶν Ἐπιστολῶν ἄρχονται, οἱ δὲ τινες ἀπὸ τοῦ Θεάγους. Εἰσὶ δὲ οἱ κατὰ τετραλογίαν διελόντες αὐτούς, καὶ τάττουσι πρώτην τετραλογίαν περιέχουσαν τὸν Εὐθύφρονα, καὶ τὴν Ἀπολογίαν, καὶ τὸν Κρίτωνα, καὶ τὸν Φαίδωνα. Τὸν μὲν οὖν Εὐθύφρονα, ἐπεὶ καὶ ἐπαγγέλλεται τῷ Σωκράτει ἐν αὐτῷ ἡ δίκη· τὴν δὴ Ἀπολογίαν, ἐπεὶ ἀναγκαῖον αὐτῷ ἀπολογήσασθαι ἐπὶ τούτοις· τὸν Κρίτωνα, διὰ τὴν ἐν τῷ δεσμωτηρίῳ διατριβήν· ἔπειτα τὸν Φαίδωνα, ἐπεὶ ἐν αὐτῷ τέλος τοῦ βίου λαμβάνει ὁ Σωκράτης. [Ταύτης] τῆς δόξης εἰσὶ Δερκυλλίδης καὶ Θράσυλλος. Δοκοῦσι δέ μοι προσώποις, καὶ βίων περιστάσεσιν, ἠθεληκέναι τάξιν ἐπιθεῖναι· ὅ ἐστι μὲν ἴσως χρήσιμον πρὸς ἄλλο τι, οὐ μὴν πρὸς ὃ ἡμεῖς νῦν βουλόμεθα· βουλόμεθα δὲ τὴν ἀρχὴν καὶ διάταξιν διδασκαλίας τῆς κατὰ σοφίαν εὑρεῖν. Φαμὲν οὖν, Πλάτωνος λόγου μὴ εἶναι μίαν καὶ ὡρισμένην ἀρχήν· ἐοικέναι γὰρ

αὐτὸν τέλειον ὄντα τελείῳ σχήματι κύκλου. Ὥσπερ οὖν κύκλου μία καὶ ὡρισμένη οὐκ ἔστιν ἀρχή, οὕτως οὐδὲ τοῦ λόγου.

ζ'. Οὐ μὴν διὰ τοῦτο ὁπωσοῦν, καὶ ὡς ἔτυχεν, ἐντευξόμεθα αὐτῷ. Οὐδὲ γάρ, εἰ δέοι κύκλον γράφειν, ἀφ' οὑτινοσοῦν σημείου ἀρχόμενός τις γράφει τὸν κύκλον, ἀλλ' *** ἀφ' ἧς ἂν ἕκαστος ἡμῶν σχέσεως ἔχῃ πρὸς τὸν λόγον, ἀρχόμενος ἐντεύξεται τοῖς Διαλόγοις. Σχέσεις δὲ πλείους καὶ διάφοροί εἰσιν ἡμῶν πρὸς τὸν λόγον. Ἡ μὲν γάρ ἐστι κατὰ φύσιν, οἷον εὐφυής, ἀφυής· ἡ δὲ κατὰ τὴν ἡλικίαν, οἷον ὥραν ἔχων τοῦ φιλοσοφεῖν, ἢ παραβεβηκώς· ἡ δὲ κατὰ προαίρεσιν, οἷον φιλοσοφίας, καὶ ἱστορίας, ἕνεκα· [ἡ δὲ καθ'] ἕξιν, οἷον προτετελεσμένος, καὶ ἀμαθής· ἡ δὲ κατὰ τὴν ὕλην, οἷον ἐνασχολῶν φιλοσοφίᾳ, ἢ περιελκόμενος ὑπὸ τῶν [πολιτικῶν] περιστάσεων.

η'. Ὁ μὲν οὖν κατὰ φύσιν εὖ πεφυκώς, καὶ κατὰ τὴν ἡλικίαν ὥραν ἔχων τοῦ φιλοσοφεῖν, καὶ κατὰ τὴν προαίρεσιν ἕνεκα τοῦ ἀρετὴν ἀσκῆσαι προσιὼν τῷ λόγῳ, καὶ κατὰ τὴν ἕξιν προτετελεσμένος τοῖς μαθήμασι, καὶ ἀφειμένος ἀπὸ τῶν πολιτικῶν περιστάσεων, ἄρξεται ἀπὸ τοῦ Ἀλκιβιάδου, πρὸς τὸ τραπῆναι, καὶ ἐπιστραφῆναι, καὶ γνῶναι, οὗ δεῖ τὴν ἐπιμέλειαν ποιεῖσθαι, ὥσπερ πρὸς παράδειγμα, καλὸν ἰδεῖν, τίς ἐστιν ὁ φιλόσοφος, καὶ τίς αὐτοῦ ἐπιτήδευσις, καὶ ἐπὶ ποίᾳ ὑποθέσει ὁ παρ' αὐτῷ λόγος προσάγεται. Δεήσει τῷ Φαίδωνι ἑξῆς ἐντυγχάνειν· λέγει γὰρ ἐν τούτῳ, τίς ἐστι φιλόσοφος, καὶ τίς ἐστιν

ἡ [αὐτοῦ] ἐπιτήδευσις, καὶ ἐπὶ ὑποθέσει τοῦ ἀθάνατον εἶναι τὴν ψυχὴν διΐησι τὸν περὶ αὐτῆς λόγον. Μετὰ ταῦτα τῇ Πολιτείᾳ δέοι ἐντυγχάνειν· ἀρξάμενος γὰρ ἀπὸ τῆς πρώτης παιδεύσεως, ὑπογράφει πᾶσαν τὴν παιδείαν, ᾗ χρώμενος ἀφίκοιτο ἄν τις ἐπὶ τὴν τῆς ἀρετῆς κτῆσιν. Ἐπειδὴ δὲ δεῖ καὶ ἐν γνώσει τῶν θείων γενέσθαι, ὡς δύνασθαι κτησάμενον τὴν ἀρετὴν ὁμοιωθῆναι αὐτοῖς· ἐντευξόμεθα τῷ Τιμαίῳ· αὐτῇ γὰρ τῇ περὶ φύσιν ἱστορίᾳ ἐντυγχάνοντες, καὶ τῇ λεγομένῃ Θεολογίᾳ, καὶ τῇ τῶν ὅλων διατάξει, ἂν [αμνήσομεν] τὰ θεῖα ἐναργῶς.

θ'. Εἰ δέ τις καὶ ἐν κεφαλαίῳ δύναιτ' ἂν κατιδεῖν τὴν προσήκουσαν τάξιν τῶν Διαλόγων; τῇ κατὰ Πλάτωνα διδασκαλίᾳ τῷ τὰ Πλάτωνος αἱρουμένῳ ***. Ἀναγκαίου γὰρ ὄντος θεατὰς γενέσθαι, καὶ τῆς ἑαυτοῦ ψυχῆς, καὶ τῶν θείων, καὶ τῶν θεῶν αὐτῶν, καὶ τοῦ καλλίστου νοῦ τυχεῖν, δεῖ πρῶτον ἐκκαθᾶραι τὰς ψευδεῖς δόξας τῶν ὑπολήψεων· οὐδὲ γὰρ οἱ ἰατροὶ νενομίκασι, πρότερον τῆς προσφερομένης τροφῆς ἀπολαῦσαι τὸ σῶμα δύνασθαι, εἰ μὴ τὰ ἐμποδίζοντα ἐν τούτῳ τις ἐκβάλοι. Μετὰ δὲ τὸ ἐκκαθᾶραι ἐπεγείρειν καὶ προκαλεῖσθαι δεῖ τὰς φυσικὰς ἐννοίας, καὶ ταύτας ἐκκαθαίρειν, καὶ εὐκρινεῖς ἀποφαίνειν, ὡς ἀρχάς. Ἐπὶ τούτοις, ὡς προκατεσκευασμένης τῆς ψυχῆς, δεῖ αὐτῇ τὰ οἰκεῖα ἐμποιεῖν δόγματα, καθ' ἃ τελειοῦται. Ταῦτα δέ ἐστι, τὰ φυσικὰ καὶ θεολογικὰ καὶ ἠθικὰ καὶ πολιτικά. Ἵνα τὰ δόγματα μένῃ ἐν τῇ ψυχῇ καὶ ἀναπόδραστα, δεή-

σει ἀποδοθῆναι τῷ τῆς αἰτίας λογισμῷ, ἵνα τις βεβαίως ἔχηται τοῦ προκειμένου σκοποῦ. Ἐπὶ τούτοις δεῖ πεπορίσθαι τὸ ἀπαραλόγιστον, ἵνα μὴ ὑπό τινος σοφιστοῦ παρελχθέντες τρέψωμεν ἐπὶ τὰ χείρω τὴν ἑαυτῶν διάνοιαν. Ἵνα οὖν ἐκβάλλωμεν τὰς ψευδεῖς δόξας, δεήσει ἐντυγχάνειν Πλάτωνος τοῖς τοῦ πειραστικοῦ χαρακτῆρος Διαλόγοις, ἔχουσι τὸ ἐλεγκτικόν, καὶ τὸ λεγόμενον καθαρτικόν. Ἵνα δέ τις τὰς φυσικὰς ἐννοίας εἰς φῶς προκαλέσοιτο, τοῖς τοῦ μαιευτικοῦ χαρακτῆρος Διαλόγοις δεήσει ἐντυγχάνειν. Τοῦτο γάρ ἐστιν αὐτῶν ἴδιον· εἴγε ἐν τούτοις ἔστι μὲν τὰ φυσικὰ δόγματα, ἔστι δὲ καὶ τὰ ἠθικὰ καὶ τὰ πολιτικὰ καὶ οἰκονομικά· ὧν τὰ μὲν ἐπὶ θεωρίαν καὶ τὸν θεωρητικὸν βίον ἔχει τὴν ἀναφοράν, τὰ δὲ ἐπὶ πρᾶξιν καὶ τὸν πρακτικὸν βίον· ἄμφω δὲ ταῦτα ἐπὶ τῷ ὁμοιωθῆναι θεῷ. Ἵνα δὲ τὰ δεθέντα ἄφυκτα ἡμῖν ὑπάρχῃ, τοῖς τοῦ λογικοῦ χαρακτῆρος Διαλόγοις, ὄντος καὶ αὐτοῦ ζητητικοῦ, δεήσει ἐντυγχάνειν. Ἔχουσι γὰρ τάς τε διαιρετικὰς καὶ ὁριστικὰς μεθόδους, καὶ πρός γε ἀναλυτικὰς καὶ συλλογιστικάς· δι᾽ ὧν, τὰ μὲν ἀληθῆ ἀποδείκνυται, τὰ δὲ ψευδῆ ἐλέγχεται. Πρὸς δὲ τούτοις ἐπεὶ δεῖ καὶ ἀπαραλογίστους ὑπὸ τῶν σοφιστῶν εἶναι, τοῖς τοῦ ἐπιδεικτικοῦ χαρακτῆρος Διαλόγοις ἐντευξόμεθα· ἐν οἷς ἐστιν ἐκμαθεῖν, ὅπως τε δεῖ ἐπαΐειν τῶν σοφιστῶν, καὶ ὅπως, καὶ ὅντινα τρόπον, προσφέρεσθαι κακουργοῦσι περὶ τοὺς λόγους.

ΕΥΘΥΦΡΩΝ.

I. Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις, περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοι δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα, ὥςπερ ἐμοί. ΣΩ. Οὔτοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. ΕΥΘ. Τί φῄς; γραφὴν σέ τις, ὡς ἔοικε, γέγραπται. οὐ γάρ πού ἐκεῖνό γε καταγνώσομαι, ὡς σύ γε ἕτερον. ΣΩ. Οὐ γὰρ οὖν. ΕΥΘ. Ἀλλά σε ἄλλος; ΣΩ. Πάνυ γε. ΕΥΘ. Τίς οὗτος; ΣΩ. Οὐδ' αὐτὸς πάνυ τοι γιγνώσκω, ὦ Εὐθύφρον, τὸν ἄνδρα. νέος γάρ τις μοὶ φαίνεται καὶ ἀγνώς. ὀνομάζουσι μέντοι αὐτὸν, ὡς ἐγῷμαι, Μέλιτον. ἔστι δὲ τὸν δῆμον Πιθεύς· εἴ τιν' ἐν νῷ ἔχεις Πιθέα Μέλιτον, οἷον τετανότριχα, καὶ οὐ πάνυ εὐγένειον, ἐπίγρυπον δέ. ΕΥΘ. Οὐκ ἐννοῶ, ὦ Σώκρατες, ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται; ΣΩ. Ἥντινα; οὐκ ἀγεννῆ, ἔμοιγε δοκεῖ. τὸ γὰρ, νέον ὄντα, τοσοῦτον πρᾶγμα ἐγνωκέναι, οὐ φαῦλόν ἐστιν. ἐκεῖνος γάρ, ὥς φησιν, οἶδε τίνα τρόπον οἱ νέοι διαφθείρονται, καὶ τίνες οἱ διαφθεί-

ροντες αὐτούς. Καὶ κινδυνεύει σοφός τις εἶναι· καὶ τὴν ἐμὴν ἀμαθίαν κατιδών, ὡς διαφθείροντος τοὺς ἡλικιώτας αὐτοῦ, ἔρχεται κατηγορήσων μου, ὥςπερ πρὸς μητέρα, πρὸς τὴν πόλιν. Καί φαίνεταί μοι τῶν πολιτικῶν μόνος ἄρχεσθαι ὀρθῶς· ὀρθῶς γάρ ἐστι, τῶν νέων πρῶτον ἐπιμεληθῆναι, ὅπως ἔσονται ὅτι ἄριστοι, ὥςπερ γεωργὸν ἀγαθὸν τῶν νέων φυτῶν εἰκὸς πρῶτον ἐπιμεληθῆναι, μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων. καὶ δὴ καὶ Μέλιτος ἴσως πρῶτον μὲν ἡμᾶς ἐκκαθαίρει, τοὺς τῶν νέων τὰς βλάστας διαφθείροντας, ὥς φησιν· ἔπειτα μετὰ τοῦτο δηλονότι τῶν πρεσβυτέρων ἐπιμεληθείς, πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιος τῇ πόλει γενήσεται· ὥς γε τὸ εἰκὸς συμβῆναι, ἐκ τοιαύτης ἀρχῆς ἀρξαμένῳ. II. ΕΥΘ. Βουλοίμην ἄν, ὦ Σώκρατες· ἀλλ᾽ ὀῤῥωδῶ, μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ᾽ Ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σέ. Καί μοι λέγε τί καὶ ποιοῦντά σε φησὶ διαφθείρειν τοὺς νέους; ΣΩ. Ἄτοπα, ὦ θαυμάσιε, ὡς οὕτω γ᾽ ἀκοῦσαι. φησὶ γάρ ποιητὴν εἶναί με θεῶν· καὶ ὡς καινοὺς ποιοῦντα θεούς, τοὺς δ᾽ ἀρχαίους οὐ νομίζοντα, ἐγράψατο τούτων αὐτῶν ἕνεκα, ὥς φησι. ΕΥΘ. Μανθάνω, ὦ Σώκρατες, ὅτι δὴ σὺ τὸ δαιμόνιον φῄς σαυτῷ ἑκάστοτε γίγνεσθαι. ὡς οὖν καινοτομοῦντός σου περὶ τὰ θεῖα, γέγραπται ταύτην τὴν γραφήν· καὶ ὡς διαβαλῶν δὴ ἔρχεται εἰς τὸ δικαστήριον, εἰδὼς ὅτι εὐδιάβολα τὰ τοιαῦτα πρὸς τοὺς πολλούς. Καὶ ἐμοῦ γάρ τοι, ὅταν τι λέγω ἐν τῇ ἐκ-

κλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς τὰ μέλλοντα, καταγελῶσιν ὡς μαινομένου· καίτοι οὐδὲν ὅ, τι οὐκ ἀληθὲς εἴρηκα ὧν προεῖπον· ἀλλ' ὅμως φθονοῦσιν ἡμῖν πᾶσι τοῖς τοιούτοις. ἀλλ' οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσε ἰέναι. III. ΣΩ. Ὦ φίλε Εὐθύφρον, ἀλλὰ τὸ μὲν καταγελασθῆναι, ἴσως οὐδὲν πρᾶγμα. Ἀθηναίοις γάρ τοι, ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέντοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται· εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι. ΕΥΘ. Τούτου οὖν πέρι, ὅπως ποτὲ πρὸς ἐμὲ ἔχουσιν, οὐ πάνυ ἐπιθυμῶ πειραθῆναι. ΣΩ. Ἴσως γὰρ σὺ μὲν δοκεῖς σπάνιον σεαυτὸν παρέχειν, καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυτοῦ σοφίαν· ἐγὼ δὲ φοβοῦμαι, μὴ ὑπὸ φιλανθρωπίας δοκῶ αὐτοῖς ὅ, τι περ ἔχω, ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως, εἴτις μου ἐθέλοι ἀκούειν. εἰ μὲν οὖν, ὃ νῦν δὴ ἔλεγον, μέλλοιέν μου καταγελᾶν, ὥσπερ σὺ φῂς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς παίζοντας καὶ γελῶντας ἐν τῷ δικαστηρίῳ διαγαγεῖν· εἰ δὲ σπουδάσονται, τοῦτ' ἤδη ὅπῃ ἀποβήσεται ἄδηλον, πλὴν ὑμῖν τοῖς μάντεσιν. ΕΥΘ. Ἀλλ' ἴσως οὐδὲν ἔσται, ὦ Σώκρατες, πρᾶγμα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιῇ τὴν δίκην, οἶμαι δὲ καὶ ἐμὲ τὴν ἐμήν. IV. ΣΩ. Ἔστι δὲ δή σοι, ὦ Εὐθύφρον, τίς ἡ δίκη; φεύγεις αὐτήν, ἢ διώκεις; ΕΥΘ. Διώκω. ΣΩ. Τίνα; ΕΥΘ. Ὃν διώκων αὖ δοκῶ μαίνεσθαι. ΣΩ. Τί

δέ; πετόμενόν τινα διώκεις; ΕΥΘ. Πολλοῦ γε δεῖ πέτεσθαι, ὅς γε δὴ τυγχάνει ὢν εὖ μάλα πρεσβύτης. ΣΩ. Τίς οὗτος; ΕΥΘ. Ὁ ἐμὸς πατήρ. ΣΩ. Ὁ σός, ὦ βέλτιστε; ΕΥΘ. Πάνυ μὲν οὖν. ΣΩ. Ἔστι δὲ δὴ τί τὸ ἔγκλημα, καὶ τίνος ἡ δίκη; ΕΥΘ. Φόνου, ὦ Σώκρατες. ΣΩ. Ἡράκλεις. ἦπου, ὦ Εὐθύφρον, ἀγνοεῖται ὑπὸ τῶν πολλῶν ὅπῃ ποτὲ ὀρθῶς ἔχει. οὐ γὰρ οἶμαί γε τοῦ ἐπιτυχόντος εἶναι ὀρθῶς αὐτὸ πρᾶξαι, ἀλλὰ πόῤῥω που ἤδη σοφίας ἐλαύνοντος. ΕΥΘ. Πόῤῥω μέντοι νὴ Δία, ὦ Σώκρατες. ΣΩ. Ἔστι δὲ δὴ τῶν οἰκείων τις ὁ τεθνειὼς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δῆλα δή· οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξῄεισθα [τῷ πατρὶ] φόνου αὐτῷ. ΕΥΘ. Γελοῖον, ὦ Σώκρατες, ὅτι οἴει τι διαφέρειν, εἴτε ἀλλότριος εἴτε οἰκεῖος ὁ τεθνειώς· ἀλλ' οὐ τοῦτο μόνον δεῖν φυλάττειν, εἴτε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας, εἴτε μή· καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν· εἰ δὲ μή, ἐπεξιέναι· ἐάν περ ὁ κτείνας συνέστιός σοι καὶ ὁμοτράπεζος ᾖ. ἴσον γὰρ τὸ μίασμα γίγνεται, ἐὰν ξυνῇς τῷ τοιούτῳ ξυνειδώς, καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε καὶ ἐκεῖνον, τῇ δίκῃ ἐπεξιών. ἐπεὶ ὅ γε ἀποθανὼν πελάτης τις ἦν ἐμός· καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν. παροινήσας οὖν καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινὶ τῶν ἡμετέρων, ἀποσφάττει αὐτόν. ὁ οὖν πατήρ, συνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινά, πέμπει δεῦρο ἄνδρα πευσόμενον τοῦ ἐξηγητοῦ ὅ, τι χρὴ ποιεῖν. ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ δεδεμένου ὠλιγώρει τε καὶ ἠμέλει, ὡς

ἀνδροφόνου· καὶ οὐδὲν ὂν πρᾶγμα εἰ καὶ ἀποθάνοι· ὅπερ οὖν καὶ ἔπαθεν. Ὑπὸ γὰρ λιμοῦ καὶ ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει, πρὶν τὸν ἄγγελον παρὰ τοῦ ἐξηγητοῦ ἀφικέσθαι. ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ, τε πατὴρ καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου τῷ πατρὶ φόνου ἐπεξέρχομαι· οὔτε ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ', εἰ ὅτι μάλιστ' ἀπέκτεινεν, ἀνδροφόνου γε ὄντος τοῦ ἀποθανόντος, οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου· ἀνόσιον γὰρ εἶναι τὸ υἱὸν πατρὶ φόνου ἐπεξιέναι· κακῶς εἰδότες, ὦ Σώκρατες, τὸ θεῖον ὡς ἔχει τοῦ ὁσίου τε πέρι καὶ τοῦ ἀνοσίου. ΣΩ. Σὺ δὲ δὴ πρὸς Διός, ὦ Εὐθύφρον, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θείων, ὅπη ἔχῃ, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρί, ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων; ΕΥΘ. Οὐδὲν γάρ ἄν μοι ὄφελος, ὦ Σώκρατες, εἴη, οὐδέ τῳ ἂν διαφέροι Εὐθύφρων τῶν πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντα ἀκριβῶς εἰδείην. V. ΣΩ. Ἆρ' οὖν μοι, ὦ θαυμάσιε Εὐθύφρον, κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι, καὶ πρὸ τῆς γραφῆς τῆς πρὸς Μέλιτον αὐτὰ ταῦτα προκαλεῖσθαι αὐτὸν λέγοντα· ὅτι ἔγωγε καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι, καὶ νῦν, ἐπειδή με ἐκεῖνος αὐτοσχεδιάζοντά φησι καὶ καινοτομοῦντα περὶ τῶν θείων ἐξαμαρτάνειν, μαθητὴς δὴ γέγονα σός. καὶ εἰ μέν, ὦ Μέλιτε, φαίην ἄν, Εὐθύφρονα ὁμολογεῖς σοφὸν εἶναι

τὰ τοιαῦτα καὶ ὀρθῶς νομίζειν· καὶ ἐμὲ ἡγοῦ καὶ μὴ δικάζου· εἰ δὲ μή, ἐκείνῳ τῷ διδασκάλῳ λάχε δίκην πρότερον ἢ ἐμοί, ὡς τοὺς πρεσβυτέρους διαφθείροντι ἐμέ τε καὶ τὸν αὑτοῦ πατέρα· ἐμὲ μὲν διδάσκοντι, ἐκεῖνον δὲ νουθετοῦντι καὶ κολάζοντι. καὶ ἐὰν μή μοι πείθηται, μηδὲ ἀφίῃ τῆς δίκης, ἢ ἀντ' ἐμοῦ γράφηταί σε, αὐτὰ ταῦτα λέγειν ἐν τῷ δικαστηρίῳ ἃ προὐκαλούμην αὐτόν. ΕΥΘ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, εἰ ἄρα ἐμὲ ἐπιχειρήσειε γράφεσθαι, εὕροιμ' ἄν, ὡς οἶμαι, ὅπῃ σαθρός ἐστι· καὶ πολὺ ἂν ἡμῖν πρότερον περὶ ἐκείνου λόγος γένοιτο ἐν τῷ δικαστηρίῳ ἢ περὶ ἐμοῦ. ΣΩ. Καὶ ἐγώ τοι, ὦ φίλε ἑταῖρε, ταῦτα γιγνώσκων, μαθητὴς ἐπιθυμῶ γενέσθαι σός· εἰδὼς ὅτι καὶ ἄλλος πού τις, καὶ ὁ Μέλιτος οὗτος, σὲ μὲν οὐδὲ δοκεῖ ὁρᾶν· ἐμὲ δὲ οὕτως ὀξέως ἀτεχνῶς καὶ ῥᾳδίως κατεῖδεν, ὥστε ἀσεβείας ἐγράψατο. VI. Νῦν οὖν πρὸς Διὸς λέγε μοι, ὃ νῦν σαφῶς εἰδέναι διϊσχυρίζου· ποῖον δή τι τὸ εὐσεβὲς φῂς εἶναι καὶ τὸ ἀσεβές, καὶ περὶ φόνου καὶ περὶ τῶν ἄλλων· ἢ οὐ ταυτόν ἐστιν ἐν πάσῃ πράξει τὸ ὅσιον αὐτὸ αὑτῷ· καὶ τὸ ἀνόσιον αὖ, τοῦ μὲν ὁσίου παντὸς ἐναντίον, αὐτὸ δὲ αὑτῷ ὅμοιον, καὶ ἔχον μίαν τινὰ ἰδέαν κατὰ τὴν ἀνοσιότητα, πᾶν ὅ, τι περ ἂν μέλλῃ ἀνόσιον εἶναι. ΕΥΘ. Πάντως δήπου, ὦ Σώκρατες. ΣΩ. Λέγε δὴ τί φῂς εἶναι τὸ ὅσιον, καὶ τί τὸ ἀνόσιον; ΕΥΘ. Λέγω τοίνυν, ὅτι τὸ μὲν ὅσιόν ἐστιν ὅπερ ἐγὼ νῦν ποιῶ, τῷ ἀδικοῦντι, ἢ περὶ φόνους, ἢ περὶ ἱερῶν κλοπάς, ἤ τι ἄλλο τῶν τοιούτων ἐξαμαρτάνοντι, ἐπεξ-

ξιέναι· ἐάν τε πατὴρ ὢν τυγχάνῃ, ἐάν τε μήτηρ, ἐάν τε ἄλλος ὁςτισοῦν· τὸ δὲ μὴ ἐπεξιέναι, ἀνόσιον. ἐπεί, ὦ Σώκρατες, θέασαι ὡς μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου ὅτι οὕτως ἔχει, ὃ καὶ ἄλλοις ἤδη εἶπον, ὅτι ταῦτα ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ ἐπιτρέπειν τῷ ἀσεβοῦντι, μηδ᾽ ἂν ὁςτισοῦν τυγχάνῃ ὤν. αὐτοὶ γὰρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον· καὶ τοῦτον ὁμολογοῦσι τὸν αὑτοῦ πατέρα δῆσαι, ὅτι τοὺς υἱεῖς κατέπινεν οὐκ ἐν δίκῃ· καὶ ἐκεῖνόν γε αὖ τὸν αὑτοῦ πατέρα ἐκτεμεῖν δι᾽ ἕτερα τοιαῦτα· ἐμοὶ δὲ χαλεπαίνουσιν ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι· καὶ οὕτως αὐτοὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσι περί τε τῶν θεῶν καὶ περὶ ἐμοῦ. ΣΩ. Ἆρά γε, ὦ Εὐθύφρον, τοῦτ᾽ ἐστὶν οὗ ἕνεκα τὴν γραφὴν φεύγω, ὅτι τὰ τοιαῦτα ἐπειδάν τις περὶ τῶν θεῶν λέγῃ, δυςχερῶς πως ἀποδέχομαι· δι᾽ ἃ δή, ὡς ἔοικε, φήσει τίς με ἐξαμαρτάνειν. νῦν οὖν, εἰ καὶ σοὶ ταῦτα ξυνδοκεῖ τῷ εὖ εἰδότι περὶ τῶν τοιούτων, ἀνάγκη δή, ὡς ἔοικε, καὶ ἡμῖν ξυγχωρεῖν. τί γὰρ καὶ φήσομεν, οἵ γε καὶ αὐτοὶ ὁμολογοῦμεν περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπὲ πρὸς Φιλίου, σὺ ὡς ἀληθῶς ἡγῇ ταῦτα γεγονέναι οὕτως; ΕΥΘ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴσασι. ΣΩ. Καὶ πόλεμον ἄρα ἡγῇ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας γε δεινὰς καὶ μάχας, καὶ ἄλλα τοιαῦτα πολλά, οἷα λέγεται ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων τά τε ἄλλα ἱερὰ ἡμῖν

καταπεποίκιλται, καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς τὴν ἀκρόπολιν; ταῦτα ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρον; ΕΥΘ. Μὴ μόνα γε, ὦ Σώκρατες· ἀλλ' ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλά, ἐάνπερ βούλῃ, περὶ τῶν θείων διηγήσομαι· ἃ σὺ ἀκούων εὖ οἶδ' ὅτι ἐκπλαγήσῃ. VII. ΣΩ. Οὐκ ἂν θαυμάζοιμι. ἀλλὰ ταῦτα μέν μοι εἰςαῦθις ἐπὶ σχολῆς διηγήσῃ· νυνὶ δέ, ὅπερ ἄρτι σε ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. οὐ γάρ με, ὦ ἑταῖρε, τοπρότερον ἱκανῶς ἐδίδαξας, ἐρωτήσαντα τὸ ὅσιον ὅ, τι ποτὲ εἴη· ἀλλά μοι εἶπες ὅτι τοῦτο τυγχάνει ὅσιον ὂν ὃ σὺ νῦν ποιεῖς, φόνου ἐπεξιὼν τῷ πατρί. ΕΥΘ. Καὶ ἀληθῆ γε ἔλεγον, ὦ Σώκρατες. ΣΩ. Ἴσως. ἀλλὰ γάρ, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλὰ φῂς εἶναι ὅσια; ΕΥΘ. Καὶ γάρ ἐστι. ΣΩ. Μέμνησαι οὖν ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων· ἀλλ' ἐκεῖνο αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια, ὅσιά ἐστιν· ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι· καὶ τὰ ὅσια, ὅσια· ἢ οὐ μνημονεύεις; ΕΥΘ. Ἔγωγε. ΣΩ. Ταύτην τοίνυν με αὐτὴν δίδαξον τὴν ἰδέαν τίς ποτέ ἐστιν· ἵνα εἰς ἐκείνην ἀποβλέπων, καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅσιον εἶναι· ὃ δ' ἂν μὴ τοιοῦτον, μὴ φῶ. ΕΥΘ. Ἀλλ' εἰ οὕτω βούλει, ὦ Σώκρατες, καὶ οὕτω σοι φράσω. ΣΩ. Ἀλλὰ μὴν βούλομαί γε. ΕΥΘ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προς-

φιλές, ὅσιον· τὸ δὲ μὴ προσφιλές, ἀνόσιον. ΣΩ. Παγκάλως, ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ ἐζήτουν ἀποκρίνασθαί σε, οὕτω νῦν ἀπεκρίνω. εἰ μέντοι ὡς ἀληθῶς, τοῦτο οὔπω οἶδα. ἀλλὰ σὺ δηλονότι ἐπεκδιδάξεις ὡς ἔστιν ἀληθῆ ἃ λέγεις. ΕΥΘ. Πάνυ μὲν οὖν. VIII. ΣΩ. Φέρε δή, ἐπισκεψώμεθα τί λέγομεν. τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος, ὅσιος· τὸ δὲ θεομισὲς καὶ ὁ θεομισής, ἀνόσιος· οὐ ταυτὸν δ' ἔστιν, ἀλλὰ τὸ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ, οὐχ οὕτως; ΕΥΘ. Οὕτω μὲν οὖν. ΣΩ. Καὶ εὖ γε φαίνεται εἰρῆσθαι. ΕΥΘ. Δοκῶ, ὦ Σώκρατες· εἴρηται γάρ. ΣΩ. Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοὶ καὶ διαφέρονται ἀλλήλοις, ὦ Εὐθύφρον, καὶ ἔχθρα ἐστὶν ἐν αὐτοῖς πρὸς ἀλλήλους, καὶ ταῦτα εἴρηται; ΕΥΘ. Εἴρηται γάρ. ΣΩ. Ἔχθραν δὲ καὶ ὀργάς, ὦ ἄριστε, ἡ περὶ τίνων διαφορὰ ποιεῖ; ὧδε δὲ σκοπῶμεν. ἆρα ἂν εἰ διαφεροίμεθα ἐγώ τε καὶ σὺ περὶ ἀριθμοῦ, ὁπότερα πλείω, ἡ περὶ τούτων διαφορὰ ἐχθροὺς ἂν ἡμᾶς ποιοίη, καὶ ὀργίζεσθαι ἀλλήλοις; ἢ ἐπὶ λογισμὸν ἐλθόντες περί γε τῶν τοιούτων, ταχὺ ἂν ἀπαλλαγείημεν; ΕΥΘ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος εἰ διαφεροίμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες, ταχὺ παυσαίμεθ' ἂν τῆς διαφορᾶς; ΕΥΘ. Ἔστι ταῦτα. ΣΩ. Καὶ ἐπί γε τὸ ἱστάναι ἐλθόντες, ὡς ἐγῷμαι, περὶ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου διακριθείημεν ἄν; ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩ. Περὶ τίνος δὲ δὴ διενεχθέντες, καὶ ἐπὶ τίνα κρίσιν οὐ δυνάμενοι ἀφικέσθαι,

ἐχθροί τε ἂν ἀλλήλοις εἴημεν καὶ ὀργιζοίμεθα; ἴσως
οὐ πρόχειρόν σοί ἐστιν· ἀλλ᾽ ἐμοῦ λέγοντος σκόπει
εἰ τάδ᾽ ἐστὶ τό, τε δίκαιον καὶ τὸ ἄδικον, καὶ κα-
λὸν καὶ αἰσχρόν, καὶ ἀγαθὸν καὶ κακόν. ἆρ᾽ οὐ
ταῦτά ἐστι περὶ ὧν διενεχθέντες, καὶ οὐ δυνάμενοι
ἐπὶ ἱκανὴν κρίσιν αὐτῶν ἐλθεῖν, ἐχθροί γε ἀλλήλοις
γιγνόμεθα, ὅταν γιγνώμεθα, καὶ ἐγὼ καὶ σὺ καὶ οἱ
ἄλλοι ἄνθρωποι πάντες; ΕΥΘ. Ἀλλ᾽ ἔστιν αὕτη ἡ
διαφορά, ὦ Σώκρατες, καὶ περὶ τούτων. ΣΩ. Τί
δέ; οἱ θεοί, ὦ Εὐθύφρον, οὐκ, εἴπερ τι διαφέρον-
ται, δι᾽ αὐτὰ ταῦτα διαφέροιντ᾽ ἄν; ΕΥΘ. Πολλὴ
ἀνάγκη. ΣΩ. Καὶ τῶν θεῶν ἄρα, ὦ γενναῖε Εὐθύ-
φρον, ἄλλοι ἄλλα δίκαια ἡγοῦνται, κατὰ τὸν σὸν
λόγον· καὶ καλὰ καὶ αἰσχρά, καὶ ἀγαθὰ καὶ κακά.
οὐ γὰρ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τού-
των διεφέροντο. ἦ γάρ; ΕΥΘ. Ὀρθῶς λέγεις. ΣΩ.
Οὐκοῦν ἅπερ καλὰ ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ καὶ
δίκαια, ταῦτα καὶ φιλοῦσι; τὰ δὲ ἐναντία τούτων
καὶ μισοῦσιν; ΕΥΘ. Πάνυ γε. ΣΩ. Ταὐτὰ δέ γε,
ὡς σὺ φῄς, οἱ μὲν δίκαια ἡγοῦνται, οἱ δὲ ἄδικα·
περὶ ἃ καὶ ἀμφισβητοῦντες, στασιάζουσί τε καὶ πο-
λεμοῦσιν ἀλλήλοις. ἆρ᾽ οὐχ οὕτως; ΕΥΘ. Οὕτω.
ΣΩ. Ταὐτὰ ἄρα, ὡς ἔοικε, μισεῖται ὑπὸ τῶν θεῶν
καὶ φιλεῖται· καὶ θεομισῆ τε καὶ θεοφιλῆ ταὐτὰ ἂν
εἴη. ΕΥΘ. Ἔοικε. ΣΩ. Καὶ ὅσια ἄρα καὶ ἀνόσια
τὰ αὐτὰ ἂν εἴη, ὦ Εὐθύφρον, τούτῳ τῷ λόγῳ. ΕΥΘ.
Κινδυνεύει. IX. ΣΩ. Οὐκ ἄρα ὃ ἠρόμην ἀπεκρίνω, ὦ
θαυμάσιε. οὐ γὰρ τοῦτό γε ἠρώτων, ὃ τυγχάνει

ταυτὸν ὂν ὅσιόν τε καὶ ἀνόσιον· ὃ δ' ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐστιν, ὡς ἔοικεν. ὥστε, ὦ Εὐθύφρον, ὃ σὺ νῦν ποιεῖς, τὸν πατέρα κολάζων, οὐδὲν θαυμαστὸν, εἰ τοῦτο δρῶν τῷ μὲν Διῒ προσφιλὲς ποιεῖς, τῷ δὲ Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν· καὶ τῷ μὲν Ἡφαίστῳ φίλον, τῇ δὲ Ἥρᾳ ἐχθρόν· καὶ εἴ τις ἄλλος τῶν θεῶν ἕτερος ἑτέρῳ διαφέρεται περὶ αὐτοῦ, καὶ ἐκείνοις κατὰ ταὐτά. ΕΥΘ. Ἀλλ' οἶμαι, ὦ Σώκρατες, περί γε τούτου τῶν θεῶν οὐδένα ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀδίκως τινὰ ἀποκτείνῃ. ΣΩ. Τί δέ; ἀνθρώπων, ὦ Εὐθύφρον, ἤδη τινὸς ἤκουσας ἀμφισβητοῦντος ὡς τὸν ἀδίκως ἀποκτείναντα, ἢ ἄλλο ἀδίκως ποιοῦντα ὁτιοῦν, οὐ δεῖ διδόναι δίκην; ΕΥΘ. Οὐδὲν μὲν οὖν παύονται ταῦτα ἀμφισβητοῦντες καὶ ἄλλοθι καὶ ἐν τοῖς δικαστηρίοις. ἀδικοῦντες γὰρ πάμπολλα, πάντα ποιοῦσι καὶ λέγουσι, φεύγοντες τὴν δίκην. ΣΩ. Ἦ καὶ ὁμολογοῦσιν, ὦ Εὐθύφρον, ἀδικεῖν; καὶ ὁμολογοῦντες, ὅμως οὐ δεῖν φασὶ σφᾶς διδόναι δίκην; ΕΥΘ. Οὐδαμῶς τοῦτό γε. ΣΩ. Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσι. τοῦτο γάρ, οἶμαι, οὐ τολμῶσι λέγειν οὐδ' ἀμφισβητεῖν, ὡς οὐκ, εἴπερ ἀδικοῦσί γε, δοτέον δίκην· ἀλλ', οἶμαι, οὔ φασιν ἀδικεῖν. ἢ γάρ; ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκ ἄρα ἐκεῖνό γε ἀμφισβητοῦσιν, ὡς οὐ τὸν ἀδικοῦντα δεῖ διδόναι δίκην· ἀλλ' ἐκεῖνο ἴσως ἀμφισβητοῦσι, τὸ τίς ἐστιν ὁ ἀδικῶν, καὶ τί δρῶν, καὶ πότε. ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν ταὐτά γε ταῦτα καὶ οἱ θεοὶ πεπόνθα-

σιν, εἴπερ στασιάζουσί γε περὶ τῶν δικαίων καὶ ἀδίκων, ὡς ὁ σὸς ἐστι λόγος; καὶ οἱ μὲν φασιν ἀδικεῖν ἀλλήλους, οἱ δὲ οὔ φασιν; ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι δοτέον δίκην. ΕΥΘ. Ναὶ τοῦτό μὲν ἀληθὲς λέγεις, ὦ Σώκρατες, τό γε κεφάλαιον. ΣΩ. Ἀλλ' ἕκαστόν γε, οἶμαι, ὦ Εὐθύφρον, τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφισβητοῦντες, καὶ ἄνθρωποι καὶ θεοί· εἴπερ ἀμφισβητοῦσι θεοὶ πράξεως τινὸς πέρι διαφερόμενοι, καὶ οἱ μὲν δικαίως φασὶν αὐτὴν πεπρᾶχθαι, οἱ δὲ ἀδίκως· ἆρ' οὐχ οὕτω; ΕΥΘ. Πάνυ γε. X. ΣΩ. Ἴθι τοίνυν, ὦ φίλε Εὐθύφρον, δίδαξον καὶ ἐμέ, ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν, ὡς πάντες θεοὶ ἡγοῦνται ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ τοῦ δεσπότου τοῦ ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμά, πρὶν τὸν ξυνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτοῦ πυθέσθαι, τί χρὴ ποιεῖν· καὶ ὑπὲρ τοῦ τοιούτου δὴ ὀρθῶς ἔχει ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τὸν υἱὸν τῷ πατρί. ἴθι, περὶ τούτων πειρῶ τί μοι σαφὲς ἐνδείξασθαι, ὡς παντὸς μᾶλλον πάντες θεοὶ ἡγοῦνται ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν. κἄν μοι ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σε ἐπὶ σοφίᾳ οὐδέποτε παύσομαι. ΕΥΘ. Ἀλλ' ἴσως οὐκ ὀλίγον ἔργον ἐστίν, ὦ Σώκρατες· ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι. ΣΩ. Μανθάνω ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶναι. ἐπεὶ ἐκείνοις γε ἐν-

δείξῃ δηλονότι ὡς ἄδικα τέ ἐστι, καὶ οἱ θεοὶ πάντες τὰ τοιαῦτα μισοῦσιν. ΕΥΘ. Πάνυ γε σαφῶς, ὦ Σώκρατες, ἐάν περ ἀκούωσί γέ μου λέγοντος. XI. ΣΩ. Ἀλλ' ἀκούσονται, ἐάν περ εὖ δοκῇς λέγειν. τόδε δέ σου ἐννενόηκα ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτὸν σκοπῶ· εἰ ὅτι μάλιστά με Εὐθύφρων διδάξειεν ὡς οἱ θεοὶ ἅπαντες τὸν τοιοῦτον θάνατον ἡγοῦνται ἄδικον εἶναι, τί μᾶλλον ἐγὼ μεμάθηκα παρ' Εὐθύφρονος, τί ποτ' ἐστὶ τὸ ὅσιόν τε καὶ τὸ ἀνόσιον; θεομισὲς μὲν γὰρ τοῦτο τὸ ἔργον, ὡς ἔοικεν, εἴη ἄν. ἀλλὰ γὰρ οὐ τούτῳ ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. τὸ γὰρ θεομισὲς ὄν, καὶ θεοφιλὲς ἐφάνη. ὥστε τούτου μὲν ἀφίημί σε, ὦ Εὐθύφρον· καὶ, εἰ βούλει, πάντες αὐτὸ ἡγείσθωσαν θεοὶ ἄδικον, καὶ πάντες μισούντων. ἀλλ' ἆρα τοῦτο νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν· ὃ δ' ἂν φιλῶσιν, ὅσιον· ὃ δ' ἂν οἱ μὲν φιλῶσιν, οἱ δὲ μισῶσιν, οὐδέτερα, ἢ ἀμφότερα. ἆρ' οὕτω βούλει ἡμῖν ὡρίσθαι νῦν περὶ τοῦ ὁσίου καὶ τοῦ ἀνοσίου; ΕΥΘ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; ΣΩ. Οὐδὲν ἐμέ γε, ὦ Εὐθύφρον· ἀλλὰ σὺ δὴ τὸ σὸν σκόπει, εἰ τοῦτο ὑποθέμενος, οὕτω ῥᾷστά με διδάξεις ὃ ὑπέσχου. ΕΥΘ. Ἀλλ' ἔγωγε φαίην ἂν τοῦτο εἶναι τὸ ὅσιον, ὃ ἂν πάντες οἱ θεοὶ φιλῶσι· καὶ τὸ ἐναντίον, ὃ ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιον. ΣΩ. Οὐκοῦν ἐπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν, καὶ οὕτως ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν

μόνον φῇ τὶς τι ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ σκεπτέον τί λέγει ὁ λέγων; ΕΥΘ. Σκεπτέον. οἶμαι μέντοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι. XII. ΣΩ. Τάχ', ὦ 'γαθὲ, βέλτιον εἰσόμεθα. ἐννόησον γὰρ τὸ τοιόνδε· ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι, φιλεῖται ὑπὸ τῶν θεῶν· ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν; ΕΥΘ. Οὐκ οἶδ' ὅ, τι λέγεις, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι σαφέστερον φράσαι. λέγομέν τι φερόμενον καὶ φέρον, καὶ ἀγόμενον καὶ ἄγον, καὶ δρώμενον καὶ δρῶν· καὶ πάντα τὰ τοιαῦτα μανθάνεις ὅτι ἕτερα ἀλλήλων ἐστὶ, καὶ ᾗ ἕτερα; ΕΥΘ. Ἔγωγε μοὶ δοκῶ μανθάνειν. ΣΩ. Οὐκοῦν καὶ φιλούμενόν τι ἐστὶ, καὶ τούτου ἕτερον τὸ φιλοῦν; ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩ. Λέγε δή μοι, πότερον τὸ φερόμενον, διότι φέρεται, φερόμενόν ἐστιν, ἢ δι' ἄλλό τι; ΕΥΘ. Οὐκ, ἀλλὰ διὰ τοῦτο. ΣΩ. Καὶ τὸ ἀγόμενον δὴ, διότι ἄγεται· καὶ τὸ δρώμενον, διότι δρᾶται; ΕΥΘ. Πάνυ γε. ΣΩ. Οὐκ ἄρα διότι δρώμενόν γέ ἐστι, διὰ τοῦτο δρᾶται· ἀλλὰ τοὐναντίον, διότι δρᾶται, διὰ τοῦτο δρώμενον· οὐδὲ διότι ἀγόμενον ἐστὶ, διὰ τοῦτο ἄγεται· ἀλλὰ διότι ἄγεται, διὰ τοῦτο ἀγόμενον· οὐδὲ διότι φερόμενον, φέρεται· ἀλλὰ διότι φέρεται, φερόμενον. ἆρα κατάδηλον, ὦ Εὐθύφρον, ὃ βούλομαι λέγειν; βούλομαι δὲ τόδε, ὅτι, εἴ τι γίγνεται, ἢ εἴ τι πάσχει τι, οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται, ἀλλ' ὅτι γίγνεται, γιγνόμενόν ἐστιν· οὐδὲ ὅτι πάσχον ἐστὶ, πάσχει, ἀλλ' ὅτι πάσχει, πάσχον ἐστίν. ἢ οὐ ξυγχωρεῖς οὕτως; ΕΥΘ. Ἔγωγε. ΣΩ. Οὐκοῦν

καὶ τὸ φιλούμενον, ἢ γιγνόμενόν τι ἐστὶν, ἢ πάσχον τι ὑπό του; ΕΥΘ. Πάνυ γε. ΣΩ. Καὶ τοῦτο ἄρα οὕτως ἔχει ὥσπερ τὰ πρότερα· οὐχ ὅτι φιλούμενόν ἐστι, φιλεῖται ὑπὸ ὧν φιλεῖται· ἀλλ' ὅτι φιλεῖται, φιλούμενον; ΕΥΘ. Ἀνάγκη. ΣΩ. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου, ὦ Εὐθύφρον; ἀλλ' ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν πάντων, ὡς ὁ σὸς λόγος; ΕΥΘ. Ναί. ΣΩ. Ἆρα διὰ τοῦτο ὅτι ὅσιόν ἐστιν, ἢ δι' ἄλλο τι; ΕΥΘ. Οὔκ· ἀλλὰ διὰ τοῦτο. ΣΩ. Διότι ἄρα ὅσιόν ἐστι, φιλεῖται· ἀλλ' οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν; ΕΥΘ. Ἔοικεν. ΣΩ. Ἀλλὰ μὲν δὴ, διότι φιλεῖται ὑπὸ τῶν θεῶν, φιλούμενόν ἐστι καὶ θεοφιλές. ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκ ἄρα τὸ θεοφιλὲς ὅσιόν ἐστιν, ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅσιον θεοφιλές, ὡς σὺ λέγεις, ἀλλ' ἕτερον τοῦτο τούτου. ΕΥΘ. Πῶς δὴ σύ, ὦ Σώκρατες; ΣΩ. Ὅτι ὁμολογοῦμεν τὸ μὲν ὅσιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅσιόν ἐστιν, ἀλλ' οὐ, διότι φιλεῖται, ὅσιον εἶναι. ἦ γάρ; ΕΥΘ. Ναί. ΣΩ. Τὸ δέ γε θεοφιλὲς ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν, αὐτῷ τούτῳ τῷ φιλεῖσθαι, θεοφιλὲς εἶναι, ἀλλ' οὐχ ὅτι θεοφιλὲς, διὰ τοῦτο φιλεῖσθαι. ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλ' εἴγε ταυτὸν, ὦ φίλε, ἦν, Εὐθύφρον, τὸ θεοφιλὲς καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι ἐφιλεῖτο τὸ ὅσιον· καὶ διὰ τὸ θεοφιλὲς εἶναι ἐφιλεῖτο ἂν τὸ θεοφιλές· εἰ δὲ διὰ τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλές, θεοφιλὲς ἦν, καὶ τὸ ὅσιον ἂν διὰ τὸ φιλεῖσθαι ὅσιον ἦν. νῦν δὲ ὁρᾷς ὅτι ἐναντίως ἔχετον, ὡς παντάπασιν ἑτέρω ὄντε

ἀλλήλων. τὸ μὲν γὰρ, ὅτι φιλεῖται, ἐστὶν οἷον φιλεῖσθαι· τὸ δ᾽ ὅτι ἐστὶν οἷον φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται. καὶ κινδυνεύεις, ὦ Εὐθύφρον, ἐρωτώμενος τὸ ὅσιον, ὅ, τι ποτέ ἐστι, τὴν μὲν οὐσίαν μοι αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι περὶ αὐτοῦ λέγειν, ὅ, τι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ πάντων τῶν θεῶν· ὅ, τι δὲ ὄν, οὔπω εἶπες. εἰ οὖν σοι φίλον, μή με ἀποκρύψῃ, ἀλλὰ πάλιν εἰπὲ ἐξ ἀρχῆς, τί ποτε ὂν τὸ ὅσιον, εἴτε φιλεῖται ὑπὸ τῶν θεῶν, εἴτε ὁτιδὴ πάσχει. οὐ γὰρ περὶ τούτου διοισόμεθα· ἀλλ᾽ εἰπὲ προθύμως, τί ἐστι τό, τε ὅσιον καὶ τὸ ἀνόσιον. ΕΥΘ. Ἀλλ᾽, ὦ Σώκρατες, οὐκ ἔχω ἔγωγε ὅπως σοι εἴπω ὃ νοῶ. περιέρχεται γάρ πως ἀεὶ ἡμῖν ὃ ἂν ὑποθώμεθα, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἂν ἱδρυσώμεθα αὐτό. ΣΩ. Τοῦ ἡμετέρου προγόνου, ὦ Εὐθύφρον, ἔοικεν εἶναι, Δαιδάλου, τὰ ὑπὸ σοῦ λεγόμενα. καὶ εἰ μὲν αὐτὰ ἐγὼ ἔλεγον καὶ ἐτιθέμην, ἴσως ἄν με ἐπέσκωπτες ὡς ἄρα καὶ ἐμοὶ κατὰ τὴν ἐκείνου συγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργα ἀποδιδράσκει, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ θῇ· νῦν δὲ (σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν) ἄλλου δή τινος δεῖ σκώμματος. οὐ γὰρ ἐθέλουσί σοι μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ. ΕΥΘ. Ἐμοὶ δὲ δοκεῖ σχεδόν τι τοῦ αὐτοῦ σκώμματος, ὦ Σώκρατες, δεῖσθαι τὰ λεγόμενα. τὸ γὰρ περιϊέναι αὐτοῖς τοῦτο, καὶ μὴ μένειν ἐν τῷ αὐτῷ, οὐκ ἔγωγέ εἰμι ὁ ἐντιθείς· ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος· ἐπεὶ ἐμοῦ γε ἕνεκα ἔμενεν ἂν ταῦτα οὕτω. ΣΩ. Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινό-

τερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὑτοῦ μόνον ἐποίει οὐ μένοντα· ἐγὼ δέ, πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια. καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. ἐβουλόμην γὰρ ἄν μοι τοὺς λόγους μένειν, καὶ ἀκινήτους ἱδρύσθαι, μᾶλλον ἢ πρὸς τῇ Δαιδάλου σοφίᾳ τὰ Ταντάλου χρήματα γενέσθαι. καὶ τούτων μὲν ἅδην. XIII. Ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾷν, αὐτός σοι ξυμπροθυμήσομαι δεῖξαι ὅπως ἄν με διδάξῃς περὶ τοῦ ὁσίου, καὶ μὴ προαποκάμῃς. ἰδὲ γὰρ εἰ οὐκ ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν τὸ ὅσιον. ΕΥΘ. Ἔμοιγε. ΣΩ. Ἆρ' οὖν καὶ πᾶν τὸ δίκαιον, ὅσιον; ἢ τὸ μὲν ὅσιον πᾶν, δίκαιον· τὸ δὲ δίκαιον οὐ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν αὐτοῦ ὅσιον, τὸ δέ τι καὶ ἄλλο; ΕΥΘ. Οὐχ ἕπομαι, ὦ Σώκρατες, τοῖς λεγομένοις. ΣΩ. Καὶ μὴν νεώτερός γ' ἐμοῦ εἶ, οὐκ ἔλαττον ἢ ὅσῳ σοφώτερος· ἀλλ', ὃ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. ἀλλ', ὦ μακάριε, ξύντεινε σαυτόν. καὶ γὰρ οὐδὲ χαλεπὸν κατανοῆσαι ὃ λέγω. λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν, ὁ ποιήσας,

Ζῆνα δὲ τὸν θ' ἕρξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. εἴπω σοι ὅπῃ; ΕΥΘ. Πάνυ γε. ΣΩ. Οὐ δοκεῖ μοι εἶναι, ἵνα δέος, ἔνθα καὶ αἰδώς. πολλοὶ γάρ μοι δοκοῦσι, καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες, δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ

διδίασιν. οὗ καὶ σοὶ δοκεῖ; ΕΥΘ. Πάνυ γε. ΣΩ. Ἀλλ᾽ ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι. ἐπεὶ ἔστιν ὅςτις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; ΕΥΘ. Δέδοικε μὲν οὖν. ΣΩ. Οὐκ ἄρ᾽ ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ᾽, ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος. οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. μόριον γὰρ δέους αἰδώς, ὥςπερ ἀριθμοῦ περιττόν. ὥςτε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν· ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός. ἕπῃ γάρ που νῦν γε; ΕΥΘ. Πάνυ γε. ΣΩ. Τὸ τοιοῦτον τοίνυν καὶ ἐκεῖ λέγων ἠρώτων, ἆρα ἵνα δίκαιον, ἔνθα καὶ ὅσιον· ἢ ἵνα μὲν ὅσιον, ἔνθα καὶ δίκαιον· ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον. μόριον γὰρ τοῦ δικαίου τὸ ὅσιον. οὕτω φῶμεν, ἢ ἄλλως σοι δοκεῖ; ΕΥΘ. Οὔκ· ἀλλ᾽ οὕτω. φαίνῃ γάρ μοι ὀρθῶς λέγειν. XIV. ΣΩ. Ὅρα δὴ τὸ μετὰ τοῦτο. εἰ γὰρ μέρος τὸ ὅσιον τοῦ δικαίου, δεῖ δὴ ἡμᾶς, ὡς ἔοικεν, ἐξευρεῖν, τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. εἰ μὲν οὖν σύ με ἠρώτας τι τῶν νῦν δή, οἷον, ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον, καὶ τίς ὢν τυγχάνει οὗτος ὁ ἀριθμός· εἶπον ἂν ὅτι ὃς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ᾽ ἰσοσκελής· ἢ οὐ δοκεῖ σοι; ΕΥΘ. Ἔμοιγε. ΣΩ. Πειρῶ δὴ καὶ σὺ ἐμὲ οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ὅσιόν ἐστιν· ἵνα καὶ Μελίτῳ λέγωμεν μηκέθ᾽ ἡμᾶς ἀδικεῖν, μηδ᾽ ἀσεβείας γράφεσθαι, ὡς ἱκανῶς ἤδη παρὰ σοῦ με-

μαθηκότας τά τε εὐσεβῆ καὶ ὅσια, καὶ τὰ μή. ΕΥΘ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, τὸ μέρος τοῦ δικαίου εἶναι εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν· τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων, τὸ λοιπὸν εἶναι τοῦ δικαίου μέρος. XV. ΣΩ. Καὶ καλῶς γέ μοι, ὦ Εὐθύφρον, φαίνῃ λέγειν· ἀλλὰ σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. τὴν γὰρ θεραπείαν οὔπω ξυνίημι ἥντινα ὀνομάζεις. οὐ γάρ που λέγεις γε, οἷαί περ καὶ αἱ περὶ τὰ ἄλλα θεραπεῖαί εἰσι, τοιαύτην καὶ περὶ θεούς. λέγομεν γάρ που, οἷον φαμέν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱππικός· ἢ γάρ; ΕΥΘ. Πάνυ γε. ΣΩ. Ἡ γάρ που ἱππικὴ ἵππων θεραπεία. ΕΥΘ. Ναί. ΣΩ. Οὐδέ γε κύνας πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός. ΕΥΘ. Οὕτως. ΣΩ. Ἡ γάρ που κυνηγετική, κυνῶν θεραπεία. ΕΥΘ. Ναί. ΣΩ. Ἡ δέ γε βοηλατική, βοῶν. ΕΥΘ. Πάνυ γε. ΣΩ. Ἡ δὲ δὴ ὁσιότης τε καὶ εὐσέβεια, θεῶν, ὦ Εὐθύφρον. οὕτω λέγεις; ΕΥΘ. Ἔγωγε. ΣΩ. Οὐκοῦν θεραπεία γε πᾶσα ταὐτὸν διαπράττεται, οἷον τοιόνδε· ἐπ' ἀγαθῷ τινί ἐστι καὶ ὠφελείᾳ τοῦ θεραπευομένου; ὥσπερ ὁρᾷς δὴ ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίγνονται. ἢ οὐ δοκοῦσί σοι; ΕΥΘ. Ἔμοιγε. ΣΩ. Καὶ οἱ κύνες γέ που, ὑπὸ τῆς κυνηγετικῆς, καὶ οἱ βόες ὑπὸ τῆς βοηλατικῆς, καὶ τἆλλα πάντα ὡσαύτως. ἢ ἐπὶ βλάβῃ οἴει τοῦ θεραπευομένου τὴν θεραπείαν εἶναι; ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ.

Ἀλλ' ἐπ' ὠφελείᾳ; ΕΥΘ. Πῶς δ' οὔ; ΣΩ. Ἦ οὖν καὶ ἡ ὁσιότης θεραπεία οὖσα θεῶν, ὠφέλειά τέ ἐστι θεῶν, καὶ βελτίους τοὺς θεοὺς ποιεῖ; καὶ σὺ τοῦτο ξυγχωρήσαις ἄν, ὡς, ἐπειδάν τι ὅσιον ποιῇς, βελτίω τινὰ τῶν θεῶν ἀπεργάζῃ; ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. Οὐδὲ γὰρ ἐγώ, ὦ Εὐθύφρον, οἶμαί σε τοῦτο λέγειν· πολλοῦ καὶ δέω. ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, τίνα ποτὲ λέγεις τὴν θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν. ΕΥΘ. Καὶ ὀρθῶς γε, ὦ Σώκρατες. οὐ γὰρ τοιαύτην λέγω. ΣΩ. Εἶεν. ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης; ΕΥΘ. Ἥνπερ, ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσι. ΣΩ. Μανθάνω· ὑπηρετική τις ἄν, ὡς ἔοικεν, εἴη θεοῖς. ΕΥΘ. Πάνυ μὲν οὖν. XV. ΣΩ. Ἔχοις ἂν οὖν εἰπεῖν, ἡ ἰατροῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσα ὑπηρετική; οὐκ εἰς ὑγιείας, οἴει; ΕΥΘ. Ἔγωγε. ΣΩ. Τί δέ; ἡ ναυπηγοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετική ἐστι; ΕΥΘ. Δηλονότι, ὦ Σώκρατες, εἰς πλοίου. ΣΩ. Καὶ ἡ οἰκοδόμοις γέ που εἰς οἰκίας; ΕΥΘ. Ναί. ΣΩ. Εἰπὲ δή, ὦ ἄριστε· ἡ δὲ θεοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδήπερ τά γε θεῖα κάλλιστα φῂς εἰδέναι ἀνθρώπων. ΕΥΘ. Καὶ ἀληθῆ γε λέγω, ὦ Σώκρατες. ΣΩ. Εἰπὲ δὴ πρὸς Διός, τί ποτ' ἐστὶν ἐκεῖνο τὸ πάγκαλον ἔργον ὃ οἱ θεοὶ ἀπεργάζονται, ἡμῖν ὑπηρέταις χρώμενοι; ΕΥΘ. Πολλὰ

καὶ καλά, ὦ Σώκρατες. ΣΩ. Καὶ γὰρ οἱ στρατη-
γοί, ὦ φίλε· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ῥᾳδίως
ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέμῳ ἀπεργάζονται·
ἢ οὔ; ΕΥΘ. Πῶς δ' οὔ; ΣΩ. Πολλὰ δέ γ'[1] οἶμαι
καὶ καλὰ καὶ οἱ γεωργοί· ἀλλ' ὅμως τὸ κεφάλαιον
αὐτῶν ἐστι τῆς ἀπεργασίας, ἡ ἐκ τῆς γῆς τροφή.
ΕΥΘ. Πάνυ γε. ΣΩ. Τί δὲ δή; τῶν πολλῶν καὶ
καλῶν ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν
ἐστι τῆς ἀπεργασίας; ΕΥΘ. Καὶ ὀλίγον σοι πρό-
τερον εἶπον, ὦ Σώκρατες, ὅτι πλείονος ἔργου ἐστὶν
ἀκριβῶς ταῦτα πάντα ὡς ἔχει μαθεῖν· τόδε μέντοι
σοι ἁπλῶς λέγω, ὅτι ἐὰν μὲν κεχαρισμένα τις ἐπί-
στηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν, εὐχόμε-
νός τε καὶ θύων, ταῦτ' ἔστι τὰ ὅσια, καὶ σώζει
τὰ τοιαῦτα τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν
πόλεων· τὰ δ' ἐναντία τῶν κεχαρισμένων, ἀσεβῆ,
ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσιν. XVII.
ΣΩ. Ἦ πολύ μοι διὰ βραχυτέρων, ὦ Εὐθύφρον,
εἰ ἐβούλου, εἶπες ἂν τὸ κεφάλαιον ὧν ἠρώτων. ἀλλὰ
γὰρ ὡς οὐ πρόθυμός με εἶ διδάξαι, δῆλος εἶ. καὶ
γὰρ νῦν ἐπειδὴ ἐπ' αὐτῷ ἦσθα, ἀπετράπου· ὃ εἰ
ἀπεκρίνω, ἴσως ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμε-
μαθήκειν. νῦν δή, (ἀνάγκη γὰρ τὸν ἐρωτῶντα τῷ
ἐρωτωμένῳ ἀκολουθεῖν, ὅπῃ ἂν ἐκεῖνος ὑπάγῃ) τί
δὴ αὖ λέγεις τὸ ὅσιον εἶναι καὶ τὴν ὁσιότητα; οὐχὶ
ἐπιστήμην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι; ΕΥΘ.
Ἔγωγε. ΣΩ. Οὐκοῦν τὸ θύειν, δωρεῖσθαί ἐστι
τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι, αἰτεῖν τοὺς θεούς;

ΕΥΘ. Καὶ μάλα, ὦ Σώκρατες. ΣΩ. Ἐπιστήμη ἄρα αἰτήσεως καὶ δόσεως θεοῖς ἡ ὁσιότης ἂν εἴη, ἐκ τούτου τοῦ λόγου. ΕΥΘ. Πάνυ καλῶς, ὦ Σώκρατες, ξυνῆκας, ὃ εἶπον. ΣΩ. Ἐπιθυμητὴς γάρ εἰμι, ὦ φίλε, τῆς σῆς σοφίας, καὶ προσέχω τὸν νοῦν αὐτῇ· ὥςτε οὐ χαμαί ποτε πεσεῖται ὅ, τι ἂν εἴπῃς. ἀλλά μοι λέξον, τίς αὕτη ἡ ὑπηρεσία ἐστὶ τοῖς θεοῖς; αἰτεῖν τε φῂς αὐτοὺς καὶ διδόναι ἐκείνοις; ΕΥΘ. Ἔγωγε. XVIII. ΣΩ. Ἆρ' οὖν οὐ τό γε ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεόμεθα παρ' ἐκείνων, ταῦτα αὐτοὺς αἰτεῖν; ΕΥΘ. Ἀλλὰ τί; ΣΩ. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι τυγχάνουσι δεόμενοι παρ' ἡμῶν, ταῦτα ἐκείνοις αὖ ἀντιδωρεῖσθαι; οὐ γάρ που τεχνικόν γ' ἂν εἴη, δωροφορεῖν διδόντα τῳ ταῦτα ὧν οὐδὲν δεῖται. ΕΥΘ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες. ΣΩ. Ἐμπορικὴ ἄρα τις ἂν εἴη, ὦ Εὐθύφρον, τέχνη ἡ ὁσιότης θεοῖς καὶ ἀνθρώποις παρ' ἀλλήλων. ΕΥΘ. Ἐμπορική, εἰ οὕτως ἥδιόν σοι ὀνομάζειν. ΣΩ. Ἀλλ' οὐδὲν ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν. φράσον δή μοι, τίς ἡ ὠφέλεια τοῖς θεοῖς τυγχάνει οὖσα ἀπὸ τῶν δώρων ὧν παρ' ἡμῶν λαμβάνουσιν. ἃ μὲν γὰρ διδόασι, παντὶ δῆλον· οὐδὲν γάρ ἐστιν ἡμῖν ἀγαθὸν ὅ, τι ἂν μὴ ἐκεῖνοι δῶσιν· ἃ δὲ παρ' ἡμῶν λαμβάνουσι, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν, ὥςτε πάντα τὰ ἀγαθὰ παρ' αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν; ΕΥΘ. Ἀλλ' οἴει, ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων, ἃ

παρ' ἡμῶν λαμβάνουσιν; ΣΩ. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ Εὐθύφρον, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; ΕΥΘ. Τί δ' οἴει ἄλλο, ἢ τιμή τε καὶ γέρας, καὶ, ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χάρις; ΣΩ. Κεχαρισμένον ἄρα ἐστὶν, ὦ Εὐθύφρον, τὸ ὅσιον, ἀλλ' οὐχὶ ὠφέλιμον, οὐδὲ φίλον τοῖς θεοῖς; ΕΥΘ. Οἶμαι ἔγωγε πάντων γε μάλιστα φίλον. ΣΩ. Τοῦτο ἄρ' ἐστὶν αὖ, ὡς ἔοικε, τὸ ὅσιον τὸ τοῖς θεοῖς φίλον. ΕΥΘ. Μάλιστά γε. XIX. ΣΩ. Θαυμάσῃ οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαίνωνται μὴ μένοντες, ἀλλὰ βαδίζοντες, καὶ ἐμὲ αἰτιάσῃ τὸν Δαίδαλον βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολύ γε τεχνικώτερος τοῦ Δαιδάλου, καὶ κύκλῳ περιϊόντας ποιῶν; ἢ οὐκ αἰσθάνῃ ὅτι ὁ λόγος ἡμῖν περιελθὼν, πάλιν εἰς ταὐτὸν ἥκει; μέμνησαι γάρ που ὅτι ἐν τῷ πρόσθεν τό, τε ὅσιον καὶ τὸ θεοφιλὲς οὐ ταὐτὸν ἡμῖν ἐφάνη, ἀλλ' ἕτερα ἀλλήλων· ἢ οὐδὲ μέμνησαι; ΕΥΘ. Ἔγωγε. ΣΩ. Νῦν οὖν οὐκ ἐννοεῖς ὅτι τὸ τοῖς θεοῖς φίλον, φῂς ὅσιον εἶναι; τοῦτο δ' ἄλλο τι ἢ θεοφιλὲς γίγνεται; ἢ οὔ; ΕΥΘ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἢ ἄρτι οὐ καλῶς ὡμολογοῦμεν, ἢ εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμεθα. ΕΥΘ. Ἔοικεν. ΣΩ. Ἐξ ἀρχῆς ἄρα ἡμῖν πάλιν σκεπτέον τί ἐστι τὸ ὅσιον. ὡς ἐγὼ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω. ἀλλὰ μή με ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσέχων τὸν νοῦν, ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. οἶσθα γάρ, εἴπερ τις ἄλλος ἀνθρώπων· καὶ οὐκ ἀφετέος ἀφετέος εἶ, ὥσπερ ὁ Πρωτεύς, πρὶν ἂν εἴπῃς.

εἰ γὰρ μὴ ᾔδησθα σαφῶς τό, τε ὅσιον καὶ τὸ ἀνόσιον, οὐκ ἔστιν ὅπως ἄν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θητὸς ἄνδρα πρεσβύτην πατέρα διωκάθειν φόνου· ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν, μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσειας, καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. νῦν δὲ εὖ οἶδα ὅτι σαφῶς οἴει εἰδέναι τό, τε ὅσιον καὶ μή. εἰπὲ οὖν, ὦ βέλτιστε Εὐθύφρον, καὶ μὴ ἀποκρύψῃ ὅ, τι αὐτὸ ἡγῇ. ΕΥΘ. Εἰςαῦθις τοίνυν, ὦ Σώκρατες· νῦν γάρ σπεύδω ποι, καί μοι ὥρα ἀπιέναι. ΣΩ. Οἷα ποιεῖς, ὦ ἑταῖρε; ἀπ᾽ ἐλπίδος με καταβαλὼν μεγάλης ἀπέρχῃ, ἣν εἶχον ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ μή, καὶ τῆς πρὸς Μέλιτον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ᾽ Εὐθύφρονος τὰ θεῖα γέγονα, καὶ ὅτι οὐκέτι ὑπ᾽ ἀγνοίας αὐτοσχεδιάζω, οὐδὲ καινοτομῶ περὶ αὐτά, καὶ δὴ καὶ τὸν ἄλλον βίον ὅτι ἄμεινον βιωσοίμην.

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ.

Ὅ,τι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἔγωγ' οὖν καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον. καίτοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασι. μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον ὡς χρῆν εὐλαβεῖσθαι μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. τὸ γὰρ μὴ αἰσχυνθῆναι ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα δεινὸν καλοῦσιν αὐτοὶ λέγειν, τὸν τἀληθῆ λέγοντα. εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε οὐ κατὰ τούτους εἶναι ῥήτωρ. οὗτοι μὲν οὖν, ὥσπερ ἐγὼ λέγω, οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους,

ὥςπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ᾽ ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προςδοκησάτω ἄλλως. οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥςπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰςιέναι. καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι· ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ μου ἀπολογουμένου, δι᾽ ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ καὶ ἐπὶ τῶν τραπεζῶν, ἵνα ὑμῶν οἱ πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, μήτε θαυμάζειν, μήτε θορυβεῖν τούτου ἕνεκα. ἔχει γὰρ οὑτωσί· νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέξεως. ὥςπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον ἐν οἷςπερ ἐτεθράμμην· καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν δέομαι (δίκαιον, ὥς γέ μοι δοκῶ), τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν· (ἴσως μὲν γάρ τι χείρων, ἴσως δὲ βελτίων ἂν εἴη·) αὐτὸ δὲ τοῦτο σκοπεῖν, καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω, ἢ μή. δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή· ῥήτορος δέ, τἀληθῆ λέγειν.

II. Πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου ψευδῆ κατηγορημένα, καὶ πρὸς τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερον καὶ τοὺς ὑστέρους. ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γεγόνασι πρὸς ὑμᾶς, καὶ πά-

λαι πολλὰ ἤδη ἔτη, καὶ οὐδὲν ἀληθὲς λέγοντες· οὓς ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ἄνυτον, καίπερ ὄντας καὶ τούτους δεινούς. ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἳ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες, ἔπειθόν τε καὶ κατηγόρουν ἐμοῦ οὐδὲν ἀληθές· ὡς ἔστι τις Σωκράτης, ἀνὴρ σοφός, τά τε μετέωρα φροντιστὴς καὶ τὰ ὑπὸ γῆς πάντα ἀνεζητηκώς, καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν. οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην τὴν φήμην κατασκεδάσαντες, οἱ δεινοί εἰσί μου κατήγοροι. οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν. ἔπειτα εἰσὶν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν ἤδη χρόνον κατηγορηκότες· ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, παῖδες ὄντες ἔνιοι ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγοροῦντες, ἀπολογουμένου οὐδενός. ὃ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ ὀνόματα οἷόν τε αὐτῶν εἰδέναι καὶ εἰπεῖν· πλὴν εἴ τις κωμῳδιοποιὸς τυγχάνει ὤν. ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενοι ὑμᾶς ἀνέπειθον, οἱ δέ, καὶ αὐτοὶ πεπεισμένοι, ἄλλους πείθοντες, οὗτοι πάντες ἀπορώτατοί εἰσιν. οὐδὲ γὰρ ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδὲ ἐλέγξαι οὐδένα, ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥςπερ σκιαμαχεῖν ἀπολογούμενόν τε καὶ ἐλέγχειν, μηδενὸς ἀποκρινομένου. ἀξιώσατε οὖν καὶ ὑμεῖς, ὥςπερ ἐγὼ λέγω, διττούς μου τοὺς κατηγόρους γεγονέναι, ἑτέρους μὲν, τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δὲ, τοὺς πάλαι, οὓς ἐγὼ

λέγω· καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους πρῶτόν με
ἀπολογήσασθαι. καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον
ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶνδε
τῶν ὕστερον. Εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες
Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν
διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔχετε, ταύτην
ἐν οὑτωσὶ ὀλίγῳ χρόνῳ. βουλοίμην μὲν οὖν ἂν
τοῦτο οὕτω γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ
ἐμοί, καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον. οἶ-
μαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθά-
νει οἷόν ἐστιν. ὅμως δὲ τοῦτο μὲν ἴτω, ὅπῃ τῷ θεῷ
φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ ἀπολογητέον. III.
Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν, ἐξ ἧς
ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλιτός με
ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες
διέβαλλον οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων
τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι αὐτῶν· ΣΩΚΡΑΤΗΣ
ΑΔΙΚΕΙ ΚΑΙ ΠΕΡΙΕΡΓΑΖΕΤΑΙ ΖΗΤΩΝ ΤΑ
ΤΕ ΥΠΟ ΓΗΣ ΚΑΙ ΤΑ ΕΠΟΥΡΑΝΙΑ, ΚΑΙ
ΤΟΝ ΗΤΤΩ ΛΟΓΟΝ ΚΡΕΙΤΤΩ ΠΟΙΩΝ, ΚΑΙ
ΑΛΛΟΥΣ ΤΑΥΤΑ ΔΙΔΑΣΚΩΝ. τοιαύτη τίς ἐστι.
τοιαῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους
κωμῳδίᾳ, Σωκράτην τινὰ ἐκεῖ περιφερόμενον, φά-
σκοντά τε ἀεροβατεῖν, καὶ ἄλλην πολλὴν φλυαρίαν
φλυαροῦντα· ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν
πέρι ἐπαΐω. καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύ-
την ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός
ἐστι, μήπως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φεύ-

κοινῇ. ἀλλὰ γάρ μοι τῶν τοιούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι· μάρτυρας δ' αὖ ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου. πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσι. φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε ἢ σμικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν. IV. ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ' εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους, ὥσπερ Γοργίας ὁ Λεοντῖνος, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν ἰὼν εἰς ἑκάστην τῶν πόλεων, τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσι τὰς ἐκείνων ξυνουσίας ἀπολιπόντας σφίσι ξυνεῖναι χρήματα διδόντας, καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφός, ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα. ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ ὃς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου. τοῦτον οὖν ἀνηρόμην (ἐστὸν γὰρ αὐτῷ δύο υἱέε)· ὦ Καλλία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν, καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλὼ

κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι, διὰ τὴν τῶν υἱέων κτῆσιν. ἔστι τις, ἔφην ἐγώ, ἢ οὔ; Πάνυ γε, ἦ δ' ὅς. Τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός; καὶ πόσου διδάσκει; Εὔηνος, ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε μνῶν. καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχοι ταύτην τὴν τέχνην, καὶ οὕτως ἐμμελῶς διδάσκοι. ἔγωγ' οὖν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι. V. ὑπολάβοι ἂν οὖν τις ἴσως· ἀλλ', ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δήπου σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου, ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί. λέγε οὖν ἡμῖν, τί ἐστιν, ἵνα μὴ καὶ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. Ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων· κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί ποτ' ἐστὶ τοῦτο ὃ ἐμοὶ πεποίηκε τό, τε ὄνομα καὶ τὴν διαβολήν. ἀκούετε δή· καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν· εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία. τῷ ὄντι γὰρ κιν-

δυναίμην ταύτην εἶναι σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω, ὅ, τι λέγω. οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι· ἀλλ' ὅ,τις φησί, ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. Καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε μηδέν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν. οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τις ἐστὶ σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε δήπου· οὗτος ἐμός ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην, καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν ὁ Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ, τι ὁρμήσειε. καὶ δήποτε καὶ εἰς Δελφοὺς ἐλθὼν, ἐτόλμησε τοῦτο μαντεύσασθαι· καὶ ὅπερ λέγω μὴ θορυβῆτε, ὦ ἄνδρες· ἤρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε. VI. Σκέψασθε δὴ ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονεν. ταῦτα γὰρ ἐγὼ ἀκούσας, ἐνεθυμούμην οὑτωσί· Τί ποτε λέγει ὁ θεός; καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν. τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ πολὺν μὲν χρόνον ἠπόρουν τί ποτε λέγει· ἔπειτα μόλις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην.

ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον, καὶ ἀποφανῶν τῷ χρησμῷ, ὅτι οὗτος γέ μου σοφώτερος· σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον, (ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν· ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιουτονί τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι·) καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις, καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ. κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφὸς, εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην, καὶ πολλοῖς τῶν παρόντων. πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι. κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν οὐδ' ἀγαθὸν εἰδέναι· ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι, οὐκ εἰδώς· ἐγὼ δὲ, ὥςπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι. ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ἤια τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι· καί μοι ταὐτὰ ταῦτα ἔδοξε. καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην. VII. μετὰ ταῦτα οὖν ἤδη ἐφεξῆς ἤια, αἰσθανόμενος μὲν καὶ λυπούμενος, καὶ δεδιὼς ὅτι ἀπηχθανόμην· ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι, τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι, καὶ ἰέναι, σκοποῦντι τὸν χρησμὸν τί λέγει, ἐπὶ ἅπαντας τοὺς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν Κύνα, ὦ ἄνδρες Ἀθηναῖοι, (δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν) ἦ μὴν

οἱ μὲν μάλιστα εὐδοκι-
δεῖν τοῦ πλείστου ἐνδεεῖς
θεόν· ἄλλοι δὲ, δοκοῦντες
εἶναι ἄνδρες πρὸς τὸ φρο-
ὴν ἐμὴν πλάνην ἐπιδεῖξαι,
ντος, ἵνα μοι καὶ ἀνέλεγ-
μετὰ γὰρ τοὺς πολιτικοὺς
οὺς τε τῶν τραγῳδιῶν καὶ
ὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα
ενὸς ἐμαυτὸν ἀμαθέστερον
ων οὖν αὐτῶν τὰ ποιήμα-
πεπραγματεῦσθαι αὐτοῖς,
διεν, ἵν' ἅμα τι καὶ μαν-
σχύνομαι οὖν ὑμῖν εἰπεῖν,
δὲ ῥητέον. ὡς ἔπος γὰρ
τες οἱ παρόντες ἂν βέλτιον
ποιήκεσαν. ἔγνων οὖν αὖ
λίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ
ει τινὶ, καὶ ἐνθουσιάζοντες,
χρησμῳδοί. καὶ γὰρ οὗτοι
ά, ἴσασι δὲ οὐδὲν ὧν λέ-
νησαν πάθος καὶ οἱ ποιη-
ι ᾐσθόμην αὐτῶν διὰ τὴν
σοφωτάτων εἶναι ἀνθρώ-
ὖν καὶ ἐντεῦθεν, τῷ αὐτῷ
ρ καὶ τῶν πολιτικῶν. VIII.
ροτέχνας ᾔα. ἐμαυτῷ γὰρ
, ὡς ἔπος εἰπεῖν· τούτους

δέ γ' ᾔδειν ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην, καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταὶ καὶ οἱ ἀγαθοὶ δημιουργοί. διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι, ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι· καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν. ὥστε με καὶ αὐτὸν ἀνερωτᾷν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν, μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελεῖ, ὥσπερ ἔχω ἔχειν. IX. Ἐκ ταύτης ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι, καὶ οἷαι χαλεπώταται καὶ βαρύταται· ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι· ὄνομα δὲ τοῦτο λέγεσθαι σοφὸς εἶναι. οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες, ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός. καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτην, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, ὥσπερ ἂν εἴποι· ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις, ὥσπερ Σωκράτης, ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν

περιιὼν ἐπιζητῶ καὶ ἐρευνῶ, κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας, οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων· ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν. X. Πρὸς δὲ τούτοις, οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι, χαίρουσιν ἀκούοντες ἐξελεγχομένων τῶν ἀνθρώπων· καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν. κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι τῶν ἀνθρώπων, εἰδότων δὲ ἢ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, οὐκ αὐτοῖς· καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος, καὶ διαφθείρει τοὺς νέους. καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ ὅ, τι ποιῶν, καὶ ὅ, τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν· ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς ζητεῖ, καὶ θεοὺς μὴ νομίζει, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖ. τὰ γὰρ ἀληθῆ, οἴομαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντεταγμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα, καὶ πάλαι καὶ νῦν σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ

Μέλιτός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων· Μέλιτος μὲν, ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος· Ἄνυτος δὲ, ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν· Λύκων δὲ, ὑπὲρ τῶν ῥητόρων. ὥστε, ὅπερ ἐγὼ ἀρχόμενος ἔλεγον, θαυμάζοιμ᾽ ἂν, εἰ οἷός τ᾽ εἴην ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ, οὕτω πολλὴν γεγονυῖαν. Ταῦτά ἐστιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τἀληθῆ· καὶ ὑμᾶς οὔτε μέγα οὔτε σμικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω, οὐδὲ ὑποστειλάμενος· καίτοι οἶδα σχεδὸν, ὅτι τοῖς αὐτοῖς ἀπεχθάνομαι. ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω, καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ, καὶ τὰ αἴτια ταῦτά ἐστι. καὶ ἐάν τε νῦν, ἐάν τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε. περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν, αὕτη ἔστω ἱκανὴ ἡ ἀπολογία πρὸς ὑμᾶς. XI. *Πρὸς δὲ Μέλιτον, τὸν ἀγαθὸν καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους, μετὰ ταῦτα πειράσομαι ἀπολογήσασθαι. αὖθις γὰρ δὴ, ὥσπερ τούτων ἑτέρων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δὲ ὧδέ πως· Σωκράτη φησὶν ἀδικεῖν, τούς τε νέους διαφθείροντα, καὶ θεοὺς, οὓς ἡ πόλις νομίζει, οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι. τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημὶ Μέλιτον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳδίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι,*

ὧν οὐδὲν πώποτε τούτῳ ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως
ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι. XII. Καί μοι
δεῦρο, ὦ Μέλιτε, εἰπέ· Ἄλλο τι ἢ περὶ πλείστου ποιῇ,
ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται; Ἔγωγε. Ἴθι δὴ
νῦν εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ; δῆλον
γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν γὰρ διαφθεί-
ροντα ἐξευρών, ὡς φῄς, ἐμὲ εἰσάγεις τουτοισὶ καὶ
κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα, ἴθι, εἰπέ,
καὶ μήνυσον αὐτοῖς τίς ἐστιν. — ὁρᾷς, ὦ Μέλιτε, ὅτι
σιγᾷς, καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι
δοκεῖ εἶναι, καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω,
ὅτι σοι οὐδὲν μεμέληκεν; — ἀλλ' εἰπέ, ὦ ἀγαθέ, τίς
αὐτοὺς ἀμείνους ποιεῖ; Οἱ νόμοι. Ἀλλ' οὐ τοῦτο
ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶ-
τον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς νόμους; Οὗτοι, ὦ Σώ-
κρατες, οἱ δικασταί. Πῶς λέγεις, ὦ Μέλιτε; οἵδε τοὺς
νέους παιδεύειν οἷοί τε εἰσὶ καὶ βελτίους ποιεῖν;
Μάλιστα. Πότερον ἅπαντες; ἢ οἱ μὲν αὐτῶν, οἱ δ'
οὔ; Ἅπαντες. Εὖγε, νὴ τὴν Ἥραν, λέγεις, καὶ πολλὴν
ἀφθονίαν τῶν ὠφελούντων. τί δὲ δή; οἵδε οἱ ἀκροα-
ταὶ βελτίους ποιοῦσιν, ἢ οὔ; Καὶ οὗτοι. Τί δὲ οἱ
βουλευταί; Καὶ οἱ βουλευταί. Ἀλλ' ἄρα, ὦ Μέλιτε,
μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ ἐκκλησιασταὶ διαφθείρουσι τοὺς
νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες;
Καὶ ἐκεῖνοι. Πάντες ἄρα, ὡς ἔοικεν, Ἀθηναῖοι κα-
λοὺς κἀγαθοὺς ποιοῦσι, πλὴν ἐμοῦ· ἐγὼ δὲ μόνος
διαφθείρω. οὕτω λέγεις; Πάνυ σφόδρα ταῦτα λέγω.
Πολλήν γέ μου κατέγνωκας δυστυχίαν. καί μοι ἀπό-

κρῖναι· ἢ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν; οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς ἅπαντες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν, εἷς μέν τις ὁ βελτίους γε οἷός τε ὢν ποιεῖν, ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί· οἱ δὲ πολλοί, ἐάν περ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλιτε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζώων; πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος μὴ φῆτε, ἐάν τε φῆτε. πολλὴ γὰρ ἄν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δὲ ἄλλοι ὠφελοῦσιν. ἀλλὰ γάρ, ὦ Μέλιτε, ἱκανῶς ἐπιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων· καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις. XIII. Ἔτι δὲ ἡμῖν εἰπὲ ὦ πρὸς Διὸς Μέλιτε, πότερόν ἐστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς, ἢ πονηροῖς; — ὦ τᾶν ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ ἀεὶ κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι; Πάνυ γε. Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; — ἀπόκριναι ὦ 'γαθέ. καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι. ἔσθ' ὅστις βούλεται βλάπτεσθαι; Οὐ δῆτα. Φέρε δὴ πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νέους, καὶ τούτους πονηροτέρους ποιοῦντα, ἑκόντα ἢ ἄκοντα; Ἑκόντα ἔγωγε. Τί δή ποτ', ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ, τηλικούτου ὄντος τηλικόσδε ὤν, ὥστε σὺ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐρ-

γάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν τι· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτο ἀγνοῶ, ὅτι ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ᾽ αὐτοῦ; ὥστε τοῦτο τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλιτε, οἶμαι δὲ οὐδὲ ἄλλων ἀνθρώπων οὐδένα· ἀλλὰ ἢ οὐ διαφθείρω, ἢ διαφθείρω ἄκων. ὥστε σύ γε κατ᾽ ἀμφότερα ψεύδῃ. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰςάγειν ἐστίν, ἀλλ᾽ ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν. δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὅγε ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες, καὶ οὐκ ἠθέλησας· δεῦρο δὲ εἰςάγεις, οἷ νόμος ἐστὶν εἰςάγειν τοὺς κολάσεως δεομένους, ἀλλ᾽ οὐ μαθήσεως. ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστὶν ὃ ἐγὼ ἔλεγον, ὅτι Μελίτῳ τούτῳ οὔτε μέγα οὔτε σμικρὸν πώποτε ἐμέλησεν. XIV. Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν, ὦ Μέλιτε, τοὺς νεωτέρους· ἢ δῆλον ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλιτε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισί. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις, διδάσκειν με νομίζειν εἶναί τινας θεούς· (καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ

εἰμὶ τοπαράπαν ἄθεος, οὐδὲ ταύτῃ ἀδικῶ·) οὐ μέντοι οὕςπερ γε ἡ πόλις, ἀλλ' ἑτέρους, καὶ τοῦτ' ἔστιν ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῂς οὔτε αὐτὸν νομίζειν θεούς, τούς τε ἄλλους ταῦτα διδάσκειν. Ταῦτα λέγω, ὡς τοπαράπαν οὐ νομίζεις θεούς. Ὦ θαυμάσιε Μέλιτε, ἵνατί ταῦτα λέγεις; οὐδὲ ἥλιον, οὐδὲ σελήνην ἄρα νομίζω εἶναι θεούς, ὥςπερ οἱ ἄλλοι ἄνθρωποι; Μὰ Δί', ὦ ἄνδρες δικασταί· ἐπεὶ τὸν μὲν ἥλιον, λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην, γῆν. Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλιτε· καὶ οὕτω καταφρονεῖς τῶνδε, καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥςτε οὐκ εἰδέναι, ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων. καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας πριαμένοις, Σωκράτους καταγελᾷν, ἐὰν προςποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα. ἀλλ' ὦ πρὸς Διός, οὑτωσί σοι δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι; Οὐ μέντοι μὰ Δία, οὐδ' ὁπωςτιοῦν. Ἄπιστός γ' εἶ, ὦ Μέλιτε, καὶ ταῦτα, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ μὲν γὰρ δοκεῖ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. ἔοικε γὰρ ὥςπερ αἴνιγμα ξυντιθέντι, καὶ διαπειρωμένῳ, „Ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου, καὶ ἐναντία ἐμαυτῷ λέγοντος; ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους

τοὺς ἀκούοντας; „οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς αὑτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἴποι· Ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. καίτοι τοῦτό ἐστι παίζοντος. XV. Συνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται ταῦτα λέγειν. σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλητε. ὑμεῖς δέ, ὅπερ κατ' ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει πράγματα εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; — ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω. ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα; — οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν. εἰ μὴ σὺ βούλει ἀποκρίνεσθαι, ἐγὼ σοὶ λέγω καὶ τοῖς ἄλλοις τουτοισί. ἀλλὰ τὸ ἐπὶ τούτῳ ἀπόκριναι, ἔσθ' ὅστις δαιμόνια μὲν νομίζει πράγματα εἶναι, δαίμονας δὲ οὐ νομίζει; Οὐκ ἔστιν. Ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φῂς με καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν καινὰ εἴτε παλαιά; ἀλλ' οὖν δαιμόνιά γε νομίζω, κατὰ τὸν σὸν λόγον· καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ. εἰ δὲ καὶ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν μέ ἐστιν. οὐχ οὕτως ἔχει; — Ἔχει δή. τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνῃ. τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα εἶναι, ἢ θεῶν παῖδας; φῄς, ἢ οὔ; Πάνυ γε. Οὐκοῦν εἴπερ δαί-

μονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ ἐγώ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι με θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινές, ἢ ἐκ Νυμφῶν, ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας ἡγοῖτο ἢ καὶ ὄνων, τοὺς ἡμιόνους, ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. ἀλλ', ὦ Μέλιτε, οὐκ ἔστιν ὅπως σὺ ταῦτα οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν γραφὴν ταύτην, ἢ ἀπορῶν ὅ, τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα· ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ, μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή ἐστιν. ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελίτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας· ἀλλὰ ἱκανὰ καὶ ταῦτα. XVI. Ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε ὅτι ἀληθές ἐστι. καὶ τοῦτ' ἔστιν ὃ ἐμὲ αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ Μέλιτος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἄλλους καὶ ἀγαθοὺς ἄνδρας ᾕρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν. οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ. ἴσως δ' ἂν οὖν εἴποι τις· Εἶτ' οὐκ αἰ-

σχύνῃ, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν; ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι· Ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν· ἀλλ᾽ οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅ, τι ἂν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. φαῦλοι γὰρ ἄν, τῷ γε σῷ λόγῳ, εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός· ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε, παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε, ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· Ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανῇ· (αὐτίκα γάρ τοι, φησί, μεθ᾽ Ἕκτορα πότμος ἑτοῖμος·). ὁ δέ, τοῦτ᾽ ἀκούσας, τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὤν, καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, Αὐτίκα, φησί, τεθναίην, τὴν δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν, ἄχθος ἀρούρης. Μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλό τι μηδὲν πρὸ τοῦ αἰσχροῦ. XVII. Ἐγὼ

οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι,
εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε
ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ, καὶ ἐν Ἀμφιπόλει,
καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον, ἔμενον
ὥσπερ καὶ ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν·
τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέ-
λαβον, φιλοσοφοῦντά με δεῖν ζῆν, καὶ ἐξετάζοντα
ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ
θάνατον, ἢ ἄλλο ὁτιοῦν πρᾶγμα, λείποιμι τὴν τά-
ξιν. δεινὸν μέντ᾽ ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ᾽ ἄν
με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νο-
μίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ, καὶ δεδιὼς
θάνατον, καὶ οἰόμενος σοφὸς εἶναι, οὐκ ὤν. τὸ γάρ
τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν
ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα. δοκεῖν γὰρ εἰδέναι
ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον,
οὐδ᾽ εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν
τῶν ἀγαθῶν· δεδίασι δ᾽, ὡς εὖ εἰδότες ὅτι μέγι-
στον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία
ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι
ἃ οὐκ οἶδεν; ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα
ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων· καὶ εἰ δή τῳ
σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰ-
δὼς ἱκανῶς περὶ τῶν ἐν ᾅδου, οὕτω καὶ οἴομαι οὐκ
εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι
καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν
οἶδα. πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν,
ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φο-

φοβήσομαι, οὐδὲ φεύξομαι. ὥστε οὐδ' εἴ με νῦν ὑμεῖς
ἀφίετε, Ἀνύτῳ ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν
οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἢ ἐπειδὴ εἰσῆλθον,
οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με· λέγων πρὸς
ὑμᾶς, ὡς εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ἐπι-
τηδεύοντες ἃ Σωκράτης διδάσκει, πάντες παντάπα-
σι διαφθαρήσοιντο, εἴ μοι πρὸς ταῦτα εἴποιτε· Ὦ
Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίε-
μέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ
τῇ ζητήσει διατρίβειν, μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς
ἔτι τοῦτο πράττων, ἀποθανῇ· εἰ οὖν με, ὅπερ εἶ-
πον, ἐπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν· Ὅτι
ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ
φιλῶ, πείσομαι δὲ τῷ θεῷ μᾶλλον ἢ ὑμῖν· καὶ ἕως-
περ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσωμαι
φιλοσοφῶν, καὶ ὑμῖν παρακελευόμενός τι καὶ ἐνδει-
κνύμενος, ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷά-
περ εἴωθα· Ὅτι, ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὢν,
πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν
καὶ ἰσχὺν, χρημάτων μὲν οὐκ αἰσχύνῃ ἐπιμελόμενος,
ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς,
φρονήσεως δὲ καὶ ἀληθείας, καὶ τῆς ψυχῆς ὅπως ὡς
βελτίστη ἔσται, οὐκ ἐπιμελῇ, οὐδὲ φροντίζεις; καὶ
ἐάν τις ὑμῶν ἀμφισβητήσῃ, καὶ φῇ ἐπιμελεῖσθαι,
οὐκ εὐθὺς ἀφήσω αὐτὸν, οὐδ' ἄπειμι, ἀλλ' ἐρή-
σομαι αὐτὸν καὶ ἐξετάσω καὶ ἐλέγξω· καὶ ἐάν μοι
μὴ δοκῇ κεκτῆσθαι ἀρετὴν, φάναι δὲ, ὀνειδιῶ, ὅτι
τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ

φαυλότερα, περὶ πλείονος. ταῦτα καὶ νεωτέρῳ καὶ
πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ
καὶ ἀστῷ· μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μοι ἐγγυτέρω
ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε· καὶ
ἐγὼ οἶμαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι
ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν
γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν
καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπι-
μελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου
τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρί-
στη ἔσται· λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γί-
γνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα, καὶ τἄλλα τἀγαθὰ
τοῖς ἀνθρώποις ἅπαντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ
μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτα
ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ
ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα φαίην ἄν· ὦ ἄν-
δρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή, καὶ ἢ
ἀφίετέ με, ἢ μή· ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα,
οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι. XVIII. Μὴ θορυ-
βεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεή-
θην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν.
καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλ-
λω γὰρ οὖν ἄττα ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως
βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ
ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα οἷον ἐγὼ
λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς. ἐμὲ
μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος, οὔτε Ἄνυ-
τος· οὐδὲ γὰρ ἂν δύναιτο. οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι

ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτεί-
νειε μέντ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμάσειεν·
ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που
μεγάλα κακά· ἐγὼ δὲ οὐκ οἴομαι, ἀλλὰ πολὺ μᾶλ-
λον ποιεῖν ἃ οὑτοσὶ νῦν ποιεῖ, ἄνδρα ἀδίκως ἐπι-
χειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι,
πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς-
τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μὴ ἐξαμάρτητε περὶ
τὴν τοῦ θεοῦ δόσιν ὑμῖν, ἐμοῦ καταψηφισάμενοι.
ἐὰν γάρ με ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον
εὑρήσετε, ἀτεχνῶς (εἰ καὶ γελοιότερον εἰπεῖν) προς-
κείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥςπερ ἵππῳ με-
γάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ,
καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος. οἷον δή
μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προςτεθεικέναι τοιοῦ-
τόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων, καὶ ὀνειδί-
ζων ἕνα ἕκαστον, οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην
πανταχοῦ προςκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳ-
δίως ὑμῖν γενήσεται, ὦ ἄνδρες. ἀλλ' ἐὰν ἐμοὶ πεί-
θησθε, φείσεσθέ μου. ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθό-
μενοι, ὥςπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαν-
τες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτεί-
ναιτε· εἶτα τὸν λοιπὸν χρόνον καθεύδοντες διατελοῖτε
ἄν, εἰ μή τινα ἄλλον ὑμῖν ὁ θεὸς ἐπιπέμψειε, κη-
δόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος οἷος
ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κα-
τανοήσαιτε. οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν
ἐμαυτοῦ ἁπάντων ἠμεληκέναι, καὶ ἀνέχεσθαι τῶν

οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προςιόντα, ὥςπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέντοι τι ἀπὸ τούτων ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχεν ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντα οὕτως ἀναισχύντως κατηγοροῦντες, τοῦτό γε οὐχ οἷοί τ' ἐγένοντο ἀπαναισχυντῆσαι, παρασχόμενοι μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν. XIX. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιϊὼν καὶ πολυπραγμονῶν, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή]· ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλιτος ἐγράψατο. ἐμοὶ δὲ τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη· ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. τοῦτό ἐστιν ὅ μοι ἐναντιοῦται, τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως δέ μοι δοκεῖ ἐναντιοῦσθαι. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλειν, καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκειν οὐδέν, οὔτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ. οὐ γάρ ἐστιν ὅςτις ἀνθρώπων

σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ οὐδενὶ πλήθει γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλὰ ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν. XX. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ', ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μοι τὰ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δέον δείσας θάνατον· μὴ ὑπείκων δὲ ἅμα καὶ ἅμ' ἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγούς, τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας, ἐβουλεύσασθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ὑπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν, ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ Τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν Θόλον, προσέταξαν ἀγαγεῖν ἐκ

Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προςέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν. τότε μέντοι ἐγὼ οὐ λόγῳ ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ μὲν θανάτου μέλει (εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν) οὐδ' ὁτιοῦν· τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς Θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη. καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες. XXI. ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, ἐβοήθουν τοῖς δικαίοις, καί, ὥςπερ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου, δημοσίᾳ τε εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς δὴ οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τις ἐμοῦ λέγοντος, καὶ τὰ ἐμαυτοῦ πράττοντος, ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος, εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δέ, οὔ· ἀλλ' ὁμοίως καὶ

πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾷν· καὶ ἐάν τις βούληται, ἀποκρινόμενος ἀκούει ὧν ἂν λέγω. καὶ τούτων ἐγώ, εἴτε τις χρηστὸς γίγνεται, εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα, μήτε ἐδίδαξα. εἰ δέ τίς φησι παρ' ἐμοῦ πώποτε ἢ μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ, τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει. XXII. Ἀλλὰ τί δήποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες, ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ. ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν, καὶ ἐκ μαντειῶν, καὶ ἐξ ἐνυπνίων, καὶ παντὶ τρόπῳ, ᾧπέρ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν. ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστὶ καὶ εὐέξέλεγκτα. εἰ γὰρ δὴ ἐγὼ τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ' ἐμοῦ κακόν τι ἐπεπόνθεσαν οἱ οἰκεῖοι αὐτῶν, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι. πάντως δὲ πάρεισι πολλοὶ αὐτῶν ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημό-

τῆς, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τούτου πατήρ· ἔτι δ' Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσὶ, Ἐπιγένους πατήρ. ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος ὁ Ζωτίδου, ἀδελφὸς Θεοδότου· (καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη)· καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε τε Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ὁ ἀδελφός. καὶ ἄλλους πολλοὺς ἔγωγ' ἔχω ὑμῖν εἰπεῖν, ὧν τινὰ ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρέχεσθαι Μέλιτον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω, (ἐγὼ παραχωρῶ,) καὶ λεγέτω εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τοὐναντίον, εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους, τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλιτος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον λόγον ἔχουσι βοηθοῦντες ἐμοὶ, ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὃν ξυνίσασι Μελίτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθῆ λέγοντι; εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τί ἐστι ταῦτα, καὶ ἄλλα ἴσως τοιαῦτα. XXIII. Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν, ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουῒ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος δεδέηταί τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν

δακρύων, παιδία τε αὑτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλους πολλούς· ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα, κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' ἂν οὖν τις ταῦτα ἐννοήσας, αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις, θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει, (οὐκ ἀξιῶ μὲν ἔγωγε)· εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων, ὅτι Ἐμοί, ὦ ἄριστε, εἰσὶ μέν πού τινες καὶ οἰκεῖοι. καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, Οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων. ὥστε καὶ οἰκεῖοί μοί εἰσι, καὶ υἱεῖς γε, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς· εἷς μὲν μειράκιον ἤδη· δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος, δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιαζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαῤῥαλέως ἐγὼ ἔχω πρὸς θάνατον, ἢ μή, ἄλλος λόγος· πρὸς δ' οὖν δόξαν καὶ ἐμοί, καὶ ὑμῖν, καὶ ὅλως τῇ πόλει, οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν, καὶ τηλικόνδε ὄντα, καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος. ἀλλ' οὖν δεδογμένον γέ ἐστι, τὸν Σωκράτην διαφέρειν τινὶ τῶν πολλῶν ἀνθρώπων. εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ, εἴτε ἀνδρείᾳ, εἴτε ἄλλῃ ᾑτινιοῦν ἀρετῇ, τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη· οἵουσπερ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μὲν

τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε. οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ᾽ ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπῃτιοῦν εἶναι, οὔτ᾽ ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν· ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθε, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος, καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος, ἢ τοῦ ἡσυχίαν ἄγοντος. XXIV. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιον δοκεῖ εἶναί μοι δεῖσθαι τοῦ δικαστοῦ, οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ᾽ ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὐκοῦν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν, οὔθ᾽ ὑμᾶς ἐθίζεσθαι. οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια, μήτε ὅσια, μάλιστα πάντως, νὴ Δία μέντοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουΐ. σαφῶς γὰρ ἂν εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς

εἶναι· καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ, κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν. XXV. Τὸ μὲν οὖν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο· ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ. νῦν δέ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγειν ἄν. Μέλιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ καὶ παντὶ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὦφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων. XXVI. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν. ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας. τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτίσαι, ὅ, τι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν, καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν, καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτα ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυ-

τῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ᾖα· ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο· μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως· τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι. τί οὖν εἰμὶ ἄξιος παθεῖν, τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δή γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθε· καὶ ταῦτά γε, ἀγαθὸν τοιοῦτον ὅ, τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι, εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ' ὅ, τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυτανείῳ σιτεῖσθαι· πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπιάσιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως. XXVII. Ἴσως οὖν ὑμῖν, καὶ ταυτὶ λέγων, παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιαζόμενος. τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων· ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω. ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα. ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ

θανάτου μὴ μίαν μόνον ἡμέραν κρίνειν, ἀλλὰ πολ-
λάς, ἐπείσθητε ἄν· νῦν δὲ οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ
μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δ' ἐγὼ
μηδένα ἀδικεῖν, πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν,
καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμι του κα-
κοῦ, καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δεί-
σας; ἦ μὴ πάθω τοῦτο, οὗ Μέλιτός μοι τιμᾶται,
(ὅ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν
ἐστιν,) ἀντὶ τούτου δὴ ἕλωμαί τι ὧν εὖ οἶδ' ὅτι κα-
κῶν ὄντων, τούτου τιμησάμενος; πότερον δεσμοῦ;
καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ
καθισταμένῃ ἀρχῇ, τοῖς Ἕνδεκα; ἀλλὰ χρημάτων; καὶ
δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταυτόν μοί ἐστιν ὅπερ
δὴ νῦν ἔλεγον. οὐ γάρ ἐστι μοι χρήματα ὁπόθεν ἐκ-
τίσω. ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι
τούτου τιμήσαιτε. πολλὴ μέντ' ἄν με φιλοψυχία
ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕτως ἀλόγιστός εἰμι,
ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς μὲν ὄντες
πολῖταί μου, οὐχ οἷοί τ' ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς
διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γε-
γόνασι καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ
ἀπαλλαγῆναι, ἄλλοι δὲ ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως·
πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι
ὁ βίος εἴη, ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ, ἄλλην ἐξ
ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ
γὰρ οἶδ' ὅτι, ὅπη ἂν ἔλθω, λέγοντος ἐμοῦ, ἀκροά-
σονται οἱ νέοι, ὥσπερ ἐνθάδε. κἂν μὲν τούτους ἀπε-
λαύνω, οὗτοί με αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσ-

βυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι, δι' αὐτοὺς τούτους. XXVIII. Ἴσως οὖν ἄν τις εἴποι· Σιγῶν τε καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν; Τουτὶ δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάν τε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἔστι, καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖθις λέγω ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι, καὶ τῶν ἄλλων περὶ ὧν ὑμεῖς ἐμοῦ ἠκούετε διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος (ὁ δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ), ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδια. καὶ ἐγὼ ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν· (οὐδὲν γὰρ ἂν ἐβλάβην·) νῦν δὲ οὐ γάρ ἐστιν· εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. τιμῶμαι οὖν τοσούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ. XXIX. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτην ἀπε-

κτονήκατε, ἄνδρα σοφόν. φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο, ἐμὲ τεθνάναι δή. ὁρᾶτε γὰρ δὴ εἰς τὴν ἡλικίαν, ὅτι πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ γε δεῖ. ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας, καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷα ὑμῖν μὲν ἥδιστ' ἂν ἦν ἀκούειν, θρηνοῦντός μου καὶ ὀδυρομένου, καὶ ἄλλα ποιοῦντος, καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν· οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτε ἐμὲ οὔτε ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ῥᾷον ἄν τις ἐκφύγοι, καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπεὶς τῶν διωκόντων· καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν

θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες Ἀθηναῖοι, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον, πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. καὶ νῦν ἐγὼ μέν, ἅτε βραδὺς ὢν καὶ πρεσβύτης, ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δέ μου κατήγοροι, ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες, ὑπὸ τοῦ θάττονος, τῆς κακίας. καὶ νῦν δὴ ἐγὼ μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὄφλων, οὗτοι δέ, ὑπὸ τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω, καὶ οὗτοι. ταῦτα μὲν οὖν που ἴσως οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν. XXX. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ καταψηφισάμενοί μου. καὶ γάρ εἰμι ἤδη ἐνταῦθα ἐν ᾧ μάλιστ' ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες, οἳ ἐμὲ ἀποκτενεῖτε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον, πολὺ χαλεπωτέραν, νὴ Δία, ἢ οἵαν ἐμὲ ἀπεκτείνατε. νῦν γὰρ τοῦτο εἴργασθε, οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου· τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθε, ἀποκτείναντες ἀνθρώπους, ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐ καλῶς διανοεῖσθε. οὐ γάρ ἐσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατή, οὔτε καλή· ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κο-

ἔχουσιν, ἀλλ' αὑτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος, ἀπαλλάττομαι. XXXI. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουῒ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι; καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες Ἀθηναῖοι, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς φίλοις οὖσιν, ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτ' ἐννοεῖ. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταὶ (ὑμᾶς γὰρ δικαστὰς καλῶν, ὀρθῶς ἂν καλοίην) θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ, ἡ τοῦ δαιμονίου, ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν, καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν. νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτί, ἅ γε δὴ οἰηθείη ἄν τις, καὶ νομίζεται, ἔσχατα κακῶν εἶναι. ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδενί, μέλλοντί τι ἐρεῖν. καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντιώθη μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ. κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι· καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι. μέγα μοι

τεκμήριον τοῦτο γέγονεν. οὐ γάρ ἔσθ᾽ ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν. XXXII. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι, μηδ᾽ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ, κατὰ τὰ λεγόμενα, μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ᾽ οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ᾽ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενόν δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί, δέοι σκεψάμενον εἰπεῖν, ὁπόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα, εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· (καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ)· εἰ δ᾽ αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστὶ τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς ᾅδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ

καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ, ἐπὶ πόσῳ ἄν τις δέξαιτ᾽ ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτά ἐστιν ἀληθῆ. ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος, καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγῷμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ καὶ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα, ὥσπερ τοὺς ἐνταῦθα, διάγειν, τίς αὐτῶν σοφός ἐστι, καὶ τίς οἴεται μέν, ἔστι δ᾽ οὔ. ἐπὶ πόσῳ δ᾽ ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιάν, ἢ Ὀδυσσέα, ἢ Σίσυφον; ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας, οἷς διαλέγεσθαι ἐκεῖ καὶ ξυνεῖναι καὶ ἐξετάζειν, ἀμήχανον ἂν εἴη εὐδαιμονίας πάντως. οὐ δή που τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτενοῦσι. τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν. XXXIII. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τού-

του πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι. διὰ ταυτὶ καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψε τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω· καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν τι· τοῦτο αὐτοῖς ἄξιον μέμφεσθαι. τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς υἱεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δοκῶσί τι εἶναι, μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι, ὄντες οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ υἱεῖς. ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μέν, ἀποθανουμένῳ, ὑμῖν δέ, βιωσομένοις. ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

ΚΡΙΤΩΝ.

Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωῒ ἔτι ἐστί; ΚΡ. Πάνυ μὲν οὖν. ΣΩ. Πηνίκα μάλιστα; ΚΡ. Ὄρθρος βαθύς. ΣΩ. Θαυμάζω, ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι. ΚΡ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾷν· καί τι καὶ εὐηργέτηται ὑπ' ἐμοῦ. ΣΩ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; ΚΡ. Ἐπιεικῶς πάλαι. ΣΩ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι; ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾷν. ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμ-

φοραῖς ἁλίσκονται· ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ. ΣΩ. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῲ ἀφῖξαι; ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοι, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα ἂν ἐνέγκαιμι. ΣΩ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με; ΚΡ. Οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον· καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν. II. ΣΩ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον. ΚΡ. Πόθεν τοῦτο τεκμαίρῃ; ΣΩ. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον. ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι. ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με. ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον; ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· Ὦ Σώκρατες, Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο. ΚΡ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ

Σώκρατες. ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γ' ἐμοὶ δοκεῖ,
ὦ Κρίτων. III. ΚΡ. Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαι-
μόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώ-
θητι. ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐδεμία ξυμφορά
ἐστιν ἄλλη, ἀλλὰ χωρὶς μὲν σοῦ ἐστερῆσθαι, τοι-
ούτου ἐπιτηδείου· οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω,
ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς
ἴσασιν, ὡς οἷός τ' ὤν σε σώζειν, εἰ ἤθελον ἀνα-
λίσκειν χρήματα, ἀμελῆσαι. καίτοι τίς ἂν αἰσχίων
εἴη ταύτης δόξα, ἢ δοκεῖν χρήματα περὶ πλείονος
ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί,
ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν
προθυμουμένων. ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε
Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ
ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγή-
σονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν πραχθῇ.
ΚΡ. Ἀλλ' ὁρᾷς δὴ ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ
τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δῆλα τὰ παρ-
όντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρό-
τατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέ-
γιστα, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ. ΣΩ.
Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι οἱ πολ-
λοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε
ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα· καὶ καλῶς ἂν εἶχε· νῦν
δὲ οὐδέτερα οἷοί τε. οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα
δυνατοὶ ποιῆσαι· ποιοῦσι δὲ τοῦτο ὅ, τι ἂν τύχωσι.
IV. ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. τάδε δέ, ὦ Σώ-
κρατες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθῇ καὶ

τῶν ἄλλων ἐπιτηδείων, μὴ, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σε ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβῇ, ἔασον αὐτὸ χαίρειν. ἡμεῖς γάρ που δίκαιοί ἐσμεν, σώσαντές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καὶ, ἐὰν δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. ΚΡ. Μὴ τοίνυν ταῦτα φοβοῦ. καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ, τι χρῷο σεαυτῷ. πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετ-

ταλίαν. V. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσῃ καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ, τι ἂν τύχωσι, τοῦτο πράξουσι. τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷά περ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρῆν ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι. χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι· καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰςῆλθες, ἐξὸν μὴ εἰςελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο, καὶ τὸ τελευταῖον δὴ τουτί, ὥςπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σε οὐ διεσώσαμεν, οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ βουλεύε-

σθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή. τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δέ τι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει. VI. ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὅς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὴ λόγους οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον. ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις. ΚΡ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; ΣΩ. Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ· ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. ἐπιθυμῶ δ' ἔγωγε

ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τι
μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ γε ὧδε ἔχω, ἢ ὁ
αὐτός, καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ.
ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν
οἰομένων τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι
τῶν δοξῶν ἃς οἱ ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν
περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦτο πρὸς θεῶν,
ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γάρ,
ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνή-
σκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα
ξυμφορά. σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγε-
σθαι ὅτι οὐ πάσας χρὴ τὰς δόξας τὰς τῶν ἀνθρώπων
τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ; οὐδὲ πάντων,
ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; — τί φῄς; ταῦτα οὐχὶ κα-
λῶς λέγεται; ΚΡ. Καλῶς. ΣΩ. Οὐκοῦν τὰς μὲν
χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή; ΚΡ. Ναί.
ΣΩ. Χρησταὶ δέ, οὐχ αἱ τῶν φρονίμων· πονηραὶ
δέ, αἱ τῶν ἀφρόνων; ΚΡ. Πῶς δ' οὔ; VII. ΣΩ. Φέρε
δὴ πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ
καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ
καὶ ψόγῳ [καὶ δόξῃ] τὸν νοῦν προσέχει, ἢ ἑνὸς μό-
νου ἐκείνου ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;
ΚΡ. Ἑνὸς μόνου. ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ
τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ
ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; ΚΡ. Δῆ-
λα δή. ΣΩ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυ-
μναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ
δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμ-

πᾶσι τοῖς ἄλλοις. ΚΡ. Ἔστι ταῦτα. ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται; ΚΡ. Πῶς γὰρ οὔ; ΣΩ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος; ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα. τοῦτο γὰρ διόλλυσι. ΣΩ. Καλῶς λέγεις. οὐκοῦν καὶ τἄλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν· καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστὶν ἡ βουλή, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο; ἢ οὐδέν ἐστι τοῦτο; ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες. VIII. ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον, διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστὶ διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί; ΚΡ. Ναί. ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστὶ μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἄρα ἐστὶν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ

φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ τιμιώτερον; ΚΡ. Πολύ γε. ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ, τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ, τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. ἀλλὰ μὲν δὴ φαίη γ' ἄν τις· οἷοί τε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι· δῆλα δὴ καὶ ταῦτα. ΚΡ. φαίη γὰρ ἄν, ὦ Σώκρατες. ΣΩ. Ἀληθῆ λέγεις. ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι καὶ πρότερον. καὶ τόνδε δ' αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. ΚΡ. Ἀλλὰ μένει. ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστι, μένει, ἢ οὐ μένει; ΚΡ. Μένει. IX. ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα· εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως καὶ δόξης, καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν· ἡμῖν δ' (ἐπειδὴ ὁ

λόγος οὕτως αἱρεῖ) μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ
νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρή-
ματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι
καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι,
ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες·
κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ
δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ παρα-
μένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν
πάσχειν, πρὸ τοῦ ἀδικεῖν. ΚΡ. Καλῶς μέν μοι δο-
κεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν. ΣΩ.
Σκοπῶμεν, ὦ 'γαθέ, κοινῇ· καὶ εἴ πῃ ἔχεις ἀντι-
λέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι·
εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι
λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων
Ἀθηναίων ἐμὲ ἀπιέναι. ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦ-
μαι πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος.
ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς
λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον, ᾗ
ἂν μάλιστα οἴῃ. ΚΡ. Ἀλλὰ πειράσομαι. X. ΣΩ. Οὐ-
δενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι· ἢ τινὶ
μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε
ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν
καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅπερ καὶ
ἄρτι ἐλέγετο. ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμο-
λογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι
εἰσί; καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες
ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθο-
μεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παν-

τος μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή; καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φαμέν, ἢ οὔ; ΚΡ. Φαμέν. ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν. ΚΡ. Οὐ δῆτα. ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν. ΚΡ. Οὐ φαίνεται. ΣΩ. Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες. ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; ΚΡ. Οὐδαμῶς. ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ΚΡ. Ἀληθῆ λέγεις. ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ᾽ ἂν ὁτιοῦν πάσχῃ ὑπ᾽ αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει· οἷς οὖν οὕτω δέδοκται, καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ᾽ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ σὺ καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν, οὔτε τοῦ κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς. ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴ πη ἄλλῃ δέδοκται, λέγε

καὶ δίδασκε. εἰ δ' ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι. ἀλλὰ λέγε. ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον. ΚΡ. Ποιητέον.

XI. ΣΩ. Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινὰς ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ; ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ. ΣΩ. Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπιστάντες ἔροιντο· „Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς, διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τ' ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται;" τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτούς· ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν; ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες. XII. ΣΩ. Τί οὖν, ἂν

εἴπωσιν οἱ νόμοι· „Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ;“ εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν· „Ὅτι, ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γάρ τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει, ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς; καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν;“ Οὐ μέμφομαι, φαίην ἄν. „Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;“ Καλῶς, φαίην ἄν. „Εἶεν. ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μέν, ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα καὶ σὺ ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοῦ τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην (εἴ σοι ὢν ἐτύγχανεν), ὥστε ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ

τοὺς νόμους ἐξέσται σοι, ὥστε ἐὰν σὲ ἐπιχειρῶμεν
ἡμεῖς ἀπολλύναι, δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ
δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον
δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦ-
τα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρε-
τῆς ἐπιμελούμενος; ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέ
σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγό-
νων ἁπάντων τιμιώτερόν ἐστι πατρὶς, καὶ σεμνότε-
ρον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ
θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι; καὶ
σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πα-
τρίδα χαλεπαίνουσαν, ἢ πατέρα; καὶ ἢ πείθειν, ἢ
ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν ἐάν τι προστάττῃ
παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν
τε δεῖσθαι; ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον
ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ δίκαιον
οὕτως ἔχει; καὶ οὐχ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον,
οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ
ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον, ἃ ἂν κελεύῃ
ἡ πόλις τε καὶ ἡ πατρὶς; ἢ πείθειν αὐτὴν ᾗ τὸ δί-
καιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα,
οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρί-
δα;" τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ
λέγειν τοὺς νόμους, ἢ οὔ; ΚΡ. Ἔμοιγε δοκεῖ. XIII.
ΣΩ. „Σκόπει τοίνυν, ὦ Σώκρατες, (φαῖεν ἂν ἴσως οἱ
νόμοι) εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια
ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε
γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες

ἁπάντων ὧν οἷοί τε ἦμεν καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις· ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις), ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχων τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ. XIV. Ταύταις δὴ φαμὲν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα." εἰ οὖν ἐγὼ εἴποιμι, διὰ τί δή, ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαῖεν γὰρ ἄν· „Ὅτι, ὦ Σώ-

κρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις. οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι· οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ᾑροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι, τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ᾑροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον: νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν διαφθεῖραι· πράττεις τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύσεσθαι. πρῶτον μὲν οὖν ἡμῖν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ· ἢ οὐκ ἀληθῆ;" τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩ. Ἄλλο τι οὖν

ἂν φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις; οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθεὶς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὐδὲ τῶν βαρβαρικῶν· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δηλονότι. τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις; ἐμμενεῖς δέ, ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ, ἐκ τῆς πόλεως ἐξελθών. XV. σκόπει γὰρ δή, ταῦτα παραβὰς, καὶ ἐξαμαρτάνων τι τούτων, τί ἀγαθὸν ἐργάσῃ σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε, (εὐνομοῦνται γὰρ ἀμφότεραι,) πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοιπερ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι.

ὅςτις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν ἐστί σοι ζῆν; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σώκρατες, οὕςπερ ἐνθάδε, ὡς· ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοῦ Κρίτωνος. ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία· καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος, ἢ διφθέραν λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκός, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς, οὐδεὶς ὃς ἐρεῖ; ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ πάντας ἀνθρώπους βιώσῃ καὶ δουλεύων. τί ποιῶν; ἢ εὐωχούμενος ἐν Θετταλίᾳ, ὥςπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς;

τί δαί; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. πότερον ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται· ἐὰν δὲ εἰς ᾅδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται, εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστὶ τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι; οἴεσθαί γε χρή. XVI. Ἀλλ᾽, ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδέν, πρὸ τοῦ δικαίου· ἵνα εἰς ᾅδου ἐλθὼν ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ᾽ ἡμῶν τῶν νόμων, ἀλλ᾽ ὑπ᾽ ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβάς, καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.“ Ταῦτα, ὦ

φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥςπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν. ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων· καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

ΦΑΙΔΩΝ.

Αὐτὸς, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας; ΦΑΙΔ. Αὐτός, ὦ Ἐχέκρατες. ΕΧ. Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι. καὶ γὰρ οὔτε τῶν πολιτῶν τῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τανῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκται χρόνου συχνοῦ ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ᾽ ᾖ περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν. ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὃν τρόπον ἐγένετο; ΕΧ. Ναί. ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις· καὶ ἐθαυμάζομέν γε, ὅτι, πάλαι γενομένης αὐτῆς, πολλῷ ὕστερον φαίνεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων; ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, ξυνέβη. ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσι κατ᾽ ἔτος. ΕΧ. Τοῦτο δὲ δὴ τί

ἐστι; ΦΑΙΔ. Τοῦτό ἐστι τὸ πλοῖον, ὥς φασιν Ἀθη-
ναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ
ἐκείνους ᾤχετο ἄγων, καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη.
τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σω-
θεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον·
ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ
θεῷ πέμπουσιν: ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας,
νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν
τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν
ἂν εἰς Δῆλον ἀφίκηται τὸ πλοῖον, καὶ πάλιν δεῦρο.
τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχω-
σιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ δ' ἐστι τῆς
θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν
πρύμναν τοῦ πλοίου. τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω,
τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ
πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτη-
ρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου. II. ΕΧ.
Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων;
τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα; καὶ τίνες οἱ πα-
ραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων
οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων;
ΦΑΙΔ. Οὐδαμῶς· ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί
γε. ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέ-
στατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγ-
χάνει οὖσα. ΦΑΙΔ. Ἀλλὰ σχολάζω γε καὶ πειράσο-
μαι ὑμῖν διηγήσασθαι. καὶ γὰρ τὸ μεμνῆσθαι Σω-
κράτους, καὶ αὐτὸν λέγοντα, καὶ ἄλλου ἀκούοντα,
ἔμοιγε ἀεὶ πάντων ἥδιστον. ΕΧ. Ἀλλὰ μήν, ὦ Φαί-

δῶν, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα. ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰςῄει· (εὐδαίμων γάρ μοι ὁ ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα· ὥςτε μοι παρίστασθαι ἐκεῖνον μηδ᾽ εἰς ᾅδου ἰόντα, ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴπερ τις πώποτε καὶ ἄλλος· διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰςῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει·) οὔτε αὖ ἡδονή, ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥςπερ εἰώθειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ᾽ ἀτεχνῶς ἄτοπόν τί μοι πάθος παρῆν, καί τις ἀήθης κρᾶσις ἀπό τε τῆς ἡδονῆς ξυγκεκραμένη ὁμοῦ καὶ τῆς λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾶν. καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ποτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες· εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ. ΕΧ. Πῶς γὰρ οὔ; ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχε, καὶ αὐτὸς ἔγωγε ἐτεταράγμην, καὶ οἱ ἄλλοι. ΕΧ. Ἔτυχον δὲ, ὦ Φαίδων, τίνες παραγενόμενοι; ΦΑΙΔ. Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν, καὶ Κριτόβουλος, καὶ ὁ πατὴρ αὐτοῦ [Κρίτων], καὶ ἔτι Ἑρμογένης, καὶ Ἐπιγένης, καὶ Αἰσχίνης, καὶ Ἀντισθένης. ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεύς, καὶ

Μενέξενος, καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δὲ, οἶμαι, ἠσθένει. ΕΧ. Ξένοι δέ τινες παρῆσαν; ΦΑΙΔ. Ναί· Σιμμίας τέ γε ὁ Θηβαῖος, καὶ Κέβης, καὶ Φαιδώνδης· καὶ Μεγαρόθεν, Εὐκλείδης τε καὶ Τερψίων. ΕΧ. Τί δέ; Ἀρίστιππος καὶ Κλεόμβροτος παρεγένοντο; ΦΑΙΔ. Οὐ δῆτα. ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι. ΕΧ. Ἄλλος δέ τις παρῆν; ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι. III. ΕΧ. Τί οὖν δή; τίνες, φῄς, ἦσαν οἱ λόγοι; ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρας εἰώθειμεν φοιτᾷν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, ξυλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. περιεμένομεν οὖν ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων· ἀνεῴγετο γὰρ οὐ πρωΐ. ἐπειδὴ δὲ ἀνοιχθείη, ᾔειμεν παρὰ τὸν Σωκράτη, καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε πρωϊαίτερον ξυνελέγημεν. τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ, ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέρας, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη. παρηγγείλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός· καὶ ἥκομεν· καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρός, ὅςπερ εἰώθει ὑπακούειν, εἶπεν ἐπιμένειν, καὶ μὴ πρότερον παριέναι ἕως ἂν αὐτὸς κελεύσῃ. λύουσι γάρ, ἔφη, οἱ Ἕνδεκα Σωκράτη, καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτᾷ. οὐ πολὺν δ' οὖν χρόνον ἐπισχὼν ἧκε, καὶ ἐκέλευσεν ἡμᾶς εἰςιέναι. εἰςιόντες

οὖν κατελαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην (γιγνώσκεις γάρ) ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνευφήμησέ τε, καὶ τοιαῦτα ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες, „Ὅτι, ὦ Σώκρατες, ὕστατον δή σε προςεροῦσι νῦν οἱ ἐπιτήδειοι, καὶ σὺ τούτους.“ καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα, Ὦ Κρίτων, ἔφη, ἀπαγέτω τις ταύτην οἴκαδε. καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ Κρίτωνος, βοῶσάν τε καὶ κοπτομένην· ὁ δὲ Σωκράτης, ἀνακαθιζόμενος εἰς τὴν κλίνην, ξυνέκαμψέ τε τὸ σκέλος, καὶ ἔτριψε τῇ χειρί· καὶ τρίβων ἅμα, Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν· τῷ ἅμα μὲν αὐτὼ μὴ θέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥςπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ᾽ ὄντε. καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν ξυνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἠδύνατο, ξυνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς. καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον· ὥςπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ. IV. Ὁ οὖν Κέβης ὑπολαβών, Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, εὖ γ᾽ ἐποίησας ἀναμνήσας με. περὶ γάρ

τοι τῶν ποιημάτων ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὐηνὸς πρώην, ὅ, τί ποτε διανοηθεὶς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν με Εὐηνῷ ἀποκρίνεσθαι, ὅταν με αὖθις ἐρωτᾷ, (εὖ οἶδα γὰρ ὅτι ἐρήσεται,) εἰπὲ τί χρὴ λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι, ἐποίησα ταῦτα· (ᾔδειν γὰρ ὡς οὐ ῥᾴδιον εἴη·) ἀλλ᾽ ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος, εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν. ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ᾽ ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, „Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου.“ καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν, ὥςπερ οἱ τοῖς θέουσι διακελευόμενοι· καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν· ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. νῦν δ᾽ ἐπειδὴ ἥ τε δίκη ἐγένετο, καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι

ποιήσαντα ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεὸν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους ἀλλ' οὐ λόγους, καὶ αὐτὸς οὐκ ἦν μυθολογικός, διὰ ταῦτα, οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρώτοις ἐνέτυχον. V. Ταῦτα οὖν, ὦ Κέβης, Εὐήνῳ φράζε· καὶ ἐῤῥῶσθαι, καὶ, ἂν σωφρονῇ, ἐμὲ διώκειν. ἄπειμι δὲ, ὡς ἔοικε, τήμερον· κελεύουσι γὰρ οἱ Ἀθηναῖοι. Καὶ ὁ Σιμμίας, Οἷον παρακελεύῃ, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐήνῳ! πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν ἄν σοι ἑκὼν εἶναι πείσεται. Τί δαί, ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν καὶ Εὐηνός, καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν. οὐ γάρ φασι θεμιτὸν εἶναι. καὶ ἅμα λέγων ταῦτα, καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ τὴν γῆν· καὶ καθεζόμενος, οὕτως ἤδη τὰ λοιπὰ διελέγετο. Ἤρετο οὖν αὐτὸν ὁ Κέβης, Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δὲ, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων, Φιλολάῳ ξυγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες· ἀλλὰ μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω. ἃ μέντοι τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα

πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν, διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τινὰ οἰόμεθα αὐτὴν εἶναι. τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ; VI. Κατὰ τί δὴ οὖν ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διῃτᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. Ἀλλὰ προθυμεῖσθαι χρή, ἔφη. τάχα γὰρ ἂν καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστι, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δεῖ περιμένειν εὐεργέτην. Καὶ ὁ Κέβης ἠρέμα ἐπιγελάσας, Ἴττω Ζεύς, ἔφη, τῇ αὑτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σωκράτης, οὕτως γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως γ' ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, „Ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι, καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν, οὐδ' ἀποδιδράσκειν," μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διϊδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους, καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι· ἢ σοὶ οὐ δο-

καὶ οὕτως; Ἔμοιγ᾽, ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ᾽ ὅς,
καὶ σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ
ἀποκτιννύοι, μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ
τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις
τιμωρίαν, τιμωροῖο ἄν; Πάνυ γ᾽, ἔφη. Ἴσως τοίνυν
ταύτῃ οὐκ ἄλογον, μὴ πρότερον αὑτὸν ἀποκτιννύ-
ναι δεῖν, πρὶν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥσ-
περ καὶ τὴν νῦν ἡμῖν παροῦσαν. VII. Ἀλλ᾽ εἰκός, ἔφη
ὁ Κέβης, τοῦτό γε φαίνεται. ὃ μέντοι νῦν δὴ ἔλεγες,
τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν,
ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ· εἴπερ, ὃ νῦν δὴ
ἐλέγομεν, εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπι-
μελούμενον ἡμῶν, καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι.
τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης
τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν
οἵπερ ἄριστοί εἰσι τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ
ἔχει λόγον. οὐ γάρ που αὐτός γε ἑαυτοῦ ἄμεινον οἴε-
ται ἐπιμελεῖσθαι, ἐλεύθερος γενόμενος· ἀλλ᾽ ἀνόη-
τος μὲν ἄνθρωπος τάχ᾽ ἂν οἰηθείη ταῦτα, φευκτέον
εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι
οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ᾽ ὅτι μάλι-
στα παραμένειν· διὸ ἀλογίστως ἂν φεύγοι· ὁ δὲ
νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ
βελτίονι. καίτοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον
εἶναι εἰκὸς ἢ ὃ νῦν δὴ ἐλέγετο. τοὺς μὲν γὰρ φρονί-
μους, ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ᾽
ἄφρονας χαίρειν. Ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναι
τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος πραγματείᾳ, καὶ ἐπι-

βλέψας εἰς ἡμᾶς, Ἀεὶ τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ, τι ἄν τις εἴπῃ. Καὶ ὁ Σιμμίας, Ἀλλὰ μὴν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ τί μοι καὶ αὐτῷ λέγειν Κέβης. τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὑτῶν φεύγοιεν, καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων, καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς ὁμολογεῖς, θεούς. Δίκαια, ἔφη, λέγετε. οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με ἀπολογήσασθαι, ὥσπερ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. VIII. Φέρε δὴ, ἦ δ᾽ ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γὰρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ᾽ ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν, οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δὲ εὖ ἴστε ὅτι παρ᾽ ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διϊσχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διϊσχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ᾽ εὔελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι· καὶ, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην, ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν μεταδοίης; κοινὸν γὰρ

δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο· καὶ ἅμα σοὶ ἡ ἀπολογία ἐστίν, ἐὰν ἅπερ λέγεις, ἡμᾶς πείσῃς. Ἀλλὰ πειράσομαι, ἔφη. πρῶτον δὲ Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλεσθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δέ, ὦ Σώκρατες, ἔφη ὁ Κρίτων, ἄλλο γε ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους, δεῖν δὲ οὐδὲν τοιοῦτο προςφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τοὺς τι τοιοῦτο ποιοῦντας. Καὶ ὁ Σωκράτης, Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω, ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς. Ἀλλὰ σχεδὸν μέντοι ᾔδειν, ἔφη ὁ Κρίτων· ἀλλά μοι πράγματα πάλαι παρέχει. Ἔα αὐτόν, ἔφη· ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι τὸν λόγον ἀποδοῦναι, ὥς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βίον, θαῤῥεῖν μέλλων ἀποθανεῖσθαι, καὶ εὔελπις εἶναι ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά, ἐπειδὰν τελευτήσῃ. πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης, ἐγὼ πειράσομαι φράσαι. XI. Κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτο ἀληθές, ἄτοπον δήπου ἂν εἴη, προθυμεῖσθαι μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο· ἥκοντος δὲ δὴ αὐτοῦ, ἀγανακτεῖν ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετή-

δευον. Καὶ ὁ Σιμμίας γελάσας, Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ γέ με νῦν δὴ γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν τοὺς πολλοὺς αὐτὸ τοῦτο ἀκούσαντας δοκεῖν εὖ πάνυ εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας, καὶ ξυμφάναι ἂν τοὺς μὲν παρ᾽ ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι, καὶ σφᾶς γε οὐ λελήθασιν ὅτι ἄξιοί εἰσι τοῦτο πάσχειν. Καὶ ἀληθῆ γ᾽ ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γε τοῦ σφᾶς μὴ λεληθέναι· λέληθε γὰρ αὐτοὺς ᾗ τε θανατῶσι, καὶ ᾗ ἄξιοί εἰσι θανάτου οἱ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ, ἔφη, πρὸς ἡμᾶς αὐτούς, χαίρειν εἰπόντες ἐκείνοις, ἡγούμεθά τι τὸν θάνατον εἶναι; Πάνυ γ᾽, ἔφη ὑπολαβὼν ὁ Σιμμίας. Ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ᾽ αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν τοῦ σώματος ἀπαλλαγεῖσαν, αὐτὴν καθ᾽ αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ᾖ ὁ θάνατος ἢ τοῦτο; Οὔκ, ἀλλὰ τοῦτο, ἔφη. Σκέψαι δή, ὦ 'γαθέ, ἐὰν ἄρα καὶ σοὶ ξυνδοκῇ ἅπερ ἐμοί· ἐκ γὰρ τούτων μᾶλλον οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκοποῦμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι, ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε οἷον σιτίων τε καὶ ποτῶν; Ἥκιστά γε, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας. Τί δέ; τὰς τῶν ἀφροδισίων; Οὐδαμῶς. Τί δέ; τὰς ἄλλας τὰς περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος; οἷον, ἱματίων διαφερόντων κτήσεις, καὶ ὑπο-

δημάτων, καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα, πότερον τιμᾶν δοκεῖ σοι ἢ ἀτιμάζειν, καθόσον μὴ πολλὴ ἀνάγκη μετέχειν αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅ γε ὡς ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ τοιούτου πραγματεία, οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθόσον δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γέ που, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων, μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν, αἳ διὰ τοῦ σώματός εἰσι. Πάνυ μὲν οὖν ἀληθῆ λέγεις. X. Τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν, πότερον ἐμπόδιον τὸ σῶμα, ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν ξυμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε λέγω· ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις; ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἀεὶ ἡμῖν θρυλλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδέν, οὔτε ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι μηδὲ σαφεῖς, σχολῇ γε αἱ ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν. ἢ σοι οὐ δοκοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, ἦ δ' ὅς, ἡ ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ'

αὐτοῦ. Ἀληθῆ λέγεις. Ἆρ' οὖν οὐκ ἐν τῷ λογίζεσθαι, εἴπερ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων; Ναί. Λογίζεται δέ γέ που τότε κάλλιστα, ὅταν αὐτὴν τούτων μηδὲν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις μήτε ἀλγηδὼν μήτε τις ἡδονή, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται, ἐῶσα χαίρειν τὸ σῶμα, καὶ καθ' ὅσον δύναται, μὴ κοινωνοῦσα αὐτῷ μηδ' ἁπτομένη, ὀρέγηται τοῦ ὄντος. Ἔστι ταῦτα. Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀτιμάζει τὸ σῶμα, καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ' αὑτὴν γίγνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε, ὦ Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτό, ἢ οὐδέν; Φαμέν τι, νὴ Δία. Καὶ καλόν καὶ ἀγαθόν; Πῶς δ' οὔ; Ἤδη οὖν πώποτέ τι τῶν γέ τι τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες; Οὐδαμῶς, ἦ δ' ὅς. Ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψω αὐτῶν· λέγω δὲ περὶ πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος, καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, ὃ τυγχάνει ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώματος τἀληθέστατον αὐτῶν θεωρεῖται; ἢ ὧδ' ἔχει· ὃς ἂν μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι, περὶ οὗ σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅστις ὅτι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι, μήτε ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρι-

νεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ᾽ αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροῖ θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων, καὶ, ὡς ἔπος εἰπεῖν, ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειαν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ· ἆρ᾽ οὐχ οὗτός ἐστιν, ὦ Σιμμία, εἴπερ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος; Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες. XI. Οὐκοῦν ἀνάγκη, ἔφη, ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτα ἄττα λέγειν ὅτι, κινδυνεύει τοι ὥσπερ ἀτραπός τις ἐκφέρειν ἡμᾶς μετὰ τοῦ λόγου ἐν τῇ σκέψει· ὅτι, ἕως ἂν τὸ σῶμα ἔχωμεν, καὶ ξυμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοῦ τοιούτου κακοῦ, οὐ μήποτε κτησώμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα, διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δέ, ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν, ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς. ὥστε, τὸ λεγόμενον ὡς ἀληθῶς, τῷ ὄντι ὑπ᾽ αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τού-

του ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα ταῦτα. τὸ δ᾽ ἔσχατον πάντων, ὅτι ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ᾽ αὐτοῦ, καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ παραπίπτον θόρυβον παρέχει καὶ ταραχὴν, καὶ ἐκπλήττει, ὥςτε μὴ δύνασθαι ὑπ᾽ αὐτοῦ καθορᾷν τἀληθές· ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι, εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ, καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ εἶναι, φρονήσεως, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι, ἢ τελευτήσασι. τότε γὰρ αὐτὴ καθ᾽ αὑτὴν ἡ ψυχὴ ἔσται χωρὶς τοῦ σώματος, πρότερον δ᾽ οὔ· καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι, μηδὲ κοινωνῶμεν, ὅ, τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ᾽ αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων τε ἐσόμεθα καὶ γνωσόμεθα δι᾽ ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές· τοῦτο δ᾽ ἐστὶν ἴσως τὸ ἀληθές· μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι πρὸς ἀλλήλους λέγειν καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς.

ἢ οὐ δοκεῖ σοι οὕτως; *Παντός γε μᾶλλον, ὦ Σώκρατες.* XII. *Οὐκοῦν*, ἔφη ὁ Σωκράτης, εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι, ἱκανῶς ἐκεῖ, εἴπερ που ἄλλοθι, κτήσασθαι τοῦτο οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν· ὥςτε ἥ γε ἀποδημία, ἡ νῦν ἐμοὶ προστεταγμένη, μετὰ ἀγαθῆς ἐλπίδος γίγνεται καὶ ἄλλῳ ἀνδρί, ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥςπερ κεκαθαρμένην. *Πάνυ μὲν οὖν*, ἔφη ὁ Σιμμίας. *Κάθαρσις δὲ εἶναι ἄρα οὐ τοῦτο ξυμβαίνει ὅπερ πάλαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχήν, καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος ξυναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατόν, καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα, μόνην καθ' αὑτὴν ἐκλυομένην, ὥςπερ ἐκ δεσμῶν, ἐκ τοῦ σώματος; *Πάνυ μὲν οὖν*, ἔφη. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; *Παντάπασί γ'*, ἦ δ' ὅς. *Λύειν δέ γε αὐτήν*, ὥς φαμεν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, ἢ οὔ; *Φαίνεται.* Οὐκοῦν, ὅπερ ἐν ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη, ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι, οὕτω ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου, ἀγανακτεῖν· οὐ γελοῖον; *Πῶς δ' οὔ;* Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρ-

θῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστ᾽ αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ᾽ αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν, τούτου δὲ γιγνομένου φοβοῖντο καὶ ἀγανακτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν οἷ ἀφικομένοις ἐλπίς ἐστιν, οὗ διὰ βίου ἤρων, τυχεῖν· ἤρων δὲ φρονήσεως· ᾧ τε διεβέβληντο, τούτου ἀπηλλάχθαι ξυνόντος αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων, πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς ᾅδου ἐλθεῖν ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τε ἐκεῖ ὧν ἐπεθύμουν, καὶ ξυνέσεσθαι; φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου, ἢ ἐν ᾅδου, ἀγανακτήσει τε ἀποθνήσκων, καὶ οὐχ ἄσμενος εἶσιν αὐτόσε; οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι ᾖ, ὦ ἑταῖρε, φιλόσοφος· σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει, ἀλλ᾽ ἢ ἐκεῖ. εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅπερ ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος; Πολλὴ μέντοι νὴ Δία, ἦ δ᾽ ὅς. XIII. Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρὸς ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ᾽ ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος· ὁ αὐτὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος· ἤτοι τὰ ἕτερα τούτων, ἢ καὶ ἀμφότερα; Πάνυ γ᾽, ἔφη,

ἔχει οὕτως ὡς λέγεις. Ἆρ᾽ οὖν, ἔφη, ὦ Σιμμία, οὐ καὶ ἡ ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα προσήκει; Πάντως δήπου, ἔφη. Οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι, ἀλλ᾽ ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ᾽ οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθέλεις, ἦ δ᾽ ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πῶς δή, ὦ Σώκρατες; Οἶσθα, ἦ δ᾽ ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγίστων κακῶν εἶναι; Καὶ μάλα, ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες, πλὴν οἱ φιλόσοφοι· καίτοι ἄτοπόν γε δέει τινὰ ἢ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ μὲν οὖν. Τί δέ; οἱ κόσμιοι αὐτῶν οὐ ταὐτὸν τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γέ που ἀδύνατον εἶναι; ἀλλ᾽ ὅμως αὐτοῖς ξυμβαίνει τούτῳ ὅμοιον εἶναι τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην. φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι, καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται, ὑπ᾽ ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι· ἀλλ᾽ ὅμως ξυμβαίνει αὐτοῖς κρατουμένοις ὑφ᾽ ἡδονῶν, κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ᾽ ὅμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον

τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετήν, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα· ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀντὶ οὗ δεῖ πάντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ, καὶ ἀνδρεία, καὶ σωφροσύνη, καὶ δικαιοσύνη, καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ ᾖ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως, καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετή, καὶ τῷ ὄντι ἀνδραποδώδης τε, καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ· τὸ δ' ἀληθές, τῷ ὄντι ᾖ κάθαρσίς τις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρεία, καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ, καὶ κινδυνεύωσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες, οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος, ἐκεῖσε ἀφικόμενος, μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ γε παῦροι. οὗτοι δ' εἰσί, κατὰ τὴν ἐμὴν δόξαν, οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἔγωγε κατά γε τὸ δυνατὸν οὐ-

δὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην γενέσθαι. εἰ δὲ ὀρθῶς προὐθυμήθην, καί τι ἠνύσαμεν, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ. ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως ὑμᾶς τε ἀπολείπων καὶ τοὺς ἐνθάδε δεσπότας οὐ χαλεπῶς φέρω, οὐδ' ἀγανακτῶ, ἡγούμενος καὶ ἐκεῖ οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τε ἀγαθοῖς ἐντεύξεσθαι καὶ ἑταίροις· τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει. εἴ τι οὖν ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι. XIV. Εἰπόντος δὴ τοῦ Σωκράτους ταῦτα, ὑπολαβὼν ὁ Κέβης ἔφη, Ὦ Σώκρατες, τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ καλῶς λέγεσθαι, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μή, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδαμοῦ ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπολλύηται ᾗ ἂν ὁ ἄνθρωπος ἀποθάνῃ, εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος, καὶ ἐκβαίνουσα, ὥσπερ πνεῦμα ἢ καπνός, διασκεδασθεῖσα οἴχηται διαπτομένη, καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. ἐπεὶ εἴπερ εἴη που αὐτὴ καθ' ἑαυτὴν ξυνηθροισμένη καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν, ὧν σὺ νῦν διῆλθες, πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλή, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστιν ἃ σὺ λέγεις. ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου, καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σώκρατης.

ὦ Κέβης. ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν, εἴτε μή; Ἔγωγ᾽ οὖν, ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμι ἥντινα δόξαν ἔχεις περὶ αὐτῶν. Οὔκουν γ᾽ ἂν οἶμαι, ἦ δ᾽ ὅς, ὁ Σωκράτης, εἰπεῖν τινα νῦν ἀκούσαντα, οὐδ᾽ εἰ κωμῳδοποιὸς εἴη, ὡς ἀδολεσχῶ, καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦμαι. Εἰ οὖν δοκεῖ, καὶ χρὴ διασκοπεῖσθαι, σκεψώμεθα αὐτὸ τῇδέ πῃ, εἴτε ἄρα ἐν ᾅδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων, εἴτε καὶ οὔ. XV. Παλαιὸς μὲν οὖν ἐστί τις ὁ λόγος οὗτος οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται, καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. καὶ εἰ τοῦθ᾽ οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο, μὴ οὖσαι· καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ᾽ εἶναι, εἰ τῷ ὄντι φανερὸν γίγνοιτο ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. μὴ τοίνυν κατ᾽ ἀνθρώπων, ἦ δ᾽ ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσαπερ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν, ἆρ᾽ οὑτωσὶ γίγνεται ἅπαντα, οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι· οἷον, τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που, καὶ δίκαιον ἀδίκῳ· καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει. τοῦ-

το οὖν σκεψώμεθα ἆρα ἀναγκαῖον, ὅσοις ἐστί τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι, ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου· οἷον, ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι; Ναί. Οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; Ἔστιν, ἔφη, οὕτω. Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον, καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; Πάνυ γε. Τί δέ; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος; καὶ ἐὰν δικαιότερον, οὐκ ἐξ ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται ἐξ ἐναντίων τὰ ἐναντία πράγματα. Πάνυ γε. Τί δ' αὖ; ἐστί τι καὶ τοιόνδε ἐν αὐτοῖς οἷον μεταξὺ ἀμφοτέρων πάντων τῶν ἐναντίων δυοῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ ἑτέρου πάλιν ἐπὶ τὸ ἕτερον; μείζονος γὰρ πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις· καὶ καλοῦμεν οὕτω, τὸ μὲν, αὐξάνεσθαι, τὸ δέ, φθίνειν; Ναί, ἔφη. Οὐκοῦν καὶ διακρίνεσθαι καὶ ξυγκρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων, γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα; Πάνυ γ', ἦ δ' ὅς. XVI. Τί οὖν; ἔφη, τῷ ζῆν ἐστί τι ἐναντίον, ὥσπερ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; Πάνυ μὲν οὖν, ἔφη. Τί; Τὸ τεθνάναι, ἔφη. Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστί, καὶ αἱ

γενέσεις εἰσὶν αὐτῶν μεταξὺ δύο δυοῖν ὄντοιν; Πῶς γὰρ οὔ; Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν, ὧν νῦν δὴ ἔλεγον, ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μέν, καθεύδειν, τὸ δέ, ἐγρηγορέναι· καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι, καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν. καὶ τὰς γενέσεις αὐτοῖν, τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. ἱκανῶς σοι ἔφην, ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δὴ καὶ σύ μοι, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι; Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δέ, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται; Φαίνεται, ἔφη. Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν ᾅδου. Ἔοικεν. Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνήσκειν σαφὲς δήπου, ἢ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν, ἦ δ' ὅς, εἴπερ ἐστὶ τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; Πάνυ γε. Ὁμολογεῖται ἄρα ἡμῖν καὶ

ταύτῃ, τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι, οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων· τούτου δὲ ὄντος, ἱκανόν που τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.

XVII. Ἰδὲ τοίνυν, ἔφη, ὦ Κέβης, ὅτι οὐδ' ἀδίκως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὡσπερεὶ κύκλῳ περιϊόντα, ἀλλ' εὐθεῖά τις εἴη ἡ γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρύ, καὶ μὴ ἀνακάμπτοι πάλιν ἐπὶ τὸ ἕτερον, μηδὲ καμπὴν ποιοῖτο· οἶσθ' ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν σχοίη, καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι, καὶ παύσαιτο γιγνόμενα. Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ' ὅς, ἐννοῆσαι ὃ λέγω· ἀλλ' οἷον εἰ τὸ καταδαρθάνειν μὲν εἴη, τὸ δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη, γιγνόμενον ἐκ τοῦ καθεύδοντος, οἶσθ' ὅτι τελευτῶντα πάντα λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο, διὰ τὸ καὶ τὰ ἄλλα πάντα ταὐτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν. κἂν εἰ ξυγκρίνοιτο μὲν πάντα, διακρίνοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα· ὡσαύτως δέ, ὦ φίλε Κέβης, καὶ εἰ ἀποθνήσκοι μὲν πάντα, ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι, μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα, καὶ μὴ πάλιν ἀναβιώσκοιτο· ἆρ' οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι, καὶ μηδὲν ζῆν; εἰ γὰρ ἐκ

μὲν τῶν ἄλλων τὰ ζῶντα γίγνοιτο, τὰ δὲ ζῶντα θνήσκοι, τίς μηχανὴ μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι; Οὐδὲ μία μοι δοκεῖ, ἔφη ὁ Κέβης, ὦ Σώκρατες· ἀλλά μοι δοκεῖς παντάπασιν ἀληθῆ λέγειν. Ἔστι γάρ, ἔφη, ὦ Κέβης, ὡς ἐμοὶ δοκεῖ, παντὸς μᾶλλον οὕτω· καὶ ἡμεῖς τὰ αὐτὰ ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἀλλ' ἔστι τῷ ὄντι καὶ τὸ ἀναβιώσκεσθαι, καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι, καὶ τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι, καὶ ταῖς μὲν ἀγαθαῖς ἄμεινον εἶναι, ταῖς δὲ κακαῖς κάκιον. XVIII. Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ' ἐκεῖνόν γε τὸν λόγον, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν, ὃν σὺ εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτο ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα. τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψυχή, πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι. ὥστε καὶ ταύτῃ ἀθάνατόν τι ἔοικεν ἡ ψυχὴ εἶναι. Ἀλλ', ὦ Κέβης, ἔφη ὁ Σιμμίας ὑπολαβών, ποῖαι τούτων αἱ ἀποδείξεις; ὑπόμνησόν με. οὐ γὰρ σφόδρα ἐν τῷ παρόντι μέμνημαι. ἑνὶ μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίστῳ· ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ᾗ ἔχει. καίτοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη ἐνοῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιεῖν. ἔπειτα ἐάν τις ἐπὶ τὰ διαγράμματα ἄγῃ, ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦθα σαφέστατα κατηγορεῖ ὅτι τοῦτο

οὕτως ἔχει. Εἰ δὲ μὴ ταύτῃ γε, ἔφη, πείθῃ, ὦ Σιμμία, ὁ Σωκράτης, σκέψαι ἐὰν τῇδέ πῃ σοὶ σκοπουμένῳ ξυνδόξῃ. ἀπιστεῖς γὰρ δὴ πῶς ἡ καλουμένη μάθησις ἀνάμνησίς ἐστιν; Ἀπιστῶ μὲν ἔγωγ', ἦ δ' ὅς, ὁ Σιμμίας, οὔ· αὐτὸ δὲ τοῦτο, ἔφη, δέομαι μαθεῖν περὶ οὗ ὁ λόγος, ἀναμνησθῆναι· καὶ σχεδόν γε ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν, ἤδη μέμνημαι καὶ πείθομαι. οὐδὲν μέντ' ἂν ἧττον ἀκούοιμι νῦν, πῇ σὺ ἐπεχείρησας λέγειν. Τῇδε ἔγωγε, ἦ δ' ὅς. ὁμολογοῦμεν γάρ δήπου, εἴ τίς τι ἀναμνησθήσεται, δεῖν αὐτὸν τοῦτο πρότερόν ποτε ἐπίστασθαι. Πάνυ γε, ἔφη. Ἆρ' οὖν καὶ τόδε ὁμολογοῦμεν, ὅταν ἐπιστήμη παραγίγνηται τρόπῳ τοιούτῳ, ἀνάμνησιν εἶναι; λέγω δέ τινα τρόπον τοῦτον· ἐάν τίς τι ἕτερον ἢ ἰδὼν ἢ ἀκούσας, ἤ τινα ἄλλην αἴσθησιν λαβών, μὴ μόνον ἐκεῖνο γνῷ, ἀλλὰ καὶ ἕτερον ἐννοήσῃ, οὗ μὴ ἡ αὐτὴ ἐπιστήμη, ἀλλ' ἄλλη, ἆρ' οὐχὶ τοῦτο δικαίως λέγομεν ὅτι ἀνεμνήσθη οὗ τὴν ἔννοιαν ἔλαβεν; Πῶς λέγεις; Οἷον τὰ τοιάδε· ἄλλη που ἐπιστήμη ἀνθρώπου καὶ λύρας. Πῶς γὰρ οὔ; Οὐκοῦν οἶσθα ὅτι οἱ ἐρασταί, ὅταν ἴδωσι λύραν ἢ ἱμάτιον ἤ τι ἄλλο, οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο; ἔγνωσάν τε τὴν λύραν, καὶ ἐν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος τοῦ παιδός, οὗ ἦν ἡ λύρα· τοῦτο δ' ἐστὶν ἀνάμνησις. ὥσπερ γε καὶ Σιμμίαν τις ἰδὼν πολλάκις Κέβητος ἀνεμνήσθη, καὶ ἄλλα που μυρία τοιαῦτ' ἂν εἴη. Μυρία μέντοι νὴ Δία, ἔφη ὁ Σιμμίας. Οὐκοῦν, ἦ δ' ὅς, τὸ τοιοῦτον ἀνάμνη-

σίς τίς ἐστι; μάλιστα μέντοι ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα, ἃ ὑπὸ χρόνου καὶ τοῦ μὴ ἐπισκοπεῖν ἤδη ἐπελέληστο; Πάνυ μὲν οὖν, ἔφη. Τί δ'; ἦ δ' ὅς, ἔστιν ἵππον γεγραμμένον ἰδόντα, καὶ λύραν γεγραμμένην, ἀνθρώπου ἀναμνησθῆναι; καὶ Σιμμίαν ἰδόντα γεγραμμένον, Κέβητος ἀναμνησθῆναι; Πάνυ γε. Οὐκοῦν καὶ Σιμμίαν ἰδόντα γεγραμμένον, αὐτοῦ Σιμμίου ἀναμνησθῆναι; Ἔστι μέντοι, ἔφη. XIX. Ἆρ' οὖν οὐ κατὰ πάντα ταῦτα ξυμβαίνει τὴν ἀνάμνησιν εἶναι, τὴν μὲν ἀφ' ὁμοίων, τὴν δὲ καὶ ἀπ' ἀνομοίων; Ξυμβαίνει. Ἀλλ' ὅταν γε ἀπὸ τῶν ὁμοίων ἀναμιμνήσκηταί τίς τι, ἆρ' οὐκ ἀναγκαῖον τόδε προςπάσχειν, ἐννοεῖν, εἴτε τι ἐλλείπει τοῦτο κατὰ τὴν ὁμοιότητα, εἴτε μή, ἐκείνου οὗ ἀνεμνήσθη; Ἀνάγκη, ἔφη. Σκόπει δή, ἦ δ' ὅς, εἰ ταῦτα οὕτως ἔχει. φαμέν πού τι εἶναι ἴσον; οὐ ξύλον ξύλῳ λέγω, οὐδὲ λίθον λίθῳ, οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ παρὰ πάντα ταῦτα ἕτερόν τι, αὐτὸ τὸ ἴσον· φῶμέν τι εἶναι, ἢ μηδέν; Φῶμεν μέντοι νὴ Δία, ἔφη ὁ Σιμμίας, θαυμαστῶς γε. Ἦ καὶ ἐπιστάμεθα αὐτὸ ὅ ἐστιν ἴσον; Πάνυ γε, ἦ δ' ὅς. Πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; ἆρ' οὐκ ἐξ ὧν νῦν δὴ ἐλέγομεν, ἢ ξύλα ἢ λίθους ἢ ἄλλ' ἄττα ἰδόντες τὰ ἴσα, ἐκ τούτων ἐκεῖνο ἐνενοήσαμεν, ἕτερον ὂν τούτων· ἢ οὐχ ἕτερόν σοι φαίνεται; — σκόπει δὲ καὶ τῇδε. ἆρ' οὐ λίθοι μὲν ἴσοι, καὶ ξύλα ἐνίοτε τὰ αὐτὰ ὄντα, τοτὲ μὲν ἴσα φαίνεται, τοτὲ δ' οὔ; Πάνυ μὲν οὖν. Τί δέ; αὐτὰ τὰ ἴσα ἔστιν ὅτε ἄνισά σοι ἐφάνη,

ἢ ἡ ἰσότης ἀνισότης; Οὐδεπώποτέ γε, ὦ Σώκρατες. Οὐ ταὐτὸν ἄρ' ἐστίν, ἦ δ' ὅς, ταῦτά τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον. Οὐδαμῶς μοι φαίνεται, ὦ Σώκρατες. Ἀλλὰ μὴν ἐκ τούτων γ', ἔφη, τῶν ἴσων, ἑτέρων ὄντων ἐκείνου τοῦ ἴσου, ὅμως αὐτοῦ τὴν ἐπιστήμην ἐννενόηκάς τε καὶ εἴληφας; Ἀληθέστατα, ἔφη, λέγεις. Οὐκοῦν ἢ ὁμοίου ὄντος τούτοις, ἢ ἀνομοίου; Πάνυ γε. Διαφέρει δέ γ', ἦ δ' ὅς, οὐδέν. ἕως γὰρ ἂν ἄλλο ἰδὼν ἀπὸ ταύτης τῆς ὄψεως ἄλλο ἐννοήσῃς, εἴτε ἀνόμοιον εἴτε ὅμοιον, ἀναγκαῖον, ἔφη, αὐτὸ ἀνάμνησιν γεγονέναι. Πάνυ μὲν οὖν. Τί δαὶ τόδ'; ἦ δ' ὅς· ἦ πάσχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ οἷς νῦν δὴ ἐλέγομεν, ἐν τοῖς ἴσοις; ἆρα φαίνεται ἡμῖν οὕτως ἴσα εἶναι ὥσπερ αὐτὸ ὃ ἔστιν ἴσον; ἢ ἐνδεῖ τι ἐκείνου τῷ μὴ τοιοῦτον εἶναι οἷον τὸ ἴσον, ἢ οὐδέν; καὶ πολύ γε, ἔφη, ἐνδεῖ. Οὐκοῦν ὁμολογοῦμεν, ὅταν τίς τι ἰδὼν ἐννοήσῃ, ὅτι βούλεται μὲν, τοῦτο ὃ νῦν ἐγὼ ὁρῶ, εἶναι οἷον ἄλλο τι τῶν ὄντων, ἐνδεῖ δὲ, καὶ οὐ δύναται τοιοῦτον εἶναι οἷον ἐκεῖνο, ἀλλ' ἔστι φαυλότερον, ἀναγκαῖόν που τὸν τοῦτο ἐννοοῦντα τυχεῖν προειδότα ἐκεῖνο, ᾧ φησὶν αὐτὸ προσεοικέναι μὲν, ἐνδεεστέρως δὲ ἔχειν; Ἀνάγκη. Τί οὖν; τὸ τοιοῦτον πεπόνθαμεν καὶ ἡμεῖς, ἢ οὔ, περί τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον; Παντάπασί γε. Ἀναγκαῖον ἄρα ἡμᾶς προειδέναι τὸ ἴσον πρὸ ἐκείνου τοῦ χρόνου, ὅτε τὸ πρῶτον ἰδόντες τὰ ἴσα, ἐνενοήσαμεν ὅτι ὀρέγεται μὲν πάντα ταῦτ' εἶναι οἷον τὸ ἴσον, ἔχει δὲ ἐνδεεστέρως. Ἔστι ταῦτα. Ἀλλὰ μὴν καὶ τόδε

ὁμολογοῦμεν, μὴ ἄλλοθεν αὐτὸ ἐννενοηκέναι, μηδὲ δυνατὸν εἶναι ἐννοῆσαι, ἀλλ' ἢ ἐκ τοῦ ἰδεῖν ἢ ἅψασθαι, ἢ ἔκ τινος ἄλλης τῶν αἰσθήσεων. ταὐτὸν δὲ πάντα ταῦτα λέγω. Ταὐτὸν γάρ ἐστιν, ὦ Σώκρατες, πρός γε ὃ βούλεται δηλῶσαι ὁ λόγος. ἀλλὰ μὲν δὴ ἔκ γε τῶν αἰσθήσεων δεῖ ἐννοῆσαι, ὅτι πάντα τὰ ἐν ταῖς αἰσθήσεσιν ἐκείνου τε ὀρέγεται τοῦ ὃ ἐστιν ἴσον, καὶ αὐτοῦ ἐνδεέστερά ἐστιν· ἢ πῶς λέγωμεν; Οὕτω. πρὸ γὰρ τοῦ ἄρξασθαι ἡμᾶς ὁρᾶν καὶ ἀκούειν καὶ τἆλλα αἰσθάνεσθαι, τυχεῖν ἔδει που εἰληφότας ἐπιστήμην αὐτοῦ τοῦ ἴσου, ὅ, τι ἐστίν, εἰ ἐμέλλομεν τὰ ἐκ τῶν αἰσθήσεων ἴσα ἐκεῖσε ἀνοίσειν· ὅτι προθυμεῖται μὲν πάντα τὰ τοιαῦτα εἶναι οἷον ἐκεῖνο, ἔστι δὲ αὐτοῦ φαυλότερα. Ἀνάγκη ἐκ τῶν προειρημένων, ὦ Σώκρατες. Οὐκοῦν γενόμενοι εὐθὺς ἑωρῶμέν τε καὶ ἠκούομεν καὶ τὰς ἄλλας αἰσθήσεις εἴχομεν; Πάνυ γε. Ἔδει δέ γε, φαμέν, πρὸ τούτων τὴν τοῦ ἴσου ἐπιστήμην εἰληφέναι. Ναί. Πρὶν γενέσθαι ἄρα, ὡς ἔοικεν, ἀνάγκη ἡμῖν αὐτὴν εἰληφέναι. Ἔοικεν. XX. Οὐκοῦν εἰ μὲν λαβόντες αὐτὴν πρὸ τοῦ γενέσθαι, ἔχοντες ἐγενόμεθα, ἠπιστάμεθα καὶ πρὶν γενέσθαι, καὶ εὐθὺς γενόμενοι, οὐ μόνον τὸ ἴσον καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλὰ καὶ ξύμπαντα τὰ τοιαῦτα. οὐ γὰρ περὶ τοῦ ἴσου νῦν ὁ λόγος ἡμῖν μᾶλλόν τι ἢ καὶ περὶ αὐτοῦ τοῦ καλοῦ καὶ αὐτοῦ τοῦ ἀγαθοῦ καὶ δικαίου καὶ ὁσίου, καί, ὅπερ λέγω, περὶ ἁπάντων οἷς ἐπισφραγιζόμεθα τοῦτο, ὃ ἐστι, καὶ ἐν ταῖς ἐρωτήσεσιν ἐρωτῶντες, καὶ ἐν ταῖς ἀπο-

κρίνεσιν ἀποκρινόμενοι. ὥςτε ἀναγκαῖον ἡμῖν εἶναι, τούτων ἁπάντων τὰς ἐπιστήμας πρὸ τοῦ γενέσθαι εἰληφέναι. Ἔστι ταῦτα. Καὶ εἰ μέν γε λαβόντες μὴ ἑκάστοτε ἐπελελήσμεθα, εἰδότας ἀεὶ γίγνεσθαι, καὶ ἀεὶ διὰ βίου εἰδέναι. τὸ γὰρ εἰδέναι τοῦτ᾽ ἔστι, λαβόντα του ἐπιστήμην ἔχειν, καὶ μὴ ἀπολωλεκέναι· ἢ οὐ τοῦτο λήθην λέγομεν, ὦ Σιμμία, ἐπιστήμης ἀποβολήν; Πάντως δήπου, ἔφη, ὦ Σώκρατες. Εἰ δέ γε, οἶμαι, λαβόντες πρὶν γενέσθαι, γιγνόμενοι ἀπωλέσαμεν, ὕστερον δὲ ταῖς αἰσθήσεσι χρώμενοι περὶ αὐτὰ ἐκείνας ἀναλαμβάνομεν τὰς ἐπιστήμας ἅς ποτε καὶ πρὶν εἴχομεν, ἆρ᾽ οὐχ, ὃ καλοῦμεν μανθάνειν, οἰκείαν ἂν ἐπιστήμην ἀναλαμβάνειν εἴη; τοῦτο δέ που ἀναμιμνήσκεσθαι λέγοντες, ὀρθῶς ἂν λέγοιμεν; Πάνυ γε. Δυνατὸν γὰρ δὴ τοῦτό γ᾽ ἐφάνη, αἰσθόμενόν τι, ἢ ἰδόντα, ἢ ἀκούσαντα, ἤ τινα ἄλλην αἴσθησιν λαβόντα, ἕτερόν τι ἀπὸ τούτου ἐννοῆσαι ὃ ἐπελέληστο, ᾧ τοῦτο ἐπλησίαζεν ἀνόμοιον ὄν, ἢ ᾧ ὅμοιον· ὥςτε, ὅπερ λέγω, δυοῖν θάτερον, ἤτοι ἐπιστάμενοί τε αὐτὰ γεγόναμεν καὶ ἐπιστάμεθα διὰ βίου πάντες, ἢ ὕστερον οὕς φαμεν μανθάνειν, οὐδὲν ἄλλ᾽ ἢ ἀναμιμνήσκονται οὗτοι· καὶ ἡ μάθησις, ἀνάμνησις ἂν εἴη. Καὶ μάλα δὴ οὕτως ἔχει, ὦ Σώκρατες. XXI. Πότερον οὖν αἱρῇ, ὦ Σιμμία; ἐπισταμένους ἡμᾶς γεγονέναι, ἢ ἀναμιμνήσκεσθαι ὕστερον ὧν πρότερον ἐπιστήμην εἰληφότες ἦμεν; Οὐκ ἔχω, ὦ Σώκρατες, ἐν τῷ παρόντι ἑλέσθαι. Τί δέ; τόδε ἔχεις ἑλέσθαι, καὶ πῇ σοι δοκεῖ περὶ αὐτοῦ; ἀνὴρ ἐπιστάμενος, περὶ ὧν ἐπίστα-

ται, ἔχοι ἂν δοῦναι λόγον, ἢ οὔ; Πολλὴ ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ δοκοῦσί σοι πάντες ἔχειν διδόναι λόγον περὶ τούτων ὧν νῦν δὴ ἐλέγομεν; Βουλοίμην μέντ᾽ ἄν, ἔφη ὁ Σιμμίας· ἀλλὰ πολὺ μᾶλλον φοβοῦμαι μὴ αὔριον τηνικάδε οὐκέτι ᾖ ἀνθρώπων οὐδεὶς ἀξίως οἷός τε τοῦτο ποιῆσαι. Οὐκ ἄρα δοκοῦσί σοι ἐπίστασθαί γε, ἔφη, ὦ Σιμμία, πάντες αὐτά; Οὐδαμῶς. Ἀναμιμνήσκονται ἄρα ἅ ποτε ἔμαθον. Ἀνάγκη. Πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; οὐ γὰρ δὴ ἀφ᾽ οὗ γε ἄνθρωποι γεγόναμεν. Οὐ δῆτα. Πρότερον ἄρα. Ναί. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον· εἰ μὴ ἄρα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας· οὗτος γὰρ λείπεται ἔτι ὁ χρόνος. Εἶεν, ὦ ἑταῖρε. ἀπόλλυμεν δὲ αὐτὰς ἐν ποίῳ ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γε αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν. ἢ ἐν τούτῳ ἀπόλλυμεν ᾧπερ καὶ λαμβάνομεν; ἢ ἔχεις ἄλλον τινὰ εἰπεῖν χρόνον; Οὐδαμῶς, ὦ Σώκρατες· ἀλλ᾽ ἔλαθον ἐμαυτὸν οὐδὲν εἰπών. XXII. Ἆρ᾽ οὖν οὕτως ἔχει, ἔφη, ἡμῖν, ὦ Σιμμία. εἰ μὲν ἔστιν ἃ θρυλλοῦμεν ἀεί, καλόν τέ τι καὶ ἀγαθόν, καὶ πᾶσα ἡ τοιαύτη οὐσία, καὶ ἐπὶ ταύτην τὰ ἐκ τῶν αἰσθήσεων πάντα ἀναφέρομεν, ὑπάρχουσαν πρότερον ἀνευρίσκοντες ἡμετέραν οὖσαν, καὶ ταῦτα ἐκείνῃ ἀπεικάζομεν, ἀναγκαῖον, οὕτως ὥσπερ καὶ ταῦτά ἐστιν, οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι καὶ πρὶν γεγονέναι ἡμᾶς· εἰ δὲ μή

ἐστι ταῦτα, ἄλλως ἂν ὁ λόγος οὗτος εἰρημένος εἴη. ἆρ' οὕτως ἔχει, καὶ ἴση ἀνάγκη ταῦτά τε εἶναι, καὶ τὰς ἡμετέρας ψυχάς, πρὶν καὶ ἡμᾶς, γεγονέναι· καὶ εἰ μὴ ταῦτα, οὐδὲ τάδε; Ὑπερφυῶς, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας, δοκεῖ μοι ἡ αὐτὴ ἀνάγκη εἶναι· καὶ εἰς καλόν γε καταφεύγει ὁ λόγος, εἰς τὸ ὁμοίως εἶναι τήν τε ψυχὴν ἡμῶν, πρὶν γενέσθαι ἡμᾶς, καὶ τὴν οὐσίαν ἣν συ νῦν λέγεις. οὐ γὰρ ἔχω ἔγωγε οὐδὲν οὕτω μοι ἐναργὲς ὂν, ὡς τοῦτο, τὸ πάντα τὰ τοιαῦτα εἶναι ὡς οἷόν τε μάλιστα καλόν τε καὶ ἀγαθὸν, καὶ τἄλλα πάντα ἃ συ νῦν δὴ ἔλεγες· καὶ ἔμοιγε ἱκανῶς ἀποδέδεικται. τί δὲ δὴ Κέβητι; ἔφη ὁ Σωκράτης. δεῖ γὰρ καὶ Κέβητα πείθειν. Ἱκανῶς, ἔφη ὁ Σιμμίας, ὡς ἔγωγε οἶμαι· καίτοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ' οἶμαι οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτὸν, ὅτι πρὶν γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή. XXIII. Εἰ μέντοι καὶ ἐπειδὰν ἀποθάνωμεν ἔτι ἔσται, οὐδ' αὐτῷ μοι δοκεῖ, ὦ Σώκρατες, ἔφη, ἀποδεδεῖχθαι, ἀλλ' ἔτι ἐνέστηκεν, ὃ νῦν δὴ Κέβης ἔλεγε, τὸ τῶν πολλῶν, ὅπως μὴ ἅμα ἀποθνήσκοντος τοῦ ἀνθρώπου διασκεδαννύηται ἡ ψυχή, καὶ αὐτῇ τοῦ εἶναι τοῦτο τέλος ᾖ. τί γὰρ κωλύει γίγνεσθαι μὲν αὐτὴν καὶ ξυνίστασθαι ἄλλοθέν ποθεν, καὶ εἶναι, πρὶν καὶ εἰς ἀνθρώπειον σῶμα ἀφικέσθαι· ἐπειδὰν δὲ ἀφίκηται καὶ ἀπαλλάττηται τούτου, τότε καὶ αὐτὴν τελευτᾷν καὶ διαφθείρεσθαι; Εὖ λέγεις, ἔφη, ὦ Σιμμία, ὁ Κέβης. φαίνεται γὰρ ὥσπερ ἥμισυ ἀποδεδεῖχθαι οὗ δεῖ, ὅτι πρὶν γενέσθαι

ἡμᾶς, ἣν ἡμῶν ἡ ψυχή· δεῖν δὲ προςαποδεῖξαι ἔτι, εἰ καὶ ἐπειδὰν ἀποθάνωμεν, οὐδὲν ἧττον ἔσται ἢ πρὶν γενέσθαι, εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἕξειν. Ἀποδέδεικται μὲν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ὁ Σωκράτης, καὶ νῦν εἰ θέλετε ξυνθεῖναι τοῦτόν τε τὸν λόγον εἰς ταὐτὸν καὶ ὃν πρὸ τούτου ὡμολογήσαμεν, τὸ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος. εἰ γάρ ἐστιν ἡ ψυχὴ καὶ πρότερον, ἀνάγκη δ᾽ αὐτῇ εἰς τὸ ζῆν ἰούσῃ τε καὶ γιγνομένῃ μηδαμόθεν ἄλλοθεν ἢ ἐκ θανάτου τε καὶ ἐκ τοῦ τεθνάναι γίγνεσθαι· πῶς οὐκ ἀνάγκη αὐτὴν καὶ ἐπειδὰν ἀποθάνῃ εἶναι, ἐπειδή γε δεῖ αὖθις αὐτὴν γίγνεσθαι; ἀποδέδεικται μὲν οὖν, ὅπερ λέγεται καὶ νῦν. XXIV. Ὅμως δέ μοι δοκεῖς σύ τε καὶ Σιμμίας ἡδέως ἂν καὶ τοῦτον διαπραγματεύσασθαι τὸν λόγον ἔτι μᾶλλον, καὶ δεδιέναι τὸ τῶν παίδων, μὴ ὡς ἀληθῶς ὁ ἄνεμος αὐτὴν ἐκβαίνουσαν ἐκ τοῦ σώματος διαφυσᾷ καὶ διασκεδάννυσιν· ἄλλως τε καὶ ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ ἀλλ᾽ ἐν μεγάλῳ τινὶ πνεύματι ἀποθνήσκων. Καὶ ὁ Κέβης ἐπιγελάσας, Ὡς δεδιότων, ἔφη, ὦ Σώκρατες, πειρῶ ἀναπείθειν· μᾶλλον δὲ μὴ ὡς ἡμῶν δεδιότων. ἀλλ᾽ ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς ὅστις τὰ τοιαῦτα φοβεῖται. τοῦτον οὖν πειρώμεθα πείθειν μὴ δεδιέναι τὸν θάνατον, ὥςπερ τὰ μορμολύκεια. Ἀλλὰ χρή, ἔφη ὁ Σωκράτης, ἐπᾴδειν αὐτῷ ἑκάστης ἡμέρας, ἕως ἂν ἐξιάσηται. Πόθεν οὖν, ἔφη, ὦ Σώκρατες, τῶν τοιούτων ἀγαθὸν ἐπῳδὸν ληψόμεθα, ἐπειδὴ σύ, ἔφη, ἡμᾶς ἀπολείπεις; Πολλὴ μὲν ἡ Ἑλλάς, ἔφη, ὦ Κέβης, ἐν

ἢ ἔνεισί που ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων γένη, οὓς πάντας χρὴ διερευνᾶσθαι, ζητοῦντας τοιοῦτον ἐπῳδόν, μήτε χρημάτων φειδομένους, μήτε πόνων· ὡς οὐκ ἔστιν εἰς ὅ, τι ἂν εὐκαιρότερον ἀναλίσκοιτε χρήματα. ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ᾽ ἀλλήλων· ἴσως γὰρ ἂν οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ἡμῶν δυναμένους τοῦτο ποιεῖν. Ἀλλὰ ταῦτα μὲν δὴ ὑπάρξει, ἔφη ὁ Κέβης. ὅθεν δὲ ἀπελίπομεν, ἐπανέλθωμεν, εἴ σοι ἡδομένῳ ἐστίν. Ἀλλὰ μὴν ἡδομένῳ γε· πῶς γὰρ οὐ μέλλει; XXV. Καλῶς, ἔφη, λέγεις. Οὐκοῦν τοιόνδε τι, ἦ δ᾽ ὅς, ὁ Σωκράτης, δεῖ ἡμᾶς ἀνερέσθαι ἑαυτούς, τῷ ποίῳ τινὶ ἄρα προσήκει τοῦτο τὸ πάθος πάσχειν, τὸ διασκεδάννυσθαι, καὶ ὑπὲρ τοῦ ποίου τινὸς δεδιέναι, μὴ πάθῃ αὐτὸ καὶ τῷ ποίῳ τινί· καὶ μετὰ τοῦτο αὖ ἐπισκέψασθαι πότερον ψυχή ἐστι· καὶ ἐκ τούτων θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς. Ἀληθῆ, ἔφη, λέγεις. Ἆρ᾽ οὖν τῷ μὲν ξυντεθέντι τε καὶ ξυνθέτῳ ὄντι, φύσει προσήκει τοῦτο πάσχειν, διαιρεθῆναι ταύτῃ ᾗπερ ξυνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀξύνθετον, τούτῳ μόνῳ προσήκει μὴ πάσχειν ταῦτα, εἴπερ τῳ ἄλλῳ; Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. Οὐκοῦν ἅπερ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀξύνθετα· τὰ δὲ ἄλλοτ᾽ ἄλλως καὶ μηδέποτε κατὰ ταὐτά, ταῦτα δὲ εἶναι τὰ ξύνθετα; Ἔμοιγε δοκεῖ οὕτως. Ἴωμεν δή, ἔφη, ἐπὶ ταῦτα ἐφ᾽ ἅπερ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία ἧς λόγον δίδομεν τοῦ εἶναι, καὶ ἐρωτῶντες καὶ ἀποκρι-

νόμενοι; πότερον ὡσαύτως ἀεὶ ἔχει κατὰ ταὐτὰ ἢ ἄλλοτ' ἄλλως; αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον, ὅ ἐστι τὸ ὄν, μήποτε μεταβολὴν καὶ ἡντινοῦν ἐνδέχεται; ἢ ἀεὶ αὐτῶν ἕκαστον, ὅ ἐστι μονοειδὲς ὄν, αὐτὸ καθ' αὑτὸ ὡσαύτως κατὰ ταὐτὰ ἔχει, καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται; Ὡσαύτως, ἔφη, ἀνάγκη, ὁ Κέβης, καὶ κατὰ τὰ αὐτὰ ἔχειν, ὦ Σώκρατες. Τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων, ἢ ἵππων, ἢ ἱματίων, ἢ ἄλλων ὡντινωνοῦν τοιούτων, ἴσων ἢ καλῶν ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων, ἆρα κατὰ τὰ αὐτὰ ἔχει, ἢ πᾶν τοὐναντίον ἐκείνοις, οὔτε αὐτὰ αὑτοῖς, οὔτε ἀλλήλοις οὐδέποτε, ὡς ἔπος εἰπεῖν, οὐδαμῶς κατὰ ταὐτά ἐστιν; Οὕτως αὖ, ἔφη, ταῦτα, ὁ Κέβης, οὐδέποτε ὡσαύτως ἔχει. Οὐκοῦν τούτων μὲν κἂν ἅψαιο, κἂν ἴδοις, κἂν ταῖς ἄλλαις αἰσθήσεσιν αἴσθοιο· τῶν δὲ κατὰ ταὐτὰ ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ· ἀλλ' ἔστιν ἀειδῆ τὰ τοιαῦτα καὶ οὐχ ὁρᾶται. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. XXVI. Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων; τὸ μέν, ὁρατόν, τὸ δέ, ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά. Καὶ τοῦτο, ἔφη, θῶμεν. Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν, ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Οὐδὲν ἄλλο, ἔφη. Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; Παντί, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. Τί δέ; ἡ ψυχὴ ὁρατὸν ἢ ἀειδές;

Οὐχ ὑπ' ἀνθρώπων γε, ὦ Σώκρατες, ἔφη. Ἀλλὰ
μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ, τῇ τῶν ἀνθρώ-
πων φύσει ἐλέγομεν; ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν ἀν-
θρώπων. Τί οὖν περὶ ψυχῆς λέγομεν, ὁρατὸν εἶναι,
ἢ οὐχ ὁρατόν; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα. Ναί. Ὁ-
μοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ
ὁρατῷ. Πᾶσα ἀνάγκη, ὦ Σώκρατες. XXVII. Οὐκοῦν
καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι ἡ ψυχὴ, ὅταν μὲν τῷ σώ-
ματι προςχρῆται εἰς τὸ σκοπεῖν τι, ἢ διὰ τοῦ ὁρᾷν,
ἢ διὰ τοῦ ἀκούειν, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως
(τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθή-
σεως σκοπεῖν τι) τότε μὲν ἕλκεται ὑπὸ τοῦ σώματος
εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλα-
νᾶται καὶ ταράττεται, καὶ ἰλιγγιᾷ, ὥςπερ μεθύου-
σα, ἅτε τοιούτων ἐφαπτομένη; Πάνυ γε. Ὅταν δέ
γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ
καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡςαύτως
ἔχον· καὶ, ὡς ξυγγενὴς οὖσα αὐτοῦ, ἀεὶ μετ' ἐκείνου
τε γίγνεται, ὅταν περ αὐτὴ καθ' αὑτὴν γένηται καὶ
ἐξῇ αὐτῇ· καὶ πέπαυταί τε τοῦ πλάνου, καὶ περὶ
ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡςαύτως ἔχει, ἅτε τοιούτων
ἐφαπτομένη· καὶ τοῦτο αὐτῆς τὸ πάθημα, φρόνησις
κέκληται. Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέ-
γεις, ὦ Σώκρατες. Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ
εἴδει, καὶ ἐκ τῶν πρόσθεν καὶ ἐκ τῶν νῦν λεγομένων,
ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; Πᾶς ἂν,
ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ξυγχωρῆσαι, ὦ Σώκρατες, ἐκ
ταύτης τῆς μεθόδου, καὶ ὁ δυςμαθέστατος, ὅτι ὅλῳ

καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον, ἢ τῷ μή. Τί δὲ τὸ σῶμα; Τῷ ἑτέρῳ. XVIII. Ὅρα δὴ καὶ τῇδε, ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ, ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι, καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικε; Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει· τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον εἶναι ψυχήν· τῷ δ᾽ ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ τὰ αὐτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι παρὰ ταῦτα ἄλλο λέγειν, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; Οὐκ ἔχομεν. XXIX. Τί οὖν, τούτων οὕτως ἐχόντων, ἆρ᾽ οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τοπαράπαν ἀδιαλύτῳ εἶναι· ἢ ἐγγύς τι τούτου; Πῶς γὰρ οὔ; Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ, τὸ σῶμα, καὶ ἐν ὁρατῷ κείμενον, (ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι,) οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ᾽ ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον,

ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ, καὶ ἐν τοιαύτῃ ὥρᾳ καὶ πάνυ μάλα, ξυμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθὲν, ὥςπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον· ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα, καὶ τὰ τοιαῦτα πάντα, ὅμως, ὡς ἔπος εἰπεῖν, ἀθάνατά ἐστιν· ἢ οὔ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς ᾅδου, ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, (οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον,) αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα, ἀπαλλαττομένη τοῦ σώματος, εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία. ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτό, καὶ ξυνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο· — τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα, καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ τοῦτ᾿ ἂν εἴη μελέτη θανάτου; παντάπασί γε. — οὐκοῦν οὕτω μὲν ἔχουσα, εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον; οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀγνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ· ὥςπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν

λοιπὸν χρόνον μετὰ θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; Οὕτω νὴ Δία, ἔφη ὁ Κέβης· XXX. Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα, καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα, καὶ γεγοητευμένη ὑπ᾽ αὐτοῦ, ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥςτε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ᾽ ἢ τὸ σωματοειδές, οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι, καὶ πίοι καὶ φάγοι, καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο· τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν· οὕτω δὴ ἔχουσαν, οἴει ψυχὴν αὐτὴν καθ᾽ αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; Οὐδ᾽ ὁπωςτιοῦν, ἔφη. Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ ξυνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον. Πάνυ γε. Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι, καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ ᾅδου, ὥςπερ λέγεται, περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη· περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι, ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι: διὸ καὶ ὁρῶνται. Εἰκός γε, ὦ Σώκρατες. Εἰκὸς μέντοι, ὦ Κέβης, καὶ οὔτι γε τὰς τῶν ἀγα-

θῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι, δίκην τίνουσαι τῆς προτέρας τροφῆς, κακῆς οὔσης. καὶ μέχρι γε τούτου πλανῶνται ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα. XXXI. Ἐνδοῦνται δέ, ὥσπερ εἰκός, εἰς τὰ τοιαῦτα ἤθη ὁποῖα ἄττ' ἂν μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; Οἷον, τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας, καὶ μὴ διευλαβημένους, εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ οἴει; Πάνυ μὲν οὖν εἰκὸς λέγεις. Τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας, εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη· ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι; Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τἆλλα, οἷ ἂν ἑκάστη ἴοι κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης. Δῆλον δή, ἔφη. πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσί, καὶ εἰς βέλτιστον τόπον ἰόντες, οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες· ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν, ἄνευ φιλοσοφίας τε καὶ νοῦ; — Πῇ δὴ οὗτοι εὐδαιμονέστατοι; — Ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικόν τε καὶ ἥμερον γένος, ἤ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ

γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. Εἰκός. XXXII. Εἰς δέ γε θεῶν γένος, μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι, οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ Κέβης, οἱ ὀρθῶς φιλόσοφοι ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν, καὶ καρτεροῦσι, καὶ οὐ παραδιδόασιν αὐταῖς αὑτούς, οὔτι οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι, ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι, οὐδὲ αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. Οὐ γὰρ ἂν πρέποι, ἔφη, ὦ Σώκρατες, ὁ Κέβης. Οὐ μέντοι μὰ Δία, ἦ δ' ὅς. τοιγάρτοι τούτοις μὲν ἅπασιν, ἔφη, ὦ Κέβης, ἐκεῖνοι, οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι, χαίρειν εἰπόντες, οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς, ὡς οὐκ εἰδόσιν ὅπη ἔρχονται· αὐτοὶ δὲ ἡγούμενοι οὐ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν, καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ, ταύτῃ τρέπονται, ἐκείνῃ ἑπόμενοι ᾗ ἐκείνη ὑφηγεῖται. XXXIII. Πῶς, ὦ Σώκρατες; Ἐγὼ ἐρῶ, ἔφη. γιγνώσκουσι γάρ, ἦ δ' ὅς, οἱ φιλομαθεῖς, ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία, ἀτεχνῶς διαδεδεμένην ἐν τῷ σώματι καὶ προσκεκολλημένην, ἀναγκαζομένην δέ, ὥσπερ δι' εἱργμοῦ, διὰ τούτου σκοπεῖσθαι τὰ ὄντα, ἀλλὰ μὴ αὐτὴν δι' αὑτῆς, καὶ ἐν πάσῃ ἀμαθίᾳ κυλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν δεινότητα κατιδοῦσα ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστα αὐτὸς ὁ

δεδεμένος ξυλλήπτωρ εἴη τῷ δεδέσθαι· ὅπερ οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν, ἠρέμα παραμυθεῖται καὶ λύειν ἐπιχειρεῖ· ἐνδεικνυμένη ὅτι ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπάτης δὲ ἡ διὰ τῶν ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων· πείθουσα δὲ ἐκ τούτων μὲν ἀναχωρεῖν ὅσον μὴ ἀνάγκη αὐτοῖς χρῆσθαι, αὐτὴν δὲ εἰς αὐτὴν ξυλλέγεσθαι καὶ ἀθροίζεσθαι παρακελευομένη· πιστεύειν δὲ μηδενὶ ἄλλῳ, ἀλλ' ἢ αὐτὴν αὐτῇ, ὅ, τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων. ὅ, τι δ' ἂν δι' ἄλλων σκοπῇ, ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές· (εἶναι δὲ τὸ μὲν τοιοῦτον, αἰσθητόν τε καὶ ὁρατόν·) ὃ δὲ αὐτὴ ὁρᾷ, νοητόν τε καὶ ἀειδές. ταύτῃ οὖν τῇ λύσει οὐκ οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ λυπῶν καὶ φόβων καθ' ὅσον δύναται, λογιζομένη ὅτι ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ' αὐτῶν ὅσον ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας, ἤ τι ἀναλώσας διὰ τὰς ἐπιθυμίας· ἀλλ' ὃ πάντων μέγιστόν τε κακῶν καὶ ἔσχατόν ἐστι, τοῦτο πάσχει, καὶ οὐ λογίζεται αὐτό. Τί τοῦτο, ὦ Σώκρατες; ἔφη ὁ Κέβης. Ὅτι ἡ ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται ἅμα τε ἡσθῆναι ἢ λυπηθῆναι σφόδρα, ἐπὶ τῷ καὶ ἡγεῖσθαι περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἐναργέστατόν τε καὶ ἀληθέστατον εἶναι, οὐχ οὕτως

ἔχον· ταῦτα δὲ μάλιστα ὁρατά ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα καταδεῖται ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ, καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα ἀληθῆ εἶναι ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν, ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι, καὶ οἵα μηδέποτε εἰς ᾅδου καθαρῶς ἀφικέσθαι, ἀλλ᾽ ἀεὶ ἀναπλέα τοῦ σώματος ἐξιέναι, ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο σῶμα, καὶ ὥσπερ σπειρομένη ἐμφύεσθαι, καὶ ἐκ τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ καὶ μονοειδοῦς ξυνουσίας. Ἀληθέστατα, ἔφη, λέγεις, ὁ Κέβης, ὦ Σώκρατες. XXXIV. Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δικαίως φιλομαθεῖς κόσμιοί εἰσι καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ ἕνεκά φασιν· ἢ σὺ οἴει; Οὐ δῆτα ἔγωγε. Οὐ γάρ, ἀλλ᾽ οὕτω λογίσαιτ᾽ ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου· καὶ οὐκ ἂν οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν, λυούσης δὲ ἐκείνης, αὐτὴν παραδιδόναι ταῖς ἡδοναῖς καὶ λύπαις ἑαυτήν, πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον ἔργον πράττειν, Πηνελόπης τινὰ ἐναντίως ἱστὸν μεταχειριζομένην· ἀλλὰ γαλήνην τούτων παρασκευάζουσα, ἑπομένη τῷ λογισμῷ, καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη, καὶ ὑπ᾽ ἐκείνου τρεφομένη, ζῆν τε. οἴεται δεῖν οὕτως, ἕως ἂν ζῇ, καὶ ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγε-

νὲς καὶ εἰς τὸ τοιοῦτον ἀφικομένη, ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν. ἐκ δὴ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ ταῦτά γ' ἐπιτηδεύσασα, ὦ Σιμμία τε καὶ Κέβης, ὅπως μὴ διασπασθεῖσα ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος, ὑπό τινων ἀνέμων διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται, καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. Σιγὴ οὖν ἐγένετο ταῦτα εἰπόντος τοῦ Σωκράτους ἐπὶ πολὺν χρόνον: καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκράτης, ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην. καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο, Τί, ἔφη, ὑμῖν τὰ λεχθέντα; μῶν μὴ δοκεῖ ἐνδεῶς λέγεσθαι; πολλὰς γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴγε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δ' ἔτι περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ αὐτοὶ εἰπεῖν καὶ διεξελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται βέλτιον λεχθῆναι· καὶ αὖ καὶ ἐμὲ ξυμπαραλαβεῖν εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Καὶ ὁ Σιμμίας ἔφη· καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι, διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν ξυμφοράν. Καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα καί φησι· Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι ὡς οὐ ξυμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν· ἀλλὰ φο-

βεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ
πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ
φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ ἐπειδὰν αἴ-
σθωνται, ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ
ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα
ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέ-
ναι, οὗπέρ εἰσι θεράποντες. οἱ δὲ ἄνθρωποι, διὰ
τὸ αὑτῶν δέος τοῦ θανάτου, καὶ τῶν κύκνων κατα-
ψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θά-
νατον, ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται ὅτι
οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ ἢ ῥιγῷ ἤ τινα ἄλλην
λύπην λυπῆται, οὐδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ χελιδὼν
καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν·
ἀλλ᾽ οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν, οὔτε
οἱ κύκνοι, ἀλλ᾽ ἅτε, οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες,
μαντικοί τέ εἰσι, καὶ προειδότες τὰ ἐν ᾅδου ἀγαθά,
ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφε-
ρόντως ἢ ἐν τῷ πρόσθεν χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς
ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς
τοῦ αὐτοῦ θεοῦ· καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντι-
κὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον
αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γε
ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾷν ὅ, τι ἂν βούλησθε,
ἕως ἂν οἱ Ἀθηναίων ἐῶσιν ἕνδεκα. Καλῶς, ἔφη,
λέγεις, ὁ Σιμμίας· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀπορῶ,
καὶ αὖ ὅδε, ᾗ οὐκ ἀποδέχεται τὰ εἰρημένα. Ἐμοὶ
γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως
ὥσπερ καὶ σοὶ τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ,

ἢ ἀδύνατον εἶναι, ἢ παγχάλεπόν τι. τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν, καὶ προαφίστασθαι πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός. δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπη ἔχει, ἢ εὑρεῖν, ἤ, εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυςεξελεγκτότατον, ἐπὶ τούτου ὀχούμενον, ὥςπερ ἐπὶ σχεδίας, κινδυνεύοντα διαπλεῦσαι τὸν βίον· εἰ μή τις δύναιτο ἀσφαλέστερον καὶ ἀκινδυνότερον, ἐπὶ βεβαιοτέρου ὀχήματος ἢ λόγου θείου τινος, διαπορευθῆναι· καὶ δὴ καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυνθήσομαι ἐρέσθαι, ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδὲ ἐμαυτὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρόνῳ, ὅτι νῦν οὐκ εἶπον ἅ μοι δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι. XXXVI. Καὶ ὁ Σωκράτης, Ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε ὅπη δὴ οὐχ ἱκανῶς. Ταύτῃ ἔμοιγε, ἦ δ' ὅς, ᾗ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι· ὡς ἡ μὲν ἁρμονία ἀόρατόν τι καὶ ἀσώματον, καὶ πάγκαλόν τι καὶ θεῖόν ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ· αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ σώματά τε καὶ σωματοειδῆ, καὶ ξύνθετά τε καὶ γεώδη ἐστὶ καὶ τοῦ θνητοῦ ξυγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν, ἢ διατέμῃ ἢ διαῤῥήξῃ τὰς χορδάς, εἴ τις διϊσχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥςπερ σύ, ὡς ἀνάγκη

ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην, καὶ μὴ ἀπολωλέναι· (οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν λύραν ἔτι εἶναι, διεῤῥωγυιῶν τῶν χορδῶν, καὶ τὰς χορδὰς θνητοειδεῖς οὔσας, τὴν δὲ ἁρμονίαν ἀπολωλέναι, τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυῆ τε καὶ ξυγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην·) ἀλλὰ φαίη, Ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς κατασαπήσεσθαι πρίν τι ἐκείνην παθεῖν· (καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτό τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν καὶ ξυνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ· καὶ τοιούτων τινῶν κρᾶσιν εἶναι, καὶ ἁρμονίαν αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα· εἰ οὖν τυγχάνῃ ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον ὅτι, ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως, ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην, ὥσπερ καὶ αἱ ἄλλαι ἁρμονίαι, αἵ τ' ἐν τοῖς φθόγγοις καὶ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι· τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν, ἕως ἂν ἢ κατακαυθῇ, ἢ κατασαπῇ·) ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ σώματι, ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλλυσθαι. XXXVII. Διαβλεψάμενος οὖν ὁ Σωκράτης, ὥσπερ τὰ πολλὰ εἰώθει, καὶ μειδιά-

σως; Δίκαια μέντοι, ἔφη, λέγει Σιμμίας. εἰ οὖν
τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο;
καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δο-
κεῖ μέντοι μοι χρῆναι πρὸ τῆς ἀποκρίσεως ἔτι πρό-
τερον Κέβητος ἀκοῦσαι, τί αὖ ὅδε ἐγκαλεῖ τῷ λόγῳ,
ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθα τί ἐροῦμεν·
ἔπειτα δὲ ἀκούσαντας ἢ ξυγχωρεῖν αὐτοῖς, ἐάν τι
δοκῶσι προσᾴδειν, ἐὰν δὲ μή, οὕτως ἤδη ὑπερδι-
κεῖν τοῦ λόγου. ἀλλ' ἄγε, ἦ δ' ὅς, ὦ Κέβης, λέγε
τί ἦν ὃ σε αὖ θράττον ἀπιστίαν παρέχει; Λέγω
δή, ἦ δ' ὅς, ὁ Κέβης. ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν
τῷ αὐτῷ ὁ λόγος εἶναι· καὶ (ὅπερ ἐν τοῖς ἔμπροσθεν
ἐλέγομεν) ταὐτὸν ἔγκλημα ἔχειν. ὅτι μὲν γὰρ ἦν
ἡμῶν ἡ ψυχὴ καὶ πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ
ἀντιτίθεμαι μὴ οὐχὶ πάνυ χαριέντως, καί, εἰ μὴ
ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς ἀποδεδεῖχθαι·
ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔστιν, οὔ
μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυ-
χρονιώτερον ψυχὴ σώματος, οὐ ξυγχωρῶ τῇ Σιμ-
μίου ἀντιλήψει. δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ
πολὺ διαφέρειν. Τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπι-
στεῖς; ἐπειδή γε ὁρᾷς, ἀποθανόντος τοῦ ἀνθρώπου,
τό γε ἀσθενέστερον ἔτι ὄν· τὸ δὲ πολυχρονιώτερον
οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σώζεσθαι ἐν τούτῳ
τῷ χρόνῳ; πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι. εἴ τι λέγω·
εἰκόνος γάρ τινος, ὡς ἔοικε, κἀγώ, ὥσπερ ὁ Σιμ-
μίας, δέομαι. ἐμοὶ γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα,
ὥσπερ ἄν τις περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου

ἀποθανόντος λέγοι τοῦτον τὸν λόγον, „ὅτι οὐκ ἀπόλωλεν ὁ ἄνθρωπος, ἀλλ' ἔστι που ἴσως," τεκμήριον δὲ παρέχοιτο θοιμάτιον ὃ ἠμπίσχετο, αὐτὸς ὑφηνάμενος, ὅτι ἔστι σῶν καὶ οὐκ ἀπόλωλε· καὶ, εἴ τις ἀπιστῶν αὐτῷ, ἀνερωτῴη πότερον πολυχρονιώτερόν ἐστι, τὸ γένος ἀνθρώπου ἢ ἱματίου, ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου, ἀποκριναμένου δή τινος ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτο ἀποδεδεῖχθαι, ὅτι παντὸς ἄρα μᾶλλον ὅ γε ἄνθρωπος σῶς ἐστιν, ἐπειδὴ τό γε ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλε. τὸ δ' οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει. σκόπει γὰρ καὶ σὺ ἃ λέγω. πᾶς γὰρ ἂν ὑπολάβοι ὅτι εὔηθες λέγει ὁ τοῦτο λέγων. ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦτα ἱμάτια καὶ ὑφηνάμενος, ἐκείνων μὲν ὕστερος ἀπόλωλε πολλῶν ὄντων, τοῦ δὲ τελευταίου, οἶμαι, πρότερος· καὶ οὐδέν τι μᾶλλον τούτου ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθενέστερον. τὴν αὐτὴν δὲ ταύτην, οἶμαι, εἰκόνα δέξαιτ' ἂν καὶ ψυχὴ πρὸς σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν, μέτριά μοι φαίνοιτο λέγειν· ὡς ἡ ψυχὴ μὲν πολυχρόνιόν ἐστι, τὸ δὲ σῶμα, ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον. ἀλλὰ γὰρ ἂν φαίη ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε κἂν πολλὰ ἔτη βιῷ. εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπόλλυοιτο, ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ τὸ κατατριβόμενον ἀνυφαίνοι, ἀναγκαῖον μέντ' ἂν εἴη, ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα τυχεῖν αὐτὴν ἔχουσαν, καὶ τούτου μόνου προ-

τέραν ἀπόλλυσθαι. ἀπολλυμένης δὲ τῆς ψυχῆς, τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα, καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον πιστεύσαντα θαῤῥεῖν, ὡς, ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡ ψυχὴ ἡμῶν ἐστιν. εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι ἢ ἃ σὺ λέγεις ξυγχωρήσειε, δοὺς αὐτῷ, μὴ μόνον ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὴν ψυχήν, ἀλλὰ μηδὲν κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι, καὶ πολλάκις γενήσεσθαι, καὶ ἀποθανεῖσθαι αὖθις (οὕτω γὰρ αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν ἀντέχειν)· δοὺς δὲ ταῦτα, μηκέτι ἐκεῖνο ξυγχωροῖ, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι, καὶ τελευτῶσάν γε ἔν τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν θάνατον καὶ ταύτην τὴν διάλυσιν τοῦ σώματος ἣ τῇ ψυχῇ φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ εἶναι ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδενὶ προσήκει θάνατον θαῤῥοῦντι μὴ οὐκ ἀνοήτως θαῤῥεῖν, ὃς ἂν μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὑτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται. XXXVIII. Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν, ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν

οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἴημεν κριταί, ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα ᾖ. ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, ξυγγνώμην γε ἔχω ὑμῖν, καὶ γάρ αὐτόν με νῦν ἀκούσαντά σου, τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται· τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ; ὁ γὰρ σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκε. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν· καὶ ὥςπερ ὑπέμνησέ με ῥηθείς, ὅτι καὶ αὐτῷ μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν, ὥςπερ ἐξ ἀρχῆς, ἄλλου τινὸς λόγου, ὅς με πείσει ὡς τοῦ ἀποθανόντος οὐ ξυναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Διός, πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον· καὶ πότερον κἀκεῖνος, ὥσπερ ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετο ἀχθόμενος, ἢ οὔ, ἀλλὰ πρᾴως ἐβοήθει τῷ λόγῳ· καὶ ἱκανῶς ἐβοήθησεν, ἢ ἐνδεῶς· πάντα ἡμῖν διελθε ὡς δύνασαι ἀκριβέστατα. ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας Σωκράτη, οὐ πώποτε μᾶλλον ἠγάσθην, ἢ τότε παραγενόμενος. τὸ μὲν οὖν ἔχειν ὅ, τι λέγοι ἐκεῖνος, ἴσως οὐδὲν ἄτοπον· ἀλλ' ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο· ἔπειτα, ἡμῶν ὡς ὀξέως ᾔσθετο ὃ πεπόνθειμεν ὑπὸ τῶν λόγων· ἔπειτα, ὡς εὖ ἡμᾶς ἰάσατο, καὶ ὥςπερ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο, καὶ προὔτρεψε πρὸς τὸ

παρέπεσθαί τε καὶ ξυσκοπεῖν τὸν λόγον. ΕΧ. Πῶς δή; ΦΑΙΔ. Ἐγὼ ἐρῶ· ἔτυχον γὰρ καθήμενος ἐν δεξιᾷ αὐτοῦ παρὰ τὴν κλίνην, ἐπὶ χαμαιζήλου τινός· ὁ δὲ ἐπὶ πολλῷ ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν, καὶ ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας, (εἰώθει γὰρ, ὁπότε τύχοι, παίζειν μου εἰς τὰς τρίχας,) Αὔριον δὴ, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερῇ. Ἔοικεν, ἦν δ' ἐγώ, ὦ Σώκρατες. Οὔκ, ἄν γ' ἐμοὶ πείθῃ. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. καὶ ἔγωγ' ἂν εἰ σὺ εἴην, καί με διαφύγοι ὁ λόγος, ἔνορκον ἂν ποιησαίμην, ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον. Ἀλλ', ἦν δ' ἐγώ, πρὸς δύο οὐδ' Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστι. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ. XXXIX. Οὐδὲν διοίσει, ἔφη. ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώμεθα, ἦ δ' ὅς, μισολόγοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι. ὡς οὐκ ἔστιν, ἔφη, ὅ, τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι, ἢ λόγους μισήσας· γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πι-

στὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον· καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους· τελευτῶν δὴ θαμὰ προσκρούων, μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τοπαράπαν· ἢ οὐκ ᾔσθησαι οὕτω τοῦτο γιγνόμενον; Πάνυ γε, ἦν δ' ἐγώ. Οὐκοῦν, ἦ δ' ὅς, αἰσχρόν; καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τὰ ἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα, ὀλίγους εἶναι ἑκατέρους· τοὺς δὲ μεταξὺ, πλείστους. Πῶς λέγεις; ἦν δ' ἐγώ. Ὥσπερ, ἦ δ' ὅς, περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων οἴει τι σπανιώτερον εἶναι, ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρωπον; ἢ κύνα, ἢ ἄλλο ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδύν· ἢ καλὸν ἢ αἰσχρόν; ἢ λευκὸν ἢ μέλανα; ἢ οὐκ ᾔσθησαι ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων, σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ, ἄφθονα καὶ πολλά; Πάνυ γε, ἦν δ' ἐγώ. Οὐκοῦν οἴει, ἔφη, εἰ πονηρίας ἀγὼν προτεθείη, πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; Εἰκός γε, ἦν δ' ἐγώ. Εἰκὸς γάρ, ἔφη· ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ λόγοι τοῖς ἀνθρώποις εἰσίν· (ἀλλὰ σοῦ νῦν δὴ προάγοντος ἐγὼ ἐφεσπόμην·) ἀλλ' ἐκείνῃ ᾗ, ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι, ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ

δόξει ψευδὴς εἶναι, ἐνίοτε μὲν ὤν, ἐνίοτε δ' οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλογικοὺς λόγους διατρίψαντες, οἶσθ' ὅτι τελευτῶντες οἴονται σοφώτατοι γεγονέναι τε καὶ κατανενοηκέναι μόνοι, ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον, οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα ἀτεχνῶς, ὥςπερ ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται, καὶ χρόνον οὐδένα ἐν οὐδενὶ μένει. *Πάνυ μὲν οὖν*, ἔφην ἐγώ, ἀληθῆ λέγεις. Οὐκοῦν, ὦ Φαίδων, ἔφη, οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή τινος ἀληθοῦς καὶ βεβαίου λόγου, καὶ δυνατοῦ κατανοῆσαι, ἔπειτα [τούτου ἐκπεσὼν ἀπορoῖ,] διὰ τὸ παραγίγνεσθαι τοιουτοισὶ λόγοις, τοῖς αὐτοῖς τοτὲ μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τοτὲ δὲ μή, μὴ ἑαυτόν τις αἰτιῷτο, μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν, διὰ τὸ ἀλγεῖν, ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσαιτο· καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν τοὺς λόγους διατελοῖ· τῶν δὲ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστήμης στερηθείη. *Νὴ τὸν Δία*, ἦν δ' ἐγώ, οἰκτρὸν δῆτα.

XL. *Πρῶτον μὲν τοίνυν*, ἔφη, τοῦτο εὐλαβηθῶμεν, καὶ μὴ παρίωμεν εἰς τὴν ψυχήν, ὡς τῶν λόγων κινδυνεύει οὐδὲν ὑγιὲς εἶναι· ἀλλὰ πολὺ μᾶλλον ὅτι ἡμεῖς οὔπω ὑγιῶς ἔχομεν, ἀλλ' ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν· σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις, καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα, ἐμοὶ δέ, αὐτοῦ ἕνεκα τοῦ θανάτου· ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ'

ὥςπερ οἱ πάνυ ἀπαίδευτοι, φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητῶσιν, ὅπη μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ, οὐ φροντίζουσιν, ὅπως δέ, ἃ αὐτοὶ ἔθεντο, ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται. καὶ ἐγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον μόνον ἐκείνων διοίσειν. οὐ γάρ, ὅπως τοῖς παροῦσιν ἃ ἐγὼ λέγω δόξει ἀληθῆ εἶναι, προθυμήσομαι, εἰ μὴ εἴη πάρεργον, ἀλλ᾽ ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει οὕτως ἔχειν. λογίζομαι γάρ, ὦ φίλε ἑταῖρε (καὶ θέασαι ὡς πλεονεκτικῶς)· εἰ μὲν τυγχάνει ἀληθῆ ὄντα ἃ ἐγὼ λέγω, καλῶς δὴ ἔχει τὸ πεισθῆναι· εἰ δὲ μηδέν ἐστι τελευτήσαντι, ἀλλ᾽ οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος. ἡ δὲ ἄγνοιά μοι αὕτη οὐ ξυνδιατελεῖ (κακὸν γὰρ ἂν ἦν), ἀλλ᾽ ὀλίγον ὕστερον ἀπολεῖται. παρεσκευασμένος μὲν δή, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, οὑτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον. ὑμεῖς μέντοι, ἂν ἐμοὶ πείθησθε, σμικρὸν φροντίσαντες Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δοκῶ λέγειν ἀληθές, ξυνομολογήσατε· εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε, εὐλαβούμενοι ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας ἅμα ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας, ὥςπερ μέλιττα τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι. XLI. Ἀλλ᾽ ἰτέον, ἔφη. πρῶτόν με ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος. Σιμμίας μὲν γάρ, ὡς ἐγῷμαι, ἀπιστεῖ τε καὶ φοβεῖται μὴ ἡ ψυχή, ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος, προαπολλύηται, ἐν ἁρμονίας εἴδει οὖσα. Κέ-

βης δέ μοι ἔδοξε τοῦτο μὲν ἐμοὶ ξυγχωρεῖν, πολυχρονιώτερόν γε εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδε ἄδηλον παντί, μὴ πολλὰ δὴ σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχή, τὸ τελευταῖον σῶμα καταλιποῦσα, νῦν αὐτὴ ἀπολλύηται, καὶ ᾖ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος· ἐπεὶ σῶμά γ᾽ ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρα ἄλλ᾽ ἢ ταῦτ᾽ ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι; Ξυνωμολογείτην δὴ ταῦτ᾽ εἶναι ἄμφω. Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθεν λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ᾽ οὔ; Τοὺς μέν, ἐφάτην, τοὺς δ᾽ οὔ. Τί οὖν, ἦ δ᾽ ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι; καί, τούτου οὕτως ἔχοντος, ἀναγκαίως ἔχειν ἄλλοθί που πρότερον ἡμῶν εἶναι τὴν ψυχήν, πρὶν ἂν τῷ σώματι ἐνδεθῆναι. Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε θαυμαστῶς ὡς ἐπείσθην ὑπ᾽ αὐτοῦ, καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω· καὶ πάνυ ἂν θαυμάζοιμι εἴ μοι περί γε τούτου ἄλλο ποτὲ ἔτι δόξειεν. Καὶ ὁ Σωκράτης, Ἀλλ᾽ ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλα δόξαι, ἄνπερ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. οὐ γάρ που ἀποδέξῃ γε σαυτοῦ λέγοντος, ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι. ἢ ἀποδέξῃ; Οὐδαμῶς, ἔφη, ὦ Σώκρατες. Αἰσθάνῃ

οὖν, ἦ δ' ὅς, ὅτι ταῦτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι δ' αὐτὴν ξυγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις· ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται· τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία, καὶ πρῶτον ἀπόλλυται. οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴπερ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι, καὶ τῷ περὶ ἁρμονίας. Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός· ἀλλ' ὅρα πότερον αἱρῇ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι, ἢ ψυχὴν ἁρμονίαν. Πολὺ μᾶλλον ἐκεῖνον, ἔφη, ὦ Σώκρατες. ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως, μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας· ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι, καὶ ἐν γεωμετρίᾳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος, δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. ἐρρήθη γάρ που οὕτως ἡμῶν εἶναι ἡ ψυχή, καὶ πρὶν εἰς σῶμα ἀφικέσθαι, ὥσπερ αὐτῆς ἐστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. ἐγὼ δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀποδέδεγμαι. ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα, μήτε ἐμαυ-

τοῦ μήτε ἄλλου ἀποδέχεσθαι, λέγοντος ὡς ψυχή ἐστιν ἁρμονία. XLII. Τί δέ, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε δοκεῖ σοι ἁρμονίᾳ, ἢ ἄλλῃ τινὶ ξυνθέσει προςήκειν, ἄλλως πως ἔχειν, ἢ ὡς ἐκεῖνα ἂν ἔχῃ, ἐξ ὧν ἂν ξυγκέηται; Οὐδαμῶς. Οὐδὲ μὴν ποιεῖν τι, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο, παρ' ἃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. Ξυνέφη. Οὐκ ἄρα ἡγεῖσθαί γε προςήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν ξυντεθῇ, ἀλλ' ἕπεσθαι. Ξυνεδόκει. Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι, ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὑτῆς μέρεσι. Πολλοῦ μέντοι, ἔφη. Τί δέ; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι, ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; Οὐ μανθάνω, ἔφη. Ἦ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴπερ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων· εἰ δ' ἧττόν τε καὶ ἐπ' ἔλαττον, ἥττων τε καὶ ἐλάττων; Πάνυ γε. Ἦ οὖν ἔστι τοῦτο περὶ ψυχήν, ὥστε καὶ κατὰ τὸ σμικρότατον [μᾶλλον] ἑτέραν ἑτέρας ψυχῆς ἐπὶ πλέον καὶ μᾶλλον, ἢ ἐπ' ἔλαττον καὶ ἧττον, αὐτὸ τοῦτο εἶναι ψυχήν; Οὐδ' ὁπωςτιοῦν, ἔφη. Φέρε δή, ἔφη, πρὸς Διός· λέγεται ψυχή, ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτα ἀληθῶς λέγεται; Ἀληθῶς μέντοι. Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι, τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; πότερον ἁρμονίαν τινὰ αὖ ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν

ἀγαθήν, καὶ ἔχειν ἐν αὐτῇ ἁρμονίᾳ οὔσῃ ἄλλην ἁρμονίαν· τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὐτῇ ἄλλην; Οὐκ ἔχω ἔγωγε, ἔφη ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτα ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι· τοῦτο δ' ἔστι τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον, μηδὲ ἧττον μηδ' ἐπ' ἔλαττον, ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι. ἦ γάρ; Πάνυ γε. Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν, μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι. ἔστιν οὕτως; Ἔστιν. Ἡ δὲ μήτε μᾶλλον μήτε ἧττον ἡρμοσμένη, ἔστιν ὅ, τι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; Τὸ ἴσον. Οὐκοῦν ψυχή, ἐπειδὴ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο, ψυχή, ἐστιν, οὐδὲ δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; Οὕτω. Τοῦτο δέ γε πεπονθυῖα, οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας μετέχοι ἄν; Οὐ γὰρ οὖν. Τοῦτο δ' αὖ πεπονθυῖα ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη; Οὐδὲν πλέον. Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λόγον, κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴπερ ἁρμονία ἐστίν· ἁρμονία γὰρ δήπου, παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας οὔποτ' ἂν μετάσχοι. Οὐ μέντοι. Οὐδέ γε δήπου ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. Πῶς γάρ, ἔκ γε τῶν προειρημένων; Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάν-

των ζώων ὁμοίως ἀγαθαὶ ἔσονται· εἴπερ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο, ψυχαί, εἶναι. Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι, καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν τό, ψυχὴν ἁρμονίαν εἶναι; Οὐδ' ὁπωστιοῦν, ἔφη. XLIII. Τί δέ; ἦ δ' ὅς, τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ, τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; Οὐκ ἔγωγε. Πότερον ξυγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα παθήμασιν ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε, οἷον καύματος ἐνόντος καὶ δίψους, ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης, ἐπὶ τὸ μὴ ἐσθίειν καὶ ἄλλα μυρία που ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα· ἢ οὔ; Πάνυ μὲν οὖν. Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν, μήποτ' ἂν αὐτήν, ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ πάλλοιτο, καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνει οὖσα, ἀλλ' ἕπεσθαι ἐκείνοις, καὶ οὔποτ' ἂν ἡγεμονεύειν; Ὡμολογήσαμεν, ἔφη· πῶς γὰρ οὔ; Τί οὖν; νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων, ἐξ ὧν φησί τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου, καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα, καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πρᾳότερον; καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις,

ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα,

> Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ,
> Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

Ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι, διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης, καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος ἢ καθ' ἁρμονίαν; Νὴ Δία, ὦ Σώκρατες, οὐκ ἔμοιγε δοκεῖ. Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι. οὔτε γὰρ ἄν, ὡς ἔοικεν, Ὁμήρῳ θείῳ ποιητῇ ὁμολογοῖμεν, οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. Ἔχει οὕτως ἔφη. XLIV. Εἶεν δή, ἦ δ' ὅς, ὁ Σωκράτης, τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαϊκῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέγονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα, καὶ τίνι λόγῳ; Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης, ἐξευρήσειν· τουτονὶ γοῦν τὸν λόγον τὸν πρὸς τὴν ἁρμονίαν θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. Σιμμίου γὰρ λέγοντος ὅτε ἠπόρει, πάνυ ἐθαύμαζον εἴ τι ἕξει τις χρήσασθαι τῷ λόγῳ αὐτοῦ. πάνυ οὖν μοι ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. Ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι καὶ τὸν τοῦ Κάδμου λόγον εἰ πάθοι. Ὦ 'γαθέ, ἔφη ὁ Σωκράτης, μὴ μέγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι. ἀλλὰ δὴ ταῦτα μὲν

τῷ θεῷ μελήσει, ἡμεῖς δὲ Ὁμηρικῶς ἐγγὺς ἰόντες πειρώμεθα εἰ ἄρα τι λέγεις. ἔστι δὲ δὴ τὸ κεφάλαιον ὧν ζητεῖς· ἀξιοῖς ἐπιδειχθῆναι ἡμῶν τὴν ψυχὴν ἀνώλεθρόν τε καὶ ἀθάνατον οὖσαν· εἰ φιλόσοφος ἀνὴρ μέλλων ἀποθανεῖσθαι, θαῤῥῶν τε καὶ ἡγούμενος ἀποθανὼν ἐκεῖ εὖ πράξειν διαφερόντως ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος θαῤῥήσει. τὸ δὲ ἀποφαίνειν ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ καὶ θεοειδές, καὶ ὅτι ἦν ἔτι πρότερον πρὶν ἡμᾶς γενέσθαι, οὐδὲν κωλύειν φῂς πάντα ταῦτα μηνύειν, ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιόν τέ ἐστιν ἡ ψυχή, καὶ ἦν που πρότερον ἀμήχανον ὅσον χρόνον, καὶ ᾔδει τε καὶ ἔπραττε πολλὰ ἄττα· ἀλλὰ γὰρ οὐδέν τι μᾶλλον ἦν ἀθάνατον. ἀλλὰ καὶ αὐτὸ τὸ εἰς ἀνθρώπου σῶμα ἐλθεῖν ἀρχὴ ἦν αὐτῇ ὀλέθρου, ὥςπερ νόσος· καὶ ταλαιπωρουμένη τε δὴ τοῦτον τὸν βίον ζῴη, καὶ τελευτῶσά γε ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. διαφέρειν δὲ δὴ φῂς οὐδὲν εἴτε ἅπαξ εἰς σῶμα ἔρχεται, εἴτε πολλάκις, πρός γε τὸ ἕκαστον ἡμῶν φοβεῖσθαι· προςήκει γὰρ φοβεῖσθαι, εἰ μὴ ἀνόητος εἴη, τῷ μὴ εἰδότι, μηδ' ἔχοντι λόγον διδόναι ὡς ἀθάνατόν ἐστι. τοιαῦτ' ἄττα ἐστίν, οἶμαι, ὦ Κέβης, ἃ λέγεις· καὶ ἐξεπίτηδες πολλάκις ἀναλαμβάνω, ἵνα μή τι διαφύγῃ ἡμᾶς, εἴ τέ τι βούλει προςθῇς, ἢ ἀφέλῃς. Καὶ ὁ Κέβης, Ἀλλ' οὐδὲν ἔγωγε ἐν τῷ παρόντι, ἔφη, οὔτ' ἀφελεῖν οὔτε προςθεῖναι δέομαι. ἔστι δὲ ταῦτα ἃ λέγω. XL. Ὁ οὖν Σωκράτης συχνὸν χρόνον

ἐπισχών, καὶ πρὸς ἑαυτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς. ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν, ἐὰν βούλῃ, τά γε ἐμὰ πάθη· ἔπειτα, ἄν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις, χρήσῃ. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. Ἄκουε τοίνυν ὡς ἐροῦντος. ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν, θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανον γάρ μοι ἐδόκει εἶναι, εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον, καὶ διὰ τί ἀπόλλυται, καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω καὶ κάτω μετέβαλλον, σκοπῶν πρῶτον τὰ τοιάδε, Ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῶα ξυντρέφεται; καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀήρ, ἢ τὸ πῦρ· ἢ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν, καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι· ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα· ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν, κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην; καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὡς δὴ ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπὸ ταύτης τῆς σκέ-

ψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦτα ἃ προτοῦ ᾤμην εἰδέναι, περὶ ἄλλων τε πολλῶν, καὶ διὰ τί ἄνθρωπος αὐξάνεται. τοῦτο γὰρ ᾤμην προτοῦ παντὶ δῆλον εἶναι, ὅτι διὰ τὸ ἐσθίειν καὶ πίνειν. ἐπειδὰν γὰρ ἐκ τῶν σιτίων ταῖς μὲν σαρξὶ σάρκες προσγένωνται, τοῖς δὲ ὀστοῖς ὀστᾶ, καὶ οὕτω κατὰ τὸν αὐτὸν λόγον καὶ τοῖς ἄλλοις τὰ αὐτῶν οἰκεῖα ἑκάστοις προσγένηται, τότε δὴ τὸν ὀλίγον ὄγκον ὄντα, ὕστερον πολὺν γεγονέναι, καὶ οὕτω γίγνεσθαι τὸν σμικρὸν ἄνθρωπον μέγαν. οὕτω τότε ᾤμην· οὐ δοκῶ σοι μετρίως; Ἔμοιγε, ἔφη ὁ Κέβης. Σκέψαι δὴ καὶ τάδε ἔτι· ᾤμην γὰρ ἔγωγε ἱκανόν μοι δοκεῖν, ὁπότε τις φαίνοιτο ἄνθρωπος παραστὰς μέγας σμικρῷ, μείζων εἶναι αὐτῇ τῇ κεφαλῇ, καὶ ἵππος ἵππου· καὶ ἔτι γε τούτων ἐναργέστερα, τὰ δέκα μοι ἐδόκει τῶν ὀκτὼ πλείονα εἶναι, διὰ τὸ δύο αὐτοῖς προσεῖναι· καὶ τὸ δίπηχυ τοῦ πηχυαίου μεῖζον εἶναι, διὰ τὸ ἡμίσει αὐτοῦ ὑπερέχειν. Νῦν δὲ δή, ἔφη ὁ Κέβης, τί σοι δοκεῖ περὶ αὐτῶν; Πόῤῥω που, ἔφη, νὴ Δία ἐμὲ εἶναι τοῦ οἴεσθαι περὶ τούτων του τὴν αἰτίαν εἰδέναι· ὅς γε οὐκ ἀποδέχομαι ἐμαυτοῦ, οὐδὲ ὡς ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἓν ᾧ προσετέθη δύο γέγονεν, ἢ τὸ προστεθέν, καὶ ᾧ προσετέθη, διὰ τὴν πρόσθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ, δύο ἐγένετο. Θαυμάζω γὰρ εἰ, ὅτε μὲν ἑκάτερον αὐτῶν χωρὶς ἀλλήλων ἦν, ἓν ἄρ' ἑκάτερον ἦν, καὶ οὐκ ἤστην τότε δύο· ἐπεὶ δ' ἐπλησίασαν ἀλλήλοις, αὕτη ἄρα αὐτοῖς αἰτία ἐγένετο

δυοῖν γενέσθαι, ἡ ξύνοδος, τοῦ πλησίον ἀλλήλων τεθῆναι. οὐδέ γε ὡς ἐάν τις ἓν διασχίσῃ, δύναμαι ἔτι πείθεσθαι ὡς αὕτη αὖ αἰτία γέγονεν, ἡ σχίσις, τοῦ δύο γεγονέναι. ἐναντία γὰρ γίγνεται ἢ τότε αἰτία τοῦ δύο γίγνεσθαι. τότε μὲν γάρ, ὅτι ξυνήγετο πλησίον ἀλλήλων καὶ προςετίθετο ἕτερον ἑτέρῳ· νῦν δ' ὅτι ἀπάγεται καὶ χωρίζεται ἕτερον ἀφ' ἑτέρου. οὐδέ γε διότι ἓν γίγνεται, ὡς ἐπίσταμαι ἔτι πείθω ἐμαυτόν· οὐδ' ἄλλο οὐδὲν, ἑνὶ λόγῳ, διότι γίγνεται, ἢ ἀπόλλυται, ἢ ἔστι, κατὰ τοῦτον τὸν τρόπον τῆς μεθόδου· ἀλλά τιν' ἄλλον τρόπον αὐτὸς εἰκῇ φύρω, τοῦτον δὲ οὐδαμῇ προςίεμαι. XLVI. ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινός, ὡς ἔφη, Ἀναξαγόρου ἀναγιγνώσκοντος, καὶ λέγοντος, ὡς ἄρα Νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον· καὶ ἡγησάμην, εἰ τοῦτο οὕτως ἔχει, τόν γε Νοῦν κοσμοῦντα, πάντα κοσμεῖν, καὶ ἕκαστον τιθέναι ταύτῃ ὅπῃ ἂν βέλτιστα ἔχῃ. εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται, ἢ ἀπόλλυται, ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν, ἢ εἶναι, ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν. ἐκ δὲ δὴ τοῦ λόγου τούτου, οὐδὲν ἄλλο σκοπεῖν προςήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον· ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι. τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ

λογιζόμενος, ἄσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν· καί μοι φράσειν, πρῶτον μέν, πότερον ἡ γῆ πλατεῖά ἐστιν, ἢ στρογγύλη· ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον, καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευάσμην ὡς οὐκέτ' ὑποθησόμενος αἰτίας ἄλλο εἶδος. καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην ὡσαύτως πευσόμενος, καὶ σελήνης, καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα, καὶ τροπῶν, καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτε ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει. οὐ γάρ ἄν ποτε αὐτὸν ᾤμην, φάσκοντά γε ὑπὸ Νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν, ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν ὥσπερ ἔχει. ἑκάστῳ οὖν αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν, καὶ κοινῇ πᾶσι, τὸ ἑκάστῳ βέλτιστον ᾤμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκδιηγήσεσθαι ἀγαθόν. καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους, ὡς τάχιστα οἷός τ' ἦν ἀνεγίγνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον. XLVII. *Ἀπὸ δὴ θαυμαστῆς, ὦ ἑταῖρε, ἐλπίδος ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγιγνώσκων ὁρῶ ἄνδρα τῷ μὲν Νῷ οὐδὲν χρώμενον, οὐδέ τινας αἰτίας ἐπαιτιώμενον, εἰς τὸ διακοσμεῖν τὰ πράγματα,*

ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα αἰτιώμενον, καὶ ἄλλα πολλὰ καὶ ἄτοπα. καί μοι ἔδοξεν ὁμοιότατον πεπονθέναι ὥσπερ ἂν εἴ τις λέγων ὅτι Σωκράτης πάντα ὅσα πράττει, νῷ πράττει, κἄπειτα ἐπιχειρήσας λέγειν τὰς αἰτίας ἑκάστων ὧν πράττω, λέγοι πρῶτον μὲν ὅτι διὰ ταῦτα νῦν ἐνθάδε κάθημαι, ὅτι ξύγκειταί μου τὸ σῶμα ἐξ ὀστῶν καὶ νεύρων, καὶ τὰ μὲν ὀστᾶ ἐστὶ στερεά, καὶ διαφυὰς ἔχει χωρὶς ἀπ᾽ ἀλλήλων, τὰ δὲ νεῦρα οἷα ἐπιτείνεσθαι καὶ ἀνίεσθαι, περιαμπέχοντα τὰ ὀστᾶ μετὰ τῶν σαρκῶν, καὶ δέρματος, ὃ ξυνέχει αὐτά. αἰωρουμένων οὖν τῶν ὀστέων ἐν ταῖς αὐτῶν ξυμβολαῖς, χαλῶντα καὶ ξυντείνοντα τὰ νεῦρα, κάμπτεσθαί που ποιεῖ οἷόν τ' εἶναι ἐμὲ νῦν τὰ μέλη· καὶ διὰ ταύτην τὴν αἰτίαν ξυγκαμφθεὶς ἐνθάδε κάθημαι· καὶ αὖ περὶ τοῦ διαλέγεσθαι, ὑμῖν ἑτέρας τοιαύτας αἰτίας λέγοι, φωνάς τε καὶ ἀέρας καὶ ἀκοὰς καὶ ἄλλα μυρία τοιαῦτα αἰτιώμενος· ἀμελήσας τὰς ὡς ἀληθῶς αἰτίας λέγειν, ὅτι ἐπειδὴ Ἀθηναίοις ἔδοξε βέλτιον εἶναι ἐμοῦ καταψηφίσασθαι, διὰ ταῦτα δὴ καὶ ἐμοὶ βέλτιον αὖ δέδοκται ἐνθάδε καθῆσθαι, καὶ δικαιότερον, παραμένοντα ὑπέχειν τὴν δίκην ἣν ἂν κελεύσωσιν· ἐπεί, νὴ τὸν Κύνα, ὡς ἐγῷμαι, πάλαι ἂν ταῦτα τὰ νεῦρά τε καὶ τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ Βοιωτοὺς ἦν ὑπὸ δόξης φερόμενα τοῦ βελτίστου, εἰ μὴ δικαιότερον ᾤμην καὶ κάλλιον εἶναι, πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν, ὑπέχειν τῇ πόλει δίκην ἥντιν' ἂν τάττῃ. ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα καλεῖν, λίαν

ἄτοπον. εἰ δέ τις λέγοι, ὅτι ἄνευ τοῦ τὰ τοιαῦτα ἔχειν
καὶ ὀστᾶ καὶ νεῦρα, καὶ ὅσα ἄλλα ἔχω, οὐκ ἂν οἷός
τ' ἦν ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς
μέντοι διὰ ταῦτα ποιῶ ἃ ποιῶ, καὶ ταύτῃ νῷ πράτ-
τω, ἀλλ' οὐ τῇ τοῦ βελτίστου αἱρέσει, πολλὴ ἂν καὶ
μακρὰ ῥᾳθυμία ἂν εἴη τοῦ λόγου· τὸ γὰρ μὴ διελέ-
σθαι οἷόν τ' εἶναι, ὅτι ἄλλο μέν τι ἐστὶ τὸ αἴτιον
τῷ ὄντι, ἄλλο δ' ἐκεῖνο, ἄνευ οὗ τὸ αἴτιον οὐκ
ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶν-
τες οἱ πολλοί, ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι
προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ
δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐ-
ρανοῦ, μένειν δὴ ποιεῖ τὴν γῆν· ὁ δὲ ὥσπερ καρ-
δόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει· τὴν δὲ
τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν
οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν, οὔτε τινὰ
οἴονται δαιμονίαν ἰσχὺν ἔχειν· ἀλλὰ ἡγοῦνται τού-
του ἄν ποτε Ἄτλαντα ἰσχυρότερον καὶ ἀθανατώτε-
ρον, καὶ μᾶλλον ἅπαντα ξυνέχοντα ἐξευρεῖν, καὶ ὡς
ἀληθῶς τὸ ἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ ξυνέχειν,
οὐδὲν οἴονται. ἐγὼ μὲν οὖν τοιαύτης αἰτίας, ὅπῃ ποτὲ
ἔχει, μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην. ἐπειδὴ δὲ
ταύτης ἐστερήθην, καὶ οὔτ' ἂν αὐτὸς εὑρεῖν οὔτε
παρ' ἄλλου μαθεῖν οἷός τε ἐγενόμην, τὸν δεύτερον
πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ᾗ πεπραγμάτευμαι,
βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσωμαι, ὦ Κέβης;
Ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι. XLVIII. Ἔδοξε
τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπείρηκα τὰ

ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι πάσχουσι· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἢ ἔν τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ· τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην, καὶ ἔδεισα μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην, βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι, καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. ἔδοξε δή μοι χρῆναι, εἰς τοὺς λόγους καταφυγόντα, ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων τὴν ἀλήθειαν. ἴσως μὲν οὖν, ᾧ εἰκάζω, τρόπον τινὰ οὐκ ἔοικεν. οὐ γὰρ πάνυ ξυγχωρῶ, τὸν ἐν τοῖς λόγοις σκοπούμενον τὰ ὄντα, ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις. ἀλλ' οὖν δὴ ταύτῃ γε ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον ὃν ἂν κρίνω ἐῤῥωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ ξυμφωνεῖν, τίθημι ὡς ἀληθῆ ὄντα, καὶ περὶ αἰτίας καὶ περὶ τῶν ἄλλων ἁπάντων· ἃ δ' ἂν μή, ὡς οὐκ ἀληθῆ. βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω. οἶμαι γάρ σε νῦν οὐ μανθάνειν. Οὐ μὰ τὸν Δία, ἔφη ὁ Κέβης, οὐ σφόδρα. XLIX. Ἀλλ', ἦ δ' ὅς, ὧδε λέγω οὐδὲν καινόν, ἀλλ' ἅπερ ἀεί τε ἄλλοτε καὶ ἐν τῷ παρεληλυθότι λόγῳ οὐδὲν πέπαυμαι λέγων. ἔρχομαι γὰρ δὴ ἐπιχειρῶν σοι ἐπιδείξασθαι τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι· καὶ εἶμι πάλιν ἐπ' ἐκεῖνα τὰ πολυθρύλλητα, καὶ ἄρχομαι ἀπ' ἐκείνων, ὑποθέμενος εἶναί τι καλὸν αὐτὸ καθ' αὑτό, καὶ ἀγαθόν, καὶ μέγα, καὶ τἄλλα πάντα· ἃ εἴ μοι δίδως τε καὶ ξυγχωρεῖς εἶναι ταῦτα, ἐλπίζω σοι ἐκ

τούτων τὴν αἰτίαν ἐπιδείξειν, καὶ ἀνευρήσειν ὡς ἀθάνατον ἡ ψυχή. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, ὡς διδόντος σοι, οὐκ ἂν φθάνοις περαίνων· Σκόπει δή, ἔφη, τὰ ἑξῆς ἐκείνοις, ἐάν σοι ξυνδοκῇ ὥσπερ ἐμοί. φαίνεται γάρ μοι, εἴ τι ἔστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι, ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτω λέγω. τῇ τοιᾷδε αἰτίᾳ ξυγχωρεῖς; Ξυγχωρῶ, ἔφη. Οὐ τοίνυν, ἦ δ' ὅς, ἔτι μανθάνω, οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς ταύτας γιγνώσκειν· ἀλλ' ἐάν τίς μοι λέγῃ, διότι καλόν ἐστιν ὁτιοῦν, ἢ ὅτι χρῶμα εὐανθὲς ἔχον, ἢ σχῆμα, ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τὰ μὲν ἄλλα χαίρειν ἐῶ (ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι), τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως, καὶ ἴσως εὐήθως, ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία, εἴτε κοινωνία, εἴτε ὅπη δὴ καὶ ὅπως προςγενομένη. οὐ γὰρ ἔτι τοῦτο διϊσχυρίζομαι, ἀλλ' ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά. τοῦτο γάρ μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνασθαι καὶ ἄλλῳ· καὶ τούτου ἐχόμενος, ἡγοῦμαι οὐκ ἄν ποτε πεσεῖν, ἀλλ' ἀσφαλὲς εἶναι καὶ ἐμοὶ καὶ ὁτῳοῦν ἄλλῳ ἀποκρίνασθαι, ὅτι τῷ καλῷ τὰ καλὰ γίγνεται καλά. ἢ οὐ καὶ σοὶ δοκεῖ; Δοκεῖ. Καὶ μεγέθει ἄρα τὰ μεγάλα, μεγάλα, καὶ τὰ μείζω, μείζω, καὶ σμικρότητι τὰ ἐλάττω, ἐλάττω; Ναί. Οὐδὲ σὺ ἄρα ἂν ἀποδέχοιο, εἴ τίς τινα φαίη ἕτερον ἑτέρου τῇ κεφαλῇ μείζω εἶναι, καὶ τὸν ἐλάττω, τῷ αὐτῷ τούτῳ ἐλάττω· ἀλλὰ διαμαρτύροιο ἂν ὅτι σὺ μὲν οὐδὲν ἄλ-

λο λέγεις, ἢ ὅτι τὸ μεῖζον πᾶν ἕτερον ἑτέρου, οὐδενὶ ἄλλῳ μεῖζόν ἐστιν ἢ μεγέθει, καὶ διὰ τοῦτο μεῖζον, διὰ τὸ μέγεθος· τὸ δὲ ἔλαττον, οὐδενὶ ἄλλῳ ἔλαττον ἢ σμικρότητι, καὶ διὰ τοῦτο ἔλαττον, διὰ τὴν σμικρότητα· φοβούμενος, οἶμαι, μή τις σοι ἐναντίος λόγος ἀπαντήσοι, ἐὰν τῇ κεφαλῇ μείζονά τινα φῇς εἶναι καὶ ἐλάττω· πρῶτον μὲν, τῷ αὐτῷ τὸ μεῖζον μεῖζον εἶναι, καὶ τὸ ἔλαττον ἔλαττον· ἔπειτα τῇ κεφαλῇ, σμικρᾷ οὔσῃ, τὸν μείζω μείζω εἶναι· καὶ τοῦτο δὴ τέρας εἶναι, τὸ σμικρῷ τινὶ μέγαν τινὰ εἶναι. ἢ οὐκ ἂν φοβοῖο ταῦτα; Καὶ ὁ Κέβης γελάσας, Ἔγωγε, ἔφη. Οὐκοῦν, ἦ δ' ὅς, τὰ δέκα τῶν ὀκτὼ δυοῖν πλείω εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν ὑπερβάλλειν, φοβοῖο ἂν λέγειν, ἀλλὰ μὴ πλήθει καὶ διὰ τὸ πλῆθος; καὶ τὸ δίπηχυ τοῦ πηχυαίου ἡμίσει μεῖζον εἶναι, ἀλλ' οὐ μεγέθει; ὁ αὐτὸς γάρ που φόβος. Πάνυ γε, ἔφη. Τί δέ; ἑνὶ ἑνὸς προστεθέντος, τὴν πρόσθεσιν αἰτίαν εἶναι τοῦ δύο γενέσθαι, ἢ διασχισθέντος, τὴν σχίσιν, οὐκ εὐλαβοῖο ἂν λέγειν; καὶ μέγα ἂν βοῴης ὅτι οὐκ οἶσθα ἄλλως πως ἕκαστον γιγνόμενον, ἢ μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου, οὗ ἂν μετάσχῃ· καὶ ἐν τούτοις οὐκ ἔχεις ἄλλην τινὰ αἰτίαν τοῦ δύο γενέσθαι, ἀλλ' ἢ τὴν τῆς δυάδος μετάσχεσιν· καὶ δεῖν τούτου μετασχεῖν τὰ μέλλοντα δύο ἔσεσθαι, καὶ μονάδος, ὃ ἂν μέλλῃ ἓν ἔσεσθαι; τὰς δὲ σχίσεις ταύτας καὶ προσθέσεις, καὶ τὰς ἄλλας τὰς τοιαύτας κομψείας ἐῴης ἂν χαίρειν, παρεὶς ἀποκρίνασθαι τοῖς σαυτοῦ σοφωτέροις· σὺ δὲ δεδιὼς

ἂν, τὸ λεγόμενον, τὴν σαυτοῦ σκιὰν καὶ τὴν ἀπειρίαν, ἐχόμενος ἐκείνου τοῦ ἀσφαλοῦς τῆς ὑποθέσεως, οὕτως ἀποκρίναιο ἄν; εἰ δέ τις αὐτῆς τῆς ὑποθέσεως ἔχοιτο, χαίρειν ἐῴης ἂν καὶ οὐκ ἀποκρίναιο, ἕως ἂν τὰ ἀπ' ἐκείνης ὁρμηθέντα σκέψαιο, εἴ σοι ἀλλήλοις ξυμφωνεῖ ἢ διαφωνεῖ; ἐπειδὴ δὲ ἐκείνης αὐτῆς δέοι σε διδόναι λόγον, ὡσαύτως ἂν διδοίης, ἄλλην αὖ ὑπόθεσιν ὑποθέμενος, ἥτις τῶν ἄνωθεν βελτίστη φαίνοιτο, ἕως ἐπί τι ἱκανὸν ἔλθοις; ἅμα δὲ οὐκ ἂν φύρδοιο, ὥσπερ οἱ ἀντιλογικοί, περί τε τῆς ἀρχῆς διαλεγόμενος, καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων, εἴπερ βούλοιό τι τῶν ὄντων εὑρεῖν; ἐκείνοις μὲν γὰρ ἴσως οὐδεὶς περὶ τούτου λόγος, οὐδὲ φροντίς. ἱκανοὶ γάρ, ὑπὸ σοφίας ὁμοῦ πάντα κυκῶντες, ὅμως δύνασθαι αὐτοὶ αὑτοῖς ἀρέσκειν· σὺ δ' εἴπερ εἶ τῶν φιλοσόφων, οἶμαι ἄν, ὡς ἐγὼ λέγω ποιοῖς. Ἀληθέστατα, ἔφη, λέγεις, ὅ, τε Σιμμίας ἅμα καὶ ὁ Κέβης. ΕΧ. Νὴ Δία, ὦ Φαίδων, εἰκότως γε. θαυμαστῶς γάρ μοι δοκεῖ ὡς ἐναργῶς, τῷ καὶ σμικρὸν νοῦν ἔχοντι, εἰπεῖν ἐκεῖνος ταῦτα. ΦΑΙΔ. Πάνυ μὲν οὖν, ὦ Ἐχέκρατες, καὶ πᾶσι τοῖς παροῦσιν ἔδοξε. ΕΧ. Καὶ γὰρ ἡμῖν τοῖς ἀποῦσι, νῦν δὲ ἀκούουσιν. ἀλλὰ τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα; L. ΦΑΙΔ. Ὡς μὲν ἐγὼ οἶμαι, ἐπεὶ αὐτῷ ταῦτα ξυνεχωρήθη, καὶ ὡμολογεῖτο εἶναί τι ἕκαστον τῶν εἰδῶν, καὶ τούτων τἄλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν ἴσχειν, τὸ δὴ μετὰ ταῦτα ἠρώτα· Εἰ δή, ἦ δ' ὅς, ταῦτα οὕτω λέγεις, ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω

εἶναι, Φαίδωνος δὲ ἐλάττω, λέγεις τότ' εἶναι ἐν τῷ Σιμμίᾳ ἀμφότερα, καὶ μέγεθος καὶ σμικρότητα; Ἔγωγε. Ἀλλὰ γάρ, ἦ δ' ὅς, ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους, οὐχ ὡς τοῖς ῥήμασι λέγεται, οὕτω καὶ τὸ ἀληθὲς ἔχειν; οὐ γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ τῷ Σιμμίαν εἶναι, ἀλλὰ τῷ μεγέθει ὃ τυγχάνει ἔχων· οὐδ' αὖ Σωκράτους ὑπερέχειν, ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν, ἀλλ' ὅτι σμικρότητα ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγεθος; Ἀληθῆ. Οὐδέ γε αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι τῷ ὅτι Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαίδων πρὸς τὴν Σιμμίου σμικρότητα; Ἔστι ταῦτα. Οὕτως ἄρα ὁ Σιμμίας ἐπωνυμίαν ἔχει, σμικρός τε καὶ μέγας εἶναι, ἐν μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν τὴν σμικρότητα παρέχων, τῷ δέ, τὸ μέγεθος τῆς σμικρότητος παρέχων ὑπερέχον. καὶ ἅμα μειδιάσας, Ἔοικα, ἔφη, καὶ ξυγγραφικῶς ἐρεῖν· ἀλλ' οὖν ἔχει γέ που ὡς λέγω. Συνέφη. Λέγω δὲ τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοι ὅπερ ἐμοί. ἐμοὶ γὰρ φαίνεται οὐ μόνον αὐτὸ τὸ μέγεθος οὐδέποτ' ἐθέλειν ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν μέγεθος οὐδέποτε προσδέχεσθαι τὸ σμικρόν, οὐδ' ἐθέλειν ὑπερέχεσθαι, ἀλλὰ δυοῖν τὸ ἕτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν ὅταν αὐτῷ προσίῃ τὸ ἐναντίον, τὸ σμικρόν, ἢ προσελθόντος ἐκείνου ἀπολωλέναι· ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμικρότητα, οὐκ ἐθέλειν εἶναι ἕτερον ἢ ὅπερ ἦν. ὥσπερ ἐγὼ δεξάμενος καὶ ὑπομείνας τὴν σμικρότητα, καὶ

ἔτι ὢν ὅςπερ εἰμί, οὗτος ὁ αὐτὸς σμικρός εἰμι, ἐκεῖνο δὲ οὐ τετόλμηκε, μέγα ὄν, σμικρὸν εἶναι· ὡς δ' αὔτως καὶ τὸ σμικρὸν τὸ ἐν ἡμῖν, οὐκ ἐθέλει ποτὲ μέγα γίγνεσθαι, οὐδὲ εἶναι, οὐδὲ ἄλλο οὐδὲν τῶν ἐναντίων, ἔτι ὂν ὅπερ ἦν, ἅμα τοὐναντίον γίγνεσθαί τε καὶ εἶναι, ἀλλ' ἤτοι ἀπέρχεται ἢ ἀπόλλυται ἐν τούτῳ τῷ παθήματι. Παντάπασιν, ἔφη ὁ Κέβης, οὕτω φαίνεταί μοι. LI. Καί τις εἶπε τῶν παρόντων ἀκούσας (ὅςτις δ' ἦν, οὐ σαφῶς μέμνημαι)· Πρὸς θεῶν, οὐκ ἐν τοῖς ἔμπροσθεν ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο; ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον γίγνεσθαι, καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις, ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι ὅτι τοῦτο οὐκ ἄν ποτε γένοιτο. Καὶ ὁ Σωκράτης, παραβαλὼν τὴν κεφαλὴν καὶ ἀκούσας, Ἀνδρικῶς, ἔφη, ἀπεμνημόνευκας· οὐ μέντοι ἐννοεῖς τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν γὰρ ἐλέγετο, ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα γίγνεσθαι· νῦν δὲ, ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον οὐκ ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν, οὔτε τὸ ἐν τῇ φύσει. τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία ἐλέγομεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ· νῦν δὲ περὶ ἐκείνων αὐτῶν, ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν τὰ ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτε φαῖμεν ἐθελῆσαι γένεσιν ἀλλήλων δέξασθαι. καὶ ἅμα βλέψας εἰς τὸν Κέβητα, εἶπεν· Ἆρα μή που, ὦ Κέβης, καὶ σέ τι τούτων ἐτάραξεν ὧν ὅδε

εἴπειν; Οὐδ' αὖ, ἔφη ὁ Κέβης, οὕτως ἔχω· καὶ τοιοῦτό τι λέγω, ὡς οὐ πολλά με ταράττει. Ξυνωμολογήκαμεν ἄρα, ἦ δ' ὅς, ἁπλῶς τοῦτο, μηδέποτε ἐναντίον ἔσεσθαι ἑαυτῷ τὸ ἐναντίον. Παντάπασιν, ἔφη. LII. Ἔτι δή μοι καὶ τόδε σκέψαι, ἔφη, εἰ ἄρα ξυνομολογήσεις· θερμόν τι καλεῖς καὶ ψυχρόν; Ἔγωγε. Ἆρ' ὅπερ χιόνα καὶ πῦρ; Μὰ Δί' οὐκ ἔγωγε. Ἀλλ' ἕτερόν τι πυρὸς τὸ θερμόν, καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν; Ναί. Ἀλλὰ τόδε γ', οἶμαι, δοκεῖ σοι, οὐδέποτε χιόνα οὖσαν, δεξαμένην τὸ θερμόν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἔτι ἔσεσθαι ὅπερ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προσιόντος τοῦ θερμοῦ ἢ ὑπεκχωρήσειν αὐτῷ, ἢ ἀπολεῖσθαι. Πάνυ γε. Καὶ τὸ πῦρ γε αὖ, προσιόντος τοῦ ψυχροῦ αὐτῷ, ἢ ὑπεξιέναι, ἢ ἀπολεῖσθαι· οὐ μέντοι ποτὲ τολμήσειν, δεξάμενον τὴν ψυχρότητα, ἔτι εἶναι ὅπερ ἦν, πῦρ, καὶ ψυχρόν. Ἀληθῆ, ἔφη, λέγεις. Ἔστιν ἄρ', ἦ δ' ὅς, περὶ ἔνια τῶν τοιούτων, ὥστε μὴ μόνον αὐτὸ τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐτοῦ ὀνόματος εἰς τὸν ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλό τι· ὃ ἔστι μὲν οὐκ ἐκεῖνο, ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεί, ὅτάν περ ᾖ. ἔτι δ' ἐν τοῖσδε ἴσως ἔσται σαφέστερον ὃ λέγω. τὸ γὰρ περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅπερ νῦν λέγομεν, ἢ οὔ; Πάνυ γε. Ἆρα μόνον τῶν ὄντων, (τοῦτο γὰρ ἐρωτῶ,) ἢ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐχ ὅπερ τὸ περιττόν· ὅμως δὲ δεῖ αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ τοῦτο καλεῖν ἀεί, διὰ τὸ οὕτω πεφυκέναι, ὥστε τοῦ περιττοῦ μηδέποτε ἀπολείπε-

σθαι; λέγω δὲ αὐτὸ εἶναι, οἷον καὶ ἡ τριὰς πέπον-
θε, καὶ ἄλλα πολλά. σκόπει δὴ περὶ τῆς τριάδος·
ἆρα οὐ δοκεῖ σοι τῷ τε αὑτῆς ὀνόματι ἀεὶ προσαγο-
ρευτέα εἶναι, καὶ τῷ τοῦ περιττοῦ ὄντος οὐχ οὗπερ
τῆς τριάδος; ἀλλ' ὅμως οὕτω πως πέφυκε καὶ ἡ τριὰς
καὶ ἡ πεμπτάς, καὶ ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας, ὥστε
οὐκ ὢν ἅπερ τὸ περιττόν, ἀεὶ ἕκαστος αὐτῶν ἐστι πε-
ριττός. καὶ αὖ τὰ δύο, καὶ τὰ τέσσαρα, καὶ ἅπας
ὁ ἕτερος αὖ στίχος τοῦ ἀριθμοῦ οὐκ ὢν ὅπερ τὸ
ἄρτιον, ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί. ξυγ-
χωρεῖς, ἢ οὔ; Πῶς γὰρ οὔκ; ἔφη. Ὃ τοίνυν, ἔφη,
βούλομαι δηλῶσαι, ἄθρει· ἔστι δὲ τόδε· ὅτι φαί-
νεται οὐ μόνον ἐκεῖνα τὰ ἐναντία ἄλληλα οὐ δεχό-
μενα, ἀλλὰ καὶ ὅσα, οὐκ ὄντα ἀλλήλοις ἐναντία, ἀεὶ
ἔχει τὰ ἐναντία, οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκεί-
νην τὴν ἰδέαν, ἣ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ·
ἀλλ' ἐπιούσης αὐτῆς, ἤτοι ἀπολλύμενα, ἢ ὑπεκχω-
ροῦντα. ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι πρό-
τερον, καὶ ἄλλο ὁτιοῦν πείσεσθαι, πρὶν ἢ ὑπομεῖναι
ἔτι, τρία ὄντα ἄρτια γενέσθαι; Πάνυ μὲν οὖν, ἔφη
ὁ Κέβης. Οὐδὲ μήν, ἦ δ' ὅς, ἐναντίον γέ ἐστι δυὰς
τριάδι. Οὐ γὰρ οὖν. Οὐκ ἄρα μόνον τὰ εἴδη τὰ
ἐναντία οὐχ ὑπομένει ἐπιόντα ἄλληλα, ἀλλὰ καὶ ἄλλ'
ἄττα τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα. LIII. Ἀληθέ-
στατα, ἔφη, λέγεις. Βούλει οὖν, ἦ δ' ὅς, ἐὰν οἷοί τε
ὦμεν, ὁρισώμεθα ὁποῖα ταῦτ' ἐστί; Πάνυ γε. Ἆρ' οὖν,
ἔφη, ὦ Κέβης, τάδε εἴη ἄν, ἃ ὅ, τι ἂν κατάσχῃ,
μὴ μόνον ἀναγκάζει τὴν αὑτοῦ ἰδέαν αὐτὸ ἴσχειν,

ἀλλὰ καὶ μηδ᾽ ἐναντίαν αὐτῇ δέχεσθαι; Πῶς λέγεις; Ὥσπερ ἄρτι ἐλέγομεν. οἶσθα γάρ δήπου ὅτι ἃ ἂν ἡ τῶν τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι, ἀλλὰ καὶ περιττοῖς; Πάνυ γε. Ἐπὶ τὸ τοιοῦτον δή, φαμέν, ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ, ἣ ἂν τοῦτο ἀπεργάζηται, οὐδέποτ᾽ ἂν ἔλθοι; Οὐ γάρ. Εἰργάζετο δέ γε ἡ περιττή; Ναι. Ἐναντία δὲ ταύτῃ ἡ τοῦ ἀρτίου; Ναί. Ἐπὶ τὰ τρία ἄρα ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει; Οὐ δῆτα. Ἄμοιρα δὴ τοῦ ἀρτίου τὰ τρία; Ἄμοιρα. Ἀνάρτιος ἄρα ἡ τριάς; Ναί. Ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖα οὐκ ἐναντία τινὶ ὄντα, ὅμως οὐ δέχεται αὐτὸ τὸ ἐναντίον· (οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ οὐκ οὖσα ἐναντία, οὐδέν τι μᾶλλον αὐτὸ δέχεται· τὸ γὰρ ἐναντίον αὐτῷ ἀεὶ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ, καὶ τὸ πῦρ τῷ ψυχρῷ, καὶ ἄλλα πάμπολλα·) ἀλλ᾽ ὅρα δὴ εἰ οὕτως ὁρίζῃ, μὴ μόνον τὸ ἐναντίον τὸ ἐναντίον μὴ δέχεσθαι, ἀλλὰ καὶ ἐκεῖνο ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ ἐφ᾽ ὅ, τι ἂν αὐτὸ ἴῃ, αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα μηδέποτε δέξασθαι. πάλιν δὲ ἀναμιμνήσκου· οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν· τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται· οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον. τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιττοῦ οὐ δέξεται· οὐδὲ δὴ τὸ ἡμιόλιον, οὐδὲ τἆλλα τὰ τοιαῦτα, τὸ ἥμισυ τὴν τοῦ ὅλου, καὶ τριτημόριον αὖ, καὶ πάντα τὰ τοιαῦτα, εἴπερ ἕπῃ τε καὶ ξυνδοκεῖ σοι οὕτω. Πάνυ σφόδρα καὶ ξυνδοκεῖ, ἔφη, καὶ ἕπο-

μαι. LIV. *Πάλιν δή μοι, ἔφη, ἐξ ἀρχῆς λέγε, καὶ μή
μοι ὃ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλὰ ἄλλο, μιμούμενος
ἐμέ· λέγω δὲ παρ' ἣν τοπρῶτον ἔλεγον ἀπόκρισιν,
τὴν ἀσφαλῆ ἐκείνην, ἐκ τῶν νῦν λεγομένων ἄλλην
ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό με, ᾧ ἂν τι ἐν τῷ σώ-
ματι ἐγγένηται, θερμὸν ἔσται, οὐ τὴν ἀσφαλῆ σοι
ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, ὅτι ᾧ ἂν θερ-
μότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ·
οὐδὲ ἂν ἔρῃ, ᾧ ἂν σώματι τί ἐγγένηται, νοσήσει,
οὐκ ἐρῶ ὅτι ᾧ ἂν νόσος, ἀλλ' ᾧ ἂν πυρετός· οὐδ'
ᾧ ἂν ἀριθμῷ τί ἐγγένηται, περιττὸς ἔσται, οὐκ
ἐρῶ, ᾧ ἂν περιττότης, ἀλλ' ᾧ ἂν μονάς, καὶ τἆλλα
οὕτως. ἀλλ' ὅρα εἰ ἤδη ἱκανῶς οἶσθ' ὅ, τι βούλο-
μαι. Ἀλλὰ πάνυ ἱκανῶς, ἔφη. Ἀποκρίνου δή, ἦ δ'
ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; ᾯ ἂν
ψυχή, ἔφη. Οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; Πῶς γὰρ
οὐχί; ἦ δ' ὅς. Ἡ ψυχὴ ἄρα ὅ, τι ἂν αὐτὴ κατά-
σχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο, φέρουσα ζωήν; Ἥκει μέν-
τοι, ἔφη. Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον, ἢ οὐδέν;
Ἔστιν, ἔφη. Τί; Θάνατος. Οὐκοῦν ἡ ψυχὴ τὸ
ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεί, οὐ μήποτε δέξηται,
ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται. Καὶ μάλα σφόδρα,
ἔφη ὁ Κέβης.* LV. *Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ
ἀρτίου ἰδέαν, τί νῦν δὴ ὠνομάζομεν; Ἀνάρτιον ἔφη.
Τὸ δὲ δίκαιον μὴ δεχόμενον, καὶ ὃ ἂν μουσικὸν μὴ
δέχηται; Ἄμουσον, ἔφη, τὸ δέ, ἄδικον. Εἶεν. ὃ
δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦμεν; Ἀθάνα-
τον, ἔφη. Οὐκοῦν ἡ ψυχὴ οὐ δέχεται θάνατον; Οὔ.*

Ἀθάνατον ἄρα ἡ ψυχή; Ἀθάνατον. Εἶεν, ἔφη. τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν; ἢ πῶς δοκεῖ; Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. Τί οὖν, ἦ δ' ὅς, ὦ Κέβης; εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι τὰ τρία ἢ ἀνώλεθρα ἂν ἦν; Πῶς γὰρ οὔ; Οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπαγάγοι, ὑπεξῄει ἂν ἡ χιὼν, οὖσα σῶς καὶ ἄτηκτος; οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα, ἐδέξατο ἂν τὴν θερμότητα. Ἀληθῆ, ἔφη, λέγεις. Ὡς δ' αὔτως, οἶμαι, κἂν εἰ τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπῄει, οὔποτ' ἂν ἀπεσβέννυτο, οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶν ἂν ἀπελθὸν ᾤχετο. Ἀνάγκη, ἔφη. Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν· εἰ μὲν τὸ ἀθάνατον, καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι. Θάνατον μὲν γὰρ δὴ, ἐκ τῶν προειρημένων, οὐ δέξεται, οὐδ' ἔσται τεθνηκυῖα· ὥσπερ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γ' αὖ τὸ περιττόν· οὐδὲ δὴ τὸ πῦρ, ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι, ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγηται· ἀπολλυμένου δὲ αὐτοῦ, ἀντ' ἐκείνου ἄρτιον γεγονέναι; τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι, ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον, οὐκ ἀνώλεθρόν ἐστιν. ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα, ὅτι ἐπελθόντος τοῦ ἀρτίου, τὸ περιττὸν καὶ τὰ τρία οἴχε-

ται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα· ἢ σύ; Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη, πρὸς τῷ ἀθάνατος εἶναι, καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου; Ἀλλ᾽ οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα. σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἰ τό γε ἀθάνατον καὶ ἀΐδιον ὂν φθορὰν δέξεται. LVI. Ὁ δέ γε θεός, οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος, καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. Παρὰ πάντων μέντοι νὴ Δία, ἔφη, ἀνθρώπων γε· καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν. Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχὴ ἤ, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; Πολλὴ ἀνάγκη. Ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνήσκει· τὸ δ᾽ ἀθάνατον, σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. Φαίνεται. Παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον· καὶ τῷ ὄντι ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν ᾅδου. Οὔκουν ἔγωγε, ὦ Σώκρατες, ἔφη, ἔχω παρὰ ταῦτα ἄλλο τι λέγειν, οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ᾽ εἰ δή τι Σιμμίας ὅδε, ἤ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι· ὡς οὐκ οἶδα εἰς ὅντινά τις ἄλλον καιρὸν ἀναβάλλοιτο ἢ τὸν νῦν παρόντα, περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν, ἢ ἀκοῦσαι. Ἀλλὰ μήν, ἦ δ᾽ ὅς, ὁ Σιμμίας, οὐδ᾽ αὐτὸς ἔχω ἔτι ὅπῃ

ἀπιστῶ, ἔκ γε τῶν λεγομένων. ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσὶ, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀτιμάζων, ἀναγκάζομαι ἀπιστίαν ἔτι ἔχειν παρ᾽ ἐμαυτῷ περὶ τῶν εἰρημένων. Οὐ μόνον γ᾽, ἔφη, ὦ Σιμμία, ὁ Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις καὶ τάς ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσιν, ὅμως ἐπισκεπτέαι σαφέστερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγῷμαι, ἀκολουθήσετε τῷ λόγῳ, καθόσον δυνατὸν μάλιστα ἀνθρώπῳ ἐπακολουθῆσαι· κἂν τοῦτο αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε περαιτέρω. Ἀληθῆ, ἔφη, λέγεις. LVII. Ἀλλὰ τόδε γ᾽, ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ᾽ ὑπὲρ τοῦ παντός· καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν μάλιστα δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσειεν. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι, τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι, καὶ τῆς αὐτῶν κακίας, μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν, οὐδὲ σωτηρία, πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς ᾅδου ἡ ψυχὴ ἔρχεται, πλὴν τῆς παιδείας τε καὶ τροφῆς· ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον,

οἷ δεῖ τοὺς ξυλλεγέντας διαδικασαμένους εἰς ᾅδου πορεύεσθαι, μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. τυχόντας δ' ἐκεῖ ὧν δεῖ τυχεῖν, καὶ μείναντας ὃν χρὴ χρόνον, ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει, ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει. ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς ᾅδου φέρειν· ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲ γὰρ ἂν ἡγεμόνων ἔδει· οὐ γάρ πού τις ἂν διαμάρτοι οὐδαμόσε, μιᾶς ὁδοῦ οὔσης. νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν· ἀπὸ τῶν ὁσίων τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δὲ ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅπερ ἐν τῷ πρόσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον ἐπτοημένη, καὶ περὶ τὸν ὁρατὸν τόπον πολλὰ ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόλις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. ἀφικομένην δὲ ὅθιπερ αἱ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην, ἢ ἄλλα ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑπεκτρέπεται, καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι· αὐτὴ δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται· ὧν ἐξελθόντων, ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν. ἡ δὲ

καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησε τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. Εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι· καὶ αὐτὴ, οὔτε οἵα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό τινος πέπεισμαι. Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι τῆς γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα· οὐ μέντοι ταῦτα ἅ σε πείθει· ἡδέως ἂν οὖν ἀκούσαιμι. Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην. καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς, οὐδέν με κωλύει λέγειν. Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ. Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγώ, ὡς πρῶτον μέν, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν, μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης· ἀλλὰ ἱκανὴν γε εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντῃ, καὶ τῆς γῆς αὐτῆς τὴν ἰσοῤῥοπίαν. ἰσόῤῥοπον γὰρ πρᾶγμα, ὁμοίου τινὸς ἐν μέσῳ τεθέν, οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι· ὁμοίως δ' ἔχον, ἀκλινὲς μενεῖ. πρῶτον μὲν δή, ἦ δ' ὅς, τοῦτο πέπεισμαι. Καὶ ὀρθῶς γε, ἔφη ὁ

Σιμμίας. Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐ-
τό· καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν
ἀπὸ Φάσιδος ἐν σμικρῷ τινὶ μορίῳ, ὥςπερ περὶ
τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν
οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς
τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ
τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας
καὶ τὰ μεγέθη· εἰς ἃ ξυνεῤῥυηκέναι τό, τε ὕδωρ
καὶ τὴν ὁμίχλην, καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν
καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπερ
ἐστὶ τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολ-
λοὺς τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν· οὗ δὴ
ὑποστάθμην ταῦτα εἶναι, καὶ ξυῤῥεῖν ἀεὶ εἰς τὰ κοῖ-
λα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις
αὐτῆς λεληθέναι, καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰ-
κεῖν· ὥςπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πε-
λάγους οἰκῶν, οἴοιτό τε ἐπὶ τῆς θαλάττης οἰκεῖν,
καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα
ἄστρα, τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ
βραδυτῆτά τε καὶ ἀσθένειαν, μηδεπώποτε ἐπὶ τὰ
ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη,
ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε
τόπον, ὅσῳ καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν
τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑω-
ρακότος· ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι.
οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς, οἴεσθαι ἐπά-
νω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς
διὰ τούτου, οὐρανοῦ ὄντος, τὰ ἄστρα χωροῦντα· τὸ

δὲ εἶναι ταὐτὸν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα. ἐπεὶ, εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι, ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἂν ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν· καὶ, εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς οὐρανὸς καὶ τὸ ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι, καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε, διεφθαρμένα ἐστὶ καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι· σήραγγες δὲ καὶ ἄμμος, καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ ἡ γῆ ᾖ· καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια. ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φανείη διαφέρειν. εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν καλὸν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Ἀλλὰ μὴν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. LIX. Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη· ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ γραφεῖς καταχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ

λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων. τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ· τὴν δὲ ὅση λευκή, γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων ξυγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι, στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ· ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη, καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τελειότητα καὶ τὴν διαφάνειαν, καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους, καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὅ, τι οὐ τοιοῦτον εἶναι, καὶ ἔτι τούτων καλλίω. τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι, καὶ οὐ κατεδηδεσμένοι, οὐδὲ διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἅλμης, καὶ ὑπὸ τῶν δεῦρο ξυνεῤῥυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι, καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ, καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα, καὶ πανταχοῦ τῆς γῆς· ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν.

ζῷα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογείᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν· τοὺς δὲ ἐν νήσοις, ἃς περιῤῥεῖν τὸν ἀέρα, πρὸς τῇ ἠπείρῳ οὔσας· καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ τε καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα· ὃ δὲ ἡμῖν ἀήρ, τοῦτο ἐκείνοις τὸν αἰθέρα. τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι, καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ᾗπερ ἀήρ τε ὕδατος ἀφέστηκε, καὶ αἰθὴρ ἀέρος, πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι· ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν, καὶ τοιαύτας ξυνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι. καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι, καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς, κύκλῳ περὶ ὅλην, πολλούς· τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν· τοὺς δὲ βαθυτέρους ὄντας, τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου. ἔστι δ' οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους. τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ κατὰ στε-

νότερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν· ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους, ὥσπερ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν· πολὺ δὲ πῦρ, καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου· ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὧν ἂν ἑκάστοις τύχῃ ἑκάστοτε ἡ περιῤῥοὴ γιγνομένη· ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥσπερ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά· ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὄν, καὶ διαμπερὲς τετρημένον δι᾽ ὅλης τῆς γῆς, τοῦτο ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτό,

Τῆλε μάλ᾽, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα ξυῤῥέουσί τε πάντες οἱ ποταμοί, καὶ ἐκ τούτου πάλιν πάντες ἐκρέουσι. γίγνονται δὲ ἕκαστοι τοιοῦτοι, δι᾽ οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. ἡ δ᾽ αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸ ταὐτὸν ποιεῖ. ξυνέπεται γὰρ αὐτῷ καὶ ὅταν εἰς τὸ ἐπέκεινα τῆς γῆς ὁρμήσῃ, καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε. καὶ

ὥςπερ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ τὸ πνεῦμα δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται, καὶ εἰςιὸν καὶ ἐξιόν. ὅταν τε οὖν ὁρμῆσαν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ᾽ ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς εἰςρεῖ τε καὶ πληροῖ αὐτά, ὥςπερ οἱ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, δεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις· τὰ δὲ πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς ἑκάστοις ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ. ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει· τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰςρεῖ τῆς ἐκροῆς. καὶ ἔνια μὲν καταντικρὺ ᾗ εἰςρεῖ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ ἃ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ τὴν γῆν, ὥςπερ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα, πάλιν ἐμβάλλει· δυνατὸν δ᾽ ἐστιν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ᾽ οὔ· ἄναντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος. LXI. Τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δ᾽ ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρ᾽ ἄττα ῥεύματα, ὧν τὸ

μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περὶ κύκλῳ, ὁ καλούμενος Ὠκεανός ἐστι· τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων, Ἀχέρων· ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων, καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων, εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται· καί τινας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν μακροτέρους, αἱ δὲ βραχυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν, πυρὶ πολλῷ καιόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ. ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης· περιελιττόμενος δὲ τῇ γῇ, ἄλλοσέ τε ἀφικνεῖται, καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς, ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου. οὗτος δ' ἐστὶν ὃν ἔτι ἐπονομάζουσι Πυριφλεγέθοντα· οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπῃ ἂν τύχωσι τῆς γῆς. τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός· ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ τὴν λίμνην ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα. ὁ δ' ἐμπεσὼν ἐνταῦθα, καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι, καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τού-

του ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον, ἐναντίως τῷ Πυριφλεγέθοντι. ὄνομα δὲ τούτῳ ἐστὶν, ὡς οἱ ποιηταὶ φάσκουσι, Κωκυτός. LXII. Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως [καὶ δικαίως] βιώσαντες, καὶ οἱ μή. καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην· καὶ ἐκεῖ οἰκοῦσί τε, καὶ καθαιρόμενοι, τῶν τε ἀδικημάτων διδόντες δίκας, ἀπολύονται, εἴ τίς τι ἠδίκησε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος. οἳ δ᾽ ἂν δόξωσιν ἀνιάτως ἔχειν, διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας, ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τυγχάνει ὄντα τοιαῦτα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν· οἳ δ᾽ ἂν ἰάσιμα μὲν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ᾽ ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς, καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους, ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους κατὰ τὸν Κωκυτὸν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας, κα-

τὰ τὸν Πυριφλεγέθοντα. ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν, οὓς ἀπέκτειναν, οἱ δὲ, οὓς ὕβρισαν· καλέσαντες δ' ἱκετεύουσι, καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι. καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσί τε καὶ λήγουσι τῶν κακῶν· εἰ δὲ μὴ, φέρονται αὖθις εἰς τὸν Τάρταρον, καὶ ἐκεῖθεν πάλιν εἰς τοὺς ποταμούς· καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν. αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι, ἄνευ τε σωμάτων ζῶσι τοπαράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται· ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.

LXIII. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν. καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. τὸ μὲν οὖν ταῦτα διϊσχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί. ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν, ἢ τοιαῦτ' ἄττα, περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέ-

πειν ἐμοὶ δοκεῖ, καὶ ἄξιον κινδυνεῦσαι, οἰομένῳ
οὕτως ἔχειν. καλὸς γὰρ ὁ κίνδυνος, καὶ χρὴ τὰ τοι-
αῦτα ὥσπερ ἐπάδειν ἑαυτῷ. διὸ δὴ ἔγωγε καὶ πά-
λαι μηκύνω τὸν μῦθον. ἀλλὰ τούτων δὴ ἕνεκα θαῤ-
ῥεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ
βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ
τοὺς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας,
καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι· τὰς
δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε, καὶ κοσμήσας
τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σω-
φροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθε-
ρίᾳ καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς ᾅδου
πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ.
Ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, καὶ
οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε·
ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ
εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς
τὸ λουτρόν. δοκεῖ γὰρ ἤδη βέλτιον εἶναι λουσάμενον
πιεῖν τὸ φάρμακον, καὶ μὴ πράγματα ταῖς γυναιξὶ
παρέχειν νεκρὸν λούειν. LXIV. Ταῦτα δὴ εἰπόντος
αὐτοῦ, ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες· τί δὲ
τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις, ἢ περὶ τῶν παίδων, ἢ περὶ
ἄλλου του, ὅ, τι ἄν σοι ποιοῦντες ἡμεῖς, ἐν χάριτι
μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων·
οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι
ὑμεῖς, καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς, καὶ ὑμῖν αὐτοῖς ἐν
χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν ὁμολο-
γήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε, καὶ μὴ

θέλητε, ὥσπερ κατ' ἴχνη, κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ, ζῆν, οὐδὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δὲ τίνα σε τρόπον; Ὅπως ἄν, ἔφη, βούλησθε· ἐάνπερ γε λάβητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ, καὶ πρὸς ἡμᾶς ἀποβλέψας, εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενος, καὶ διατάττων ἕκαστα τῶν λεγομένων· ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δὴ πῶς με θάπτῃ· ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο· οὗτος μὲν γὰρ ἦ μὴν παραμενεῖν· ὑμεῖς δὲ ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα· ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ ὁρῶν μου τὸ σῶμα ἢ καόμενον ἢ κατορυττόμενον, ἀγανακτῇ ὑπὲρ ἐμοῦ, ὡς δεινὰ ἄττα πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτη, ἢ ἐκφέρει, ἢ κατορύττει. εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν, οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν

τι ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ θαῤῥεῖν τε χρὴ, καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως, ὅπως ἄν σοι φίλον ᾖ, καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι. LXV. Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο, καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας), καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἄττα μετὰ ταῦτα διελέχθη. καὶ ἧκεν ὁ τῶν Ἕνδεκα ὑπηρέτης· καὶ στὰς παρ' αὐτὸν, Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γε σοῦ ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγείλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων· σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γιγνώσκεις γὰρ τοὺς αἰτίους) ἀλλὰ ἐκεί-

νοις, νῦν οὖν, (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα· καὶ ἅμα δακρύσας, μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης, ἀναβλέψας πρὸς αὐτόν, Καὶ σύ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο ἐνίοτε, καὶ ἦν ἀνδρῶν λῷστος· καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τὶς τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι· καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες· ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις (οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες) καὶ ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω. οὐδὲν γὰρ οἶμαι κερδαίνειν, ὀλίγον ὕστερον πιών, ἄλλο γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος, οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πείθου, καὶ μὴ ἄλλως ποίει. LXVI. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι· καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας, ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βέλ-

τιστε, (σὺ γὰρ τούτων ἐπιστήμων,) τί χρὴ ποιεῖν;
Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιϊέναι, ἕως ἄν σου
βάρος ἐν τοῖς σκέλεσι γένηται· ἔπειτα κατακεῖσθαι·
καὶ οὕτως αὐτὸ ποιήσει· καὶ ἅμα ὤρεξε τὴν κύ-
λικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν, καὶ μάλα ἵλεως,
ὦ Ἐχέκρατες, οὐδὲν τρέσας, οὐδὲ διαφθείρας οὔτε
τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ᾽, ὥσπερ εἰώ-
θει ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί
λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος, πρὸς τὸ ἀπο-
σπεῖσαί τινι; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ
Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι
πιεῖν. Μανθάνω, ἦ δ᾽ ὅς· ἀλλ᾽ εὔχεσθαί γέ που
τοῖς θεοῖς ἔξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐν-
θένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχο-
μαί τε, καὶ γένοιτο ταύτῃ. καὶ ἅμα εἰπὼν ταῦτα,
ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε.
καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν
κατέχειν τὸ μὴ δακρύειν· ὡς δὲ εἴδομεν πίνοντά τε
καὶ πεπωκότα, οὐκέτι. ἀλλ᾽ ἐμοῦ γε καὶ αὐτοῦ βίᾳ
καὶ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμε-
νος ἀπέκλαιον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλ-
λὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερη-
μένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπει-
δὴ οὐχ οἷός τ᾽ ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη.
Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν
ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμε-
νος, κλαίων καὶ ἀγανακτῶν, οὐδένα ὅντινα οὐ κατέ-
κλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους.
ἐκεῖνος δὲ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ

μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε. καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πηγνύοιτο· καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα· καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γάρ) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα ἔσται, ἔφη ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον χρόνον διαλιπών, ἐκινήθη τι, καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν. καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς. LXVII. Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου, καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

ΘΕΑΓΗΣ.

ΔΗΜΟΔΟΚΟΣ.

Ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι,
εἰ σχολή· κἂν ἡ ἀσχολία δὲ μὴ πάνυ τις μεγάλη,
ὅμως ἐμοῦ ἕνεκα ποίησαι σχολήν. ΣΩ. Ἀλλὰ καὶ
ἄλλως τυγχάνω σχολάζων, καὶ δὴ σοῦ γε ἕνεκα καὶ
πάνυ· ἀλλ' εἴ τι βούλει λέγειν, ἔξεστι. ΔΗ. Βούλει
οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ ἐλευθερίου στοὰν
ἐκποδὼν ἀποχωρήσωμεν; ΣΩ. Εἴ σοι δοκεῖ. ΔΗ.
Ἴωμεν δή. ὦ Σώκρατες — πάντα τὰ φυτὰ κινδυνεύει
τὸν αὐτὸν τρόπον ἔχειν καὶ τὰ ἐκ τῆς γῆς φυόμενα,
καὶ τὰ ζῷα, τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν
τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι τὴν
γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ πρὸ
τοῦ φυτεύειν, καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ
φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ
πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται· οὕτω δὲ
ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων. ἀπὸ τῶν
ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι καὶ εἰς τἆλ-
λα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ υἱέος τουτουὶ εἴτε φυτείαν
εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων ῥᾴ-

στη γέγονεν· ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φόβῳ περὶ αὐτοῦ δεδιότι. τὰ μὲν οὖν ἄλλα, πολλὰ ἂν εἴη λέγειν· ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ. ἔστι μὲν γὰρ οὐκ ἀγεννής, σφαλερὰ δέ. ἐπιθυμεῖ γὰρ δὴ οὗτος ἡμῖν, ὦ Σώκρατες, ὥς φησι, σοφὸς γενέσθαι. δοκεῖ γάρ μοι, τῶν ἡλικιωτῶν τινὲς αὐτοῦ καὶ δημοτῶν εἰς τὸ ἄστυ καταβαίνοντες, λόγους τινὰς ἀπομνημονεύοντες, διαταράττουσιν αὐτόν· οὓς ἐζήλωκε, καὶ πάλαι μοι πράγματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με ἑαυτοῦ, καὶ χρήματα τελέσαι τινὶ τῶν σοφιστῶν, ὅστις αὐτὸν σοφὸν ποιήσει. ἐμοὶ δὲ τῶν μὲν χρημάτων καὶ ἔλαττον μέλει, ἡγοῦμαι δὲ τοῦτον οὐκ εἰς σμικρὸν κίνδυνον ἰέναι οἷ σπεύδει. τέως μὲν οὖν αὐτὸν κατεῖχον παραμυθούμενος· ἐπειδὴ δὲ οὐκέτι οἷός τέ εἰμι, ἡγοῦμαι κράτιστον εἶναι πείθεσθαι αὐτῷ, ἵνα μὴ πολλάκις ἄνευ ἐμοῦ ξυγγενόμενός τῳ διαφθαρῇ. νῦν οὖν ἥκω ἐπ' αὐτὰ ταῦτα, ἵνα τῳ τῶν σοφιστῶν δοκούντων εἶναι ξυστήσω τουτονί. σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης, ᾧ ἂν ἐγὼ μάλιστα ἐβουλόμην, περὶ τῶν τοιούτων μέλλων πράξειν, ξυμβουλεύσασθαι. ἀλλ' εἴ τι ἔχεις ξυμβουλεύειν, ἐξ ὧν ἐμοῦ ἀκήκοας, ἔξεστί τε καὶ χρή. II. ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε ξυμβουλὴ ἱερὸν χρῆμα εἶναι. εἴπερ οὖν καὶ ἄλλη ἡτισοῦν ἐστὶν ἱερά, καὶ αὕτη ἂν εἴη περὶ ἧς σὺ νῦν ξυμβουλεύῃ. οὐ γάρ ἐστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο, ἢ περὶ παιδείας καὶ αὑτοῦ καὶ τῶν αὑτοῦ οἰκείων. πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ ξυνο-

μολογησώμεθα, τί ποτε οἰόμεθα τοῦτο εἶναι περὶ οὗ βουλευόμεθα· μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω, σὺ δὲ ἄλλο, κἄπειτα πόῤῥω που τῆς ξυνουσίας αἰσθώμεθα γελοῖοι ὄντες, ἐγώ τε ὁ ξυμβουλεύων καὶ σὺ ὁ ξυμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι. ΔΗ. Ἀλλά μοι δοκεῖς ὀρθῶς λέγειν, ὦ Σώκρατες, καὶ ποιεῖν χρὴ οὕτω. ΣΩ. Καὶ λέγω γε ὀρθῶς, οὐ μέντοι παντάπασί γε· σμικρὸν γάρ τι μετατίθεμαι. ἐννοῶ γὰρ μὴ καὶ ὁ μειρακίσκος οὗτος οὐ τούτου ἐπιθυμῇ, οὗ ἡμεῖς αὐτὸν οἰόμεθα ἐπιθυμεῖν, ἀλλ' ἑτέρου· εἶτ' αὖ ἡμεῖς ἔτι ἀτοπώτεροι ὦμεν περὶ ἄλλου του βουλευόμενοι. ὀρθότατον οὖν μοι δοκεῖ εἶναι ἀπ' αὐτοῦ τούτου ἄρχεσθαι, διαπυνθανομένους ὅ, τι καὶ ἔστιν οὗ ἐπιθυμεῖ. ΔΗ. Κινδυνεύει γοῦν οὕτω βέλτιστον εἶναι ὡς σὺ λέγεις. ΣΩ. Εἰπὲ δή μοι, τί καλὸν ὄνομα τῷ νεανίσκῳ; τί αὐτὸν προσαγορεύομεν; ΔΗ. Θεάγης ὄνομα τούτῳ, ὦ Σώκρατες. ΣΩ. Καλόν γε, ὦ Δημόδοκε, τῷ υἱεῖ τὸ ὄνομα ἔθου καὶ ἱεροπρεπές. εἰπὲ δὴ ἡμῖν, ὦ Θέαγες, ἐπιθυμεῖν φῂς σοφὸς γενέσθαι, καὶ ἀξιοῖς σου τὸν πατέρα τόνδε ἐξευρεῖν ἀνδρός τινος ξυνουσίαν τοιούτου, ὅστις σε σοφὸν ποιήσει; ΘΕ. Ναί. ΣΩ. Σοφοὺς δὲ καλεῖς πότερον τοὺς ἐπιστήμονας, περὶ ὅτου ἂν ἐπιστήμονες ὦσιν, ἢ τοὺς μή; ΘΕ. Τοὺς ἐπιστήμονας ἔγωγε. ΣΩ. Τί οὖν; οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν ἅπερ ἐνθάδε οἱ ἄλλοι παιδεύονται, οἱ τῶν καλῶν κἀγαθῶν πατέρων υἱεῖς, οἷον γράμματά τε καὶ κιθαρίζειν, καὶ

παλαίειν; καὶ τὴν ἄλλην ἀγωνίαν; ΘΕ. Ἐμοί γε. ΣΩ. Ἔτι οὖν οἴει τινὸς ἐπιστήμης ἐλλείπειν, ἧς προσήκει ὑπὲρ σοῦ τὸν πατέρα ἐπιμεληθῆναι; ΘΕ. Ἔγωγε. ΣΩ. Τίς ἐστιν αὕτη; εἰπὲ καὶ ἡμῖν, ἵνα σοι χαρισώμεθα. ΘΕ. Οἶδε καὶ οὗτος, ὦ Σώκρατες, ἐπεὶ πολλάκις ἐγὼ αὐτῷ εἴρηκα· ἀλλὰ ταῦτα ἐξεπίτηδες πρὸς σὲ λέγει, ὡς δὴ οὐκ εἰδὼς οὗ ἐγὼ ἐπιθυμῶ. τοιαῦτα γὰρ ἕτι καὶ ἕτερα καὶ πρὸς ἐμὲ μάχεταί τε, καὶ οὐκ ἐθέλει με οὐδενὶ ξυστῆσαι. ΣΩ. Ἀλλὰ τὰ μὲν ἔμπροσθέν σοι ἦν πρὸς τοῦτον ῥηθέντα, ὥσπερ ἄνευ μαρτύρων λεγόμενα· νῦν δὲ ἐμὲ ποίησαι μάρτυρα, καὶ ἐναντίον ἐμοῦ κάτειπε, τίς ἐστιν αὕτη ἡ σοφία ἧς ἐπιθυμεῖς. φέρε γάρ, εἰ ἐπεθύμεις ταύτης ᾗ οἱ ἄνθρωποι τὰ πλοῖα κυβερνῶσι, καὶ ἐγώ σε ἐτύγχανον ἐρωτῶν· ὦ Θέαγες, τίνος ἐνδεὴς ὢν σοφίας μέμφει τῷ πατρὶ ὅτι οὐκ ἐθέλει σε ξυνιστάναι παρ' ὧν ἂν σὺ σοφὸς γένοιο; τί ἄν μοι ἀπεκρίνω; τίνα ταύτην εἶναι; ἆρα οὐ κυβερνητικήν; ΘΕ. Ναί. ΣΩ. Εἰ δὲ ἐπιθυμῶν ταύτην τὴν σοφίαν εἶναι σοφὸς ᾗ τὰ ἅρματα κυβερνῶσιν, εἶτ' ἐμέμφου τῷ πατρί, ἐμοῦ αὖ ἐρωτῶντος τίς ἐστιν αὕτη ἡ σοφία, τίνα ἂν ἀπεκρίνω αὐτὴν εἶναι; ἆρ' οὐχὶ ἡνιοχικήν; ΘΕ. Ναί. ΣΩ. Ἧς δὲ δὴ νῦν τυγχάνεις ἐπιθυμῶν, πότερον ἀνώνυμός τίς ἐστιν, ἢ ἔχει ὄνομα; ΘΕ. Οἶμαι ἔγωγε ἔχειν. IV. ΣΩ. Πότερον οὖν αὐτὴν μὲν οἶσθα, οὐ μέντοι τό γε ὄνομα; ἢ καὶ τὸ ὄνομα; ΘΕ. Καὶ τὸ ὄνομα ἔγωγε. ΣΩ. Τί οὖν ἐστιν; εἰπέ. ΘΕ. Τί δὲ ἄλλο, ὦ Σώκρατες, αὐτῇ ὄνομά τις φαίη ἂν εἶναι,

ἀλλ' ἢ σοφίαν; ΣΩ. Οὐκοῦν καὶ ἡ ἡνιοχία σοφία
ἐστίν; ἢ ἀμαθία δοκεῖ σοι εἶναι; ΘΕ. Οὐκ ἔμοιγε.
ΣΩ. Ἀλλὰ σοφία; ΘΕ. Ναί. ΣΩ. Ἧι τί χρώμεθα;
οὐχ ᾗ ἵππων ἐπιστάμεθα ζεύγους ἄρχειν; ΘΕ. Ναί.
ΣΩ. Οὐκοῦν καὶ ἡ κυβερνητικὴ σοφία ἐστίν; ΘΕ.
Ἔμοιγε δοκεῖ. ΣΩ. Ἆρ' οὐχ αὕτη ᾗ πλοίων ἐπι-
στάμεθα ἄρχειν; ΘΕ. Αὕτη μὲν οὖν. ΣΩ. Ἧς δὲ
δὴ σὺ ἐπιθυμεῖς, ἡ σοφία τίς ἐστιν, ᾗ τίνος ἐπιστά-
μεθα ἄρχειν; ΘΕ. Ἐμοὶ μὲν δοκεῖ, ᾗ τῶν ἀνθρώ-
πων. ΣΩ. Μῶν ᾗ τῶν καμνόντων; ΘΕ. Οὐ δῆτα.
ΣΩ. Ἰατρικὴ γὰρ αὕτη ἐστίν· ἦ γάρ; ΘΕ. Ναί.
ΣΩ. Ἀλλ' ᾗ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς
ἄρχειν; ΘΕ. Οὔ. ΣΩ. Μουσικὴ γὰρ αὕτη γε. ΘΕ.
Πάνυ γε. ΣΩ. Ἀλλ' ᾗ τῶν γυμναζομένων ἐπιστά-
μεθα ἄρχειν; ΘΕ. Οὔ. ΣΩ. Γυμναστικὴ γὰρ αὕτη
γε. ΘΕ. Ναί. ΣΩ. Ἀλλ' ᾗ τῶν τί ποιούντων; —
προθυμοῦ εἰπεῖν, ὥσπερ ἐγώ σοι τὰ ἔμπροσθεν. ΘΕ.
Ἧι τῶν ἐν τῇ πόλει, ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν ἐν
τῇ πόλει εἰσὶ καὶ οἱ κάμνοντες; ΘΕ. Ναί· ἀλλ' οὐ
τούτων λέγω μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐν τῇ
πόλει. ΣΩ. Ἆρά γε μανθάνω ἣν λέγεις τέχνην·
δοκεῖς γάρ μοι λέγειν οὐχ ᾗ τῶν θεριζόντων ἐπιστά-
μεθα ἄρχειν, καὶ τῶν τρυγώντων, καὶ τῶν φυτευόν-
των, καὶ σπειρόντων, καὶ ἀλοώντων· αὕτη μὲν γὰρ
γεωργική, ᾗ τούτων ἄρχομεν. ἦ γάρ; ΘΕ. Ναί.
ΣΩ. Οὐδέ γε ᾗ τῶν πριζόντων, καὶ τρυπώντων, καὶ
ξεόντων, καὶ τορνευόντων ξυμπάντων ἐπιστάμεθα
ἄρχειν, οὐ ταύτην λέγεις· αὕτη γὰρ οὐ τεκτονική;

ΘΕ. Ναί. ΣΩ. Ἀλλ' ἴσως ἢ τούτων τε πάντων καὶ αὐτῶν τῶν γεωργῶν, καὶ τῶν τεκτόνων, καὶ τῶν δημιουργῶν ἁπάντων, καὶ τῶν ἰδιωτῶν, καὶ τῶν γυναικῶν καὶ ἀνδρῶν, ταύτην ἴσως λέγεις τὴν σοφίαν; ΘΕ. Ταύτην πάλαι, ὦ Σώκρατες, βούλομαι λέγειν. V. ΣΩ. Ἔχεις οὖν εἰπεῖν, Αἴγισθος, ὁ Ἀγαμέμνονα ἀποκτείνας ἐν Ἄργει, ἆρα τούτων ἦρχεν ὧν σὺ λέγεις, τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν, καὶ ἀνδρῶν καὶ γυναικῶν, ξυμπάντων, ἢ ἄλλων τινῶν; ΘΕ. Οὔκ, ἀλλὰ τούτων. ΣΩ. Τί δὲ δή; Πηλεὺς ὁ Αἰακοῦ ἐν Φθίᾳ οὐ τῶν αὐτῶν τούτων ἦρχε; ΘΕ. Ναί. ΣΩ. Περίανδρον δὲ τὸν Κυψέλου ἄρχοντα ἐν Κορίνθῳ ἤδη ἀκήκοας γενέσθαι; ΘΕ. Ἔγωγε. ΣΩ. Οὐ τῶν αὐτῶν τούτων ἄρχοντα ἐν τῇ αὐτῇ πόλει; ΘΕ. Ναί. ΣΩ. Τί δέ; Ἀρχέλαον τὸν Περδίκκου, τὸν νεωστὶ ἄρχοντα ἐν Μακεδονίᾳ, οὐ τῶν αὐτῶν ἡγῇ τούτων ἄρχειν; ΘΕ. Ἔγωγε. ΣΩ. Ἱππίαν δὲ τὸν Πεισιστράτου ἐν τῇδε τῇ πόλει ἄρξαντα, τίνων οἴει ἄρξαι; οὐ τούτων; ΘΕ. Πῶς γὰρ οὔ; ΣΩ. Εἴποις ἂν οὖν μοι τίνα ἐπωνυμίαν ἔχει Βάκις τε καὶ Σίβυλλα, καὶ ὁ ἡμεδαπὸς Ἀμφίλυτος; ΘΕ. Τίνα γὰρ ἄλλην, ὦ Σώκρατες, πλήν γε χρησμῳδοί; ΣΩ. Ὀρθῶς λέγεις. ἀλλὰ καὶ τούσδε μοι οὕτω πειρῶ ἀποκρίνασθαι, τίνα ἐπωνυμίαν ἔχει Ἱππίας καὶ Περίανδρος διὰ τὴν αὐτὴν ἀρχήν; ΘΕ. Οἶμαι μὲν τυράννοι· τί γὰρ ἄλλο; ΣΩ. Οὐκοῦν ὅστις ἐπιθυμεῖ τῶν ἀνθρώπων τῶν ἐν τῇ πόλει ξυμπάντων ἄρχειν, τῆς αὐτῆς ἀρχῆς τούτοις ἐπιθυμεῖ, τυραννικῆς, καὶ τύ-

ραννος εἶναι; ΘΕ. Φαίνεται. ΣΩ. Οὐκοῦν ταύτης ἐπιθυμεῖν σὺ φῄς; ΘΕ. Ἔοικέ γε, ἐξ ὧν ἐγὼ εἶπον. ΣΩ. Ὦ μιαρέ, τυραννεῖν ἄρα ἡμῶν ἐπιθυμῶν πάλαι ἐμέμφου τῷ πατρί, ὅτι σε οὐκ ἔπεμπεν εἰς [διδασκάλου] τυραννοδιδασκάλου τινός; καὶ σύ, ὦ Δημόδοκε, οὐκ αἰσχύνῃ, πάλαι εἰδὼς οὗ ἐπιθυμεῖ οὗτος; καὶ ἔχων ὅθι πέμψας αὐτὸν δημιουργὸν ἂν ἐποίησας τῆς σοφίας ἧς ἐπιθυμεῖ, ἔπειτα φθονεῖς τε αὐτῷ καὶ οὐκ ἐθέλεις πέμπειν; ἀλλὰ νῦν, ὁρᾷς, ἐπειδὴ ἐναντίον ἐμοῦ κατείρηκέ σου, κοινῇ βουλευώμεθα ἐγώ τε καὶ σύ· ἔστιν οἷ ἂν αὐτὸν πέμποιμεν, καὶ διὰ τὴν τίνος ξυνουσίαν σοφὸς ἂν γένοιτο τύραννος; ΔΗ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, βουλευώμεθα δῆτα· ὡς δοκεῖ γέ μοι βουλῆς δεῖν περὶ τούτου οὐ φαύλης. VI. ΣΩ. Ἔασον, ὦ 'γαθέ, διαπυθώμεθα αὐτοῦ πρῶτον ἱκανῶς. ΔΗ. Πυνθάνου δή. ΣΩ. Τί οὖν ἂν εἰ Εὐριπίδῃ τι προσχρησαίμεθα, ὦ Θέαγες; Εὐριπίδης γάρ πού φησι· Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ; εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην· ὦ Εὐριπίδη, τῶν τί σοφῶν ξυνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυράννους; ὥσπερ ἂν εἰ εἰπόντα, Σοφοὶ γεωργοὶ τῶν σοφῶν ξυνουσίᾳ, ἠρόμεθα τῶν τί σοφῶν, τί ἂν ἡμῖν ἀπεκρίνατο; ἆρ' ἂν ἄλλο τι ἢ τῶν τὰ γεωργικά; ΘΕ. Οὐκ, ἀλλὰ τοῦτο. ΣΩ. Τί δέ; εἰ εἶπε, Σοφοὶ μάγειροι τῶν σοφῶν ξυνουσίᾳ, εἰ ἠρόμεθα τῶν τί σοφῶν, τί ἂν οἴει αὐτὸν ἀποκρίνασθαι; οὐχ ὅτι τῶν μαγειρικῶν; ΘΕ. Ναί. ΣΩ. Τί δ', εἰ, Σοφοὶ παλαισταὶ τῶν σοφῶν ξυνουσίᾳ, εἶπεν,

εἰ ἠρόμεθα, τῶν τί σοφῶν, ἆρα οὐκ ἂν τῶν παλαιεῖν, ἔφη; ΘΕ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ εἶπε, Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ, ἡμῶν ἐρωτώντων, τί σοφῶν λέγεις, ὦ Εὐριπίδη, τί ἂν φαίη; ποῖα ἂν εἶναι ταῦτα; ΘΕ. Ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε. ΣΩ. Ἀλλὰ βούλει ἐγώ σοι εἴπω; ΘΕ. Εἰ βούλει. ΣΩ. Ταῦτ' ἐστὶν ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρήτην ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ᾆσμα; ΘΕ. Ἔγωγε. ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ ξυνουσίας ἐπιθυμεῖς ἀνδρὸς ὅςτις τυγχάνει ὁμότεχνος ὢν Καλλικρήτῃ τῇ Κυάνης, καὶ ἐπίσταται τυραννικά, ὥςπερ ἐκείνην ἔφη ὁ ποιητής; ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ, καὶ τῇ πόλει; ΘΕ. Πάλαι, ὦ Σώκρατες, σκώπτεις, καὶ παίζεις πρός με. ΣΩ. Τί δέ; οὐ ταύτης φῂς τῆς σοφίας ἐπιθυμεῖν, ᾗ πάντων ἂν τῶν πολιτῶν ἄρχοις; τοῦτο δὲ ποιῶν, ἄλλο τι ἢ τύραννος ἂν εἴης; ΘΕ. Εὐξαίμην μὲν ἄν, οἶμαι, ἔγωγε τύραννος γενέσθαι μάλιστα μὲν πάντων ἀνθρώπων, εἰ δὲ μή, ὡς πλείστων· καὶ σύ γ' ἄν, οἶμαι, καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι· ἔτι δέ γε ἴσως μᾶλλον θεὸς γενέσθαι· ἀλλ' οὐ τούτου ἔλεγον ἐπιθυμεῖν. ΣΩ. Ἀλλὰ τί δή ἐστι ποτε οὗ ἐπιθυμεῖς; οὐ τῶν πολιτῶν φῂς ἄρχειν ἐπιθυμεῖν; ΘΕ. Οὐ βίᾳ γε, οὐδ' ὥςπερ οἱ τύραννοι, ἀλλ' ἑκόντων, ὥςπερ καὶ οἱ ἄλλοι ἐν τῇ πόλει ἐλλόγιμοι ἄνδρες. ΣΩ. Ἆρά γε λέγεις, ὥςπερ Θεμιστοκλῆς, καὶ Περικλῆς, καὶ Κίμων, καὶ ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασι; ΘΕ. Νὴ Δία τούτους λέγω. VII. ΣΩ. Τί οὖν; εἰ τὰ ἱππικὰ ἐτύγχανες ἐπιθυ-

μὲν σοφὸς γενέσθαι, παρὰ τίνας ἂν ἀφικόμενος ᾠήθης δεινὸς ἔσεσθαι ἱππεύς; ἢ παρ' ἄλλους τινὰς ἢ τοὺς ἱππικούς; ΘΕ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. Ἀλλὰ παρ' αὐτοὺς αὖ τοὺς δεινοὺς ὄντας ταῦτα, καὶ οἷς εἰσί τε ἵπποι, καὶ χρῶνται ἑκάστοτε καὶ οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς; ΘΕ. Δηλονότι. ΣΩ. Τί δέ; εἰ τὰ ἀκοντιστικὰ σοφὸς ἐβούλου γενέσθαι, οὐ παρὰ τοὺς ἀκοντιστικοὺς ᾤου ἂν ἐλθὼν σοφὸς ἔσεσθαι, τούτους οἷς ἐστί τε ἀκόντια, καὶ πολλοῖς καὶ ἀλλοτρίοις καὶ οἰκείοις ἑκάστοτε χρῶνται ἀκοντίοις; ΘΕ. Ἔμοιγε δοκεῖ. ΣΩ. Λέγε δή μοι· ἐπεὶ δὲ δὴ τὰ πολιτικὰ βούλει σοφὸς γενέσθαι, οἴει παρ' ἄλλους τινὰς ἀφικόμενος σοφὸς ἔσεσθαι, ἢ τοὺς πολιτικοὺς τούτους, τοὺς αὐτούς τε δεινοὺς ὄντας τὰ πολιτικά, καὶ χρωμένους ἑκάστοτε τῇ τε αὐτῶν πόλει καὶ ἄλλαις πολλαῖς, καὶ Ἑλληνίσι προσομιλοῦντας πόλεσι καὶ βαρβάροις; ἢ δοκεῖς, ἄλλοις τισὶ ξυγγενόμενος σοφὸς ἔσεσθαι ταῦτα ἅπερ οὗτοι, ἀλλ' οὐκ αὐτοῖς τούτοις; ΘΕ. Ἀκήκοα γάρ, ὦ Σώκρατες, οὕς σέ φασι λέγειν τοὺς λόγους, ὅτι τούτων τῶν πολιτικῶν ἀνδρῶν οἱ υἱεῖς οὐδὲν βελτίους εἰσὶν ἢ οἱ τῶν σκυτοτόμων· καί μοι δοκεῖς ἀληθέστατα λέγειν, ἐξ ὧν ἐγὼ δύναμαι αἰσθέσθαι. ἀνόητος οὖν ἂν εἴην, εἰ οἰοίμην τινὰ τούτων ἐμοὶ μὲν ἂν παραδοῦναι τὴν αὑτοῦ σοφίαν, τὸν δὲ υἱὸν τὸν αὑτοῦ μηδὲν ὠφελῆσαι, εἴ τι οἷός τ' ἦν εἰς ταῦτα ὠφελεῖν ἄλλον ὁντινοῦν ἀνθρώπων. VIII. ΣΩ. Τί ἂν οὖν, ὦ βέλτιστε ἀνδρῶν, χρήσαιο σαυτῷ, εἴ σοι ἐπειδὴ γένοιτο υἱὸς

τοιαῦτα πράγματα παρέχοι, καὶ φαίη μὲν ἂν ἐπι-
θυμεῖν ἀγαθὸς γενέσθαι ζωγράφος, καὶ μέμφοιτό
σοι τῷ πατρί, ὅτι οὐκ ἐθέλεις ἀναλίσκειν εἰς αὐτὸν
τούτων αὐτῶν ἕνεκα ἀργύριον, τοὺς δὲ δημιουργοὺς
αὐτοῦ τούτου τοὺς ζωγράφους ἀτιμάζοι τε καὶ μὴ
βούλοιτο παρ' αὐτῶν μανθάνειν· ἢ τοὺς αὐλητάς,
βουλόμενος αὐλητὴς γενέσθαι, ἢ τοὺς κιθαριστάς;
ἔχοις ἂν αὐτῷ ὅ, τι χρῷο, καὶ ὅποι πέμποις ἄλλοσε
μὴ ἐθέλοντα παρὰ τούτων μανθάνειν; ΘΕ. Μὰ Δί'.
οὐκ ἔγωγε. ΣΩ. Νῦν οὖν ταὐτὰ ταῦτα αὐτὸς πρὸς
τὸν πατέρα ποιῶν, θαυμάζεις καὶ μέμφῃ εἰ ἀπορεῖ ὅ,
τι σοι χρήσεται, καὶ ὅποι πέμποι; ἐπεὶ Ἀθηναίων
γε τῶν καλῶν κἀγαθῶν τὰ πολιτικὰ ὅτῳ ἂν βούλῃ
ξυστήσομέν σε, ὅς σοι προῖκα ξυνέσται· καὶ ἅμα
μὲν ἀργύριον οὐκ ἀναλώσεις, ἅμα δὲ πολὺ μᾶλλον
εὐδοκιμήσεις παρὰ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλῳ
τῳ ξυνών. ΘΕ. Τί οὖν, ὦ Σώκρατες; οὐ καὶ σὺ
τῶν καλῶν κἀγαθῶν εἶ ἀνδρῶν; εἰ γάρ σύ μοι ἐθέ-
λεις ξυνεῖναι, ἐξαρκεῖ, καὶ οὐδένα ἄλλον ζητῶ. ΣΩ.
Τί τοῦτο λέγεις, Θέαγες; IX. ΔΗ. Ὦ Σώκρατες, οὐ
μέντοι κακῶς λέγει, καὶ ἅμα μὲν ἐμοὶ χαριῇ· ὡς
ἐγὼ οὐκ ἔσθ' ὅ, τι τούτου μεῖζον ἂν ἕρμαιον ἡγη-
σαίμην, ἢ εἰ οὗτός τε ἀρέσκοιτο τῇ σῇ ξυνουσίᾳ,
καὶ σὺ ἐθέλοις τούτῳ ξυνεῖναι· καὶ μέντοι καὶ αἰ-
σχύνομαι λέγειν ὡς σφόδρα βούλομαι. ἀλλ' ἐγὼ ἀμ-
φοτέρων ὑμῶν δέομαι, σέ τε θέλειν τούτῳ ξυνεῖναι,
καὶ σὲ μὴ ζητεῖν ἄλλῳ μηδενὶ ξυγγενέσθαι ἢ Σω-
κράτει· καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξετε.

φροντίδων· ὡς νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου, μή τινι ἄλλῳ ἐντύχῃ οἵῳ τοῦτον διαφθεῖραι. ΘΕ. Μηκέτι νῦν, ὦ πάτερ, ὑπέρ γ' ἐμοῦ φοβοῦ, εἴπερ οἷός τ' εἶ πεῖσαι τοῦτον τὴν ἐμὴν ξυνουσίαν προσδέξασθαι. ΔΗ. Πάνυ καλῶς λέγεις. Ὦ Σώκρατες, πρὸς σὲ δ' ἂν ἤδη εἴη ὁ μετὰ τοῦτον λόγος. ἐγὼ γάρ σοι ἕτοιμός εἰμι, ὡς διὰ βραχέων εἰπεῖν, καὶ ἐμὲ καὶ τὰ ἐμὰ ὡς οἷόν τε οἰκειότατα παρέχειν, ὅτου ἂν δέῃ ἔμβραχυ, ἐὰν Θεάγη τουτονὶ ἀσπάζῃ τε καὶ εὐεργετῇς ὅ,τι ἂν οἷός τε ᾖς. X. ΣΩ. Ὦ Δημόδοκε, τὸ μὲν ἐσπουδακέναι σε οὐ θαυμάζω, εἴπερ οἴει ὑπ' ἐμοῦ μάλιστ' ἂν σοι τοῦτον ὠφεληθῆναι· οὐ γὰρ οἶδα ὑπὲρ ὅτου ἂν τις νοῦν ἔχων μᾶλλον σπουδάζοι, ἢ ὑπὲρ υἱέος αὑτοῦ, ὅπως ὡς βέλτιστος ἔσται· ὁπόθεν δὲ ἔδοξέ σοι τοῦτο, ὡς ἐγὼ ἂν μᾶλλον τὸν σὸν υἱὸν οἷός τε ἦν ὠφελῆσαι πρὸς τὸ πολίτην ἀγαθὸν γενέσθαι, ἢ σὺ αὐτός, καὶ ὁπόθεν οὗτος ᾠήθη ἐμὲ μᾶλλον ἢ σὲ αὐτὸν ὠφελήσειν, τοῦτο πάνυ θαυμάζω. σὺ γὰρ πρῶτον μὲν πρεσβύτερος εἶ ἐμοῦ, ἔπειτα πολλὰς ἤδη ἀρχὰς καὶ τὰς μεγίστας Ἀθηναίοις ἦρξας, καὶ τιμᾷ ὑπὸ Ἀναγυρασίων τε τῶν δημοτῶν πολὺ μάλιστα, καὶ ὑπὸ τῆς ἄλλης πόλεως οὐδενὸς ἧττον· ἐμοὶ δὲ τούτων οὐδὲν ἐνορᾷ οὐδέτερος ὑμῶν. ἔπειτα εἰ ἄρα τῆς μὲν τῶν πολιτικῶν ἀνδρῶν ξυνουσίας Θεάγης ὅδε καταφρονεῖ, ἄλλους δέ τινας ζητεῖ οἳ παιδεύειν ἐπαγγέλλονται οἷοί τε εἶναι νέους ἀνθρώπους, ἔστιν ἐνταῦθα καὶ Πρόδικος ὁ Κεῖος, καὶ Γοργίας ὁ Λεοντῖνος, καὶ Πῶλος ὁ Ἀκραγαντῖνος, καὶ ἄλλοι πολλοί· οἳ οὕτω σοφοί

εἰσιν ὥστε εἰς τὰς πόλεις ἰόντες πείθουσι τῶν νέων
τοὺς γενναιοτάτους τε καὶ πλουσιωτάτους, οἷς ἔξεστι
τῶν πολιτῶν ᾧ ἂν βούλωνται προῖκα ξυνεῖναι, τού-
τους πείθουσιν, ἀπολείποντας τὰς ἐκείνων ξυνουσίας
αὑτοῖς ξυνεῖναι, προσκατατιθέντας ἀργύριον πάνυ
πολὺν μισθὸν, καὶ χάριν πρὸς τούτοις εἰδέναι. τού-
των τινὰς εἰκὸς ἦν προαιρεῖσθαι καὶ τὸν υἱόν σου
καὶ αὐτόν σε· ἐμὲ δ' οὐκ εἰκός. οὐδὲν γὰρ τούτων
ἐπίσταμαι τῶν μακαρίων τε καὶ καλῶν μαθημάτων·
ἐπεὶ ἐβουλόμην ἄν· ἀλλὰ καὶ λέγω δή που ἀεὶ ὅτι
ἐγὼ τυγχάνω, ὡς ἔπος εἰπεῖν, οὐδὲν ἐπιστάμενος,
πλὴν σμικροῦ γέ τινος μαθήματος, τῶν ἐρωτικῶν.
τοῦτο μέντοι τὸ μάθημα παρ' ὁντινοῦν ποιοῦμαι
δεινὸς εἶναι, καὶ τῶν προγεγονότων ἀνθρώπων καὶ
τῶν νῦν. ΘΕ. Ὁρᾷς, ὦ πάτερ, ὅτι Σωκράτης οὐ πάνυ
μοι δοκεῖ τι ἔτι ἐθέλειν ἐμοὶ ξυνδιατρίβειν; ἐπεὶ τό
γ' ἐμὸν ἕτοιμον, ἐὰν οὗτος ἐθέλῃ· ἀλλὰ ταῦτα παί-
ζων πρὸς ἡμᾶς λέγει. ἐπεὶ ἐγὼ οἶδα τῶν ἐμῶν ἡλι-
κιωτῶν, καὶ ὀλίγῳ πρεσβυτέρων, οἳ πρὶν μὲν τούτῳ
ξυνεῖναι, οὐδενὸς ἄξιοι ἦσαν, ἐπειδὴ δὲ ξυνεγένοντο
τούτῳ, ἐν πάνυ ὀλίγῳ χρόνῳ πάντων βελτίους φαί-
νονται, ὧν πρότερον χείρους. ΣΩ. Οἶσθα οὖν οἷον
τοῦτό ἐστιν, ὦ παῖ Δημοδόκου; ΘΕ. Ναὶ μὰ Δία
ἔγωγε, ὅτι ἐὰν σὺ βούλῃ, καὶ ἐγὼ οἷός τ' ἔσομαι
τοιοῦτος γενέσθαι οἷοίπερ καὶ ἐκεῖνοι. XI. ΣΩ. Οὔκ,
ὦ 'γαθέ· ἀλλά σε λέληθεν οἷον τοῦτ' ἐστίν· ἐγὼ δέ
σοι φράσω. ἔστι γάρ τι θείᾳ μοίρᾳ παρεπόμενον
ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον· ἔστι δὲ τοῦτο

φωνή, ἣ ὅταν γένηται, ἀεί μοι σημαίνει ὃ ἂν μέλλω
πράττειν, τούτου ἀποτροπήν· προτρέπει δὲ οὐδέπο-
τε. καὶ ἐάν τίς μοι τῶν φίλων ἀνακοινῶται, καὶ γέ-
νηται ἡ φωνή, ταὐτὸν τοῦτο ἀποτρέπει, καὶ οὐκ ἐᾷ
πράττειν. καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.
Χαρμίδην γὰρ τουτονὶ γιγνώσκετε τὸν καλὸν γενόμε-
νον, τὸν Γλαύκωνος. οὗτός ποτε ἐτύγχανεν ἐμοὶ ἀνα-
κοινούμενος, μέλλων ἀσκήσειν στάδιον εἰς Νεμέαν·
καὶ εὐθὺς αὐτοῦ ἀρχομένου λέγειν ὅτι μέλλοι ἀσκεῖν,
ἐγένετο ἡ φωνή· καὶ ἐγὼ διεκώλυόν τε αὐτόν, καὶ
εἶπον, „Ὅτι λέγοντός σου μεταξὺ γέγονέ μοι ἡ φωνὴ
ἡ τοῦ δαιμονίου· ἀλλὰ μὴ ἄσκει. Ἴσως, ἔφη, ση-
μαίνει σοι ὅτι οὐ νικήσω· ἐγὼ δέ, κἂν μὴ μέλλω
νικᾶν, γυμνασάμενός γε τοῦτον τὸν χρόνον ὠφελη-
θήσομαι.“ ταῦτα εἰπὼν ἤσκει. ἄξιον οὖν πυθέσθαι
αὐτοῦ ἃ αὐτῷ ξυνέβη ἀπὸ ταύτης τῆς ἀσκήσεως. εἰ
δὲ βούλεσθε, τὸν Τιμάρχου ἀδελφὸν Κλειτόμαχον
ἐρέσθαι, τί εἶπεν αὐτῷ Τίμαρχος, ἡνίκα ἀποθανού-
μενος ᾔει εὐθὺ τοῦ δαιμονίου, ἐκεῖνός τε καὶ Εὔα-
θλος ὁ σταδιοδρομῶν, ὃς Τίμαρχον ὑπεδέξατο φεύ-
γοντα· ἐρεῖ γὰρ ὑμῖν ὅτι εἶπεν αὐτῷ ταυτί. ΘΕ.
Τί; ΣΩ. „Ὦ Κλειτόμαχε, ἔφη, ἐγὼ μέντοι ἔρχομαι
ἀποθανούμενος νυνί, διότι Σωκράτει οὐκ ἤθελον
πείθεσθαι.“ τί δὴ οὖν ποτε τοῦτο εἶπεν ὁ Τίμαρχος,
ἐγὼ φράσω· ὅτε ἀνίστατο ἐκ τοῦ συμποσίου ὁ Τί-
μαρχος, καὶ Φιλήμων ὁ Φιλημονίδου, ἀποκτενοῦν-
τες Νικίαν τὸν Ἡροσκαμάνδρου, ἠπιστάσθην μὲν
αὐτὼ μόνω τὴν ἐπιβουλήν, ὁ δὲ Τίμαρχος ἀνιστάμε-

νος πρός με εἶπε, „Τί λέγεις, ἔφη, ὦ Σώκρατες;
ὑμεῖς μὲν πίνετε, ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι· ἥξω
δὲ ὀλίγον ὕστερον, ἐὰν τύχω." καί μοι ἐγένετο ἡ φω-
νή, καὶ εἶπον πρὸς αὐτόν, Μηδαμῶς, ἔφην, ἀνα-
στῇς. γέγονε γάρ μοι τὸ εἰωθὸς σημεῖον τὸ δαιμό-
νιον. καὶ ὃς ἐπέσχε· καὶ διαλιπὼν χρόνον, αὖθις
ὡρμᾶτο ἰέναι, καὶ ἔφη, „εἶμι δή, Σώκρατες." αὖθις
ἐγένετο ἡ φωνή· αὖθις οὖν αὐτὸν ἠνάγκασα ἐπι-
σχεῖν. τὸ τρίτον βουλόμενός με λαθεῖν ἀνέστη, οὐκέτι
εἰπών μοι οὐδέν, ἀλλὰ λαθών, ἐπιτηρήσας ἄλλοσε
τὸν νοῦν ἔχοντα, καὶ οὕτως ᾤχετο ἀπιών, καὶ διε-
πράξατο ἐξ ὧν ᾔει ἀποθανούμενος. ὅθεν δὴ τοῦτο
εἶπε πρὸς τὸν ἀδελφὸν ὅπερ νῦν ὑμῖν ἐγώ, ὅτι ἴοι ἀπο-
θανούμενος διὰ τὸ ἐμοὶ ἀπιστῆσαι. ἔτι τοίνυν περὶ
τῶν ἐν Σικελίᾳ πολλῶν ἀκούσεσθον ἃ ἐγὼ ἔλεγον
περὶ τῆς διαφθορᾶς τοῦ στρατοπέδου. καὶ τὰ μὲν
παρεληλυθότα, τῶν εἰδότων ἔστιν ἀκοῦσαι· πεῖραν
δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου, εἰ ἄρα τι λέγει.
ἐπὶ γὰρ τῇ ἐπὶ στρατείαν ἐξορμῇ Σαννίωνος τοῦ κα-
λοῦ, ἐγένετό μοι σημεῖον. οἴχεται δὲ νῦν μετὰ Θρα-
σύλλου στρατευσόμενος εὐθὺ Ἐφέσου καὶ Ἰωνίας.
ἐγὼ οὖν οἴομαι ἐκεῖνον ἢ ἀποθανεῖσθαι, ἢ ὁμοῦ τι
τούτῳ ἐλᾶν· καὶ περί γε τῆς πραγματείας τῆς ἄλλης
πάνυ φοβοῦμαι. XII. Ταῦτα δὴ πάντα εἴρηκά σοι, ὅτι
ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς ξυν-
ουσίας τῶν μετ' ἐμοῦ ξυνδιατριβόντων τὸ ἅπαν δύ-
ναται. πολλοῖς μὲν γὰρ ἐναντιοῦται, καὶ οὐκ ἔστι
τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρίβουσιν· ὥστε

οὐχ οἷόν τέ μοι τούτοις ξυνδιατρίβειν· πολλοῖς δὲ
ξυνεῖναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν ξυν-
όντες. οἷς δ' ἂν ξυλλάβηται τῆς ξυνουσίας ἡ τοῦ
δαιμονίου δύναμις, οὗτοί εἰσιν ὧν καὶ σὺ ᾔσθησαι·
ταχὺ γὰρ παραχρῆμα ἐπιδιδόασι· καὶ τούτων αὖ
τῶν ἐπιδιδόντων, οἱ μὲν καὶ βέβαιον ἔχουσι καὶ πα-
ραμόνιμον τὴν ὠφέλειαν· πολλοὶ δέ, ὅσον ἂν μετ'
ἐμοῦ χρόνον ὦσι, θαυμάσιον ἐπιδιδόασιν· ἐπειδὰν
δέ μου ἀπόσχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὁτουοῦν.
τοῦτό ποτε ἔπαθεν Ἀριστείδης ὁ Λυσιμάχου υἱὸς
τοῦ Ἀριστείδου. διατρίβων γὰρ μετ' ἐμοῦ, πάμπολυ
ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα αὐτῷ στρατεία
τις ἐγένετο, καὶ ᾤχετο ἐκπλέων. ἥκων δὲ καταλάμ-
βάνει μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελη-
σίου υἱὸν, τοῦ Θουκυδίδου. ὁ δὲ Θουκυδίδης τῇ
προτεραίᾳ μοι δι' ἀπεχθείας ἐν λόγοις τισὶν ἐγεγό-
νει. ἰδὼν με οὖν ὁ Ἀριστείδης, ἐπειδὴ ἠσπάσατό τε
καὶ τἆλλα διελέχθη, Θουκυδίδην δέ, ἔφη, Σώκρα-
τες, ἀκούω σεμνύνεσθαι ἄττα πρὸς σὲ καὶ χαλεπαί-
νειν ὥς τι ὄντα. Ἔστι γάρ, ἔφην ἐγώ, οὕτως. Τί δέ;
οὐκ οἶδεν, ἔφη, πρὶν σοὶ ξυγγενέσθαι οἷον ἦν τὸ ἀν-
δράποδον; Οὐκ ἔοικέ γε, ἔφην ἐγώ, νὴ τοὺς θεούς.
Ἀλλὰ μὴν καὶ αὐτός γε, ἔφη, καταγελάστως ἔχω, ὦ
Σώκρατες. Τί μάλιστα; ἔφην ἐγώ. Ὅτι, ἔφη, πρὶν
μὲν ἐκπλεῖν ὁτῳοῦν ἀνθρώπων οἷός τ' ἦν διαλέγεσθαι,
καὶ μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις· ὥστε
καὶ ἐδίωκον τὰς ξυνουσίας τῶν χαριεστάτων ἀνθρώ-
πων· νυνὶ δὲ τοὐναντίον φεύγω, ἄν τινα καὶ αἰ-

σθωμαι πεπαιδευμένον· οὕτως αἰσχύνομαι ἐπὶ τῇ
ἐμαυτοῦ φαυλότητι. Πότερον δέ, ἦν δ' ἐγώ, ἐξαίφνης
σε προὔλιπεν αὕτη ἡ δύναμις, ἢ κατὰ σμικρόν;
Κατὰ σμικρόν, ἦ δ' ὅς. Ἡνίκα δέ σοι παρεγένετο,
ἦν δ' ἐγώ, πότερον μαθόντι παρ' ἐμοῦ τι παρεγέ-
νετο; ἤ τινι ἄλλῳ τρόπῳ; Ἐγώ σοι ἐρῶ, ἔφη, ὦ Σώ-
κρατες, ἄπιστον μὲν νὴ τοὺς θεούς, ἀληθὲς δέ. ἐγὼ
γὰρ ἔμαθον παρὰ σοῦ οὐδὲν πώποτε, ὡς αὐτὸς οἶ-
σθα· ἐπεδίδουν δὲ ὁπότε σοι ξυνείην, κἂν εἰ ἐν τῇ
αὐτῇ μόνον οἰκίᾳ εἴην, μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι·
μᾶλλον δὲ ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι· καὶ ἔμοιγε
ἐδόκουν πολὺ μᾶλλον, ὁπότε ἐν τῷ αὐτῷ οἰκήματι ὢν
λέγοντός σου βλέποιμι πρὸς σὲ μᾶλλον, ἢ ὁπότε ἄλ-
λοσε ὁρῴην· πολὺ δὴ μάλιστα καὶ πλεῖστον ἐπεδί-
δουν, ὁπότε παρ' αὐτόν σε καθήμην, ἐχόμενός σου
καὶ ἁπτόμενος. νῦν δή, ἦ δ' ὅς, πᾶσα ἐκείνη ἡ ἕξις
ἐξερρύηκεν. XIII. Ἔστιν οὖν, ὦ Θέαγες, τοιαύτη ἡ
ἡμετέρα ξυνουσία· ἐὰν μὲν τῷ θεῷ φίλον ᾖ, πάνυ πολὺ
ἐπιδώσεις καὶ ταχύ· εἰ δὲ μή, οὔ. ὅρα οὖν μή σοι
ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι, οἳ
ἐγκρατεῖς αὐτοί εἰσι τῆς ὠφελείας ἣν ὠφελοῦσι τοὺς
ἀνθρώπους, μᾶλλον ἢ παρ' ἐμοῦ ὅ, τι ἂν τύχοι,
τοῦτο πρᾶξαι. ΘΕ. Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ὦ Σώ-
κρατες, ἡμᾶς οὑτωσὶ ποιῆσαι, ἀποπειραθῆναι τοῦ
δαιμονίου τούτου ξυνόντας ἀλλήλοις· καὶ ἐὰν μὲν
παρείκῃ ἡμῖν, ταῦτα βέλτιστα· εἰ δὲ μή, τότε ἤδη
παραχρῆμα βουλευσόμεθα ὅ, τι δράσομεν, εἴτε ἄλ-
λῳ ξυνεσόμεθα, εἴτε καὶ αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνό-

μενον πειρασόμεθα παραμυθεῖσθαι εὐχαῖσί τε καὶ θυσίαις, καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται. ΔΗ. Μηκέτι πρὸς ταῦτα ἀντείπῃς, ὦ Σώκρατες, τῷ μειρακίῳ· εὖ γὰρ λέγει Θεάγης. ΣΩ. Ἀλλ' εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν, οὕτω ποιῶμεν.

ΕΡΑΣΤΑΙ.

Εἰς Διονυσίου τοῦ γραμματικοῦ εἰσῆλθον, καὶ εἶδον αὐτόθι τῶν τε νέων τοὺς ἐπιεικεστάτους δοκοῦντας εἶναι τὴν ἰδέαν καὶ πατέρων εὐδοκίμων, καὶ τούτων ἐραστάς. ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε· περὶ ὅτου δέ, οὐ σφόδρα κατήκουον· ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου ἐρίζειν· κύκλους γοῦν γράφοντες ἐφαινέσθον, καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε, καὶ μάλα ἐσπουδακότε. κἀγὼ — καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν — κινήσας οὖν αὐτὸν τῷ ἀγκῶνι, ἠρόμην ὅ, τι ποτὲ οὕτως ἐσπουδακότε τὼ μειρακίω ἤτην· καὶ εἶπον· Ἦπού τι μέγα καὶ καλόν ἐστι περὶ ὃ τοσαύτην σπουδὴν πεποιημένω ἐστόν. Ὁ δ' εἶπε, Ποῖον, ἔφη, μέγα καὶ καλόν; ἀδολεσχοῦσιν οὖν οὗτοί γε περὶ τῶν μετεώρων, καὶ φλυαροῦσι φιλοσοφοῦντες. καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν, εἶπον· Ὦ νεανία, αἰσχρὸν δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕτω χαλεπῶς λέγεις; Καὶ ὁ ἕτερος (πλησίον γὰρ καθήμενος ἐτύγχανεν αὐ-

τοῦ, ἀντεραστὴς ὤν) ἀκούσας ἐμοῦ τε ἐρομένου κἀκείνου ἀποκρινομένου, Οὐ πρὸς σοῦ γε, ἔφη, ὦ Σώκρατες, ποιεῖς, τὸ καὶ ἀνέρεσθαι τοῦτον εἰ αἰσχρὸν ἡγεῖται εἶναι φιλοσοφίαν. ἢ οὐκ οἶσθα αὐτόν, ὅτι τραχηλιζόμενος καὶ ἐμπιπλάμενος καὶ καθεύδων πάντα τὸν βίον διατετέλεκεν; ὥστε τί σοι οἴει αὐτὸν ἂν ἀποκρίνασθαι ἄλλο, ἢ ὅτι αἰσχρόν ἐστι φιλοσοφία; ἦν δὲ οὗτος μὲν τοῖν ἐρασταῖν περὶ μουσικὴν διατετριφώς, ὁ δ' ἕτερος ὃν ἐλοιδόρει, περὶ γυμναστικήν· καί μοι ἔδοξε χρῆναι τὸν μὲν ἕτερον ἀφιέναι, τὸν ἐρώμενον, ὅτι οὐδ' αὐτὸς προσεποιεῖτο περὶ λόγων ἔμπειρος εἶναι, ἀλλὰ περὶ ἔργων, τὸν δὲ σοφώτερον προσποιούμενον εἶναι, διερωτῆσαι, ἵνα καὶ εἴ τι δυναίμην, παρ' αὐτοῦ ὠφεληθείην. εἶπον οὖν, ὅτι εἰς κοινὸν μὲν τὸ ἐρώτημα ἠρόμην· εἰ δὲ σὺ οἴει τοῦδε κάλλιον ἂν ἀποκρίνεσθαι, σὲ ἐρωτῶ τὸ αὐτὸ ὅπερ καὶ τοῦτον, εἰ δοκεῖ σοι τὸ φιλοσοφεῖν καλὸν εἶναι, ἢ οὔ; σχεδὸν οὖν ταῦτα λεγόντων ἡμῶν ἐπακούσαντε τὼ μειρακίω ἐσιγησάτην, καὶ αὐτὼ παυσαμένω τῆς ἔριδος ἡμῶν ἀκροαταὶ ἐγενέσθην. καὶ ὅ, τι μὲν οἱ ἐρασταὶ ἔπαθον, οὐκ οἶδα, αὐτὸς δ' οὖν ἐξεπλάγην· αἰεὶ γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι, ἐδόκει μέντοι μοι καὶ ὁ ἕτερος οὐχ ἧττον ἐμοῦ ἀγωνιᾶν· οὐ μὴν ἀλλ' ἀπεκρίνατό γέ μοι καὶ μάλα φιλοτίμως, Ὁπότε γάρ τοι, ἔφη, ὦ Σώκρατες, τὸ φιλοσοφεῖν αἰσχρὸν ἡγησαίμην εἶναι, οὐδ' ἂν ἄνθρωπον νομίσαιμι ἐμαυτὸν εἶναι, οὐδ' ἄλλον τὸν οὕτω διακείμενον· αἰνιττόμενος εἰς τὸν ἀντεραστήν, καὶ

λέγων μέγα τῇ φωνῇ, ἵν' αὐτοῦ κατακούοι τὰ παιδικά. Κἀγὼ εἶπον, Καλὸν ἄρα δοκεῖ σοι τὸ φιλοσοφεῖν; Πάνυ μὲν οὖν, ἔφη. II. Τί οὖν; ἐγὼ ἔφην, εἶ δοκεῖ σοι οἷόν τε εἶναι εἰδέναι πρᾶγμα ὁτιοῦν εἴτε καλὸν εἴτε αἰσχρόν ἐστιν, ὃ μὴ εἰδείη τις τὴν ἀρχὴν ὅ, τι ἐστίν; Οὐκ, ἔφη. Οἶσθα ἄρα, ἦν δ' ἐγώ, ὅ, τι ἐστὶ τὸ φιλοσοφεῖν; Καὶ μάλα, ἔφη. Τί οὖν ἐστιν, ἔφην ἐγώ. Τί δ' ἄλλο γε, ἢ κατὰ τὸν Σόλωνα; Σόλων γάρ που εἶπε· Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος. καὶ ἐμοὶ δοκεῖ ἀεὶ οὕτω χρῆναι, ἕν γέ τι μανθάνειν τὸν μέλλοντα φιλοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτερον, ἵνα ὡς πλεῖστα ἐν τῷ βίῳ μάθῃ. καί μοι τὸ μὲν πρῶτον ἔδοξέ τι εἰπεῖν, εἶτά πως ἐννοήσας ἠρόμην αὐτὸν εἰ τὴν φιλοσοφίαν πολυμάθειαν ἡγοῖτο; Κἀκεῖνος, Πάνυ, ἔφη. Ἡγῇ δὲ καλὸν εἶναι μόνον τὴν φιλοσοφίαν, ἢ καὶ ἀγαθόν; ἦν δ' ἐγώ. Καὶ ἀγαθόν, ἔφη, πάνυ. Πότερον οὖν ἐν φιλοσοφίᾳ τι τοῦτο ἴδιον ὁρᾷς, ἢ καὶ ἐν ἄλλοις οὕτω σοι δοκεῖ ἔχειν; οἷον φιλογυμνασίαν οὐ μόνον καλὸν ἡγῇ εἶναι, ἀλλὰ καὶ ἀγαθόν; ἢ οὔ; Ὁ δέ, καὶ μάλα εἰρωνικῶς, εἶπε δύο· πρὸς μὲν τόνδε μοι εἰρήσθω ὅτι οὐδέτερα· πρὸς μέντοι σε, ὦ Σώκρατες, καὶ καλὸν καὶ ἀγαθὸν ὁμολογῶ εἶναι. Ἆρ' οὖν καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν φιλογυμνασίαν ἡγῇ εἶναι; Κἀκεῖνος ἔφη, πάνυ γε· ὥσπερ καὶ ἐν τῷ φιλοσοφεῖν τὴν πολυμάθειαν φιλοσοφίαν ἡγοῦμαι εἶναι. Καὶ ἐγὼ εἶπον· Ἡγῇ δὲ δὴ τοὺς φιλογυμναστοῦντας ἄλλου του ἐπιθυμεῖν ἢ τούτου ὅ, τι ποιήσει αὐτοὺς

ἔχειν εὖ τὸ σῶμα; Τοῦτο ἔφη. Ἦ οὖν οἱ πολλοὶ πόνοι τὸ σῶμα, ἦν δ' ἐγώ, ποιοῦσιν εὖ ἔχειν; Πῶς γὰρ ἄν, ἔφη, ἀπ' ὀλίγων γε πόνων τὸ σῶμά τις εὖ ἔχοι; Καί μοι ἔδοξεν ἤδη ἐνταῦθα κινητέος εἶναι ὁ φιλογυμναστής, ἵνα μοι βοηθήσειε διὰ τὴν ἐμπειρίαν τῆς γυμναστικῆς· κἄπειτα ἠρόμην αὐτόν· Σὺ δὲ δὴ τί σιγᾷς ἡμῖν, ὦ λῷστε, ταῦτα τούτου λέγοντος; ἦ καὶ σοὶ δοκοῦσιν οἱ ἄνθρωποι εὖ τὰ σώματα ἔχειν ἀπὸ τῶν πολλῶν πόνων; ἢ ἀπὸ τῶν μετρίων; Ἐγὼ μέν, ὦ Σώκρατες, ἔφη, ᾤμην τὸ λεγόμενον δὴ τοῦτο καὶ νῦν γνῶναι, ὅτι οἱ μέτριοι πόνοι εὖ ποιοῦσιν ἔχειν τὰ σώματα. Πόθεν δή; οὐχὶ ἄνδρα ἄγρυπνόν τε καὶ ἄσιτον, καὶ ἀστραβῆ τὸν τράχηλον ἔχοντα, καὶ λεπτὸν ὑπὸ μεριμνῶν; Καὶ αὐτοῦ ταῦτα εἰπόντος, ἥσθη τὰ μειράκια καὶ ἐγέλασεν· ὁ δ' ἕτερος ἠρυθρίασε. Καὶ ἐγὼ εἶπον· Τί οὖν; σὺ ἤδη ξυγχωρεῖς μήτε πολλοὺς μήτε ὀλίγους πόνους εὖ ποιεῖν ἔχειν τὰ σώματα τοὺς ἀνθρώπους, ἀλλὰ τοὺς μετρίους; ἢ διαμάχῃ, δυοῖν ὄντοιν νῷν περὶ τοῦ λόγου; Κἀκεῖνος, Πρὸς μὲν τοῦτον, ἔφη, κἂν πάνυ ἡδέως διαγωνισαίμην· καὶ εὖ οἶδ' ὅτι ἱκανὸς ἂν γενοίμην βοηθῆσαι τῇ ὑποθέσει ἣν ὑπεθέμην, καὶ εἰ ταύτης ἔτι φαυλοτέραν ὑπεθέμην· οὐδὲν γάρ ἐστι· πρὸς μέντοι σὲ οὐδὲν δέομαι παρὰ δόξαν φιλονεικεῖν, ἀλλ' ὁμολογῶ μὴ τὰ πολλὰ ἀλλὰ τὰ μέτρια γυμνάσια τὴν εὐεξίαν ἐμποιεῖν τοῖς ἀνθρώποις. Τί δὲ τὰ σιτία; τὰ μέτρια, ἢ τὰ πολλά; ἔφην ἐγώ. Καὶ τὰ σιτία ὡμολόγει. Ἔτι δὲ κἀγὼ προσηνάγκαζον αὐτὸν ὁμολο-

χεῖν καὶ τἆλλα πάντα τὰ περὶ τὸ σῶμα, τὰ μέτρια
μάλιστα ὠφελεῖν, ἀλλὰ μὴ τὰ πολλά, μηδὲ τὰ ὀλί-
γα. Καί μοι ὡμολόγει τὰ μέτρια. Τί δέ, ἔφην, καὶ
περὶ τὴν ψυχήν, τὰ μέτρια ὠφελεῖ ἢ τὰ ἄμετρα τῶν
προσφερομένων; Τὰ μέτρια, ἔφη. Οὐκοῦν ἓν τῶν
προσφερομένων ψυχῇ ἐστι καὶ τὰ μαθήματα; Ὡμο-
λόγει. Καὶ τούτων ἄρα τὰ μέτρια ὠφελεῖ, ἀλλ' οὐ
τὰ πολλά; Συνέφη. III. Τίνα οὖν ἐρόμενοι ἂν δικαίως
ἐροίμεθα, ὁποῖοι πόνοι μέτριοι καὶ σιτία πρὸς τὸ σῶ-
μά ἐστιν; ὡμολογοῦμεν μὲν τρεῖς ὄντες ἢ ἰατρὸν ἢ
παιδοτρίβην. Τίνα δ' ἂν περὶ σπέρματος σπορᾶς,
ὁπόσον μέτριον; καὶ τούτου τὸν γεωργὸν ὡμολογοῦ-
μεν. Τίνα δὲ περὶ μαθημάτων εἰς ψυχὴν φυτεύσεώς
τε καὶ σπορᾶς ἐρωτῶντες δικαίως ἂν ἐροίμεθα, ὁπό-
σα καὶ ὁποῖα μέτρια; Τοὐντεῦθεν ἤδη ἀπορίας με-
στοὶ ἦμεν ἅπαντες. κἀγὼ προσπαίζων αὐτοὺς ἠρό-
μην, Βούλεσθε, ἔφην, ἐπειδὴ ἡμεῖς ἐν ἀπορίᾳ ἐσμέν,
ἐρώμεθα ταυτὶ τὰ μειράκια; ἢ ἴσως αἰσχυνόμεθα;
ὥσπερ ἔφη τοὺς μνηστῆρας Ὅμηρος, μὴ ἀξιοῦντας
εἶναί τινα ἄλλον ὅστις ἐντενεῖ τὸ τόξον. Ἐπειδὴ οὖν
μοι ἐδόκουν ἀθυμεῖν πρὸς τὸν λόγον, ἄλλῃ ἐπειρώ-
μην σκοπεῖν· καὶ εἶπον· Ποῖα δὲ μάλιστα τοπάζο-
μεν αὐτὰ εἶναι τῶν μαθημάτων ἃ δεῖ τὸν φιλόσοφον
μανθάνειν; ἐπεὶ οὐχὶ πάντα, οὐδὲ πολλά; Ὑπολα-
βὼν οὖν ὁ σοφώτερος εἶπεν, ὅτι κάλλιστα ταῦτ' εἴη
τῶν μαθημάτων, καὶ προσήκοντα, ἀφ' ὧν ἂν πλεί-
στην δόξαν ἔχοι τις εἰς φιλοσοφίαν· πλείστην δ' ἂν
ἔχειν δόξαν, εἰ δοκοίη τῶν τεχνῶν ἔμπειρος εἶναι πα-

τῶν· εἰ δὲ μή, ὡς πλείστων γε, καὶ μάλιστα τῶν
ἀξιολόγων· μαθὼν αὐτῶν ταῦτα ἃ προσήκει τοῖς
ἐλευθέροις μαθεῖν, ὅσα ξυνέσεως ἔχεται, μὴ ὅσα χει-
ρουργίας. Ἆρ' οὖν οὕτω λέγεις, ἔφην ἐγώ, ὥσπερ ἐν
τῇ τεκτονικῇ; καὶ γὰρ ἐκεῖ τέκτονα μὲν ἂν πρίαιο
πέντε ἢ ἓξ μνῶν ἄκρον· ἀρχιτέκτονα δὲ οὐδ' ἂν μυ-
ρίων δραχμῶν· ὀλίγοι γε μὴν καὶ ἐν πᾶσι τοῖς Ἕλ-
λησι γίγνονται. ἆρα μή τι τοιοῦτον λέγεις; Καὶ ὅς,
ἀκούσας μου, ξυνεχώρει καὶ αὐτὸς τοιοῦτον λέγειν.
IV. Ἠρόμην δ' αὐτὸν εἰ οὐκ ἀδύνατον εἴη δύο μόνον
τέχνας οὕτω μαθεῖν τὸν αὐτόν, μὴ ὅτι πολλὰς καὶ
μεγάλας. ὁ δέ, Μὴ οὕτω μου, ἔφη, ὑπολάβῃς, ὦ Σώ-
κρατες, ὡς λέγοντος ὅτι δεῖ ἑκάστην τῶν τεχνῶν τὸν
φιλοσοφοῦντα ἐπίστασθαι ἀκριβῶς, ὥσπερ αὐτὸν τὸν
τὴν τέχνην ἔχοντα· ἀλλ', ὡς εἰκὸς ἄνδρα ἐλεύθερόν τε
καὶ πεπαιδευμένον ἐπακολουθῆσαί τε τοῖς λεγομέ-
νοις ὑπὸ τοῦ δημιουργοῦ οἷόν τε εἶναι διαφερόντως
τῶν παρόντων, καὶ αὐτὸν ξυμβάλλεσθαι γνώμην·
ὥστε δοκεῖν χαριέστατον εἶναι καὶ σοφώτατον ἀεὶ τῶν
παρόντων ἐν τοῖς λεγομένοις τε καὶ πραττομένοις περὶ
τὰς τέχνας. Κἀγὼ (ἔτι γὰρ αὐτοῦ ἠμφιγνόουν τὸν
λόγον ὅ, τι ἐβούλετο), Ἆρα ἐννοῶ, ἔφην, οἷον λέγεις
τὸν φιλόσοφον ἄνδρα; δοκεῖς γάρ μοι λέγειν, οἷον
ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι πρὸς τοὺς δρομέας
ἢ τοὺς παλαιστάς. καὶ γὰρ ἐκεῖνοι τούτων μὲν λεί-
πονται κατὰ τὰ τούτων ἆθλα, καὶ δεύτεροί εἰσι πρὸς
τούτους· τῶν δὲ ἄλλων ἀθλητῶν πρῶτοι, καὶ νικῶ-
σιν αὐτούς. τάχ' ἂν ἴσως τοιοῦτόν τι λέγοις καὶ τὸ

φιλοσοφεῖν ἀπεργάζεσθαι τοὺς ἐπιτηδεύοντας τοῦτο τὸ ἐπιτήδευμα· τῶν μὲν πρώτων εἰς ξύνεσιν περὶ τὰς τέχνας ἐλλείπεσθαι, τὰ δευτερεῖα δ' ἔχοντας τῶν ἄλλων περιεῖναι, καὶ οὕτω γίγνεσθαι περὶ πάντα ὕπακρόν τινα ἄνδρα τὸν πεφιλοσοφηκότα· τοιοῦτόν τινά μοι δοκεῖς ἐνδείκνυσθαι. Καλῶς γέ μοι, ἔφη, ὦ Σώκρατες, δοκεῖς ὑπολαβεῖν τὰ περὶ τοῦ φιλοσόφου, ἀπεικάσας αὐτὸν τῷ πεντάθλῳ. ἔστι γὰρ ἀτεχνῶς τοιοῦτος οἷος μὴ δουλεύειν μηδενὶ πράγματι, μηδ' εἰς τὴν ἀκρίβειαν μηδὲν διαπεπονηκέναι· ὥστε διὰ τὴν τοῦ ἑνὸς τούτου ἐπιμέλειαν, τῶν ἄλλων ἁπάντων ἀπολελεῖφθαι, ὥσπερ οἱ δημιουργοί, ἀλλὰ πάντων μετρίως ἐφῆφθαι. V. Μετὰ ταύτην δὴ τὴν ἀπόκρισιν ἐγὼ προθυμούμενος σαφῶς εἰδέναι ὅ, τι λέγοι, ἐπυνθανόμην αὐτοῦ, τοὺς ἀγαθοὺς πότερον χρησίμους ἢ ἀχρήστους εἶναι ὑπολαμβάνοι; Χρησίμους δή που, ὦ Σώκρατες, ἔφη. Ἆρ' οὖν, εἴπερ οἱ ἀγαθοὶ χρήσιμοι, οἱ πονηροὶ ἄχρηστοι; Ὡμολόγει. Τί δέ; τοὺς φιλοσόφους ἄνδρας χρησίμους ἡγῇ, ἢ σύ; Ὁ δὲ ὡμολόγει χρησίμους· καὶ πρός γε ἔφη χρησιμωτάτους εἶναι ἡγεῖσθαι. Φέρε δή, γνῶμεν εἰ σὺ ἀληθῆ λέγεις· πῶς καὶ χρήσιμοι ἡμῖν εἰσιν οἱ ὕπακροι οὗτοι; δῆλον γὰρ ὅτι ἑκάστου γε τῶν τὰς τέχνας ἐχόντων φαυλότερός ἐστιν ὁ φιλόσοφος. Ὡμολόγει. Φέρε δὲ σύ, ἣν δ' ἐγώ, εἰ τύχοις ἢ αὐτὸς ἀσθενήσας, ἢ τῶν φίλων τις τῶν σῶν, περὶ οὗ σὺ σπουδὴν μεγάλην ἔχεις, πότερον, ὑγίειαν κτήσασθαι βουλόμενος, τὸν ὕπακρον ἐκεῖνον τὸν φιλόσοφον εἰσάγοις

ἂν εἰς τὴν οἰκίαν, ἢ τὸν ἰατρὸν ἂν λάβοις; Ἀμφοτέρους ἔγωγ' ἄν, ἔφη. Μή μοι, εἶπον ἔγωγ', ἀμφοτέρους λέγε, ἀλλ' ὁπότερον μᾶλλόν γε καὶ πρότερον. Οὐδεὶς ἄν, ἔφη, τοῦτό γε ἀμφισβητήσειεν, ὡς οὐχὶ τὸν ἰατρὸν καὶ μᾶλλον καὶ πρότερον. Τί δ'; ἐν νηΐ χειμαζομένῃ, ποτέρῳ ἂν μᾶλλον ἐπιτρέποις αὐτόν τε καὶ τὰ σεαυτοῦ; τῷ κυβερνήτῃ ἢ τῷ φιλοσόφῳ; Τῷ κυβερνήτῃ ἔγωγε. Οὐκοῦν καὶ τἄλλα πάντα οὕτως ἕως ἄν τις δημιουργὸς ᾖ, οὐ χρήσιμός ἐστι φιλόσοφος; Φαίνεται, ἔφη. Οὐκοῦν νῦν ἄχρηστός τις ἡμῖν ὁ φιλόσοφός ἐστιν; εἰσὶ γάρ δή που δημιουργοί· ὡμολογήσαμεν δὲ τοὺς μὲν ἀγαθοὺς, χρησίμους εἶναι· τοὺς δὲ πονηροὺς ἀχρείους. Ἠναγκάζετο ὁμολογεῖν. VI. Τί οὖν; τὸ μετὰ τοῦτο ἔρωμαί σε; ἢ ἀγροικότερόν ἐστιν ἔρεσθαι; Ἔρου ὅ, τι βούλει. Οὐδὲν δή, ἔφην ἐγώ, ζητῶ ἄλλο ἢ ἀνομολογήσασθαι τὰ εἰρημένα. ἔχει δέ πως ὡδί· ὡμολογήσαμεν εἶναι καλὸν τὴν φιλοσοφίαν, καὶ αὐτοὶ φιλόσοφοι εἶναι· τοὺς δὲ φιλοσόφους, ἀγαθούς· τοὺς δὲ ἀγαθοὺς, χρησίμους, τοὺς δὲ πονηρούς, ἀχρήστους· αὖθις δ' αὖ τοὺς φιλοσόφους ὡμολογήσαμεν, ἕως ἂν δημιουργοὶ ὦσιν, ἀχρήστους εἶναι· δημιουργοὺς δὲ ἀεὶ εἶναι. οὐ γὰρ ταῦτα ὡμολόγηται; Πάνυ, ἔφη. Ὁμολογοῦμεν ἄρα, ὡς ἔοικε, κατά γε τὸν σὸν λόγον, εἴπερ τὸ φιλοσοφεῖν ἐστι περὶ τὰς τέχνας ἐπιστήμονας εἶναι, ὡς σὺ λέγεις, τὸν τρόπον πονηροὺς αὐτοὺς εἶναι, καὶ ἀχρήστους, ἕως ἂν ἐν ἀνθρώποις τέχναι ὦσιν. Ἀλλὰ μὴ οὐχ οὕτως, ὦ φίλε, ἔχωσι, μηδ' ᾖ τοῦτο φιλοσοφεῖν, περὶ τὰς τέχνας ἐσπουδακέναι, οὐδὲ πολυ-

πραγμονοῦντα, κυπτάζοντα ζῆν, οὐδὲ πολυμαθοῦντα, ἀλλὰ ἄλλο τι. ἐπεὶ γε ᾤμην καὶ ὄνειδος εἶναι τοῦτο, καὶ βαναύσους καλεῖσθαι τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας. VII. Ὧδε δὲ σαφέστερον εἰσόμεθα εἰ ἄρα ἀληθῆ λέγω, ἐὰν τοῦτο ἀποκρίνῃ· τίνες ἵππους ἐπίστανται κολάζειν ὀρθῶς; πότερον οἵπερ βελτίστους ποιοῦσιν, ἢ ἄλλοι; Οἵπερ βελτίστους. Τί δέ; κύνας οὐχ οἳ βελτίους ἐπίστανται ποιεῖν, οὗτοι καὶ κολάζειν ὀρθῶς ἐπίστανται; Ναί. Ἡ αὐτὴ ἄρα τέχνη βελτίστους τε ποιεῖ, καὶ κολάζει ὀρθῶς; Φημί, ἦ δ' ὅς. Τί δαί; πότερον ἥπερ βελτίους τε ποιεῖ καὶ κολάζει ὀρθῶς, αὕτη καὶ γιγνώσκει τοὺς χρηστοὺς καὶ μοχθηρούς, ἢ ἄλλη; Ἡ αὐτή, ἔφη. Ἐθελήσεις οὖν καὶ κατ' ἀνθρώπων τοῦτο ὁμολογεῖν, ἥπερ βελτίστους ἀνθρώπους ποιεῖ, ταύτην εἶναι καὶ τὴν κολάζουσαν ὀρθῶς, καὶ διαγιγνώσκουσαν τοὺς χρηστούς τε καὶ πονηρούς; Πάνυ γ', ἔφη. Οὐκοῦν ἥτις ἕνα, καὶ πολλούς· καὶ ἥτις πολλούς, καὶ ἕνα; Ναί. Καὶ καθ' ἵππων δὲ καὶ τῶν ἄλλων ἁπάντων οὕτω; Φημί. Τίς οὖν ἐστιν ἡ ἐπιστήμη, ἥτις τοὺς ἐν ταῖς πόλεσιν ἀκολασταίνοντας καὶ παρανομοῦντας ὀρθῶς κολάζει; οὐχ ἡ δικαστική; Ναί. Ἢ ἄλλην οὖν τινὰ καλεῖς δικαιοσύνην ἢ ταύτην; Οὐκ ἄλλην. Οὐκοῦν ἥπερ κολάζουσιν ὀρθῶς, ταύτῃ καὶ γιγνώσκουσι τοὺς χρηστοὺς καὶ πονηρούς; Ταύτῃ. Ὅστις δὲ ἕνα γιγνώσκει, καὶ πολλοὺς γνώσεται; Ναί. Καὶ ὅστις γε πολλοὺς ἀγνοεῖ, καὶ ἕνα; Φημί. Εἰ ἄρα ἵππος ὢν ἀγνοεῖ τοὺς πονηροὺς καὶ τοὺς χρηστούς, κἂν αὑτὸν ἀγνοοῖ ποῖός τις ἐστί; Φημί. Καὶ εἰ βοῦς ὢν ἀγνοεῖ

τοὺς πονηροὺς καὶ χρηστοὺς, κἂν αὐτὸν ἀγνοοῖ ποῖός ἐστι; Ναὶ, ἔφη. Οὕτω δὴ καὶ εἰ κύων; Ὡμολόγει. Τί δ᾽, ἐπειδὰν ἄνθρωπος ὤν τις ἀγνοῇ τοὺς χρηστοὺς καὶ πονηροὺς ἀνθρώπους, ἆρ᾽ οὐχ ἑαυτὸν ἀγνοεῖ πότερον χρηστός ἐστιν ἢ πονηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστι; Ξυνεχώρει. Τὸ δ᾽ ἑαυτὸν ἀγνοεῖν, σωφρονεῖν ἢ οὐ σωφρονεῖν ἐστιν; Οὐ σωφρονεῖν. Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν, ἐστὶ σωφρονεῖν; Φημὶ, ἔφη. Τοῦτ᾽ ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. Ἔοικε. Τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; Φημί. Οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστὶν, ᾗ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν, ἔφη. Ταὐτὸν ἄρα ἐστὶ δικαιοσύνη καὶ σωφροσύνη; Φαίνεται. VIII. Καὶ μὴν οὕτω γε καὶ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν; Ἀληθῆ λέγεις, ἔφη. Καὶ πολιτικὴ ἄρα αὕτη ἐστί; Ξυνεδόκει. Τί δέ; ὅταν εἷς ἀνὴρ ὀρθῶς πόλιν διοικῇ, ὄνομα τούτῳ οὐ τύραννός τε καὶ βασιλεύς; Φημί. Οὐκοῦν βασιλικῇ τε καὶ τυραννικῇ τέχνῃ διοικεῖ; Οὕτω. Καὶ αὗται ἄρα αἱ αὐταὶ τέχναι ἐκείναις εἰσί; Φαίνονται. Τί δέ; ὅταν εἷς ὢν ἀνὴρ οἰκίαν διοικῇ ὀρθῶς, τί ὄνομα τούτῳ ἐστίν; οὐκ οἰκονόμος τε καὶ δεσπότης; Ναί. Πότερον οὖν καὶ οὗτος δικαιοσύνῃ εὖ ἂν τὴν οἰκίαν διοικοῖ, ἢ ἄλλῃ τινὶ τέχνῃ; Δικαιοσύνῃ. Ἔστιν ἄρα ταὐτὸ, ὡς ἔοικε, βασιλεὺς, τύραννος, πολιτικός, οἰκονόμος, δεσπότης, σώφρων,

δίκαιος· καὶ μία τέχνη ἐστὶ βασιλική, τυραννική, πολιτική, δεσποτική, οἰκονομική, δικαιοσύνη, σωφροσύνη. Φαίνεται. IX. Τί οὖν; τῷ φιλοσόφῳ, ὅταν μὲν ὁ ἰατρὸς περὶ τῶν καμνόντων τι λέγῃ, αἰσχρὸν μήτε ἕπεσθαι τοῖς λεγομένοις δύνασθαι, μήτε ξυμβάλλεσθαι μηδέν; καὶ ὁπόταν ἄλλος τις τῶν δημιουργῶν, ὡσαύτως· ὅταν δὲ δικαστὴς ἢ βασιλεὺς ἢ ἄλλος τις ὧν νῦν διήλθομεν, οὐκ αἰσχρὸν περὶ τούτων μήτε ἕπεσθαι δύνασθαι, μήτε ξυμβάλλεσθαι περὶ αὐτῶν; Πῶς δ' οὐκ αἰσχρόν, ὦ Σώκρατες, περί γε τοσούτων πραγμάτων μηδὲν ἔχειν ξυμβάλλεσθαι; Πότερον οὖν καὶ περὶ ταῦτα λέγωμεν, ἔφην, πένταθλον αὐτὸν δεῖν εἶναι, καὶ ὕπακρον, τὰ δευτερεῖα δ' ἔχοντα πάντων τὸν φιλόσοφον, καὶ ἀχρεῖον εἶναι, ἕως τούτων τις ᾖ; ἢ πρῶτον μέν, τὴν αὑτοῦ οἰκίαν οὐκ ἄλλῳ ἐπιτρεπτέον, οὐδὲ τὰ δευτερεῖα ἐν τούτῳ ἑκτέον, ἀλλ' αὐτὸν κολαστέον, δικάζοντα ὀρθῶς, εἰ μέλλει εὖ οἰκεῖσθαι αὐτοῦ ἡ οἰκία; Ξυνεχώρει δή μοι. Ἔπειτά γε δή που, ἐάν τε οἱ φίλοι αὐτῷ διαίτας ἐπιτρέπωσιν, ἐάν τε ἡ πόλις τι προστάττῃ διακρίνειν ἢ δικάζειν, αἰσχρὸν ἐν τούτοις, ὦ ἑταῖρε, δεύτερον φαίνεσθαι, ἢ τρίτον, καὶ μὴ οὐχ ἡγεῖσθαι; Δοκεῖ μοι. Πολλοῦ ἄρα δεῖ ἡμῖν, ὦ βέλτιστε, τὸ φιλοσοφεῖν φιλομάθειά τε εἶναι, καὶ ἡ περὶ τὰς τέχνας πραγματεία. Εἰπόντος δέ μου ταῦτα, ὁ μὲν σοφὸς αἰσχυνθεὶς τοῖς προειρημένοις, ἐσίγησεν· ὁ δὲ ἀμαθὴς ἔφη ἐκεῖνος εἶναι· καὶ οἱ ἄλλοι ἐπῄνεσαν τὰ εἰρημένα.

ΘΕΑΙΤΗΤΟΣ.

ΕΥΚΛΕΙΔΗΣ.

Ἄρτι, ὦ Τερψίων, ἢ πάλαι, ἐξ ἀγροῦ; ΤΕΡ. Ἐπιεικῶς πάλαι. καὶ σέ γε ἐζήτουν κατ' ἀγοράν, καὶ ἐθαύμαζον ὅτι οὐχ οἷός τ' ἦν εὑρεῖν. ΕΥ. Οὐ γὰρ ἦν κατὰ πόλιν. ΤΕΡ. Ποῦ μήν; ΕΥ. Εἰς λιμένα καταβαίνων, Θεαιτήτῳ ἐνέτυχον φερομένῳ ἐκ Κορίνθου ἀπὸ τοῦ στρατοπέδου Ἀθήναζε. ΤΕΡ. Ζῶντι, ἢ τετελευτηκότι; ΕΥ. Ζῶντι, καὶ μάλα μόλις. χαλεπῶς μὲν γὰρ ἔχει καὶ ὑπὸ τραυμάτων τινῶν· μᾶλλον μὴν αὐτὸν αἱρεῖ τὸ γεγονὸς νόσημα ἐν τῷ στρατεύματι. ΤΕΡ. Μῶν ἡ δυσεντερία; ΕΥ. Ναί. ΤΕΡ. Οἷον ἄνδρα λέγεις ἐν κινδύνῳ εἶναι. ΕΥ. Καλόν τε καὶ ἀγαθόν, ὦ Τερψίων· ἐπεί τοι καὶ νῦν ἤκουον τινῶν μάλα ἐγκωμιαζόντων αὐτὸν περὶ τὴν μάχην. ΤΕΡ. Καὶ οὐδέν γε ἄτοπον· ἀλλὰ πολὺ θαυμαστότερον εἰ μὴ τοιοῦτος ἦν. ἀτὰρ πῶς οὐκ αὐτοῦ Μεγαροῖ κατέλυεν; ΕΥ. Ἠπείγετο οἴκαδε· ἐπεὶ ἔγωγ' ἐδεόμην καὶ ξυνεβούλευον, ἀλλ'

οὐκ ἤθελε. καὶ δῆτα προπέμψας αὐτόν, ἀπιὼν πάλιν, ἀνεμνήσθην καὶ ἐθαύμασα Σωκράτους, ὡς μαντικῶς ἄλλα τε δὴ εἶπε, καὶ περὶ τούτου. δοκεῖ γάρ μοι ὀλίγον πρὸ τοῦ θανάτου ἐντυχεῖν αὐτῷ μειρακίῳ ὄντι, καὶ ξυγγενόμενός τε καὶ διαλεχθεὶς πάνυ ἀγασθῆναι αὐτοῦ τὴν φύσιν· καί μοι ἐλθόντι Ἀθήναζε τούς τε λόγους οὓς διελέχθη αὐτῷ διηγήσατο, καὶ μάλα ἀξίους ἀκοῆς, εἶπέ τε ὅτι πᾶσα ἀνάγκη εἴη τοῦτον ἐλλόγιμον γενέσθαι, εἴπερ εἰς ἡλικίαν ἔλθοι. ΤΕΡ. καὶ ἀληθῆ γε, ὡς ἔοικεν, εἶπε· ἀτὰρ τίνες ἦσαν οἱ λόγοι; ἔχοις ἂν διηγήσασθαι; ΕΥ. Οὐ μὰ τὸν Δία, οὔκουν οὕτω γε ἀπὸ στόματος· ἀλλ' ἐγραψάμην μὲν τότ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα, ὕστερον δὲ κατὰ σχολὴν ἀναμιμνησκόμενος, ἔγραφον· καὶ ὁσάκις Ἀθήναζε ἀφικοίμην, ἐπανηρώτων τὸν Σωκράτη ὃ μὴ ἐμεμνήμην, καὶ δεῦρο ἐλθὼν ἐπηνωρθούμην· ὥςτε μοι σχεδόν τι πᾶς ὁ λόγος γέγραπται. ΤΕΡ. Ἀληθῆ· ἤκουσά σου καὶ πρότερον· καὶ μέντοι ἀεὶ μέλλων κελεύσειν ἐπιδεῖξαι, διατέτριφα δεῦρο. ἀλλὰ τί κωλύει νῦν ἡμᾶς διελθεῖν; πάντως ἔγωγε καὶ ἀναπαύσασθαι δέομαι, ὡς ἐξ ἀγροῦ ἥκων. ΕΥ. Ἀλλὰ μὲν δὴ καὶ αὐτὸς μέχρι Ἐρινεοῦ Θεαίτητον προὔπεμψα· ὥςτε οὐκ ἂν ἀηδῶς ἀναπαυοίμην. ἀλλ' ἴωμεν, καὶ ἡμῖν ἅμα ἀναπαυομένοις ὁ παῖς ἀναγνώσεται. ΤΕΡ. Ὀρθῶς λέγεις. — ΕΥ. Τὸ μὲν δὴ βιβλίον, ὦ Τερψίων, τουτί. ἐγραψάμην δὲ δὴ οὑτωσὶ τὸν λόγον· οὐκ ἐμοὶ Σωκράτη διηγούμενον ὡς διηγεῖτο, ἀλλὰ διαλεγόμενον

οἷς ἔφη διαλεχθῆναι. ἔφη δὲ τῷ τε γεωμέτρῃ Θεοδώρῳ καὶ τῷ Θεαιτήτῳ. ἵνα οὖν ἐν τῇ γραφῇ μὴ παρέχοιεν πράγματα αἱ μεταξὺ τῶν λόγων διηγήσεις περὶ αὑτοῦ τε ὁπότε λέγοι ὁ Σωκράτης, οἷον Κἀγὼ ἔφην, ἢ Καὶ ἐγὼ εἶπον, ἢ αὖ περὶ τοῦ ἀποκρινομένου, ὅτι Ξυνέφη, ἢ Οὐχ ὡμολόγει· τούτων ἕνεκα, ὡς αὐτὸν αὐτοῖς διαλεγόμενον ἔγραψα, ἐξελὼν τὰ τοιαῦτα. ΤΕΡ. Καὶ οὐδέν γε ἀπὸ τρόπου, ὦ Εὐκλείδη. ΕΥ. Ἀλλὰ παῖ, λαβὲ τὸ βιβλίον, καὶ λέγε. II. ΣΩ. Εἰ μὲν τῶν ἐν Κυρήνῃ μᾶλλον ἐκηδόμην, ὦ Θεόδωρε, τὰ ἐκεῖ ἄν σε καὶ περὶ ἐκείνων ἀνηρώτων, εἴ τινες αὐτόθι περὶ γεωμετρίαν ἤ τινα ἄλλην φιλοσοφίαν εἰσὶ τῶν νέων ἐπιμέλειαν ποιούμενοι· νῦν δὲ ἧττον γὰρ ἐκείνους ἢ τούσδε φιλῶ, καὶ μᾶλλον ἐπιθυμῶ εἰδέναι τίνες ἡμῖν τῶν νέων ἐπίδοξοι γενέσθαι ἐπιεικεῖς. ταῦτα δὴ αὐτός τε σκοπῶ καθ᾽ ὅσον δύναμαι, καὶ τοὺς ἄλλους ἐρωτῶ, οἷς ἂν ὁρῶ τοὺς νέους ἐθέλοντας ξυγγίγνεσθαι. σοὶ δὲ οὐκ ὀλίγιστοι πλησιάζουσι· καὶ δικαίως. ἄξιος γὰρ τά τε ἄλλα, καὶ γεωμετρίας ἕνεκα. εἰ δὴ οὖν τινι ἐνέτυχες ἀξίῳ λόγου, ἡδέως ἂν πυθοίμην. ΘΕΩ. Καὶ μήν, ὦ Σώκρατες, ἐμοί τε εἰπεῖν καὶ σοὶ ἀκοῦσαι πάνυ ἄξιον, οἵῳ ὑμῖν τῶν πολιτῶν μειρακίῳ ἐντετύχηκα. καὶ εἰ μὲν ἦν καλός, ἐφοβούμην ἂν σφόδρα λέγειν, μή καί τῳ δόξω ἐν ἐπιθυμίᾳ αὐτοῦ εἶναι· νῦν δὲ (καὶ μή μοι ἄχθου) οὐ γάρ ἐστι καλός· προσέοικε δὲ σοὶ τήν τε σιμότητα, καὶ τὸ ἔξω τῶν ὀμμάτων· ἧττον δὲ ἢ σὺ ταῦτ᾽ ἔχει. ἀδεῶς δὴ

λέγω. εὖ γὰρ ἴσθι ὅτι ὧν δὴ πώποτε ἐνέτυχον
(καὶ πάνυ πολλοῖς πεπλησίακα), οὐδένα πω ᾐσθόμην
οὕτω θαυμαστῶς εὖ πεφυκότα. τὸ γὰρ εὐμαθῆ ὄν-
τα, ὡς ἄλλῳ χαλεπόν, πρᾶον αὖ εἶναι διαφερόντως,
καὶ ἐπὶ τούτοις ἀνδρεῖον παρ' ὁντινοῦν, ἐγὼ μὲν
οὔτ' ἂν ᾠόμην γενέσθαι, οὔτε ὁρῶ γιγνομένους· ἀλλ'
οἵ τε ὀξεῖς ὥςπερ οὗτος, καὶ ἀγχίνοι καὶ μνήμονες,
ὡς ταπολλὰ καὶ πρὸς τὰς ὀργὰς ὀξύῤῥοποί εἰσι, καὶ
ᾄττοντες φέρονται, ὥςπερ τὰ ἀνερμάτιστα πλοῖα,
καὶ μανικώτεροι ἢ ἀνδρειότεροι φύονται· οἵ τε αὖ
ἐμβριθέστεροι, νωθροί πως ἀπαντῶσι πρὸς τὰς μα-
θήσεις, καὶ λήθης γέμοντες· ὁ δὲ οὕτω λείως τε
καὶ ἀπταίστως καὶ ἀνυσίμως ἔρχεται ἐπὶ τὰς μαθή-
σεις τε καὶ ζητήσεις μετὰ πολλῆς τῆς πρᾳότητος, οἷον
ἐλαίου ῥεῦμα ἀψοφητὶ ῥέοντος, ὥςτε θαυμάσαι τὸ,
τηλικοῦτον ὄντα, οὕτω ταῦτα διαπράττεσθαι. ΣΩ.
Εὖ ἀγγέλλεις· τίνος δὲ καί ἐστι τῶν πολιτῶν;
ΘΕΟ. Ἀκήκοα μὲν τοὔνομα, μνημονεύω δὲ οὔ. ἀλ-
λὰ γάρ ἐστι τῶνδε τῶν προςιόντων ὁ ἐν τῷ
μέσῳ. ἄρτι γὰρ ἐν τῷ ἔξω δρόμῳ ἠλείφοντο ἑταῖροι
τέ τινες οὗτοι αὐτοῦ, καὶ αὐτός· νῦν δέ μοι δοκοῦ-
σιν ἀλειψάμενοι δεῦρο ἰέναι. ἀλλὰ σκόπει εἰ γιγνώ-
σκεις αὐτόν. ΣΩ. Γιγνώσκω· ὁ τοῦ Σουνιέως Εὐ-
φρονίου ἐστί· καὶ πάνυ γε, ὦ φίλε, ἀνδρὸς οἷον
καὶ σὺ τοῦτον διηγῇ, καὶ ἄλλως εὐδοκίμου· καὶ
μέντοι καὶ οὐσίαν μάλα πολλὴν κατέλιπε· τὸ δ' ὄνο-
μα οὐκ οἶδα τοῦ μειρακίου. ΘΕΟ. Θεαίτητος, ὦ
Σώκρατες, τό γε ὄνομα· τὴν μέντοι οὐσίαν δοκοῦσί

μοι ἐπίτροποί τινες διεφθαρκέναι· ἀλλ' ὅμως καὶ πρὸς τὴν τῶν χρημάτων ἐλευθεριότητα θαυμαστός, ὦ Σώκρατες. ΣΩ. Γεννικὸν λέγεις τὸν ἄνδρα· καί μοι κέλευε αὐτὸν ἐνθάδε παρακαθίζεσθαι. ΘΕΟ. Ἔσται ταῦτα. Θεαίτητε, δεῦρο παρὰ Σωκράτη. ΣΩ. Πάνυ μὲν οὖν, ὦ Θεαίτητε· ἵνα κἀγὼ ἐμαυτὸν ἀνασκέψωμαι, ποῖόν τι ἔχω τὸ πρόσωπον· φησὶ γὰρ Θεόδωρος ἔχειν μέ σοι ὅμοιον. ἀτὰρ εἰ νῷϊν ἐχόντοιν ἑκατέρου λύραν, ἔφη αὐτὰς ἡρμόσθαι ὁμοίως; πότερον εὐθὺς ἂν ἐπιστεύομεν, ἢ ἐπεσκεψάμεθ' ἂν εἰ μουσικὸς ὢν λέγοι; ΘΕΑΙ. Ἐπεσκεψάμεθ' ἄν. ΣΩ. Οὐκοῦν τοιοῦτον μὲν εὑρόντες, ἐπειθόμεθ' ἄν· ἄμουσον δέ, ἠπιστοῦμεν; ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Νῦν δέ γ' οἶμαι, εἴ τι μέλει ἡμῖν τῆς τῶν προσώπων ὁμοιότητος, σκεπτέον εἰ γραφικὸς ὢν λέγει, ἢ οὔ. ΘΕΑΙ. Δοκεῖ μοι. ΣΩ. Ἦ οὖν ζωγραφικὸς Θεόδωρος; ΘΕΑΙ. Οὐχ, ὅσον γέ με εἰδέναι. ΣΩ. Ἆρ' οὐδὲ γεωμετρικός; ΘΕΑΙ. Πάντως δή που, ὦ Σώκρατες. ΣΩ. Ἦ καὶ ἀστρονομικός, καὶ λογιστικός τε καὶ μουσικός, καὶ ὅσα παιδείας ἔχεται; ΘΕΑΙ. Ἔμοιγε δοκεῖ. ΣΩ. Εἰ μὲν ἄρα ἡμᾶς τοῦ σώματός τι φησὶν ὁμοίους εἶναι, ἐπαινῶν πῃ ἢ ψέγων, οὐ πάνυ αὐτῷ ἄξιον τὸν νοῦν προσέχειν. ΘΕΑΙ. Ἴσως οὔ. ΣΩ. Τί δ'; εἰ ποτέρου τὴν ψυχὴν ἐπαινοῖ πρὸς ἀρετήν τε καὶ σοφίαν, ἆρ' οὐκ ἄξιον τῷ μὲν ἀκούσαντι προθυμεῖσθαι ἀνασκέψασθαι τὸν ἐπαινεθέντα, τῷ δέ, προθύμως αὑτὸν ἐπιδεικνύναι; ΘΕΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρα-

τες. III. ΣΩ. Ὥρα τοίνυν, ὦ φίλε Θεαίτητε, σοὶ μὲν ἐπιδεικνύναι, ἐμοὶ δὲ σκοπεῖσθαι· ὡς εὖ ἴσθι, ὅτι Θεόδωρος πολλοὺς δὴ πρός με ἐπαινέσας ξένους τε καὶ ἀστοὺς οὐδένα πω ἐπῄνεσεν ὡς σὲ νῦν δή. ΘΕΑΙ. Εὖ ἂν ἔχοι, ὦ Σώκρατες, ἀλλ᾽ ὅρα μὴ παίζων ἔλεγε. ΣΩ. Οὐχ οὗτος ὁ τρόπος Θεοδώρου, ἀλλὰ μὴ ἀναδύου τὰ ὡμολογημένα, σκηπτόμενος παίζοντα λέγειν τόνδε, ἵνα μὴ καὶ ἀναγκασθῇ μαρτυρεῖν· πάντως γὰρ οὐδεὶς ἐπισκήψει αὐτῷ· ἀλλὰ θαῤῥῶν ἔμμενε τῇ ὁμολογίᾳ. ΘΕΑΙ. Ἀλλὰ χρὴ ταῦτα ποιεῖν, εἴ σοι δοκεῖ. ΣΩ. Λέγε δή μοι. μανθάνεις που παρὰ Θεοδώρου γεωμετρίας ἄττα; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Καὶ τῶν περὶ ἀστρονομίαν τε καὶ ἁρμονίας καὶ λογισμούς; ΘΕΑΙ. Προθυμοῦμαί γε δή. ΣΩ. Καὶ γὰρ ἐγώ, ὦ παῖ, παρά τε τούτου καὶ παρ᾽ ἄλλων, οὓς ἂν οἴωμαί τι τούτων ἐπαΐειν· ἀλλ᾽ ὅμως τὰ μὲν ἄλλα, ἔχω περὶ αὐτὰ μετρίως, σμικρὸν δέ τι ἀπορῶ, ὃ μετὰ σοῦ τε καὶ τῶνδε σκεπτέον. Καί μοι λέγε· ἆρ᾽ οὐ τὸ μανθάνειν ἐστί, τὸ σοφώτερον γίγνεσθαι περὶ ὃ μανθάνει τις; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΣΩ. Σοφίᾳ δέ γ᾽, οἶμαι, σοφοὶ οἱ σοφοί. ΘΕΑΙ. Ναί. ΣΩ. Τοῦτο δὲ μῶν διαφέρει τι ἐπιστήμης; ΘΕΑΙ. Τὸ ποῖον; ΣΩ. Ἡ σοφία· ἢ οὐχ ἅπερ ἐπιστήμονες, ταῦτα καὶ σοφοί; ΘΕΑΙ. Τί μήν; ΣΩ. Ταὐτὸν ἄρα σοφία καὶ ἐπιστήμη; ΘΕΑΙ. Ναί. ΣΩ. Τοῦτ᾽ αὐτὸ τοίνυν ἐστὶν ὃ ἀπορῶ, καὶ οὐ δύναμαι λαβεῖν ἱκανῶς παρ᾽ ἐμαυτῷ, ἐπιστήμη ὅ, τι ποτὲ τυγχάνει ὄν. ἆρ᾽ οὖν

δὴ ἔχομεν λέγειν αὐτό; τί φατέ; τίς ἂν ἡμῶν πρῶτος εἴποι; ὁ δὲ ἁμαρτὼν, καὶ ὃς ἂν ἀεὶ ἁμαρτάνῃ, καθεδεῖται, ὥσπερ φασὶν οἱ παῖδες οἱ σφαιρίζοντες, ὄνος· ὃς δ' ἂν περιγένηται ἀναμάρτητος, βασιλεύσει ἡμῶν, καὶ ἐπιτάξει ὅ, τι ἂν βούληται ἀποκρίνεσθαι. τί σιγᾶτε; οὔ τί που, ὦ Θεόδωρε, ἐγὼ ὑπὸ φιλολογίας ἀγροικίζομαι, προθυμούμενος ὑμᾶς ποιῆσαι διαλέγεσθαι, καὶ φίλους τε καὶ προσηγόρους ἀλλήλοις γίγνεσθαι; ΘΕΟ. Ἥκιστα, ὦ Σώκρατες, τὸ τοιοῦτον ἂν εἴη ἄγροικον· ἀλλὰ τῶν μειρακίων τινὰ κέλευέ σοι ἀποκρίνασθαι. ἐγὼ μὲν γὰρ ἀήθης τῆς τοιαύτης διαλέκτου, καὶ οὐδ' αὖ ξυνεθίζεσθαι ἡλικίαν ἔχω· τοῖσδε δὲ πρέποι τε ἂν τοῦτο, καὶ πολὺ πλεῖον ἐπιδιδοῖεν· τῷ γὰρ ὄντι ἡ νεότης εἰς πᾶν ἐπίδοσιν ἔχει. ἀλλ', ὥσπερ ἤρξω, μὴ ἀφίεσο τοῦ Θεαιτήτου, ἀλλ' ἐρώτα. ΣΩ. Ἀκούεις δὴ, ὦ Θεαίτητε, ἃ λέγει ὁ Θεόδωρος· ᾧ ἀπιστεῖν, ὡς ἐγὼ οἶμαι, οὔτε σὺ ἐθελήσεις, οὔτε θέμις περὶ τὰ τοιαῦτα ἀνδρὶ σοφῷ ἐπιτάττοντι νεώτερον ἀπειθεῖν. ἀλλ' εὖ καὶ γενναίως εἰπὲ τί σοι δοκεῖ εἶναι ἐπιστήμη; ΘΕΑΙ. Ἀλλὰ χρὴ, ὦ Σώκρατες, ἐπειδήπερ ὑμεῖς κελεύετε· πάντως γὰρ, ἄν τι καὶ ἁμάρτω, ἐπανορθώσετε. ΣΩ. Πάνυ μὲν οὖν, ἄν περ οἷοί τε ὦμεν. IV. ΘΕΑΙ. Δοκεῖ τοίνυν μοι καὶ ἃ παρὰ Θεοδώρου ἄν τις μάθοι, ἐπιστῆμαι εἶναι, γεωμετρία τε καὶ ἃς νῦν δὴ σὺ διῆλθες· καὶ αὖ σκυτοτομική τε, καὶ αἱ τῶν ἄλλων δημιουργῶν τέχναι, πᾶσαί τε καὶ ἑκάστη τούτων, οὐκ ἄλλο τι ἢ

ἐπιστήμη εἶναι. ΣΩ. Γενναίως μοι καὶ φιλοδώρως, ὦ φίλε, ἓν αἰτηθεὶς πολλὰ δίδως, καὶ ποικίλα ἀντὶ ἁπλοῦ. ΘΕΑΙ. Πῶς; τί τοῦτο λέγεις, ὦ Σώκρατες; ΣΩ. Ἴσως μὲν οὐδέν· ὃ μέντοι οἶμαι, φράσω· ὅταν λέγῃς σκυτικὴν, μή τι ἄλλο φράζεις ἢ ἐπιστήμην ὑποδημάτων ἐργασίας; ΘΕΑΙ. Οὐδέν. ΣΩ. Τί δ' ὅταν τεκτονικήν; μή τι ἄλλο ἢ ἐπιστήμην τῆς τῶν ξυλίνων σκευῶν ἐργασίας; ΘΕΑΙ. Οὐδὲ τοῦτο. ΣΩ. Οὐκοῦν ἐν ἀμφοῖν οὗ ἑκατέρα ἐπιστήμη, τοῦτο ὁρίζεις; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δ' ἐπερωτηθὲν, ὦ Θεαίτητε, οὐ τοῦτο ἦν, τίνων ἡ ἐπιστήμη, οὐδὲ ὁπόσαι τινές· οὐ γὰρ ἀριθμῆσαι αὐτὰς βουλόμενοι ἠρόμεθα, ἀλλὰ γνῶναι ἐπιστήμην αὐτὸ ὅ, τι ποτέ ἐστιν· ἢ οὐδὲν λέγω; ΘΕΑΙ. Πάνυ μὲν οὖν ὀρθῶς. ΣΩ. Σκέψαι δὴ καὶ τόδε· εἴ τις ἡμᾶς τῶν φαύλων τι καὶ προχείρων ἔροιτο, οἷον περὶ πηλοῦ, ὅ, τί ποτ' ἐστὶν, εἰ ἀποκριναίμεθα αὐτῷ, πηλὸς ὁ τῶν χυτρέων, καὶ πηλὸς ὁ τῶν κοροπλάθων, καὶ πηλὸς ὁ τῶν πλινθουργῶν, οὐκ ἂν γελοῖοι εἶμεν; ΘΕΑΙ. Ἴσως. ΣΩ. Πρῶτον μέν γέ που, οἰόμενοι ξυνιέναι ἐκ τῆς ἡμετέρας ἀποκρίσεως τὸν ἐρωτῶντα, ὅταν εἴπωμεν, πηλὸς, εἴτε, ὁ τῶν κοροπλάθων, προσθέντες, εἴτε ἄλλων ὡντινωνοῦν δημιουργῶν. ἢ, οἴει, τίς τι ξυνίησί τινος ὄνομα, ὃ μὴ οἶδε τί ἐστιν; ΘΕΑΙ. Οὐδαμῶς. ΣΩ. Οὐδ' ἄρα ἐπιστήμην ὑποδημάτων ξυνίησιν ὁ ἐπιστήμην μὴ εἰδώς. ΘΕΑΙ. Οὐ γάρ. ΣΩ. Σκυτικὴν ἄρα οὐ ξυνίησιν, ὃς ἂν ἐπιστήμην ἀγνοῇ, οὐδέ τινα ἄλλην

τέχνην. ΘΕΑΙ. Ἔστιν οὕτω. ΣΩ. Γελοία ἄρα ἡ
ἀπόκρισις τῷ ἐρωτηθέντι, ἐπιστήμη τί ἐστιν; ὅταν
ἀποκρίνηται τέχνης τινὸς ὄνομα. τινὸς γὰρ ἐπι-
στήμην ἀποκρίνεται, οὐ τοῦτ' ἐρωτηθείς. ΘΕΑΙ.
Ἔοικε. ΣΩ. Ἔπειτά γέ που ἐξὸν φαύλως καὶ βρα-
χέως ἀποκρίνασθαι, περιέρχεται ἀπέραντον ὁδόν·
οἷον καὶ ἐν τῇ τοῦ πηλοῦ ἐρωτήσει, φαῦλόν που καὶ
ἁπλοῦν εἰπεῖν, ὅτι γῆ ὑγρῷ φυραθεῖσα πηλὸς ἂν
εἴη· τὸ δ' ὅτου, ἐᾷν χαίρειν. V. ΘΕΑΙ. Ῥᾴδιον,
ὦ Σώκρατες, νῦν γε οὕτω φαίνεται· ἀτὰρ κινδυ-
νεύεις ἐρωτᾷν οἷον καὶ αὐτοῖς ἡμῖν ἔναγχος εἰσῆλθε
διαλεγομένοις, ἐμοί τε καὶ τῷ σῷ ὁμωνύμῳ τούτῳ
Σωκράτει. ΣΩ. Τὸ ποῖον δή, ὦ Θεαίτητε; ΘΕΑΙ.
Περὶ δυνάμεών τι ἡμῖν Θεόδωρος ὅδε ἔγραφε, τῆς τε
τρίποδος πέρι καὶ πεντέποδος, ἀποφαίνων ὅτι μήκει
οὐ ξύμμετροι τῇ ποδιαίᾳ· καὶ οὕτω κατὰ μίαν ἑκά-
στην προαιρούμενος, μέχρι τῆς ἑπτακαιδεκάποδος.
ἐν δὲ ταύτῃ πως ἐνέσχετο. ἡμῖν οὖν εἰσῆλθέ τι τοι-
οῦτον, ἐπειδὴ ἄπειροι τὸ πλῆθος αἱ δυνάμεις ἐφαί-
νοντο, πειραθῆναι ξυλλαβεῖν εἰς ἕν, ὅτῳ πάσας ταύ-
τας προσαγορεύσομεν τὰς δυνάμεις. ΣΩ. Ἦ καὶ
εὕρετέ τι τοιοῦτον; ΘΕΑΙ. Ἔμοιγε δοκοῦμεν·
σκόπει δὲ καὶ σύ. ΣΩ. Λέγε. ΘΕΑΙ. Τὸν ἀριθ-
μὸν πάντα δίχα διελάβομεν· τὸν μὲν δυνάμενον ἴσον
ἰσάκις γίγνεσθαι, τῷ τετραγώνῳ τὸ σχῆμα ἀπεικά-
σαντες, τετράγωνόν τε καὶ ἰσόπλευρον προσείπομεν.
ΣΩ. Καὶ εὖ γε. ΘΕΑΙ. Τὸν τοίνυν μεταξὺ τού-
του, ὧν καὶ τὰ τρία καὶ τὰ πέντε, καὶ πᾶς ὃς ἀδύ-

νατὰς ἰσάκις ἴσος γενέσθαι, ἀλλ' ἢ πλείων ἐλαττονάκις, ἢ ἐλάττων πλεονάκις γίγνεται, μείζων δὲ καὶ ἐλάττων ἀεὶ πλευρὰ αὐτὸν περιλαμβάνει, τῷ προμήκει αὖ σχήματι ἀπεικάσαντες, προμήκη ἀριθμὸν ἐκαλέσαμεν. ΣΩ. Κάλλιστα· ἀλλὰ τί τὸ μετὰ τοῦτο; ΘΕΑΙ. Ὅσαι μὲν γραμμαὶ τὸν ἰσόπλευρον καὶ ἐπίπεδον ἀριθμὸν τετραγωνίζουσι, μῆκος ὡρισάμεθα· ὅσαι δὲ τὸν ἑτερομήκη, δυνάμεις· ὡς μήκει μὲν οὐ ξυμμέτρους ἐκείναις, τοῖς δ' ἐπιπέδοις, ἃ δύνανται. καὶ περὶ τὰ στερεὰ ἄλλο τοιοῦτον. ΣΩ. Ἄριστά γ' ἀνθρώπων, ὦ παῖδες· ὥστε μοι δοκεῖ ὁ Θεόδωρος οὐκ ἔνοχος τοῖς ψευδομαρτυρίοις ἔσεσθαι. ΘΕΑΙ. Καὶ μήν, ὦ Σώκρατες, ὅ, γε ἐρωτᾷς περὶ ἐπιστήμης, οὐκ ἂν δυναίμην ἀποκρίνασθαι, ὥσπερ περὶ τοῦ μήκους τε καὶ τῆς δυνάμεως· καίτοι σύ γέ μοι δοκεῖς τοιοῦτόν τι ζητεῖν· ὥστε πάλιν αὖ φαίνεται ψευδὴς ὁ Θεόδωρος. ΣΩ. Τί δαί; εἴ σε πρὸς δρόμον ἐπαινῶν, μηδενὶ ἔφη οὕτω δρομικῷ τῶν νέων ἐντετυχηκέναι, εἶτα διαθέων, τοῦ ἀκμάζοντος καὶ ταχίστου ἡττήθης, ἧττόν τι ἂν οἴει ἀληθῶς τόνδ' ἐπαινέσαι; ΘΕΑΙ. Οὐκ ἔγωγε. ΣΩ. Ἀλλὰ τὴν ἐπιστήμην, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον, σμικρόν τι οἴει εἶναι ἐξευρεῖν, καὶ οὐ τῶν πάντῃ ἄκρων; ΘΕΑΙ. Νὴ τὸν Δία ἔγωγε καὶ μάλα γε τῶν ἀκροτάτων. ΣΩ. Θάῤῥει τοίνυν περὶ σαυτῷ, καί τι οἴου Θεόδωρον λέγειν· προθυμήθητι δὲ παντὶ τρόπῳ τῶν τε ἄλλων πέρι καὶ ἐπιστήμης λαβεῖν λόγον, τί ποτε τυγχάνει ὄν. ΘΕΑΙ. Προθυμίας μὲν ἕνε-

κεν, ὦ Σώκρατες, φανεῖται. VI. ΣΩ. Ἴθι δή· καλῶς γὰρ ἄρτι ὑφηγήσω· πειρῶ μιμούμενος τὴν περὶ τῶν δυνάμεων ἀπόκρισιν, ὥςπερ ταύτας πολλὰς οὔσας ἑνὶ εἴδει περιέλαβες, οὕτω καὶ τὰς πολλὰς ἐπιστήμας ἑνὶ λόγῳ προςειπεῖν. ΘΕΑΙ. Ἀλλ' εὖ ἴσθι, ὦ Σώκρατες, πολλάκις δὴ αὐτὸ ἐπιχείρησα σκέψασθαι, ἀκούων τὰς παρὰ σοῦ ἀποφερομένας ἐρωτήσεις· ἀλλὰ γὰρ οὔτ' αὐτὸς δύναμαι πεῖσαι ἐμαυτὸν ὡς ἱκανῶς τι λέγω, οὔτ' ἄλλου ἀκοῦσαι λέγοντος οὕτως ὡς σὺ διακελεύῃ· οὐ μὲν δὴ αὖ οὐδ' ἀπαλλαγῆναι τοῦ μέλλειν. ΣΩ. Ὠδίνεις γάρ, ὦ φίλε Θεαίτητε, διὰ τὸ μὴ κενὸς ἀλλ' ἐγκύμων εἶναι. ΘΕΑΙ. Οὐκ οἶδα, ὦ Σώκρατες· ὃ μέντοι πέπονθα λέγω. ΣΩ. Εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι υἱὸς μαίας, μάλα γενναίας τε καὶ βλοσυρᾶς, Φαιναρέτης; ΘΕΑΙ. Ἤδη τοῦτό γε ἤκουσα. ΣΩ. Ἆρα καὶ ὅτι ἐπιτηδεύω τὴν αὐτὴν τέχνην ἀκήκοας; ΘΕΑΙ. Οὐδαμῶς. ΣΩ. Ἀλλ' εὖ ἴσθ' ὅτι· μὴ μέντοι μου κατείπῃς πρὸς τοὺς ἄλλους· λέληθα γάρ, ὦ ἑταῖρε, ταύτην ἔχων τὴν τέχνην· οἱ δέ, ἅτε οὐκ εἰδότες, τοῦτο μὲν οὔ λέγουσι περὶ ἐμοῦ, ὅτι δὲ ἀτοπώτατός εἰμι, καὶ ποιῶ τοὺς ἀνθρώπους ἀπορεῖν. ἢ καὶ τοῦτο ἀκήκοας; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Εἴπω οὖν σοι τὸ αἴτιον; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Ἐννόησον δὴ τὸ περὶ τὰς μαίας ἅπαν ὡς ἔχει, καὶ ῥᾷον μαθήσῃ ὃ βούλομαι. οἶσθα γάρ που ὅτι οὐδεμία αὐτῶν ἔτι αὐτὴ κυϊσκομένη τε καὶ τίκτουσα ἄλλας μαιεύεται, ἀλλ' αἱ ἤδη ἀδύνατοι τίκτειν. ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Αἰτίαν δέ γε τούτου φασὶν εἶναι τὴν Ἄρτεμιν, ὅτι ἄλοχος οὖσα τὴν λοχείαν εἴληχε· στερίφαις μὲν οὖν ἄρα οὐκ ἔδωκε μαιεύεσθαι, ὅτι ἡ ἀνθρωπίνη φύσις ἀσθενεστέρα ἢ λαβεῖν τέχνην ὧν ἂν ᾖ ἄπειρος· ταῖς δὲ δι᾽ ἡλικίαν ἀτόκοις προσέταξε, τιμῶσα τὴν αὑτῆς ὁμοιότητα. ΘΕΑΙ. Εἰκός. ΣΩ. Οὐκοῦν καὶ τόδε εἰκός τε καὶ ἀναγκαῖον, τὰς κυούσας καὶ μὴ γιγνώσκεσθαι μᾶλλον ὑπὸ τῶν μαιῶν ἢ τῶν ἄλλων; ΘΕΑΙ. Πάνυ γε. ΣΩ. Καὶ μὴν καὶ διδοῦσαί γε αἱ μαῖαι φαρμάκια καὶ ἐπᾴδουσαι, δύνανται ἐγείρειν τε τὰς ὠδῖνας καὶ μαλθακωτέρας ἂν βούλωνται ποιεῖν, καὶ τίκτειν τε δὴ τὰς δυστοκούσας, καὶ ἐὰν νέον ὂν δόξῃ ἀμβλίσκειν, ἀμβλίσκουσιν. ΘΕΑΙ. Ἔστι ταῦτα. ΣΩ. Ἆρ᾽ οὖν ἔτι καὶ τόδε αὐτῶν ᾔσθησαι, ὅτι καὶ προμνήστριαί εἰσι δεινόταται, ὡς πάνσοφοι οὖσαι περὶ τοῦ γνῶναι ποίαν χρὴ ποίῳ ἀνδρὶ ξυνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν; ΘΕΑΙ. Οὐ πάνυ τοῦτο οἶδα. ΣΩ. Ἀλλ᾽ ἴσθ᾽ ὅτι ἐπὶ τούτῳ μεῖζον φρονοῦσιν ἢ ἐπὶ τῇ ὀμφαλοτομίᾳ. ἐννόει γάρ· τῆς αὐτῆς ἢ ἄλλης οἴει τέχνης εἶναι θεραπείαν τε καὶ ξυγκομιδὴν τῶν ἐκ γῆς καρπῶν, καὶ αὖ τὸ γιγνώσκειν εἰς ποίαν γῆν ποῖον φυτόν τε καὶ σπέρμα καταβλητέον; ΘΕΑΙ. Οὐκ· ἀλλὰ τῆς αὐτῆς. ΣΩ. Εἰς γυναῖκα δέ, ὦ φίλε, ἄλλην μὲν οἴει τοῦ τοιούτου, ἄλλην δὲ ξυγκομιδῆς; ΘΕΑΙ. Οὔκουν εἰκός γε. ΣΩ. Οὐ γάρ. ἀλλὰ διὰ τὴν ἄδικόν τε καὶ ἄτεχνον ξυναγωγὴν ἀνδρὸς καὶ γυναικός, ᾗ δὴ προαγωγεία ὄνομα, φεύγουσι καὶ τὴν προμνηστικήν, ἅτε

σεμναὶ οὖσαι, αἱ μαῖαι, φοβούμεναι μὴ εἰς ἐκείνην τὴν αἰτίαν διὰ ταύτην ἐμπέσωσιν· ἐπεὶ ταῖς γε ὄντως μαίαις μόναις που προσήκει καὶ προμνήσασθαι ὀρθῶς. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Τὸ μὲν τοίνυν τῶν μαιῶν, τοσοῦτον· ἔλαττον δὲ τοῦ ἐμοῦ δράματος. οὐ γὰρ πρόσεστι γυναιξὶν ἐνίοτε μὲν εἴδωλα τίκτειν, ἔστι δ᾽ ὅτε ἀληθινά, τοῦτο δὲ μὴ ῥᾴδιον εἶναι διαγνῶναι. εἰ γὰρ προσῆν, μέγιστόν τε καὶ κάλλιστον ἔργον ἦν ἂν ταῖς μαίαις, τὸ κρίνειν τὸ ἀληθές τε καὶ μή. ἢ οὐκ οἴει; ΘΕΑΙ. Ἔγωγε. VII. ΣΩ. Τῇ δέ γ᾽ ἐμῇ τέχνῃ τῆς μαιεύσεως τὰ μὲν ἄλλα ὑπάρχει ὅσα ἐκείναις· διαφέρει δὲ τῷ τε ἄνδρας ἀλλὰ μὴ γυναῖκας μαιεύεσθαι, καὶ τῷ τὰς ψυχὰς αὐτῶν τικτούσας ἐπισκοπεῖν, ἀλλὰ μὴ τὰ σώματα. μέγιστον δὲ τοῦτ᾽ ἔνι τῇ ἡμετέρᾳ τέχνῃ, βασανίζειν δυνατὸν εἶναι παντὶ τρόπῳ, πότερον εἴδωλον καὶ ψεῦδος ἀποτίκτει τοῦ νέου ἡ διάνοια, ἢ γόνιμόν τε καὶ ἀληθές. ἐπεὶ τόδε γε καὶ ἐμοὶ ὑπάρχει ὅπερ ταῖς μαίαις· ἄγονός εἰμι σοφίας. καὶ ὅπερ ἤδη πολλοί μοι ὠνείδισαν, ὡς τοὺς μὲν ἄλλους ἐρωτῶ, αὐτὸς δὲ οὐδὲν ἀποκρίνομαι περὶ οὐδενός, διὰ τὸ μηδὲν ἔχειν σοφόν, ἀληθὲς ὀνειδίζουσι. τὸ δὲ αἴτιον τούτου τόδε· μαιεύεσθαί με ὁ θεὸς ἀναγκάζει, γεννᾶν δὲ ἀπεκώλυσεν. εἰμὶ δὴ οὖν αὐτὸς μὲν οὐ πάνυ τι σοφός· οὐδέ τί μοί ἐστιν εὕρημα τοιοῦτον, γεγονὸς τῆς ἐμῆς ψυχῆς ἔκγονον· οἱ δὲ ἐμοὶ ξυγγιγνόμενοι, τὸ μὲν πρῶτον φαίνονται ἔνιοι μὲν καὶ πάνυ ἀμαθεῖς, πάντες δὲ προϊούσης τῆς ξυνουσίας, οἷσπερ ἂν ὁ θεὸς παρείκῃ, θαυμαστὸν

ὅσον ἐπιδιδόντες, ὡς αὐτοῖς τε καὶ τοῖς ἄλλοις δοκοῦσι· καὶ τοῦτο ἐναργές, ὅτι παρ' ἐμοῦ οὐδὲν πώποτε μαθόντες, ἀλλ' αὐτοὶ παρ' αὐτῶν πολλὰ καὶ καλὰ εὑρόντες τε καὶ κατέχοντες. τῆς μέντοι μαιείας ὁ θεός τε καὶ ἐγὼ αἴτιος. ὧδε δὲ δῆλον· πολλοὶ ἤδη τοῦτο ἀγνοήσαντες, καὶ ἑαυτοὺς αἰτιασάμενοι, ἐμοῦ δὲ καταφρονήσαντες, ἢ αὐτοὶ ἢ ὑπ' ἄλλων πεισθέντες, ἀπῆλθον πρωϊαίτερον τοῦ δέοντος· ἀπελθόντες δὲ τά τε λοιπὰ ἐξήμβλωσαν, διὰ πονηρὰν ξυνουσίαν, καὶ τὰ ὑπ' ἐμοῦ μαιευθέντα κακῶς τρέφοντες ἀπώλεσαν, ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς· τελευτῶντες δ' αὐτοῖς τε καὶ τοῖς ἄλλοις ἔδοξαν ἀμαθεῖς εἶναι. ὧν εἷς γέγονεν Ἀριστείδης ὁ Λυσιμάχου, καὶ ἄλλοι πάνυ πολλοί· οἷς, ὅταν πάλιν ἔλθωσιν δεόμενοι τῆς ἐμῆς ξυνουσίας, καὶ θαυμαστὰ δρῶντες, ἐνίοις μὲν τὸ γιγνόμενόν μοι δαιμόνιον ἀποκωλύει ξυνεῖναι, ἐνίοις δὲ ἐᾷ· καὶ πάλιν οὗτοι ἐπιδιδόασι. πάσχουσι δὲ δὴ οἱ ἐμοὶ ξυγγιγνόμενοι καὶ τοῦτο ταὐτὸν ταῖς τικτούσαις· ὠδίνουσι γὰρ καὶ ἀπορίας ἐμπίπλανται νύκτας τε καὶ ἡμέρας πολὺ μᾶλλον ἢ ἐκεῖναι· ταύτην δὲ τὴν ὠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται. καὶ οὗτοι μὲν δὴ οὕτως. ἐνίοτε δέ, ὦ Θεαίτητε, οἳ ἄν μοι μὴ δόξωσί πως ἐγκύμονες εἶναι, γνοὺς ὅτι οὐδὲν ἐμοῦ δέονται, πάνυ εὐμενῶς προμνῶμαι· καί, ξὺν θεῷ εἰπεῖν, πάνυ ἱκανῶς τοπάζω, οἷς ἂν ξυγγενόμενοι ὄναιντο. ὧν πολλοὺς μὲν δὴ ἐξέδωκα Προδίκῳ, πολλοὺς δὲ ἄλλοις σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσι. ταῦτα δὴ

σοι, ὦ ἄριστε, ἕνεκα τοῦδε ἐμήκυνα, ὑποπτεύων
σε, ὥσπερ καὶ αὐτὸς οἴει, ὠδίνειν τι κυοῦντα ἔνδον.
προσφέρου οὖν πρός με ὡς πρὸς μαίας υἱὸν, καὶ
αὐτὸν μαιευτικόν, καὶ ἃ ἂν ἐρωτῶ, προθυμοῦ
ὅπως οἷός τ' εἶ, οὕτως ἀποκρίνεσθαι· καὶ ἐὰν ἄρα
σκοπούμενός τι, ὧν ἂν λέγῃς, ἡγήσωμαι εἴδωλον καὶ
μὴ ἀληθὲς, εἶτα ὑπεξαιρῶμαι καὶ ἀποβάλλω, μὴ
ἀγρίαινε, ὥσπερ αἱ πρωτοτόκοι περὶ τὰ παιδία. πολ-
λοὶ γὰρ ἤδη, ὦ θαυμάσιε, πρός με οὕτω διετέθη-
σαν; ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τι-
να λῆρον αὐτῶν ἀφαιρῶμαι, καὶ οὐκ οἴονται εὐνοίᾳ
τοῦτο ποιεῖν· πόῤῥω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς
θεὸς δύσνους ἀνθρώποις. οὐδ' ἐγὼ δυσνοίᾳ τοιοῦ-
τον οὐδὲν δρῶ· ἀλλά μοι ψεῦδός τε ξυγχωρῆσαι
καὶ ἀληθὲς ἀφανίσαι, οὐδαμῶς θέμις. VIII. Πάλιν δὴ
οὖν ἐξ ἀρχῆς, ὦ Θεαίτητε, ὅ τί ποτ' ἐστὶν ἐπιστή-
μη, πειρῶ λέγειν· ὡς δ' οὐχ οἷός τ' εἶ, μηδέποτ'
εἴπῃς. ἐὰν γὰρ θεὸς ἐθέλῃ καὶ ἀνδρίζῃ, οἷός τ'
ἔσῃ. ΘΕΑΙ. Ἀλλὰ μέντοι, ὦ Σώκρατες, σοῦ γε
οὕτω παρακελευομένου, αἰσχρὸν μὴ οὐ παντὶ
τρόπῳ προθυμεῖσθαι, ὅ τί τις ἔχει λέγειν. δο-
κεῖ οὖν μοι ὁ ἐπιστάμενός τι, αἰσθάνεσθαι τοῦτο
ὃ ἐπίσταται· καὶ, ὥς γε νυνὶ φαίνεται, οὐκ ἄλλο
τί ἐστιν ἐπιστήμη ἢ αἴσθησις. ΣΩ. Εὖ γε
καὶ γενναίως, ὦ παῖ· χρὴ γὰρ οὕτως ἀπο-
φαινόμενον λέγειν. ἀλλὰ φέρε δὴ αὐτὸ κοι-
νῇ σκεψώμεθα, γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει ὄν.
αἴσθησις, φῄς, ἐπιστήμη; ΘΕΑΙ. Ναί. ΣΩ. Κιν-

συνιέναι μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ ἐπιστήμης, ἀλλ' ὃν ἔλεγε καὶ Πρωταγόρας· τρόπον δέ τινα ἄλλον εἴρηκε τὰ αὐτὰ ταῦτα. φησὶ γάρ που, πάντων χρημάτων μέτρον ἄνθρωπον εἶναι, τῶν μὲν ὄντων, ὡς ἔστι, τῶν δὲ μὴ ὄντων, ὡς οὐκ ἔστιν· ἀνέγνωκας γάρ που; ΘΕΑΙ. Ἀνέγνωκα καὶ πολλάκις. ΣΩ. Οὐκοῦν οὕτω πως λέγει, ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί· ἄνθρωπος δὲ σύ τε κἀγώ; ΘΕΑΙ. Λέγει γὰρ οὖν οὕτως. ΣΩ. Εἰκὸς μέν σοι σοφὸν ἄνδρα μὴ ληρεῖν. ἐπακολουθήσωμεν οὖν αὐτῷ· ἆρ' οὐκ ἐνίοτε πνέοντος ἀνέμου τοῦ αὐτοῦ, ὁ μὲν ἡμῶν ῥιγοῖ, ὁ δ' οὔ, καὶ ὁ μὲν ἠρέμα, ὁ δὲ σφόδρα; ΘΕΑΙ. Καὶ μάλα. ΣΩ. Πότερον οὖν τότε αὐτὸ ἐφ' ἑαυτῷ τὸ πνεῦμα, ψυχρὸν ἢ οὐ ψυχρὸν φήσομεν; ἢ πεισόμεθα τῷ Πρωταγόρᾳ, ὅτι τῷ μὲν ῥιγοῦντι, ψυχρόν· τῷ δὲ μή, οὔ; ΘΕΑΙ. Ἔοικε. ΣΩ. Οὐκοῦν καὶ φαίνεται οὕτως ἑκατέρῳ; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δέ γε φαίνεται, αἰσθάνεσθαι ἐστίν; ΘΕΑΙ. Ἔστι γάρ. ΣΩ. Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις. οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Αἴσθησις ἄρα, τοῦ ὄντος ἀεί ἐστιν, καὶ ἀψευδής, ὡς ἐπιστήμη οὖσα. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Ἆρ' οὖν, πρὸς Χαρίτων, πάνσοφός τις ἦν ὁ Πρωταγόρας, καὶ τοῦτο ἡμῖν μὲν ἠνίξατο τῷ πολλῷ συρφετῷ, τοῖς δὲ μαθηταῖς ἐν ἀποῤῥήτῳ τὴν ἀλήθειαν ἔλεγε;

ΘΕΑΙ. Πῶς δή, ὦ Σώκρατες, τοῦτο λέγεις; ΣΩ. Ἐγὼ ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον· ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' αὑτὸ οὐδέν ἐστιν, οὐδ' ἄν τι προσείποις ὀρθῶς οὐδ' ὁποιονοῦν τι, ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύῃς, καὶ σμικρὸν φανεῖται, καὶ ἐὰν βαρύ, κοῦφον, ξύμπαντά τε οὕτως, ὡς μηδενὸς ὄντος ἑνός, μήτε τινός, μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα, γίγνεται πάντα ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, αἰεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοί, πλὴν Παρμενίδου, ξυμφέρεσθον, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς· καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας· κωμῳδίας μέν, Ἐπίχαρμος· τραγῳδίας δέ, Ὅμηρος. εἰπών, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν, πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως· ἢ οὐ δοκεῖ τοῦτο λέγειν; ΘΕΑΙ. Ἔμοιγε. IX. ΣΩ. Τίς οὖν ἂν ἔτι πρός γε τοσοῦτον στρατόπεδον καὶ στρατηγὸν Ὅμηρον δύναιτο ἀμφισβητήσας, μὴ οὐ καταγέλαστος γενέσθαι; ΘΕΑΙ. Οὐ ῥᾴδιον, ὦ Σώκρατες. ΣΩ. Οὐ γάρ, ὦ Θεαίτητε. ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανά, ὅτι τὸ μὲν εἶναι δοκοῦν, καὶ τὸ γίγνεσθαι, κίνησις παρέχει· τὸ δὲ μὴ εἶναι καὶ ἀπόλλυσθαι, ἡσυχία. τὸ γὰρ θερμόν τε καὶ πῦρ, ὃ δὴ καὶ τἆλλα γεννᾷ, καὶ ἐπιτροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως· τοῦτο δὲ κίνησις· ἢ οὐχ αὗται γενέσεις πυρός; ΘΕΑΙ. Αὗται μὲν οὖν. ΣΩ. Καὶ μὴν τό γε τῶν ζώων γένος

ἐκ τῶν αὐτῶν τούτων φύεται. ΘΕΑΙ. Πῶς δ' οὔ; ΣΩ. Τί δαί; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ὡς ἐπὶ τὸ πολὺ σώζεται; ΘΕΑΙ. Ναί. ΣΩ. Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶταί τε μαθήματα, καὶ σώζεται, καὶ γίγνεται βελτίων, ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει, ἅ, τε ἂν μάθῃ ἐπιλανθάνεται; ΘΕΑΙ. Καὶ μάλα. ΣΩ. Τὸ μὲν ἄρα ἀγαθόν, κίνησις κατά τε ψυχὴν καὶ κατὰ σῶμα· τὸ δέ, τοὐναντίον; ΘΕΑΙ. Ἔοικε. ΣΩ. Ἔτι οὖν σοι λέγω νηνεμίας τε καὶ γαλήνας, καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν ἡσυχίαι σήπουσι καὶ ἀπολλύουσι, τὰ δ' ἕτερα σώζει· καὶ ἐπὶ τούτοις, τὸν κολοφῶνα ἀναγκάζω προσβιβάζων, τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει καὶ δηλοῖ· ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη καὶ ὁ ἥλιος, πάντα ἐστὶ καὶ σώζεται τὰ ἐν θεοῖς τε καὶ ἀνθρώποις· εἰ δὲ σταίη τοῦτο ὥσπερ δεθέν, πάντα χρήματ' ἂν διαφθαρείη, καὶ γένοιτ' ἂν τὸ λεγόμενον, ἄνω κάτω πάντα. ΘΕΑΙ. Ἀλλ' ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ταῦτα δηλοῦν ἅπερ λέγεις. X. ΣΩ. Ὑπόλαβε τοίνυν, ὦ ἄριστε, οὑτωσὶ κατὰ τὰ ὄμματα πρῶτον· ὃ δὴ καλεῖς χρῶμα λευκόν, μὴ εἶναι αὐτὸ ἕτερόν τι ἔξω τῶν σῶν ὀμμάτων, μηδ' ἐν τοῖς ὄμμασι· μηδέ τιν' αὐτῷ χώραν ἀποτάξῃς. ἤδη γὰρ ἂν εἴη τε ἄν που ἐν τάξει καὶ μένοι, καὶ οὐκ ἂν ἐν τῇ γενέσει γίγνοιτο. ΘΕΑΙ. Ἀλλὰ πῶς;

ΣΩ. Ἑπώμεθα τῷ ἄρτι λόγῳ, μηδὲν αὐτὸ καθ' αὑτὸ ἓν ὂν τιθέντες· καὶ ἡμῖν οὕτω μέλαν τε καὶ λευκὸν καὶ ὁτιοῦν ἄλλο χρῶμα ἐκ τῆς προσβολῆς τῶν ὀμμάτων πρὸς τὴν προσήκουσαν φορὰν φανεῖται γεγενημένον, καὶ ὃ δὴ ἕκαστον εἶναί φαμεν χρῶμα, οὔτε τὸ προσβάλλον οὔτε τὸ προσβαλλόμενον ἔσται, ἀλλὰ μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός· ἢ σὺ διϊσχυρίσαιο ἂν ὡς οἷον σοὶ φαίνεται ἕκαστον χρῶμα, τοιοῦτον καὶ κυνὶ καὶ ὁτῳοῦν ζώῳ; ΘΕΑΙ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. Τί δέ; ἄλλῳ ἀνθρώπῳ ἆρ' ὅμοιον καὶ σοὶ φαίνεται ὁτιοῦν; ἔχεις τοῦτο ἰσχυρῶς, ἢ πολὺ μᾶλλον, ὅτι οὐδὲ σοὶ αὐτῷ ταὐτόν, διὰ τὸ μηδέποτε ὁμοίως αὐτὸν σεαυτῷ ἔχειν; ΘΕΑΙ. Τοῦτο μᾶλλόν μοι δοκεῖ ἢ ἐκεῖνο. ΣΩ. Οὐκοῦν εἰ μὲν ᾧ παραμετρούμεθα, ἢ οὗ ἐφαπτόμεθα, μέγα ἢ λευκὸν ἢ θερμὸν ἦν, οὐκ ἄν ποτε ἄλλῳ τῳ προσπεσὸν ἄλλο ἂν ἐγεγόνει, αὐτό γε μηδὲν μεταβάλλον· εἰ δὲ αὖ τὸ παραμετρούμενον ἢ ἐφαπτόμενον ἕκαστον ἦν τούτων, οὐκ ἂν αὖ ἄλλου προσελθόντος, ἤ τι παθόντος, αὐτὸ μηδὲν παθὸν ἄλλο ἂν ἐγένετο. ἐπεὶ νῦν γε, ὦ φίλε, θαυμαστά τε καὶ γελοῖα εὐχερῶς πως ἀναγκαζόμεθα λέγειν, ὡς φαίη ἂν Πρωταγόρας τε καὶ πᾶς ὁ τὰ αὐτὰ ἐκείνῳ ἐπιχειρῶν λέγειν. ΘΕΑΙ. Πῶς δὴ καὶ ποῖα λέγεις; ΣΩ. Σμικρὸν λάβε παράδειγμα, καὶ πάντα εἴσῃ ἃ βούλομαι. ἀστραγάλους γάρ που ἕξ, ἂν μὲν τέτταρας αὐτοῖς προσενέγκῃς, πλείους φαμὲν εἶναι τῶν τεττάρων καὶ ἡμιολίους· ἐὰν δὲ δώδεκα, ἐλάττους καὶ ἡμίσεις· καὶ

οὐδὲ ἀνεκτὸν ἄλλως λέγειν· ἢ σὺ ἀνέξῃ; ΘΕΑΙ. Οὐκ ἔγωγε. ΣΩ. Τί οὖν; ἄν σε Πρωταγόρας ἔρηται, ἤ τις ἄλλος· ὦ Θεαίτητε, ἔσθ᾽ ὅπως τι μεῖζον ἢ πλέον γίγνεται ἄλλως ἢ αὐξηθέν; τί ἀποκρινῇ; ΘΕΑΙ. Ἐὰν μέν, ὦ Σώκρατες, τὸ δοκοῦν πρὸς τὴν νῦν ἐρώτησιν ἀποκρίνωμαι, ὅτι οὐκ ἔστιν· ἐὰν δὲ πρὸς τὴν προτέραν, φυλάττων μὴ ἐναντία εἴπω, ὅτι ἐστί. ΣΩ. Εὖ γε, νὴ τὴν Ἥραν, ὦ φίλε, καὶ θείως. ἀτάρ, ὡς ἔοικεν, ἐὰν ἀποκρίνῃ ὅτι ἐστίν, Εὐριπίδειόν τι ξυμβήσεται. ἡ μὲν γὰρ γλῶττα ἀνέλεγκτος ἡμῖν ἔσται, ἡ δὲ φρὴν οὐκ ἀνέλεγκτος. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Οὐκοῦν, εἰ μὲν δεινοὶ καὶ σοφοὶ ἐγώ τε καὶ σὺ ἦμεν, πάντα τὰ τῶν φρενῶν ἐξητακότες, ἤδη ἂν τὸ λοιπὸν ἐκ περιουσίας ἀλλήλων ἀποπειρώμενοι, ξυνελθόντες σοφιστικῶς εἰς μάχην τοιαύτην, ἀλλήλων τοὺς λόγους τοῖς λόγοις ἐκρούομεν· νῦν δέ, ἅτε ἰδιῶται, πρῶτον βουλησόμεθα θεάσασθαι αὐτὰ πρὸς αὑτά, τί ποτ᾽ ἐστὶν ἃ διανοούμεθα· πότερον ἡμῖν ἀλλήλοις ξυμφωνεῖ, ἢ οὐδ᾽ ὁπωστιοῦν. ΘΕΑΙ. Πάνυ μὲν οὖν ἔγωγε τοῦτ᾽ ἂν βουλοίμην. XI. ΣΩ. Καὶ μὴν ἐγώ. ὅτε δ᾽ οὕτως ἔχει, ἄλλο τι ἢ ἠρέμα, ὡς πάνυ πολλὴν σχολὴν ἄγοντες, πάλιν ἐπανασκεψόμεθα, οὐ δυσκολαίνοντες, ἀλλὰ τῷ ὄντι ἡμᾶς αὐτοὺς ἐξετάζοντες, ἅττα ποτ᾽ ἐστὶ ταῦτα τὰ φάσματα ἐν ἡμῖν. ὧν πρῶτον ἐπισκοποῦντες, φήσομεν, ὡς ἐγὼ οἶμαι, μηδέποτε μηδὲν ἂν μεῖζον μηδὲ ἔλαττον γενέσθαι, μήτε ὄγκῳ μήτε ἀριθμῷ, ἕως ἴσον ἂν εἴη αὐτὸ ἑαυτῷ· οὐχ οὕτως; ΘΕΑΙ. Ναί.

ΣΩ. Δεύτερόν δέ γε, ᾧ μήτε προστίθοιτο μήτε ἀφαιροῖτο, τοῦτο μήτε αὐξάνεσθαί ποτε μήτε φθίνειν, ἀεὶ δὲ ἴσον εἶναι. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΣΩ. Ἆρ' οὖν καὶ τρίτον, ὃ μὴ πρότερον ἦν, ἀλλὰ ὕστερον τοῦτο εἶναι ἄνευ τοῦ γενέσθαι καὶ γίγνεσθαι, ἀδύνατον; ΘΕΑΙ. Δοκεῖ γε δή. ΣΩ. Ταῦτα δή, οἶμαι, ὁμολογήματα τρία μάχεται αὐτὰ αὑτοῖς ἐν τῇ ἡμετέρᾳ ψυχῇ, ὅταν τὰ περὶ τῶν ἀστραγάλων λέγωμεν, ἢ ὅταν φῶμεν ἐμὲ τηλικόνδε ὄντα, μήτε αὐξηθέντα, μήτε τοὐναντίον παθόντα, ἐν ἐνιαυτῷ σοῦ τοῦ νέου νῦν μείζω εἶναι, ὕστερον δὲ ἐλάττω, μηδὲν τοῦ ἐμοῦ ὄγκου ἀφαιρεθέντος, ἀλλὰ σοῦ αὐξηθέντος. εἰμὶ γὰρ δὴ ὕστερον ὃ πρότερον οὐκ ἦν, οὐ γενόμενος. ἄνευ γὰρ τοῦ γίγνεσθαι, γενέσθαι ἀδύνατον. μηδὲν δὲ ἀπολλὺς τοῦ ὄγκου, οὐκ ἄν ποτε ἐγιγνόμην ἐλάττων. καὶ ἄλλα δὴ μυρία ἐπὶ μυρίοις οὕτως ἔχει, εἴπερ καὶ ταῦτα παραδεξόμεθα· εἰπὲ γάρ που, ὦ Θεαίτητε· δοκεῖς μοι γοῦν οὐκ ἄπειρος τῶν τοιούτων εἶναι. ΘΕΑΙ. Καὶ νὴ τοὺς θεούς γε, ὦ Σώκρατες ὑπερφυῶς θαυμάζω τί ποτ' ἐστὶ ταῦτα· καὶ ἐνίοτε ὡς ἀληθῶς βλέπων εἰς αὐτὰ σκοτοδινιῶ. ΣΩ. Θεόδωρος γάρ, ὦ φίλε, φαίνεται οὐ κακῶς τοπάζειν περὶ τῆς φύσεώς σου. μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη· καὶ ἔοικεν ὁ τὴν Ἶριν Θαύμαντος ἔκγονον φήσας, οὐ κακῶς γενεαλογεῖν. ἀλλὰ πότερον μανθάνεις ἤδη, διὸ ταῦτα τοιαῦτ' ἐστὶν, ἐξ ὧν τὸν Πρωταγόραν φαμὲν λέγειν, ἢ

οὔπω; ΘΕΑΙ. Οὔπω μοι δοκῶ. ΣΩ. Χάριν οὖν μοι
εἴσῃ, ἐάν σοι ἀνδρός, μᾶλλον δὲ ἀνδρῶν ὀνομαστῶν,
τῆς διανοίας τὴν ἀλήθειαν ἀποκεκρυμμένην ξυνεξε-
ρευνήσωμαι αὐτῶν; ΘΕΑΙ. Πῶς γὰρ οὐκ εἴσομαι,
καὶ πάνυ γε πολλήν; XII. ΣΩ. Ἄθρει δὴ περισκο-
πῶν, μή τις τῶν ἀμυήτων ἐπακούῃ· εἰσὶ δὲ οὗτοι, οἱ
οὐδὲν ἄλλο οἰόμενοι εἶναι ἢ οὗ ἂν δύνωνται ἀπρὶξ
τοῖν χεροῖν λαβέσθαι, πράξεις δὲ καὶ γενέσεις καὶ
πᾶν τὸ ἀόρατον οὐκ ἀποδεχόμενοι, ὡς ἐν οὐσίας
μέρει. ΘΕΑΙ. Καὶ μὲν δή, ὦ Σώκρατες, σκλη-
ροὺς γε λέγεις καὶ ἀντιτύπους ἀνθρώπους. ΣΩ.
Εἰσὶ γάρ, ὦ παῖ, μάλ' εὖ ἄμουσοι. ἄλλοι δὲ πολ-
λοὶ κομψότεροι, ὧν μέλλω σοι τὰ μυστήρια λέγειν.
ἀρχὴ δέ, ἐξ ἧς καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα ἤρτη-
ται, ἥδε αὐτῶν· ὡς τὸ πᾶν κίνησις ἦν, καὶ ἄλλο
παρὰ τοῦτο οὐδέν, τῆς δὲ κινήσεως δύο εἴδη, πλή-
θει μὲν ἄπειρον ἑκάτερον, δύναμιν δὲ τὸ μὲν ποιεῖν
ἔχον, τὸ δὲ πάσχειν. ἐκ δὲ τῆς τούτων ὁμιλίας τε
καὶ τρίψεως πρὸς ἄλληλα, γίγνεται ἔκγονα, πλήθει
μὲν ἄπειρα, δίδυμα δέ· τὸ μὲν αἰσθητόν, τὸ δὲ
αἴσθησις, ἀεὶ ξυνεκπίπτουσα καὶ γεννωμένη μετὰ
τοῦ αἰσθητοῦ. αἱ μὲν οὖν αἰσθήσεις τὰ τοιάδε ἡμῖν
ἔχουσιν ὀνόματα, ὄψεις τε καὶ ἀκοαί, καὶ ὀσφρή-
σεις, καὶ ψύξεις τε καὶ καύσεις, καὶ ἡδοναί γε δὴ
καὶ λῦπαι, καὶ ἐπιθυμίαι καὶ φόβοι κεκλημέναι·
καὶ ἄλλαι, ἀπέραντοι μὲν αἱ ἀνώνυμοι, παμπληθεῖς
δὲ αἱ ὠνομασμέναι. τὸ δ' αὖ αἰσθητὸν γένος τού-
των ἑκάσταις ὁμόγονον· ὄψεσι μὲν παντοδαπαῖς χρώ-

ματα παντοδαπά, ἀκοαῖς δὲ ὡσαύτως φωναί, καὶ
ταῖς ἄλλαις αἰσθήσεσι τὰ ἄλλα αἰσθητὰ ξυγγενῆ γι-
γνόμενα. τί δὴ οὖν ἡμῖν βούλεται οὗτος ὁ μῦθος, ὦ
Θεαίτητε, πρὸς τὰ πρότερα; ἆρα ἐννοεῖς; ΘΕΑΙ.
Οὐ πάνυ, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' ἄθρει ἐάν πως
ἀποτελεσθῇ. βούλεται γὰρ δὴ λέγειν ὡς ταῦτα πάν-
τα μὲν ὥσπερ λέγομεν, κινεῖται· τάχος δὲ καὶ βρα-
δυτὴς ἔνι τῇ κινήσει αὐτῶν. ὅσον μὲν οὖν βραδύ, ἐν
τῷ αὐτῷ καὶ πρὸς τὰ πλησιάζοντα τὴν κίνησιν ἴσχει,
καὶ οὕτω δὴ γεννᾷ· τὰ δὲ γεννώμενα οὕτω δή, βρα-
δύτερα ἐστίν· ὅσον δὲ αὖ ταχύ, πρὸς τὰ πόρρωθεν
τὴν κίνησιν ἴσχει καὶ οὕτω γεννᾷ· τὰ δὲ γεννώμενα
οὕτω δή, θάττω ἐστί. φέρεται γὰρ καὶ ἐν φορᾷ αὐ-
τῶν ἡ κίνησις πέφυκεν. ἐπειδὰν οὖν ὄμμα καὶ ἄλλο
τι τῶν τούτῳ ξυμμέτρων πλησιάσαν γεννήσῃ τὴν λευ-
κότητά τε καὶ αἴσθησιν αὐτῇ ξύμφυτον, ἃ οὐκ ἄν
ποτε ἐγένετο, ἑκατέρου ἐκείνων πρὸς ἄλλο ἐλθόντος,
τότε δὴ μεταξὺ φερομένων, τῆς μὲν ὄψεως πρὸς τῶν
ὀφθαλμῶν, τῆς δὲ λευκότητος πρὸς τοῦ ξυναπο-
τίκτοντος τὸ χρῶμα, ὁ μὲν ὀφθαλμὸς ἄρα ὄψεως ἔμ-
πλεως ἐγένετο, καὶ ὁρᾷ δὴ τότε, καὶ ἐγένετο οὔτι
ὄψις, ἀλλὰ ὀφθαλμὸς ὁρῶν· τὸ δὲ ξυγγεννῆσαν τὸ
χρῶμα, λευκότητος περιεπλήσθη, καὶ ἐγένετο οὐ
λευκότης αὖ, ἀλλὰ λευκόν, εἴτε ξύλον, εἴτε λίθος,
εἴτε ὁτιοῦν ξυνέβη χρῶμα χρωσθῆναι τῷ τοιούτῳ
χρώματι. καὶ τἆλλα δὴ οὕτω, σκληρὸν καὶ θερμὸν
καὶ πάντα τὸν αὐτὸν τρόπον ὑποληπτέον, αὐτὸ μὲν
καθ' αὑτὸ μηδὲν εἶναι· (ὃ δὴ καὶ τότε ἐλέγομεν·) ἐν

δὲ τῇ πρὸς ἄλληλα ὁμιλίᾳ, πάντα γίγνεσθαι καὶ
παντοῖα, ἀπὸ τῆς κινήσεως· ἐπεὶ καὶ τὸ ποιοῦν εἶναί
τι καὶ τὸ πάσχον αὖ τι, ἐπὶ ἑνὸς νοῆσαι, ὥς φασιν,
οὐκ εἶναι παγίως. οὔτε γὰρ ποιοῦν ἐστί τι, πρὶν ἂν
τῷ πάσχοντι ξυνέλθῃ, οὔτε πάσχον, πρὶν ἂν τῷ
ποιοῦντι· τό, τε τινὶ ξυνελθὸν καὶ ποιοῦν, ἄλλῳ αὖ
προσπεσὸν, πάσχον ἀνεφάνη. ὥστε ἐξ ἁπάντων τού-
των, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, οὐδὲν εἶναι ἓν αὐτὸ
καθ᾽ αὑτό, ἀλλά τινι αἰεὶ γίγνεσθαι. τὸ δ᾽ εἶναι
πανταχόθεν ἐξαιρετέον· οὐχ ὅτι ἡμεῖς πολλὰ καὶ
ἄρτι ἠναγκάσμεθα ὑπὸ ξυνηθείας καὶ ἀνεπιστημο-
σύνης χρῆσθαι αὐτῷ· τὸ δ᾽ οὐ δεῖ, ὡς ὁ τῶν σοφῶν
λόγος, οὔτε τι ξυγχωρεῖν, οὔτε του, οὔτ᾽ ἐμοῦ, οὔτε
τόδε, οὔτ᾽ ἐκεῖνο, οὔτε ἄλλο οὐδὲν ὄνομα ὅ, τι ἂν
ἱστῇ, ἀλλὰ κατὰ φύσιν φθέγγεσθαι γιγνόμενα καὶ
ποιούμενα, καὶ ἀπολλύμενα καὶ ἀλλοιούμενα· ὡς ἐάν
τί τις στήσῃ τῷ λόγῳ, εὐέλεγκτος ὁ τοῦτο ποιῶν. δεῖ
δὲ καὶ κατὰ μέρος οὕτω λέγειν, καὶ περὶ πολλῶν
ἀθροισθέντων· ᾧ δὴ ἀθροίσματι ἄνθρωπόν τε τίθεν-
ται καὶ λίθον, καὶ ἕκαστον ζῷόν τε καὶ εἶδος. ταῦ-
τα δή, ὦ Θεαίτητε, ἆρ᾽ ἡδέα δοκεῖ σοι εἶναι, καὶ
γεύοιο ἂν αὐτῶν ὡς ἀρεσκόντων; ΘΕΑΙ. Οὐκ οἶδα
ἔγωγε, ὦ Σώκρατες· καὶ γὰρ οὐδὲ περὶ σοῦ δύνα-
μαι κατανοῆσαι, πότερον δοκοῦντά σοι λέγεις αὐτά,
ἢ ἐμοῦ ἀποπειρᾷ. ΣΩ. Οὐ μνημονεύεις, ὦ φίλε,
ὅτι ἐγὼ μὲν οὔτ᾽ οἶδα, οὔτε ποιοῦμαι τῶν τοιούτων
οὐδὲν ἐμόν, ἀλλ᾽ εἰμὶ αὐτῶν ἄγονος; σὲ δὲ μαιεύο-
μαι, καὶ τούτου ἕνεκα ἐπᾴδω τε καὶ παρατίθημι

ἕκαστον τῶν σοφῶν ἀπογεύεσθαι, ἕως ἂν εἰς φῶς
τὸ σὸν δόγμα ξυνεξαγάγω· ἐξαχθέντος δέ, τότ' ἤδη
σκέψομαι, εἴτ' ἀνεμιαῖον εἴτε γόνιμον ἀναφανήσε-
ται. ἀλλὰ θαῤῥῶν καὶ καρτερῶν, εὖ καὶ ἀνδρείως
ἀποκρίνου, ἃ ἂν φαίνηταί σοι περὶ ὧν ἐρωτῶ. ΘΕΑΙ.
Ἐρώτα δή. XIII. ΣΩ. Λέγε τοίνυν πάλιν, εἴ σοι ἀρέ-
σκει τὸ μή τι εἶναι, ἀλλὰ γίγνεσθαι ἀεὶ ἀγαθὸν καὶ
καλὸν καὶ πάντα, ἃ ἄρτι διῇμεν. ΘΕΑΙ. Ἀλλ' ἔμοιγε
ἐπειδὴ σοῦ ἀκούω οὕτως διεξιόντος, θαυμασίως φαί-
νεται ὡς ἔχειν λόγον, καὶ ὑποληπτέον ᾗπερ διελήλυ-
θας. ΣΩ. Μὴ τοίνυν ἀπολίπωμεν ὅσον ἐλλεῖπον
αὐτοῦ. λείπεται δέ, ἐνυπνίων τε πέρι καὶ νόσων τῶν
τε ἄλλων καὶ μανίας, ὅσα τε παρακούειν, ἢ παρο-
ρᾶν, ἤ ἄλλο τι παραισθάνεσθαι λέγεται. οἶσθα γάρ
που ὅτι ἐν πᾶσι τούτοις ὁμολογουμένως ἐλέγχεσθαι
δοκεῖ ὃν ἄρτι διῇμεν λόγον· ὡς παντὸς μᾶλλον ἡμῖν
ψευδεῖς αἰσθήσεις ἐν αὐτοῖς γιγνομένας· καὶ πολ-
λοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ, ταῦτα καὶ εἶναι, ἀλλὰ
πᾶν τοὐναντίον οὐδὲν ὧν φαίνεται εἶναι. ΘΕΑΙ.
Ἀληθέστατα λέγεις, ὦ Σώκρατες. ΣΩ. Τίς δὴ οὖν,
ὦ παῖ, λείπεται λόγος τῷ τὴν αἴσθησιν ἐπιστήμην
τιθεμένῳ, καὶ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶ-
ναι τούτῳ, ᾧ φαίνεται; ΘΕΑΙ. Ἐγὼ μέν, ὦ Σώ-
κρατες, ὀκνῶ εἰπεῖν ὅτι οὐκ ἔχω τί λέγω, διότι μοι
νῦν δὴ ἐπέπληξας εἰπόντι αὐτό. ἐπεὶ ὡς ἀληθῶς γε
οὐκ ἂν δυναίμην ἀμφισβητῆσαι, ὡς οἱ μαινόμενοι, ἢ
οἱ ὀνειρώττοντες, οὐ ψευδῆ δοξάζουσιν· ὅταν οἱ μὲν
θεοὶ αὐτῶν οἴωνται εἶναι, οἱ δὲ πτηνοί τε καὶ

ὡς πετόμενοι ἐν τῷ ὕπνῳ διανοοῦνται. ΣΩ. Ἆρ' οὖν οὐδὲ τὸ τοιόνδε ἀμφιςβήτημα ἐννοεῖς περὶ αὐτῶν, μάλιστα δὲ περὶ τοῦ ὄναρ τε καὶ ὕπαρ; ΘΕΑΙ. Τὸ ποῖον; ΣΩ. Ὃ πολλάκις σε οἶμαι ἀκηκοέναι ἐρωτώντων, τί ἄν τις ἔχοι τεκμήριον ἀποδεῖξαι, εἴ τις ἔροιτο νῦν οὕτως ἐν τῷ παρόντι, πότερον καθεύδομεν, καὶ πάντα ἃ διανοούμεθα, ὀνειρώττομεν· ἢ ἐγρηγόραμέν τε καὶ ὕπαρ ἀλλήλοις διαλεγόμεθα. ΘΕΑΙ. Καὶ μήν, ὦ Σώκρατες, ἄπορόν γε ὅτῳ χρὴ ἐπιδεῖξαι τεκμηρίῳ. πάντα γὰρ ὥςπερ ἀντίστροφα τὰ αὐτὰ παρακολουθεῖ· ἅ, τε γὰρ νυνὶ διειλέγμεθα, οὐδὲν κωλύει καὶ ἐν τῷ ἐνυπνίῳ δοκεῖν ἀλλήλοις διαλέγεσθαι· καὶ ὅταν δὴ ὄναρ [ὀνείρατα] δοκῶμεν διηγεῖσθαι, ἄτοπος ἡ ὁμοιότης τούτων ἐκείνοις. ΣΩ. Ὁρᾷς οὖν ὅτι τό γε ἀμφισβητῆσαι οὐ χαλεπόν, ὅτε καὶ, πότερόν ἐστιν ὕπαρ ἢ ὄναρ, ἀμφιςβητεῖται· καὶ δὴ ἴσου ὄντος τοῦ χρόνου, ὃν καθεύδομεν, ᾧ ἐγρηγόραμεν, ἐν ἑκατέρῳ διαμάχεται ἡμῶν ἡ ψυχή, τὰ ἀεὶ παρόντα δόγματα παντὸς μᾶλλον εἶναι ἀληθῆ. ὥστε ἴσον μὲν χρόνον τάδε φαμὲν ὄντα εἶναι, ἴσον δὲ ἐκεῖνα, καὶ ὁμοίως ἐφ' ἑκατέροις διισχυριζόμεθα. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Οὐκοῦν καὶ περὶ νόσων τε καὶ μανιῶν ὁ αὐτὸς λόγος, πλὴν τοῦ χρόνου, ὅτι οὐχὶ ἴσος. ΘΕΑΙ. Ὀρθῶς. ΣΩ. Τί οὖν; πλήθει χρόνου καὶ ὀλιγότητι τὸ ἀληθὲς ὁρισθήσεται; ΘΕΑΙ. Γελοῖον μέντ' ἂν εἴη πολλαχῇ. ΣΩ. Ἀλλά τι ἄλλο ἔχεις σαφὲς ἐνδείξασθαι, ὁποῖα τούτων τῶν δοξασμάτων ἀληθῆ; ΘΕΑΙ. Οὔ μοι δοκῶ.

XIV. ΣΩ. Ἐμοῦ τοίνυν ἄκουε οἷα περὶ αὐτῶν ἂν λέγοιεν οἱ τὰ ἀεὶ δοκοῦντα ὁριζόμενοι τῷ δοκοῦντι εἶναι ἀληθῆ. λέγουσι δέ, ὡς ἐγὼ οἶμαι, οὕτως ἐρωτῶντες· Ὦ Θεαίτητε, ὃ ἂν ἕτερον ᾖ παντάπασι, μή πῄ τινα δύναμιν τὴν αὐτὴν ἕξει τῷ ἑτέρῳ; καὶ μὴ ὑπολάβωμεν τῇ μὲν ταὐτὸν εἶναι ὃ ἐρωτῶμεν, τῇ δὲ ἕτερον, ἀλλ᾽ ὅλως ἕτερον; ΘΕΑΙ. Ἀδύνατον τοίνυν ταὐτόν τι ἔχειν, ἢ ἐν δυνάμει, ἢ ἐν ἄλλῳ ὁτῳοῦν, ὅταν ᾖ κομιδῇ ἕτερον. ΣΩ. Ἆρ᾽ οὖν οὐ καὶ ἀνόμοιον ἀναγκαῖον τὸ τοιοῦτον ὁμολογεῖν; ΘΕΑΙ. Ἔμοιγε δοκεῖ. ΣΩ. Εἰ ἄρα τι ξυμβαίνει ὅμοιόν τῳ γίγνεσθαι ἢ ἀνόμοιον, εἴτε ἑαυτῷ, εἴτε ἄλλῳ, ὁμοιούμενον μὲν ταὐτὸν φήσομεν γίγνεσθαι, ἀνομοιούμενον δὲ ἕτερον; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Οὐκοῦν πρόσθεν ἐλέγομεν ὡς πολλὰ μὲν εἴη τὰ ποιοῦντα καὶ ἄπειρα, ὡσαύτως δέ γε καὶ τὰ πάσχοντα; ΘΕΑΙ. Ναί. ΣΩ. Καὶ μὴν ὅτι γε ἄλλο ἄλλῳ ξυμμιγνύμενον καὶ ἄλλῳ οὐ ταὐτὰ ἀλλ᾽ ἕτερα γεννήσει; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Λέγομεν δὴ ἐμέ τε καὶ σὲ καὶ τἆλλ᾽ ἤδη κατὰ τὸν αὐτὸν λόγον; Σωκράτη ὑγιαίνοντα καὶ Σωκράτη αὖ ἀσθενοῦντα, πότερον ὅμοιον τοῦτ᾽ ἐκείνῳ ἢ ἀνόμοιον φήσομεν; ΘΕΑΙ. Ἆρα τὸν ἀσθενοῦντα Σωκράτη, ὅλον τοῦτο λέγεις ὅλῳ ἐκείνῳ, τῷ ὑγιαίνοντι Σωκράτει; ΣΩ. Κάλλιστα ὑπέλαβες· αὐτὸ τοῦτο λέγω. ΘΕΑΙ. Ἀνόμοιον δή που. ΣΩ. Καὶ ἕτερον ἄρα οὕτως ὥσπερ ἀνόμοιον; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Καὶ καθεύδοντα δή, καὶ πάντα ἃ νῦν διήλθομεν, ὡσαύτως φήσεις; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Ἑκα-

στον δὴ τῶν πεφυκότων τι ποιεῖν ἄλλο τι, ὅταν μὲν λάβῃ ὑγιαίνοντα Σωκράτη, ὡς ἑτέρῳ μοι χρήσεται, ὅταν δὲ ἀσθενοῦντα, ὡς ἑτέρῳ; ΘΕΑΙ. Τί δ' οὐ μέλλει; ΣΩ. Καὶ ἕτερα δὴ ἐφ' ἑκατέρου γεννήσομεν, ἐγώ τε ὁ πάσχων, καὶ ἐκεῖνο τὸ ποιοῦν; ΘΕΑΙ. Τί μήν; ΣΩ. Ὅταν δὴ οἶνον πίνω ὑγιαίνων, ἡδύς μοι φαίνεται καὶ γλυκύς; ΘΕΑΙ. Ναί. ΣΩ. Ἐγέννησε γὰρ δή, ἐκ τῶν προωμολογημένων, τό, τε ποιοῦν καὶ τὸ πάσχον γλυκύτητά τε καὶ αἴσθησιν, ἅμα φερόμενα ἀμφότερα· καὶ ἡ μὲν αἴσθησις πρὸς τοῦ πάσχοντος οὖσα, αἰσθανομένην τὴν γλῶσσαν ἀπειργάσατο, ἡ δὲ γλυκύτης πρὸς τοῦ οἴνου περὶ αὐτὸν φερομένη, γλυκὺν τὸν οἶνον τῇ ὑγιαινούσῃ γλώττῃ ἐποίησε καὶ εἶναι καὶ φαίνεσθαι. ΘΕΑΙ. Πάνυ μὲν οὖν τὰ πρότερα ἡμῖν οὕτως ὡμολόγητο. ΣΩ. Ὅταν δὲ ἀσθενοῦντα, ἄλλο τι ἢ πρῶτον μὲν τῇ ἀληθείᾳ οὐ τὸν αὐτὸν ἔλαβεν; ἀνομοίῳ γὰρ δὴ προσῆλθε. ΘΕΑΙ. Ναί. ΣΩ. Ἕτερα δὴ αὖ ἐγεννησάμεν ὅ, τε τοιοῦτος Σωκράτης καὶ ἡ τοῦ οἴνου πόσις, περὶ μὲν τὴν γλῶτταν, αἴσθησιν πικρότητος, περὶ δὲ τὸν οἶνον, γιγνομένην καὶ φερομένην πικρότητα· καὶ τὸν μέν, οὐ πικρότητα, ἀλλὰ πικρόν, ἐμὲ δέ, οὐκ αἴσθησιν, ἀλλ' αἰσθανόμενον; ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΣΩ. Οὐκοῦν ἐγώ τε οὐδὲν ἄλλο ποτὲ γενήσομαι, οὕτως αἰσθανόμενος; τοῦ γὰρ ἄλλου ἄλλη αἴσθησις, καὶ ἀλλοῖον καὶ ἄλλο ποιεῖ τὸν αἰσθανόμενον· οὔτ' ἐκεῖνο τὸ ποιοῦν ἐμέ, μήποτ' ἄλλῳ ξυνελθόν, ταὐτὸν γεννῆσαν, τοιοῦτον γένηται; ἀπὸ γὰρ ἄλλου ἄλλο γεννῆ-

σαν, ἀλλοῖον γενήσεται. ΘΕΑΙ. Ἔστι ταῦτα. ΣΩ. Οὐδὲ μὴν ἔγωγε ἐμαυτῷ τοιοῦτος, ἐκεῖνό τε ἑαυτῷ τοιοῦτον γενήσεται; ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Ἀνάγκη δέ γε ἐμέ τε τινὸς γίγνεσθαι, ὅταν αἰσθανόμενος γίγνωμαι· αἰσθανόμενον γάρ, μηδενὸς δὲ αἰσθανόμενον, ἀδύνατον γίγνεσθαι· ἐκεῖνό τε τινὶ γίγνεσθαι, ὅταν γλυκὺ ἢ πικρὸν ἤ τι τοιοῦτον γίγνηται· γλυκὺ γάρ, μηδενὶ δὲ γλυκύ, ἀδύνατον γίγνεσθαι. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Λείπεται δή, οἶμαι, ἡμῖν ἀλλήλοις, εἴτ᾽ ἐσμέν, εἶναι, εἴτε γιγνόμεθα, γίγνεσθαι, ἐπείπερ ἡμῶν ἡ ἀνάγκη τὴν οὐσίαν ξυνδεῖ μέν, ξυνδεῖ δὲ οὐδενὶ τῶν ἄλλων, οὐδ᾽ αὖ ἡμῖν αὐτοῖς· ἀλλήλοις δὴ λείπεται ξυνδεδέσθαι. ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι, ἢ τινός, ἢ πρός τι, ῥητέον αὐτῷ, εἴτε γίγνεσθαι· αὐτὸ δὲ ἐφ᾽ αὑτοῦ τὶ ἢ ὂν ἢ γιγνόμενον, οὔτε αὐτῷ λεκτέον, οὔτ᾽ ἄλλου λέγοντος ἀποδεκτέον, ὡς ὁ λόγος ὃν διεληλύθαμεν σημαίνει. ΘΕΑΙ. Παντάπασι μὲν οὖν, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν ὅτε δὴ τὸ ἐμὲ ποιοῦν, ἐμοί ἐστι καὶ οὐκ ἄλλῳ, ἐγὼ καὶ αἰσθάνομαι αὐτοῦ, ἄλλος δ᾽ οὔ; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΣΩ. Ἀληθὴς ἄρα ἐμοὶ ἡ ἐμὴ αἴσθησις· τῆς γὰρ ἐμῆς οὐσίας αἰεί ἐστι· καὶ ἐγὼ κριτής, κατὰ τὸν Πρωταγόραν, τῶν τε ὄντων ἐμοί, ὡς ἔστι, καὶ τῶν μὴ ὄντων, ὡς οὐκ ἔστι. ΘΕΑΙ. Ἔοικε. XV. ΣΩ. Πῶς οὖν, ἀψευδὴς ὢν καὶ μὴ πταίων τῇ διανοίᾳ περὶ τὰ ὄντα ἢ γιγνόμενα, οὐκ ἐπιστήμων ἂν εἴην ὧνπερ αἰσθητής; ΘΕΑΙ. Οὐδαμῶς ὅπως οὔ. ΣΩ. Παγκάλως ἄρα σοι εἴρηται, ὅτι

ἐπιστήμη οὐκ ἄλλο τι ἐστὶν ἢ αἴσθησις, καὶ εἰς ταὐ-
τὸν ξυμπέπτωκε, κατὰ μὲν Ὅμηρον καὶ Ἡράκλειτον
καὶ πᾶν τὸ τοιοῦτον φῦλον, οἷον ῥεύματα κινεῖσθαι
τὰ πάντα, κατὰ δὲ Πρωταγόραν τὸν σοφώτατον,
πάντων χρημάτων μέτρον ἄνθρωπον εἶναι; κατὰ δὲ
Θεαίτητον, τούτων οὕτως ἐχόντων, αἴσθησιν ἐπι-
στήμην γίγνεσθαι. ἦ γάρ, ὦ Θεαίτητε, φῶμεν τοῦτο
σὸν μὲν εἶναι οἷον νεογενὲς παιδίον, ἐμὸν δὲ μαίευ-
μα; ἢ πῶς λέγεις; ΘΕΑΙ. Οὕτως ἀνάγκη, ὦ Σώ-
κρατες. ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, μόλις ποτὲ
ἐγεννήσαμεν, ὅ, τι δή ποτε καὶ τυγχάνει ὄν. μετὰ δὲ
τὸν τόκον, τὰ ἀμφιδρόμια αὐτοῦ ὡς ἀληθῶς ἐν κύκλῳ
περιθρεκτέον τῷ λόγῳ, σκοπουμένους μὴ λάθῃ ἡμᾶς
οὐκ ἄξιον ὂν τροφῆς τὸ γιγνόμενον, ἀλλὰ ἀνεμιαῖόν
τε καὶ ψεῦδος. ἢ σὺ οἴει πάντως δεῖν τό γε σὸν τρέ-
φειν, καὶ μὴ ἐπιτιθέναι; ἢ καὶ ἀνέξῃ ἐλεγχόμενον
ὁρῶν, καὶ οὐ σφόδρα χαλεπανεῖς, ἐάν τις σοῦ ὡς
πρωτοτόκου αὐτὸ ὑφαιρῇ; ΘΕΟ. Ἀνέξεται, ὦ Σώ-
κρατες, Θεαίτητος· οὐδαμῶς γὰρ δύσκολος. ἀλλὰ
πρὸς θεῶν εἰπέ, εἰ αὖ οὐχ οὕτως ἔχει. ΣΩ. Φιλό-
λογός γ' εἶ ἀτεχνῶς καὶ χρηστός, ὦ Θεόδωρε, ὅτι με
οἴει λόγων τινὰ εἶναι θύλακον, καὶ ῥᾳδίως ἐξελόντα
ἐρεῖν ὡς οὐκ αὖ ἔχει οὕτω ταῦτα· τὸ δὲ γιγνόμενον
οὐκ ἐννοεῖς, ὅτι οὐδεὶς τῶν λόγων ἐξέρχεται παρ'
ἐμοῦ, ἀλλ' αἰεὶ παρὰ τοῦ ἐμοὶ προσδιαλεγομένου,
ἐγὼ δὲ οὐδὲν ἐπίσταμαι πλέον πλὴν βραχέος, ὅσον
λόγον παρ' ἑτέρου σοφοῦ λαβεῖν καὶ ἀποδέξασθαι
μετρίως. καὶ νῦν τοῦτο παρὰ τοῦδε πειράσομαι, οὔτι

αὐτὸς εἰπεῖν. ΘΕΟ. Σὺ κάλλιον, ὦ Σώκρατες, λέγεις· καὶ ποίει οὕτω. ΣΩ. Οἶσθ' οὖν, ὦ Θεόδωρε, ὃ θαυμάζω τοῦ ἑταίρου σου Πρωταγόρου; XVI. ΘΕΟ. Τὸ ποῖον; ΣΩ. Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ ἔστι· τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς ἀληθείας, ὅτι πάντων χρημάτων μέτρον ἐστὶν ὗς, ἢ κυνοκέφαλος, ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν· ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν, ἐνδεικνύμενος ὅτι ἡμεῖς μὲν αὐτὸν ὥσπερ θεὸν ἐθαυμάζομεν ἐπὶ σοφίᾳ, ὁ δ' ἄρα ἐτύγχανεν ὢν εἰς φρόνησιν οὐδὲν βελτίων βατράχου γυρίνου, μὴ ὅτι ἄλλου του ἀνθρώπων· ἢ πῶς λέγομεν, ὦ Θεόδωρε; εἰ γὰρ δὴ ἑκάστῳ ἀληθὲς ἔσται, ὃ ἂν δι' αἰσθήσεως δοξάζῃ, καὶ μήτε τὸ ἄλλου πάθος ἄλλος βέλτιον διακρινεῖ, μήτε τὴν δόξαν κυριώτερος ἔσται ἐπισκέψασθαι ἕτερος τὴν ἑτέρου, ὀρθὴ ἢ ψευδής, ἀλλά, ὃ πολλάκις εἴρηται, αὐτὸς τὰ αὑτοῦ ἕκαστος μόνον δοξάσει, ταῦτα δὲ πάντα, ὀρθὰ καὶ ἀληθῆ, τί δή ποτε, ὦ ἑταῖρε, Πρωταγόρας μὲν σοφός, ὥστε καὶ ἄλλων διδάσκαλος ἀξιοῦσθαι δικαίως μετὰ μεγάλων μισθῶν, ἡμεῖς δὲ ἀμαθέστεροί τε, καὶ φοιτητέον ἡμῖν ἦν παρ' ἐκεῖνον, μέτρῳ ὄντι αὐτῷ ἑκάστῳ τῆς αὑτοῦ σοφίας; καὶ ταῦτα πῶς μὴ φῶμεν δημούμενον λέγειν τὸν Πρωταγόραν; τὸ δὲ δὴ ἐμόν τε καὶ τῆς ἐμῆς τέχνης τῆς μαιευτικῆς σιγῶ, ὅσον γέλωτα ὀφλισκάνομεν· οἶμαι δὲ καὶ ξύμπασα ἡ τοῦ διαλέγεσθαι πραγματεία. τὸ

γὰρ ἐπισκοπεῖν καὶ ἐπιχειρεῖν ἐλέγχειν τὰς ἀλλήλων φαντασίας τε καὶ δόξας ὀρθὰς ἑκάστου οὔσας, οὐ μακρὰ μὲν καὶ διωλύγιος φλυαρία, εἰ ἀληθὴς ἡ ἀλήθεια Πρωταγόρου, ἀλλὰ μὴ παίζουσα ἐκ τοῦ ἀδύτου τῆς βίβλου ἐφθέγξατο; ΘΕΟ. Ὦ Σώκρατες, φίλος ἀνήρ, ὥσπερ σὺ νῦν δὴ εἶπες· οὐκ ἂν οὖν δεξαίμην δι' ἐμοῦ ὁμολογοῦντος ἐλέγχεσθαι Πρωταγόραν, οὐδ' αὖ σοι παρὰ δόξαν ἀντιτείνειν. τὸν οὖν Θεαίτητον πάλιν λάβε πάντως· καὶ δὴ νῦν μάλ' ἐμμελῶς σοι ἐφαίνετο ὑπακούειν. ΣΩ. Ἆρα κἂν εἰς Λακεδαίμονα ἐλθών, ὦ Θεόδωρε, πρὸς τὰς παλαίστρας, ἀξιοῖς ἂν, ἄλλους θεώμενος γυμνούς, ἐνίους φαύλους, αὐτὸς μὴ ἀντεπιδεικνῦναι τὸ εἶδος παραποδυόμενος; ΘΕΟ. Ἀλλὰ τί μὴν δοκεῖς, εἴπερ μέλλοιέν μοι ἐπιτρέψειν καὶ πείσεσθαι; ὥσπερ νῦν οἶμαι ὑμᾶς πείσειν, ἐμὲ μὲν ἐᾶν θεᾶσθαι, καὶ μὴ ἕλκειν πρὸς τὸ γυμνάσιον, σκληρὸν ἤδη ὄντα, τῷ δὲ δὴ νεωτέρῳ τε καὶ ὑγροτέρῳ ὄντι προσπαλαίειν. ΣΩ. Ἀλλ' εἰ οὕτως, ὦ Θεόδωρε, σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν, φασὶν οἱ παροιμιαζόμενοι. πάλιν δὴ οὖν ἐπὶ τὸν σοφὸν Θεαίτητον ἰτέον. XVII. Λέγε δή, ὦ Θεαίτητε, πρῶτον μὲν ἃ νῦν δὴ διήλθομεν, ἆρα οὐ ξυνθαυμάζεις εἰ ἐξαίφνης οὕτως ἀναφανήσῃ μηδὲν χείρων εἰς σοφίαν ὁτουοῦν ἀνθρώπων, ἢ καὶ θεῶν; ἢ ἧττόν τι οἴει τὸ Πρωταγόρειον μέτρον εἰς θεοὺς ἢ εἰς ἀνθρώπους λέγεσθαι; ΘΕΑΙ. Μὰ Δί' οὐκ ἔγωγε· καὶ ὅπερ γε ἐρωτᾷς, πάνυ θαυμάζω. ἡνίκα γὰρ διῇμεν ὃν τρόπον λέγοιεν, τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ εἶναι τῷ δοκοῦντι, πάνυ

μοι εὖ ἐφαίνετο λέγεσθαι· νῦν δὲ αὖ τοὐναντίον ταχὺ μεταπέπτωκε. ΣΩ. Νέος γὰρ εἶ, ὦ φίλε παῖ· τῆς οὖν δημηγορίας ὀξέως ὑπακούεις, καὶ πείθῃ. πρὸς γὰρ ταῦτα ἐρεῖ Πρωταγόρας, ἤ τις ἄλλος ὑπὲρ αὐτοῦ· Ὦ γενναῖοι παῖδές τε καὶ γέροντες, δημηγορεῖτε ξυγκαθεζόμενοι, θεούς τε εἰς τὸ μέσον ἄγοντες, οὓς ἐγὼ ἔκ τε τοῦ λέγειν καὶ τοῦ γράφειν περὶ αὐτῶν, ὡς εἰσὶν ἢ ὡς οὐκ εἰσίν, ἐξαιρῶ, καὶ ἃ ἂν οἱ πολλοὶ ἀποδέχοιντο ἀκούοντες, λέγετε ταῦτα, ὡς δεινὸν εἰ μηδὲν διοίσει εἰς σοφίαν ἕκαστος τῶν ἀνθρώπων βοσκήματος ὁτουοῦν· ἀπόδειξιν δὲ καὶ ἀνάγκην οὐδ' ἡντινοῦν λέγετε, ἀλλὰ τῷ εἰκότι χρῆσθε· ᾧ εἰ ἐθέλοι Θεόδωρος ἢ ἄλλος τις τῶν γεωμετρῶν χρώμενος γεωμετρεῖν, ἄξιος οὐδ' ἑνὸς μόνου ἂν εἴη. σκοπεῖτε οὖν σύ τε καὶ Θεόδωρος εἰ ἀποδέξεσθε πιθανολογίᾳ τε καὶ εἰκόσι περὶ τηλικούτων λεγομένους λόγους. ΘΕΑΙ. Ἀλλ' οὐ δίκαιον, ὦ Σώκρατες, οὔτε σὺ οὔτε ἂν ἡμεῖς φαῖμεν. ΣΩ. Ἀλλ' ἤδη σκεπτέον, ὡς ἔοικεν, ἄλλῃ, ὡς ὅ, τε σὸς λόγος καὶ ὁ Θεοδώρου. ΘΕΑΙ. Πάνυ μὲν οὖν ἄλλῃ. ΣΩ. Τῇδε δὴ σκοπῶμεν, εἰ ἄρα ἐστὶν ἐπιστήμη τε καὶ αἴσθησις ταὐτὸν ἢ ἕτερον· εἰς γὰρ τοῦτό που πᾶς ὁ λόγος ἡμῖν ἔτεινε, καὶ τούτου χάριν τὰ πολλὰ καὶ ἄτοπα ταῦτα ἐκινήσαμεν· οὐ γάρ; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἦ οὖν ὁμολογήσομεν, ἃ τῷ ὁρᾶν αἰσθανόμεθα, ἢ τῷ ἀκούειν, πάντα ταῦτα ἅμα καὶ ἐπίστασθαι; οἷον, τῶν βαρβάρων πρὶν μαθεῖν τὴν φωνήν, πότερον οὐ φήσομεν ἀκούειν, ὅταν

φθέγγωνται, ἢ ἀκούειν τε καὶ ἐπίστασθαι ἃ λέγουσι; καὶ αὖ γράμματα μὴ ἐπιστάμενοι, βλέποντες εἰς αὐτά, πότερον οὐχ ὁρᾷν, ἢ ἐπίστασθαι, εἴπερ ὁρῶμεν, διϊσχυριούμεθα; ΘΕΑΙ. Αὐτό γε, ὦ Σώκρατες, τοῦτο αὐτῶν, ὅπερ ὁρῶμέν τε καὶ ἀκούομεν, ἐπίστασθαι φήσομεν· τῶν μὲν γὰρ τὸ σχῆμά τε καὶ τὸ χρῶμα ὁρᾷν τε καὶ ἐπίστασθαι, τῶν δὲ τὴν ὀξύτητα καὶ βαρύτητα ἀκούειν τε ἅμα καὶ εἰδέναι· ἃ δὲ οἵ τε γραμματισταὶ περὶ αὐτῶν καὶ οἱ ἑρμηνεῖς διδάσκουσιν, οὔτε αἰσθάνεσθαι τῷ ὁρᾷν ἢ ἀκούειν, οὔτε ἐπίστασθαι. ΣΩ. Ἄριστά γε, ὦ Θεαίτητε. καὶ οὐκ ἄξιόν σοι πρὸς ταῦτα ἀμφισβητῆσαι, ἵνα καὶ αὐξάνῃ. XVIII. Ἀλλ' ὅρα δὴ καὶ τόδε ἄλλο προσιόν, καὶ σκόπει πῇ αὐτὸ διωσόμεθα. ΘΕΑΙ. Τὸ ποῖον δή; ΣΩ. Τὸ τοιόνδε· εἴ τις ἔροιτο, ἆρα δυνατόν, ὅτου τις ἐπιστήμων γένοιτό ποτε, ἔτι ἔχοντα μνήμην αὐτοῦ τούτου, καὶ σωζόμενον, τότε ὅτε μέμνηται μὴ ἐπίστασθαι αὐτὸ τοῦτο ὃ μέμνηται· μακρολογῶ δέ, ὡς ἔοικε, βουλόμενος ἐρέσθαι, εἰ μαθών τίς τι, μεμνημένος μὴ οἶδε. ΘΕΑΙ. Καὶ πῶς, ὦ Σώκρατες; τέρας γὰρ ἂν εἴη ὃ λέγεις. ΣΩ. Μὴ οὖν ἐγὼ ληρῶ; σκόπει δέ. ἆρα τὸ ὁρᾷν οὐκ αἰσθάνεσθαι λέγεις, καὶ τὴν ὄψιν αἴσθησιν; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Οὐκοῦν ὁ ἰδών τι, ἐπιστήμων ἐκείνου γέγονεν ὃ οἶδε, κατὰ τὸν ἄρτι λόγον; ΘΕΑΙ. Ναί. ΣΩ. Τί δαί; μνήμην οὐ λέγεις μέντοι τι; ΘΕΑΙ. Ναί. ΣΩ. Πότερον οὐδενὸς ἢ τινός; ΘΕΑΙ. Τινὸς δή που. ΣΩ. Οὐκοῦν, ὧν ἔμαθε καὶ ὧν ᾔσθετο, τοι-

οὑτωνί τινων; ΘΕ.ΑΙ Τί μήν; ΣΩ. ὃ δὴ εἶδέ τις, μέμνηταί που ἐνίοτε; ΘΕΑΙ. Μέμνηται. ΣΩ. Ἦ καὶ μύσας; ἢ τοῦτο δράσας ἐπελάθετο; ΘΕΑΙ. Ἀλλὰ δεινόν, ὦ Σώκρατες, τοῦτό γε φάναι. ΣΩ. Δεῖ γε μέντοι, εἰ σώσοιμεν τὸν πρόσθεν λόγον· εἰ δὲ μή, οἴχεται. ΘΕΑΙ. Καὶ ἐγὼ νὴ τὸν Δία ὑποπτεύω, οὐ μὴν ἱκανῶς γε ξυννοῶ· ἀλλ' εἰπὲ πῇ. ΣΩ. Τῇδε· ὁ μὲν ὁρῶν, ἐπιστήμων, φαμέν, τούτου γέγονεν οὗπερ ὁρᾷ· ὄψις γὰρ καὶ αἴσθησις καὶ ἐπιστήμη ταὐτὸν ὡμολόγηται. ΘΕΑΙ. Πάνυ γε. ΣΩ. Ὁ δέ γε ὁρῶν, καὶ ἐπιστήμων γεγονὼς οὗ ἑώρα, ἐὰν μύσῃ, μέμνηται μέν, οὐχ ὁρᾷ δὲ αὐτό· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δέ γε οὐχ ὁρᾷ, οὐκ ἐπίσταταί ἐστιν, εἴπερ καὶ τὸ ὁρᾷ, ἐπίσταται. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Ξυμβαίνει ἄρα, οὗ τις ἐπιστήμων ἐγένετο, ἔτι μεμνημένον αὐτὸν μὴ ἐπίστασθαι, ἐπειδὴ οὐχ ὁρᾷ, ὃ τέρας ἔφαμεν ἂν εἶναι εἰ γίγνοιτο. ΘΕΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Τῶν ἀδυνάτων δή τι ξυμβαίνειν φαίνεται, ἐάν τις ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν φῇ εἶναι. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Ἄλλο ἄρα ἑκάτερον φατέον. ΘΕΑΙ. Κινδυνεύει. ΣΩ. Τί οὖν δῆτ' ἂν εἴη ἐπιστήμη, πάλιν ἐξ ἀρχῆς, ὡς ἔοικε, λεκτέον. καίτοι τί ποτε μέλλομεν, ὦ Θεαίτητε, δρᾷν; ΘΕΑΙ. Τίνος πέρι; ΣΩ. Φαινόμεθά μοι, ἀλεκτρυόνος ἀγεννοῦς δίκην, πρὶν νενικηκέναι, ἀποπηδήσαντες ἀπὸ τοῦ λόγου ᾄδειν. ΘΕΑΙ. Πῶς δή; ΣΩ. Ἀντιλογικῶς ἐοίκαμεν πρὸς τὰς τῶν ὀνομάτων ὁμολογίας ἀνομολογησάμενοι, καὶ τοιούτῳ τινὶ περι-

γενόμενοι τοῦ λόγου, ἀγαπᾷν· καὶ οὐ φάσκοντες ἀγωνισταὶ ἀλλὰ σοφοὶ εἶναι, λανθάνομεν ταὐτὰ ἐκείνοις τοῖς δεινοῖς ἀνδράσι ποιοῦντες. ΘΕΑΙ. Οὔπω μανθάνω ὅπως λέγεις. ΣΩ. Ἀλλ᾽ ἐγὼ πειράσομαι δηλῶσαι περὶ αὐτῶν ὅ γε δὴ νοῶ. ἠρόμεθα γὰρ δή, εἰ μαθὼν καὶ μεμνημένος τίς τι, μὴ ἐπίσταται· καὶ τὸν ἰδόντα καὶ μύσαντα, μεμνημένον, ὁρῶντα δὲ οὔ, ἀποδείξαντες, οὐκ εἰδότα ἀπεδείξαμεν καὶ ἅμα μεμνημένον. τοῦτο δ᾽ εἶναι ἀδύνατον· καὶ οὕτω δὴ μῦθος ἀπώλετο ὁ Πρωταγόρειος, καὶ ὁ σὸς ἅμα ὁ τῆς ἐπιστήμης καὶ αἰσθήσεως, ὅτι ταὐτόν ἐστι. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Οὔτι ἂν οἶμαι, ὦ φίλε, εἴπερ γε ὁ πατὴρ τοῦ ἑτέρου μύθου ἔζη, ἀλλὰ πολλὰ ἂν ἤμυνε· νῦν δὲ ὀρφανὸν αὐτὸν ἡμεῖς προπηλακίζομεν. καὶ γὰρ οὐδ᾽ οἱ ἐπίτροποι, οὓς Πρωταγόρας κατέλιπε, βοηθεῖν ἐθέλουσιν· ὧν Θεόδωρος εἷς ὅδε· ἀλλὰ δὴ αὐτοὶ κινδυνεύσομεν τοῦ δικαίου ἕνεκ᾽ αὐτῷ βοηθεῖν. ΘΕΟ. Οὐ γὰρ ἐγώ, ὦ Σώκρατες· ἀλλὰ μᾶλλον Καλλίας ὁ Ἱππονίκου, τῶν ἐκείνου ἐπίτροπος· ἡμεῖς δέ πως θᾶττον ἐκ τῶν ψιλῶν λόγων πρὸς τὴν γεωμετρίαν ἀπενεύσαμεν. χάριν γε μέντοι σοὶ ἕξομεν, ἐὰν αὐτῷ βοηθῇς. ΣΩ. Καλῶς λέγεις, ὦ Θεόδωρε. σκέψαι οὖν τήν γ᾽ ἐμὴν βοήθειαν. τῶν γὰρ ἄρτι δεινότερα ἄν τις ὁμολογήσειε, μὴ προσέχων τοῖς ῥήμασι τὸν νοῦν, ᾗ τοπολὺ εἰθίσμεθα φάναι τε καὶ ἀπαρνεῖσθαι. σοὶ λέγω, ὅπῃ, ἢ Θεαιτήτῳ; ΘΕΟ. Εἰς τὸ κοινὸν μὲν οὖν· ἀποκρινέσθω δὲ ὁ νεώτερος·

σφαλεὶς γὰρ ἧττον ἀσχημονήσει. XIX. ΣΩ. Λέγω δὴ τὸ δεινότατον ἐρώτημα. ἔστι δὲ οἶμαι τοιόνδε τι· ἆρα οἷόν τε τὸν αὐτὸν εἰδότα τι, τοῦτο ὃ οἶδε μὴ εἰδέναι; ΘΕΟ. Τί δὴ οὖν ἀποκρινοίμεθα, ὦ Θεαίτητε; ΘΕΑΙ. Ἀδύνατόν που οἶμαι ἔγωγε. ΣΩ. Οὔκ, εἰ τὸ ὁρᾶν γε ἐπίστασθαι θήσεις. τί γὰρ χρήσῃ ἀφύκτῳ ἐρωτήματι, τὸ λεγόμενον, ἐν φρέατι συσχόμενος, ὅταν ἐρωτᾷ ἀνέκπληκτος ἀνήρ, καταλαβὼν τῇ χειρί σου τὸν ἕτερον ὀφθαλμόν, εἰ ὁρᾷς τὸ ἱμάτιον τῷ κατειλημμένῳ; ΘΕΑΙ. Οὐ φήσω οἶμαι τούτῳ γε, τῷ μέντοι ἑτέρῳ. ΣΩ. Οὐκοῦν ὁρᾷς τε καὶ οὐχ ὁρᾷς ἅμα ταὐτόν; ΘΕΑΙ. Οὕτω γέ πως. ΣΩ. Οὐδὲν ἐγώ, φήσει, τοῦτο οὔτε τάττω, οὔτε ἠρόμην τὸ ὅπως, ἀλλ' εἰ, ὃ ἐπίστασαι, τοῦτο καὶ οὐκ ἐπίστασαι· νῦν δ' ὃ οὐχ ὁρᾷς, ὁρῶν φαίνῃ· ὡμολογηκὼς δὲ τυγχάνεις τὸ ὁρᾶν, ἐπίστασθαι, καὶ τὸ μὴ ὁρᾶν, μὴ ἐπίστασθαι. ἐξ οὖν τούτων λογίζου τί σοι ξυμβαίνει. ΘΕΑΙ. Ἀλλὰ λογίζομαι, ὅτι τἀναντία οἷς ὑπεθέμην. ΣΩ. Ἴσως δέ γ', ὦ θαυμάσιε, πλείω ἂν τοιαῦτ' ἔπαθες, εἴ τίς σε προσηρώτα εἰ ἐπίστασθαι ἔστι καὶ ὀξύ, ἔστι δὲ ἀμβλύ, καὶ ἐγγύθεν μὲν ἐπίστασθαι, πόῤῥωθεν δὲ μή, καὶ σφόδρα καὶ ἠρέμα τὸ αὐτό, καὶ ἄλλα μυρία, ἃ ἐλλοχῶν ἂν πελταστικὸς ἀνὴρ μισθοφόρος ἐν λόγοις, ἐρόμενος, ἡνίκ' ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν ἔθου, ἐμβαλὼν ἂν εἰς τὸ ἀκούειν καὶ ὀσφραίνεσθαι, καὶ τὰς τοιαύτας αἰσθήσεις, ἤλεγχεν ἂν ἐπέχων καὶ οὐκ ἀνιείς, πρὶν θαυμάσας τὴν πολυάρατον σοφίαν ξυν-

ἐπολλόθης ὑπ' αὐτοῦ, οὗ δὴ σε χειρωσάμενός τε
καὶ ξυνδήσας, ἤδη ἂν τότε ἐλύτρου χρημάτων ὅσων
σοί τε κἀκείνῳ ἐδόκει. τίν' οὖν δὴ ὁ Πρωταγόρας,
φαίης ἂν ἴσως, λόγον ἐπίκουρον τοῖς αὑτοῦ ἐρεῖ;
ἄλλο τι πειρώμεθα λέγειν; ΘΕΑΙ. Πάνυ μὲν οὖν.
XX. ΣΩ. Ταῦτά τε δὴ πάντα ὅσα ἡμεῖς ἐπαμύνοντες
αὐτῷ λέγομεν, καὶ ὁμόσε, οἶμαι, χωρήσεται, κατα-
φρονῶν ἡμῶν καὶ λέγων· Οὗτος δὴ ὁ Σωκράτης ὁ
χρηστός, ἐπειδὴ αὐτῷ παιδίον τι ἐρωτηθὲν ἔδεισεν,
εἰ οἷόν τε τὸν αὐτὸν τὸ αὐτὸ μεμνῆσθαι ἅμα καὶ μὴ
εἰδέναι, καὶ δεῖσαν ἀπέφησε, διὰ τὸ μὴ δύνασθαι
προορᾶν, γέλωτα δῆτα ἐμὲ ἐν τοῖς λόγοις ἀπέδειξε.
τὸ δέ, ὦ ῥᾳθυμότατε Σώκρατες, τῇδ' ἔχει· ὅταν τι
τῶν ἐμῶν δι' ἐρωτήσεως σκοπῇς, ἐὰν μὲν ὁ ἐρωτη-
θεὶς, οἷά περ ἐγὼ ἀποκριναίμην ἀποκρινόμενος,
σφάλληται, ἐγὼ ἐλέγχομαι· εἰ δὲ ἀλλοῖα, αὐτὸς ὁ
ἐρωτηθείς. αὐτίκα γάρ, δοκεῖς τινά σοι ξυγχωρή-
σεσθαι, μνήμην παρεῖναί τῳ ὧν ἔπαθε, τοιοῦτόν τι
οὖσαν πάθος οἷον ὅτε ἔπασχε, μηκέτι πάσχοντι;
πολλοῦ γε δεῖ· ἢ αὖ ἀποκνήσειν ὁμολογεῖν οἷόν τ'
εἶναι, εἰδέναι καὶ μὴ εἰδέναι τὸν αὐτὸν τὸ αὐτό; ἤ,
ἐάν περ τοῦτο δείσῃ, δώσειν ποτὲ, τὸν αὐτὸν εἶναι
τὸν ἀνομοιούμενον τῷ πρὶν ἀνομοιοῦσθαι ὄντι;
μᾶλλον δὲ τὸν εἶναί τινα, ἀλλ' οὐχὶ τούς, καὶ τού-
τους γιγνομένους ἀπείρους, ἐάν περ ἀνομοίωσις γίγ-
νηται· εἰ δὴ ὀνομάτων γε δεήσει θηρεύσεις διευλα-
βεῖσθαι ἀλλήλων, ἀλλ', ὦ μακάριε, φήσει, γεν-
ναιοτέρως ἐπ' αὐτὸ ἐλθὼν ὃ λέγω, εἰ δύνασαι, ἐξ-

λεγξον ὡς οὐχὶ ἴδιαι αἰσθήσεις ἡμῶν ἑκάστῳ γίγνονται, ἢ ὡς, ἰδίων γιγνομένων, οὐδέν τι ἂν μᾶλλον τὸ φαινόμενον μόνῳ ἐκείνῳ γίγνοιτο, ἤ, εἰ εἶναι δεῖ ὀνομάζειν, εἴη ᾧπερ φαίνεται· ὗς δὲ καὶ κυνοκεφάλους λέγων, οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν εἰς τὰ ξυγγράμματά μου ἀναπείθεις, οὐ καλῶς ποιῶν. ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή· μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ, ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω [τῷ] μὴ φάναι εἶναι, ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων, ποιήσει ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. τὸν δὲ λόγον αὖ μὴ τῷ ῥήματί μου δίωκε, ἀλλὰ ὧδε ἔτι σαφέστερον μάθε, τί λέγω. οἷον γὰρ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, ἀναμνήσθητι, ὅτι τῷ μὲν ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει, καὶ ἔστι, τῷ δὲ ὑγιαίνοντι τἀναντία ἔστι καὶ φαίνεται. σοφώτερον μὲν οὖν τούτων οὐδέτερον δεῖ ποιῆσαι· (οὐδὲ γὰρ δυνατόν·) οὐδὲ κατηγορητέον, ὡς ὁ μὲν κάμνων, ἀμαθής, ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων, σοφός, ὅτι ἀλλοῖα· μεταβλητέον δ' ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ, ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω μεταβλητέον· ἀλλ' ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις. ἐπεὶ οὔτε τί γε ψευδῆ δοξάζοντα τίς τινα ὕστερον ἀληθῆ ἐποίησε δοξάζειν·

ἐπιστήμη οὐκ ἄλλο τί ἐστιν ἢ αἴσθησις, καὶ εἰς ταὐτὸν συμπέπτωκε, κατὰ μὲν Ὅμηρον καὶ Ἡράκλειτον καὶ πᾶν τὸ τοιοῦτον φῦλον, οἷον ῥεύματα κινεῖσθαι τὰ πάντα, κατὰ δὲ Πρωταγόραν τὸν σοφώτατον, πάντων χρημάτων μέτρον ἄνθρωπον εἶναι; κατὰ δὲ Θεαίτητον, τούτων οὕτως ἐχόντων, αἴσθησιν ἐπιστήμην γίγνεσθαι· ἦ γάρ, ὦ Θεαίτητε, φῶμεν τοῦτο σὸν μὲν εἶναι οἷον νεογενὲς παιδίον, ἐμὸν δὲ μαίευμα; ἢ πῶς λέγεις; ΘΕΑΙ. Οὕτως ἀνάγκη, ὦ Σώκρατες. ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, μόλις ποτὲ ἐγεννήσαμεν, ὅ, τι δή ποτε καὶ τυγχάνει ὄν· μετὰ δὲ τὸν τόκον, τὰ ἀμφιδρόμια αὐτοῦ ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ, σκοπουμένους μὴ λάθῃ ἡμᾶς οὐκ ἄξιον ὂν τροφῆς τὸ γιγνόμενον, ἀλλὰ ἀνεμιαῖόν τε καὶ ψεῦδος· ἢ σὺ οἴει πάντως δεῖν τό γε σὸν τρέφειν, καὶ μὴ ἐκτιθέναι; ἢ καὶ ἀνέξῃ ἐλεγχόμενον ὁρῶν, καὶ οὐ σφόδρα χαλεπανεῖς, ἐάν τις σου ὡς πρωτοτόκου αὐτὸ ὑφαιρῇ; ΘΕΟ. Ἀνέξεται, ὦ Σώκρατες, Θεαίτητος· οὐδαμῶς γὰρ δύσκολος. ἀλλὰ πρὸς θεῶν εἰπέ, εἰ αὖ οὐχ οὕτως ἔχει. ΣΩ. Φιλόλογός γ' εἶ ἀτεχνῶς καὶ χρηστός, ὦ Θεόδωρε, ὅτι με οἴει λόγων τινὰ εἶναι θύλακον, καὶ ῥᾳδίως ἐξελόντα ἐρεῖν ὡς οὐκ αὖ ἔχει οὕτω ταῦτα· τὸ δὲ γιγνόμενον οὐκ ἐννοεῖς, ὅτι οὐδεὶς τῶν λόγων ἐξέρχεται παρ' ἐμοῦ, ἀλλ' αἰεὶ παρὰ τοῦ ἐμοὶ προσδιαλεγομένου, ἐγὼ δὲ οὐδὲν ἐπίσταμαι πλέον πλὴν βραχέος, ὅσον λόγον παρ' ἑτέρου σοφοῦ λαβεῖν καὶ ἀποδέξασθαι μετρίως. καὶ νῦν τοῦτο παρὰ τοῦδε πειράσομαι, οὔτι

αὐτὸς εἰπεῖν. ΘΕΟ. Σὺ κάλλιον, ὦ Σώκρατες, λέγεις· καὶ ποίει οὕτω. ΣΩ. Οἶσθ᾽ οὖν, ὦ Θεόδωρε, ὃ θαυμάζω τοῦ ἑταίρου σου Πρωταγόρου; XVI. ΘΕΟ. Τὸ ποῖον; ΣΩ. Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ ἔστι· τὴν δ᾽ ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς ἀληθείας, ὅτι πάντων χρημάτων μέτρον ἐστὶν ὗς, ἢ κυνοκέφαλος, ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν· ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν, ἐνδεικνύμενος ὅτι ἡμεῖς μὲν αὐτὸν ὥσπερ θεὸν ἐθαυμάζομεν ἐπὶ σοφίᾳ, ὁ δ᾽ ἄρα ἐτύγχανεν ὢν εἰς φρόνησιν οὐδὲν βελτίων βατράχου γυρίνου, μὴ ὅτι ἄλλου του ἀνθρώπων· ἢ πῶς λέγομεν, ὦ Θεόδωρε; εἰ γὰρ δὴ ἑκάστῳ ἀληθὲς ἔσται, ὃ ἂν δι᾽ αἰσθήσεως δοξάζῃ, καὶ μήτε τὸ ἄλλου πάθος ἄλλος βέλτιον διακρινεῖ, μήτε τὴν δόξαν κυριώτερος ἔσται ἐπισκέψασθαι ἕτερος τὴν ἑτέρου, ὀρθὴ ἢ ψευδής, ἀλλά, ὃ πολλάκις εἴρηται, αὐτὸς τὰ αὑτοῦ ἕκαστος μόνον δοξάσει, ταῦτα δὲ πάντα, ὀρθὰ καὶ ἀληθῆ, τί δή ποτε, ὦ ἑταῖρε, Πρωταγόρας μὲν σοφός, ὥστε καὶ ἄλλων διδάσκαλος ἀξιοῦσθαι δικαίως μετὰ μεγάλων μισθῶν, ἡμεῖς δὲ ἀμαθέστεροί τε, καὶ φοιτητέον ἡμῖν ἦν παρ᾽ ἐκεῖνον, μέτρῳ ὄντι αὐτῷ ἑκάστῳ τῆς αὑτοῦ σοφίας; καὶ ταῦτα πῶς μὴ φῶμεν δημούμενον λέγειν τὸν Πρωταγόραν; τὸ δὲ δὴ ἐμόν τε καὶ τῆς ἐμῆς τέχνης τῆς μαιευτικῆς σιγῶ, ὅσον γέλωτα ὀφλισκάνομεν· οἶμαι δὲ καὶ ξύμπασα ἡ τοῦ διαλέγεσθαι πραγματεία. τὸ

γὰρ ἐπισκοπεῖν καὶ ἐπιχειρεῖν ἐλέγχειν τὰς ἀλλήλων φαντασίας τε καὶ δόξας ὀρθὰς ἑκάστου οὔσας, οὐ μακρὰ μὲν καὶ διωλύγιος φλυαρία, εἰ ἀληθὴς ἡ ἀλήθεια Πρωταγόρου, ἀλλὰ μὴ παίζουσα ἐκ τοῦ ἀδύτου τῆς βίβλου ἐφθέγξατο; ΘΕΟ. Ὦ Σώκρατες, φίλος ἀνήρ, ὥσπερ σὺ νῦν δὴ εἶπες· οὐκ ἂν οὖν δεξαίμην δι' ἐμοῦ ὁμολογοῦντος ἐλέγχεσθαι Πρωταγόραν, οὐδ' αὖ σοι παρὰ δόξαν ἀντιτείνειν. τὸν οὖν Θεαίτητον πάλιν λάβε πάντως· καὶ δὴ νῦν μάλ' ἐμμελῶς σοι ἐφαίνετο ὑπακούειν. ΣΩ. Ἆρα κἂν εἰς Λακεδαίμονα ἐλθών, ὦ Θεόδωρε, πρὸς τὰς παλαίστρας, ἀξιοῖς ἄν, ἄλλους θεώμενος γυμνούς, ἐνίους φαύλους, αὐτὸς μὴ ἀντεπιδεικνῦναι τὸ εἶδος παραποδυόμενος; ΘΕΟ. Ἀλλὰ τί μὴν δοκεῖς, εἴπερ μέλλοιέν μοι ἐπιτρέψειν καὶ πείσεσθαι; ὥσπερ νῦν οἶμαι ὑμᾶς πείσειν, ἐμὲ μὲν ἐᾶν θεᾶσθαι, καὶ μὴ ἕλκειν πρὸς τὸ γυμνάσιον, σκληρὸν ἤδη ὄντα, τῷ δὲ δὴ νεωτέρῳ τε καὶ ὑγροτέρῳ ὄντι προσπαλαίειν. ΣΩ. Ἀλλ' εἰ οὕτως, ὦ Θεόδωρε, σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν, φασὶν οἱ παροιμιαζόμενοι. πάλιν δὴ οὖν ἐπὶ τὸν σοφὸν Θεαίτητον ἰτέον. XVII. Λέγε δή, ὦ Θεαίτητε, πρῶτον μὲν ἃ νῦν δὴ διήλθομεν, ἆρα οὐ ξυνθαυμάζεις εἰ ἐξαίφνης οὕτως ἀναφανήσῃ μηδὲν χείρων εἰς σοφίαν ὁτουοῦν ἀνθρώπων, ἢ καὶ θεῶν; ἢ ἧττόν τι οἴει τὸ Πρωταγόρειον μέτρον εἰς θεοὺς ἢ εἰς ἀνθρώπους λέγεσθαι; ΘΕΑΙ. Μὰ Δί' οὐκ ἔγωγε· καὶ ὅπερ γε ἐρωτᾷς, πάνυ θαυμάζω. ἡνίκα γὰρ διῇμεν ὃν τρόπον λέγοιεν, τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ εἶναι τῷ δοκοῦντι, πάνυ

μοι εὖ ἐφαίνετο λέγεσθαι· νῦν δὲ αὖ τοὐναντίον ταχὺ μεταπέπτωκε. ΣΩ. Νέος γὰρ εἶ, ὦ φίλε παῖ· τῆς οὖν δημηγορίας ὀξέως ὑπακούεις, καὶ πείθῃ. πρὸς γὰρ ταῦτα ἐρεῖ Πρωταγόρας, ἤ τις ἄλλος ὑπὲρ αὐτοῦ· Ὦ γενναῖοι παῖδές τε καὶ γέροντες, δημηγορεῖτε ξυγκαθεζόμενοι, θεούς τε εἰς τὸ μέσον ἄγοντες, οὓς ἐγὼ ἔκ τε τοῦ λέγειν καὶ τοῦ γράφειν περὶ αὐτῶν, ὡς εἰσὶν ἢ ὡς οὐκ εἰσίν, ἐξαιρῶ, καὶ ἃ ἂν οἱ πολλοὶ ἀποδέχοιντο ἀκούοντες, λέγετε ταῦτα, ὡς δεινὸν εἰ μηδὲν διοίσει εἰς σοφίαν ἕκαστος τῶν ἀνθρώπων βοσκήματος ὁτουοῦν· ἀπόδειξιν δὲ καὶ ἀνάγκην οὐδ᾽ ἡντινοῦν λέγετε, ἀλλὰ τῷ εἰκότι χρῆσθε· ᾧ εἰ ἐθέλοι Θεόδωρος ἢ ἄλλος τις τῶν γεωμετρῶν χρώμενος γεωμετρεῖν, ἄξιος οὐδ᾽ ἑνὸς μόνου ἂν εἴη. σκοπεῖτε οὖν σύ τε καὶ Θεόδωρος εἰ ἀποδέξεσθε πιθανολογίᾳ τε καὶ εἰκόσι περὶ τηλικούτων λεγομένους λόγους. ΘΕΑΙ. Ἀλλ᾽ οὐ δίκαιον, ὦ Σώκρατες, οὔτε σὺ οὔτε ἂν ἡμεῖς φαῖμεν. ΣΩ. Ἀλλ᾽ ἤδη σκεπτέον, ὡς ἔοικεν, ἄλλῃ, ὡς ὅ, τε σὸς λόγος καὶ ὁ Θεοδώρου. ΘΕΑΙ. Πάνυ μὲν οὖν ἄλλῃ. ΣΩ. Τῇδε δὴ σκοπῶμεν, εἰ ἄρα ἐστὶν ἐπιστήμη τε καὶ αἴσθησις ταὐτὸν ἢ ἕτερον· εἰς γὰρ τοῦτό που πᾶς ὁ λόγος ἡμῖν ἔτεινε, καὶ τούτου χάριν τὰ πολλὰ καὶ ἄτοπα ταῦτα ἐκινήσαμεν· οὐ γάρ; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἦ οὖν ὁμολογήσομεν, ἃ τῷ ὁρᾷν αἰσθανόμεθα, ἢ τῷ ἀκούειν, πάντα ταῦτα ἅμα καὶ ἐπίστασθαι; οἷον, τῶν βαρβάρων πρὶν μαθεῖν τὴν φωνήν, πότερον οὐ φήσομεν ἀκούειν, ὅταν

φθέγγωνται, ἢ ἀκούειν τε καὶ ἐπίστασθαι ἃ λέγουσι; καὶ αὖ γράμματα μὴ ἐπιστάμενοι, βλέποντες εἰς αὐτά, πότερον οὐχ ὁρᾶν, ἢ ἐπίστασθαι, εἴπερ ὁρῶμεν, διϊσχυριούμεθα; ΘΕΑΙ. Αὐτό γε, ὦ Σώκρατες, τοῦτο αὐτῶν, ὅπερ ὁρῶμέν τε καὶ ἀκούομεν, ἐπίστασθαι φήσομεν· τῶν μὲν γὰρ τὸ σχῆμά τε καὶ τὸ χρῶμα ὁρᾶν τε καὶ ἐπίστασθαι, τῶν δὲ τὴν ὀξύτητα καὶ βαρύτητα ἀκούειν τε ἅμα καὶ εἰδέναι· ἃ δὲ οἵ τε γραμματισταὶ περὶ αὐτῶν καὶ οἱ ἑρμηνεῖς διδάσκουσιν, οὔτε αἰσθάνεσθαι τῷ ὁρᾶν ἢ ἀκούειν, οὔτε ἐπίστασθαι. ΣΩ. Ἄριστά γε, ὦ Θεαίτητε. καὶ οὐκ ἄξιόν σοι πρὸς ταῦτα ἀμφισβητῆσαι, ἵνα καὶ αὐξάνῃ. XVIII. Ἀλλ' ὅρα δὴ καὶ τόδε ἄλλο προσιόν, καὶ σκόπει πῇ αὐτὸ διωσόμεθα. ΘΕΑΙ. Τὸ ποῖον δή; ΣΩ. Τὸ τοιόνδε· εἴ τις ἔροιτο, ἆρα δυνατόν, ὅτου τις ἐπιστήμων γένοιτό ποτε, ἔτι ἔχοντα μνήμην αὐτοῦ τούτου, καὶ σωζόμενον, τότε ὅτε μέμνηται μὴ ἐπίστασθαι αὐτὸ τοῦτο ὃ μέμνηται· μακρολογῶ δέ, ὡς ἔοικε, βουλόμενος ἐρέσθαι, εἰ μαθών τίς τι, μεμνημένος μὴ οἶδε. ΘΕΑΙ. Καὶ πῶς, ὦ Σώκρατες; τέρας γὰρ ἂν εἴη ὃ λέγεις. ΣΩ. Μὴ οὖν ἐγὼ ληρῶ; σκόπει δέ. ἆρα τὸ ὁρᾶν οὐκ αἰσθάνεσθαι λέγεις, καὶ τὴν ὄψιν αἴσθησιν; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Οὐκοῦν ὁ ἰδών τι, ἐπιστήμων ἐκείνου γέγονεν ὃ οἶδε, κατὰ τὸν ἄρτι λόγον; ΘΕΑΙ. Ναί. ΣΩ. Τί δαί; μνήμην οὐ λέγεις μέντοι τι; ΘΕΑΙ. Ναί. ΣΩ. Πότερον οὐδενὸς ἢ τινός; ΘΕΑΙ. Τινὸς δή που. ΣΩ. Οὐκοῦν, ὧν ἔμαθε καὶ ὧν ᾔσθετο, τοι-

ουτωνί τινων; ΘΕ.ΑΙ Τί μήν; ΣΩ. ὃ δὴ εἶδέ τις, μέμνηταί που ἐνίοτε; ΘΕΑΙ. Μέμνηται. ΣΩ. Ἦ καὶ μύσας; ἢ τοῦτο δράσας ἐπελάθετο; ΘΕΑΙ. Ἀλλὰ δεινόν, ὦ Σώκρατες, τοῦτό γε φάναι. ΣΩ. Δεῖ γε μέντοι, εἰ σώσοιμεν τὸν πρόσθεν λόγον· εἰ δὲ μή, οἴχεται. ΘΕΑΙ. Καὶ ἐγὼ νὴ τὸν Δία ὑποπτεύω, οὐ μὴν ἱκανῶς γε ξυννοῶ· ἀλλ᾽ εἰπὲ πῇ. ΣΩ. Τῇδε· ὁ μὲν ὁρῶν, ἐπιστήμων, φαμέν, τούτου γέγονεν οὗπερ ὁρᾷ· ὄψις γὰρ καὶ αἴσθησις καὶ ἐπιστήμη ταὐτὸν ὡμολόγηται. ΘΕΑΙ. Πάνυ γε. ΣΩ. Ὁ δέ γε ὁρῶν, καὶ ἐπιστήμων γεγονὼς οὗ ἑώρα, ἐὰν μύσῃ, μέμνηται μέν, οὐχ ὁρᾷ δὲ αὐτό· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δέ γε οὐχ ὁρᾷ, οὐκ ἐπίσταταί ἐστιν, εἴπερ καὶ τὸ ὁρᾷ, ἐπίσταται. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Ξυμβαίνει ἄρα, οὗ τις ἐπιστήμων ἐγένετο, ἔτι μεμνημένον αὐτὸν μὴ ἐπίστασθαι, ἐπειδὴ οὐχ ὁρᾷ, ὃ τέρας ἔφαμεν ἂν εἶναι εἰ γίγνοιτο. ΘΕΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Τῶν ἀδυνάτων δή τι ξυμβαίνειν φαίνεται, ἐάν τις ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν φῇ εἶναι. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Ἄλλο ἄρα ἑκάτερον φατέον. ΘΕΑΙ. Κινδυνεύει. ΣΩ. Τί οὖν δῆτ᾽ ἂν εἴη ἐπιστήμη, πάλιν ἐξ ἀρχῆς, ὡς ἔοικε, λεκτέον. καίτοι τί ποτε μέλλομεν, ὦ Θεαίτητε, δρᾶν; ΘΕΑΙ. Τίνος πέρι; ΣΩ. Φαινόμεθά μοι, ἀλεκτρυόνος ἀγεννοῦς δίκην, πρὶν νενικηκέναι, ἀποπηδήσαντες ἀπὸ τοῦ λόγου ᾄδειν. ΘΕΑΙ. Πῶς δή; ΣΩ. Ἀντιλογικῶς ἐοίκαμεν πρὸς τὰς τῶν ὀνομάτων ὁμολογίας ἀνομολογησάμενοι, καὶ τοιούτῳ τινὶ περι-

γενόμενοι τοῦ λόγου, ἀγαπᾷν· καὶ οὐ φάσκοντες ἀγωνισταὶ ἀλλὰ σοφοὶ εἶναι, λανθάνομεν ταὐτὰ ἐκείνοις τοῖς δεινοῖς ἀνδράσι ποιοῦντες. ΘΕΑΙ. Οὔπω μανθάνω ὅπως λέγεις. ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι δηλῶσαι περὶ αὐτῶν ὅ γε δὴ νοῶ. ἠρόμεθα γὰρ δή, εἰ μαθὼν καὶ μεμνημένος τίς τι, μὴ ἐπίσταται· καὶ τὸν ἰδόντα καὶ μύσαντα, μεμνημένον, ὁρῶντα δὲ οὔ, ἀποδείξαντες, οὐκ εἰδότα ἀπεδείξαμεν καὶ ἅμα μεμνημένον. τοῦτο δ' εἶναι ἀδύνατον· καὶ οὕτω δὴ μῦθος ἀπώλετο ὁ Πρωταγόρειος, καὶ ὁ σὸς ἅμα ὁ τῆς ἐπιστήμης καὶ αἰσθήσεως, ὅτι ταὐτόν ἐστι. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Οὔτι ἂν οἶμαι, ὦ φίλε, εἴπερ γε ὁ πατὴρ τοῦ ἑτέρου μύθου ἔζη, ἀλλὰ πολλὰ ἂν ἤμυνε· νῦν δὲ ὀρφανὸν αὐτὸν ἡμεῖς προπηλακίζομεν. καὶ γὰρ οὐδ' οἱ ἐπίτροποι, οὓς Πρωταγόρας κατέλιπε, βοηθεῖν ἐθέλουσιν· ὧν Θεόδωρος εἷς ὅδε· ἀλλὰ δὴ αὐτοὶ κινδυνεύσομεν τοῦ δικαίου ἕνεκ' αὐτῷ βοηθεῖν. ΘΕΟ. Οὐ γὰρ ἐγώ, ὦ Σώκρατες· ἀλλὰ μᾶλλον Καλλίας ὁ Ἱππονίκου, τῶν ἐκείνου ἐπίτροπος· ἡμεῖς δέ πως θᾶττον ἐκ τῶν ψιλῶν λόγων πρὸς τὴν γεωμετρίαν ἀπενεύσαμεν. χάριν γε μέντοι σοὶ ἕξομεν, ἐὰν αὐτῷ βοηθῇς. ΣΩ. Καλῶς λέγεις, ὦ Θεόδωρε. σκέψαι οὖν τήν γ' ἐμὴν βοήθειαν. τῶν γὰρ ἄρτι δεινότερα ἄν τις ὁμολογήσειε, μὴ προσαχὼν τοῖς ῥήμασι τὸν νοῦν, ᾗ τοπολὺ εἰθίσμεθα φάναι τε καὶ ἀπαρνεῖσθαι. σοὶ λέγω, ὅπη, ἢ Θεαιτήτῳ; ΘΕΟ. Εἰς τὸ κοινὸν μὲν οὖν· ἀποκρινέσθω δὲ ὁ νεώτερος·

σφαλεὶς γὰρ ἧττον ἀσχημονήσει. XIX. ΣΩ. Λέγω δὴ τὸ δεινότατον ἐρώτημα. ἔστι δὲ οἶμαι τοιόνδε τι· ἆρα οἷόν τε τὸν αὐτὸν εἰδότα τι, τοῦτο ὃ οἶδε μὴ εἰδέναι; ΘΕΟ. Τί δὴ οὖν ἀποκρινούμεθα, ὦ Θεαίτητε; ΘΕΑΙ. Ἀδύνατόν που οἶμαι ἔγωγε. ΣΩ. Οὔκ, εἰ τὸ ὁρᾷν γε ἐπίστασθαι θήσεις. τί γὰρ χρήσῃ ἀφύκτῳ ἐρωτήματι, τὸ λεγόμενον, ἐν φρέατι συσχόμενος, ὅταν ἐρωτᾷ ἀνέκπληκτος ἀνήρ, καταλαβὼν τῇ χειρί σου τὸν ἕτερον ὀφθαλμόν, εἰ ὁρᾷς τὸ ἱμάτιον τῷ κατειλημμένῳ; ΘΕΑΙ. Οὐ φήσω οἶμαι τούτῳ γε, τῷ μέντοι ἑτέρῳ. ΣΩ. Οὐκοῦν ὁρᾷς τε καὶ οὐχ ὁρᾷς ἅμα ταὐτόν; ΘΕΑΙ. Οὕτω γέ πως. ΣΩ. Οὐδὲν ἐγώ, φήσει, τοῦτο οὔτε τάττω, οὔτε ἠρόμην τὸ ὅπως, ἀλλ᾽ εἰ, ὃ ἐπίστασαι, τοῦτο καὶ οὐκ ἐπίστασαι· νῦν δ᾽ ὃ οὐχ ὁρᾷς, ὁρῶν φαίνῃ· ὡμολογηκὼς δὲ τυγχάνεις τὸ ὁρᾷν, ἐπίστασθαι, καὶ τὸ μὴ ὁρᾷν, μὴ ἐπίστασθαι. ἐξ οὖν τούτων λογίζου τί σοι ξυμβαίνει. ΘΕΑΙ. Ἀλλὰ λογίζομαι, ὅτι τἀναντία οἷς ὑπεθέμην. ΣΩ. Ἴσως δέ γ᾽, ὦ θαυμάσιε, πλείω ἂν τοιαῦτ᾽ ἔπαθες, εἴ τίς σε προσηρώτα εἰ ἐπίστασθαι ἔστι καὶ ὀξύ, ἔστι δὲ ἀμβλύ, καὶ ἐγγύθεν μὲν ἐπίστασθαι, πόῤῥωθεν δὲ μή, καὶ σφόδρα καὶ ἠρέμα τὸ αὐτό, καὶ ἄλλα μυρία, ἃ ἐλλοχῶν ἂν πελταστικὸς ἀνὴρ μισθοφόρος ἐν λόγοις, ἐρόμενος, ἡνίκ᾽ ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν ἔθου, ἐμβαλὼν ἂν εἰς τὸ ἀκούειν καὶ ὀσφραίνεσθαι, καὶ τὰς τοιαύτας αἰσθήσεις, ἤλεγχεν ἂν ἐπέχων καὶ οὐκ ἀνιείς, πρὶν θαυμάσας τὴν πολυάρατον σοφίαν ξυν-

ἀπολέσθης ὑπ' αὐτοῦ, οὗ δή σε χειρωσάμενός τε καὶ ξυνδήσας, ἤδη ἂν τότε ἐλύτρου χρημάτων ὅσων σοί τε κἀκείνῳ ἐδόκει. τίν' οὖν δὴ ὁ Πρωταγόρας, φαίης ἂν ἴσως, λόγον ἐπίκουρον τοῖς αὑτοῦ ἐρεῖ; ἄλλο τι πειρώμεθα λέγειν; ΘΕΑΙ. Πάνυ μὲν οὖν.

XX. ΣΩ. Ταῦτά τε δὴ πάντα ὅσα ἡμεῖς ἐπαμύνοντες αὐτῷ λέγομεν, καὶ ὁμόσε, οἶμαι, χωρήσεται, καταφρονῶν ἡμῶν καὶ λέγων· Οὗτος δὴ ὁ Σωκράτης ὁ χρηστός, ἐπειδὴ αὐτῷ παιδίον τι ἐρωτηθὲν ἔδεισεν, εἰ οἷόν τε τὸν αὐτὸν τὸ αὐτὸ μεμνῆσθαι ἅμα καὶ μὴ εἰδέναι, καὶ δεῖσαν ἀπέφησε, διὰ τὸ μὴ δύνασθαι προορᾶν, γέλωτα δῆτα ἐμὲ ἐν τοῖς λόγοις ἀπέδειξε. τὸ δέ, ὦ ῥᾳθυμότατε Σώκρατες, τῇδ' ἔχει· ὅταν τι τῶν ἐμῶν δι' ἐρωτήσεως σκοπῇς, ἐὰν μὲν ὁ ἐρωτηθείς, οἷά περ ἐγὼ ἀποκριναίμην ἀποκρινόμενος, σφάλληται, ἐγὼ ἐλέγχομαι· εἰ δὲ ἀλλοῖα, αὐτὸς ὁ ἐρωτηθείς. αὐτίκα γάρ, δοκεῖς τινά σοι ξυγχωρήσεσθαι, μνήμην παρεῖναί τῳ ὧν ἔπαθε, τοιοῦτόν τι οὖσαν πάθος οἷον ὅτε ἔπασχε, μηκέτι πάσχοντι; πολλοῦ γε δεῖ. ἢ αὖ ἀποκνήσειν ὁμολογεῖν οἷόν τ' εἶναι, εἰδέναι καὶ μὴ εἰδέναι τὸν αὐτὸν τὸ αὐτό; ἤ, ἐάν περ τοῦτο δείσῃ, δώσειν ποτέ, τὸν αὐτὸν εἶναι τὸν ἀνομοιούμενον τῷ πρὶν ἀνομοιοῦσθαι ὄντι; μᾶλλον δὲ τὸν εἶναί τινα, ἀλλ' οὐχὶ τούς, καὶ τούτους γιγνομένους ἀπείρους, ἐάν περ ἀνομοίωσις γίγνηται· εἰ δὴ ὀνομάτων γε δεήσει θηρεύσεις διευλαβεῖσθαι ἀλλήλων, ἀλλ', ὦ μακάριε, φήσει, γενναιοτέρως ἐπ' αὐτὸ ἐλθὼν ὃ λέγω, εἰ δύνασαι, ἐξ-

λεγξον ὡς οὐχὶ ἴδιαι αἰσθήσεις ἡμῶν ἑκάστῳ γίγνονται, ἢ ὡς, ἰδίων γιγνομένων, οὐδέν τι ἂν μᾶλλον τὸ φαινόμενον μόνῳ ἐκείνῳ γίγνοιτο, ἤ, εἰ εἶναι δεῖ ὀνομάζειν, εἴη ᾧπερ φαίνεται· ὗς δὲ καὶ κυνοκεφάλους λέγων, οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾷν εἰς τὰ ξυγγράμματά μου ἀναπείθεις, οὐ καλῶς ποιῶν. ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή· μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ, ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω [τῷ] μὴ φάναι εἶναι, ἀλλ᾽ αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων, ποιήσει ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. τὸν δὲ λόγον αὖ μὴ τῷ ῥήματί μου δίωκε, ἀλλὰ ὧδε ἔτι σαφέστερον μάθε, τί λέγω. οἷον γὰρ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, ἀναμνήσθητι, ὅτι τῷ μὲν ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει, καὶ ἔστι, τῷ δὲ ὑγιαίνοντι τἀναντία ἔστι καὶ φαίνεται. σοφώτερον μὲν οὖν τούτων οὐδέτερον δεῖ ποιῆσαι· (οὐδὲ γὰρ δυνατόν·) οὐδὲ κατηγορητέον, ὡς ὁ μὲν κάμνων, ἀμαθής, ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων, σοφός, ὅτι ἀλλοῖα· μεταβλητέον δ᾽ ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ, ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω μεταβλητέον· ἀλλ᾽ ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις. ἐπεὶ οὔτε τί γε ψευδῆ δοξάζοντα τίς τινα ὕστερον ἀληθῆ ἐποίησε δοξάζειν·

οὔτε γὰρ τὰ μὴ ὄντα δυνατὸν δοξάσαι, οὔτε ἄλλα παρ' ἃ ἂν πάσχῃ, ταῦτα δὲ ἀεὶ ἀληθῆ· ἀλλ', οἶμαι, πονηρᾷ ψυχῆς ἕξει δοξάζοντα ξυγγενῆ ἑαυτῆς, χρηστὴ ἐποίησε δοξάσαι ἕτερα τοιαῦτα, ἃ δή τινες τὰ φαντάσματα ὑπὸ ἀπειρίας ἀληθῆ καλοῦσιν, ἐγὼ δὲ βελτίω μὲν τὰ ἕτερα τῶν ἑτέρων, ἀληθέστερα δὲ οὐδέν. καὶ τοὺς σοφούς, ὦ φίλε Σώκρατες, πολλοῦ δέω βατράχους λέγειν, ἀλλὰ κατὰ μὲν τὰ σώματα ἰατροὺς λέγω, κατὰ δὲ φυτὰ γεωργούς. φημὶ γὰρ καὶ τούτους τοῖς φυτοῖς ἀντὶ πονηρῶν αἰσθήσεων, ὅταν τι αὐτῶν ἀσθενῇ, χρηστὰς καὶ ὑγιεινὰς αἰσθήσεις τε καὶ ἀληθεῖς ἐμποιεῖν· τοὺς δέ γε σοφούς τε καὶ ἀγαθοὺς ῥήτορας ταῖς πόλεσι τὰ χρηστὰ ἀντὶ τῶν πονηρῶν δίκαια δοκεῖν εἶναι ποιεῖν· ἐπεί, οἷά γ' ἂν ἑκάστῃ πόλει δίκαια καὶ καλὰ δοκῇ, ταῦτα καὶ εἶναι αὐτῇ, ἕως ἂν αὐτὰ νομίζῃ· ἀλλ' ὁ σοφὸς ἀντὶ πονηρῶν ὄντων αὐτοῖς ἑκάστων, χρηστὰ ἐποίησεν εἶναι καὶ δοκεῖν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ὁ σοφιστὴς τοὺς παιδευομένους οὕτω δυνάμενος παιδαγωγεῖν, σοφός τε καὶ ἄξιος πολλῶν χρημάτων τοῖς παιδευθεῖσι· καὶ οὕτω σοφώτεροί τέ εἰσιν ἕτεροι ἑτέρων, καὶ οὐδεὶς ψευδῆ δοξάζει, καὶ σοὶ ἐάν τε βούλῃ, ἐάν τε μή, ἀνεκτέον ὄντι μέτρῳ. σώζεται γὰρ ἐν τούτοις ὁ λόγος οὗτος· ᾧ σὺ εἰ μὲν ἔχεις ἐξ ἀρχῆς ἀμφισβητεῖν, ἀμφισβήτει, λόγῳ ἀντιδιεξελθών· εἰ δὲ δι' ἐρωτήσεων βούλει, δι' ἐρωτήσεων· οὐδὲ γὰρ τοῦτο φευκτέον, ἀλλὰ πάντων μάλιστα διωκτέον τῷ νοῦν ἔχοντι· ποίει μέντοι οὑτωσί, μὴ ἀδίκει ἐν τῷ

ἐρωτᾷν. καὶ γὰρ πολλὴ ἀλογία, ἀρετῆς φάσκοντα ἐπι-
μελεῖσθαι μηδὲν ἀλλ' ἢ ἀδικοῦντα ἐν λόγοις διατε-
λεῖν. ἀδικεῖν δ' ἐστὶν ἐν τῷ τοιούτῳ, ὅταν τις μὴ
χωρὶς μὲν ὡς ἀγωνιζόμενος τὰς διατριβὰς ποιῆται,
χωρὶς δὲ διαλεγόμενος· καὶ ἐν μὲν τῷ παίζῃ τε καὶ
σφάλλῃ, καθόσον ἂν δύνηται, ἐν δὲ τῷ διαλέγεσθαι
σπουδάζῃ τε καὶ ἐπανορθοῖ τὸν προςδιαλεγόμενον,
ἐκεῖνα μόνα αὐτῷ ἐνδεικνύμενος τὰ σφάλματα, ἃ αὐ-
τὸς ὑφ' ἑαυτοῦ καὶ τῶν προτέρων ξυνουσιῶν παρ-
εκέκρουστο. ἂν μὲν γὰρ οὕτω ποιῇς, ἑαυτοὺς αἰτιά-
σονται οἱ προςδιατρίβοντές σοι τῆς αὐτῶν ταραχῆς
καὶ ἀπορίας, ἀλλ' οὐ σέ· καὶ σὲ μὲν διώξονται καὶ
φιλήσουσιν, αὑτοὺς δὲ μισήσουσι, καὶ φεύξονται ἀφ'
ἑαυτῶν εἰς φιλοσοφίαν, ἵν' ἄλλοι γενόμενοι, ἀπαλ-
λαγῶσι τῶν οἳ πρότερον ἦσαν. ἐὰν δὲ τἀναντία τού-
των δρᾷς, ὥςπερ οἱ πολλοί, τἀναντία ξυμβήσεταί
σοι, καὶ τοὺς ξυνόντας, ἀντὶ φιλοσόφων μισοῦντας
τοῦτο τὸ πρᾶγμα ἀποφανεῖς, ἐπειδὰν πρεςβύτεροι
γένωνται. ἐὰν οὖν ἐμοὶ πείθῃ, (ὃ καὶ πρότερον ἐῤ-
ῥέθη,) οὐ δυςμενῶς οὐδὲ μαχητικῶς, ἀλλ' ἵλεῳ τῇ
διανοίᾳ ξυγκαθεὶς, ὡς ἀληθῶς σκέψῃ τί ποτε λέγο-
μεν, κινεῖσθαί τε ἀποφαινόμενοι τὰ πάντα, τό, τε
δοκοῦν ἑκάστῳ, τοῦτο καὶ εἶναι, ἰδιώτῃ τε καὶ πό-
λει. καὶ ἐκ τούτων ἐπισκέψῃ, εἴτε ταὐτόν, εἴτε καὶ
ἄλλο, ἐπιστήμη καὶ αἴσθησις, ἀλλ' οὐχ, ὥςπερ ἄρτι,
ἐκ συνηθείας ῥημάτων τε καὶ ὀνομάτων, ἃ οἱ πολλοὶ
ὅπῃ ἂν τύχωσιν ἕλκοντες, ἀπορίας ἀλλήλοις παντο-
δαπὰς παρέχουσι. XXI. Ταῦτα, ὦ Θεόδωρε, τῷ ἑταίρῳ

σου εἰς βοήθειαν προςηρξάμην κατ' ἐμὴν δύναμιν, σμικρὰ ἀπὸ σμικρῶν· εἰ δ' αὐτὸς ἔζη, μεγαλειότερον ἂν τοῖς αὑτοῦ ἐβοήθησε. ΘΕΟ. Παίζεις, ὦ Σώκρατες· πάνυ γὰρ νεανικῶς τῷ ἀνδρὶ βεβοήθηκας. ΣΩ. Εὖ λέγεις, ὦ ἑταῖρε: καί μοι εἰπέ, ἐνενόησάς που λέγοντος ἄρτι τοῦ Πρωταγόρου, καὶ ὀνειδίζοντος ἡμῖν ὅτι πρὸς παιδίον τοὺς λόγους ποιούμενοι, τῷ τοῦ παιδὸς φόβῳ ἀγωνιζοίμεθα εἰς τὰ ἑαυτοῦ, καὶ χαριεντισμόν τινα ἀποκαλῶν, ἀποσεμνύνων δὲ τὸ πάντων μέτρον, σπουδάσαι ἡμᾶς διεκελεύσατο περὶ τὸν αὑτοῦ λόγον; ΘΕΟ. Πῶς γὰρ οὐκ ἐνενόησα, ὦ Σώκρατες; ΣΩ. Τί οὖν; κελεύεις πείθεσθαι αὐτῷ; ΘΕΟ. Σφόδρα γε. ΣΩ. Ὁρᾷς οὖν, ὅτι τάδε πάντα, πλὴν σοῦ, παιδία ἐστίν; εἰ οὖν πεισόμεθα τῷ ἀνδρί, ἐμὲ καὶ σὲ δεῖ ἐρωτῶντάς τε καὶ ἀποκρινομένους ἀλλήλοις σπουδάσαι αὐτοῦ περὶ τὸν λόγον, ἵνα μὴ τοῦτό γε ἔχῃ ἐγκαλεῖν, ὡς παίζοντες πρὸς μειράκια διεσκεψάμεθ' αὖ τοῦτον τὸν λόγον. ΘΕΟ. Τί δέ; οὐ πολλῶν τοι Θεαίτητος μεγάλους πώγωνας ἐχόντων ἄμεινον ἂν ἐπακολουθήσειε λόγῳ διερευνωμένῳ; ΣΩ. Ἀλλ' οὔτι σοῦ γε, ὦ Θεόδωρε, ἄμεινον. μὴ οὖν οἴου ἐμὲ μὲν τῷ σῷ ἑταίρῳ τετελευτηκότι δεῖν παντὶ τρόπῳ ἐπαμύνειν, σὲ δὲ μηδενί, ἀλλ' ἴθι, ὦ ἄριστε, ὀλίγον ἐπίσπου, μέχρι τούτου αὐτοῦ ἕως ἂν εἰδῶμεν, εἴτε ἄρα σὲ δεῖ διαγραμμάτων πέρι μέτρον εἶναι, εἴτε πάντες ὁμοίως σοὶ ἱκανοὶ ἑαυτοῖς εἴς τε ἀστρονομίαν καὶ τἄλλα, ὧν δὴ σὺ πέρι αἰτίαν ἔχεις διαφέρειν. ΘΕΟ. Οὐ ῥᾴδιον, ὦ Σώκρατες,

σοὶ παρακαθήμενον μὴ διδόναι λόγον· ἀλλ' ἐγὼ ἄρτι παρελήρησα, φάσκων σε ἐπιτρέψειν μοι μὴ ἀποδύεσθαι, καὶ οὐχὶ ἀναγκάσειν, καθάπερ Λακεδαιμόνιοι· σὺ δέ μοι δοκεῖς πρὸς τὸν Σκίῤῥωνα μᾶλλον τείνειν. Λακεδαιμόνιοι μὲν γὰρ ἀπιέναι ἢ ἀποδύεσθαι κελεύουσι, σὺ δὲ κατ' Ἀνταῖον τί μοι μᾶλλον δοκεῖς τὸ δρᾶμα δρᾷν· τὸν γὰρ προςελθόντα οὐκ ἀνίης πρὶν ἀναγκάσῃς ἀποδύσας ἐν τοῖς λόγοις προςπαλαῖσαι. ΣΩ. Ἄριστά γε, ὦ Θεόδωρε, τὴν νόσον μου ἀπείκασας· ἰσχυρότερος μέντοι ἐγὼ ἐκείνων. μυρίοι γὰρ ἤδη μοι Ἡρακλέες τε καὶ Θησέες ἐντυχόντες κρατεροὶ πρὸς τὸ λέγειν, μάλ' εὖ ξυγκεκόφασιν· ἀλλ' ἐγὼ οὐδέν τι μᾶλλον ἀφίσταμαι· οὕτω τις ἔρως δεινὸς ἐνδέδυκε τῆς περὶ ταῦτα γυμνασίας. μὴ οὖν μηδὲ σὺ φθονήσῃς προςανατριψάμενος σαυτόν τε ἅμα καὶ ἐμὲ ὀνῆσαι. ΘΕΟ. Οὐδὲν ἔτι ἀντιλέγω· ἀλλὰ ἄγε ὅπη ἐθέλεις· πάντως τὴν περὶ ταῦτα εἱμαρμένην ἣν ἂν σὺ ἐπικλώσῃς, δεῖ ἀνατλῆναι ἐλεγχόμενον, οὐ μέντοι περαιτέρω γε ὧν προτίθεσαι οἷός τ' ἔσομαι παρασχεῖν ἐμαυτόν σοι. ΣΩ. Ἀλλ' ἀρκεῖ καὶ μέχρι τούτων, καί μοι πάνυ τήρει τὸ τοιόνδε, μή που παιδικόν τι λάθωμεν εἶδος τῶν λόγων ποιούμενοι, καί τις πάλιν ἡμῖν αὐτὸ ὀνειδίσῃ. ΘΕΟ. Ἀλλὰ δὴ πειράσομαί γε καθόσον ἂν δύνωμαι. XXII. ΣΩ. Τοῦδε τοίνυν πρῶτον πάλιν ἀντιλαβώμεθα οὗπερ τοπρότερον, καὶ ἴδωμεν, ὀρθῶς ἢ οὐκ ὀρθῶς ἐδυσχεραίνομεν ἐπιτιμῶντες τῷ λόγῳ, ὅτι αὐτάρκη ἕκαστον εἰς φρόνησιν ἐποίει, καὶ ἡμῖν ξυνεχώρησεν ὁ Πρωταγό-

ρας, περί τε τοῦ ἀμείνονος καὶ τοῦ χείρονος διαφέρειν τινάς, οὓς δὴ καὶ εἶναι σοφούς· οὐχὶ δή; ΘΕΟ. Ναί. ΣΩ. Εἰ μὲν τοίνυν αὐτὸς παρὼν ὡμολόγει, ἀλλὰ μὴ ἡμεῖς βοηθοῦντες ὑπὲρ αὐτοῦ ξυνεχωρήσαμεν, οὐδὲν ἂν πάλιν ἔδει ἐπαναλαβόντας βεβαιοῦσθαι· νῦν δὲ τάχ' ἄν τις ἡμᾶς ἀκύρους τιθείη τῆς ὑπὲρ ἐκείνου ὁμολογίας· διὸ κάλλιον, ὡς ἔχει, σαφέστερον περὶ τούτου αὐτοῦ διομολογήσασθαι. οὐ γάρ τι σμικρὸν παραλλάττει οὕτως ἔχον, ἢ ἄλλως. ΘΕΟ. Λέγεις ἀληθῆ. ΣΩ. Μὴ τοίνυν δι' ἄλλων, ἀλλ' ἐκ τοῦ ἐκείνου λόγου ὡς διὰ βραχυτάτων λάβωμεν τὴν ὁμολογίαν. ΘΕΟ. Πῶς; ΣΩ. Οὑτωσί· τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ εἶναί φησί που ᾧ δοκεῖ; ΘΕΟ. Φησὶ γὰρ οὖν. ΣΩ. Οὐκοῦν, ὦ Πρωταγόρα, καὶ ἡμεῖς ἀνθρώπου, μᾶλλον δὲ πάντων ἀνθρώπων δόξας λέγομεν, καὶ φαμὲν οὐδένα ὅντινα οὐ τὰ μὲν αὐτὸν ἡγεῖσθαι τῶν ἄλλων σοφώτερον, τὰ δὲ ἄλλους ἑαυτοῦ· καὶ ἔν γε τοῖς μεγίστοις κινδύνοις, ὅταν ἐν στρατείαις, ἢ νόσοις, ἢ ἐν θαλάττῃ χειμάζωνται, ὡς πρὸς θεοὺς ἔχειν τοὺς ἐν ἑκάστοις ἄρχοντας, σωτῆρας σφῶν προσδοκῶντας, οὐκ ἄλλῳ τῳ διαφέροντας ἢ τῷ εἰδέναι. καὶ πάντα που μεστὰ τἀνθρώπινα ζητούντων διδασκάλους τε καὶ ἄρχοντας ἑαυτῶν τε καὶ τῶν ἄλλων ζώων τῶν τε ἐργασιῶν, οἰομένων τε αὖ ἱκανῶν μὲν διδάσκειν, ἱκανῶν δὲ ἄρχειν εἶναι· καὶ ἐν τούτοις ἅπασι, τί ἄλλο φήσομεν ἢ αὐτοὺς τοὺς ἀνθρώπους ἡγεῖσθαι σοφίαν καὶ ἀμαθίαν εἶναι παρὰ σφίσιν; ΘΕΟ. Οὐδὲν ἄλ-

λο. ΣΩ. Οὐκοῦν τὴν μὲν σοφίαν, ἀληθῆ διάνοιαν ἡγοῦνται, τὴν δὲ ἀμαθίαν, ψευδῆ δόξαν; ΘΕΟ. Τί μήν; ΣΩ. Τί οὖν, ὦ Πρωταγόρα, χρησόμεθα τῷ λόγῳ; πότερον ἀληθῆ φῶμεν αἰεὶ τοὺς ἀνθρώπους δοξάζειν, ἢ ποτὲ μὲν ἀληθῆ, ποτὲ δὲ καὶ ψευδῆ; ἐξ ἀμφοτέρων γάρ που ξυμβαίνει μὴ αἰεὶ ἀληθῆ ἀλλ' ἀμφότερα αὐτοὺς δοξάζειν. σκόπει γάρ, ὦ Θεόδωρε, εἰ θέλοι ἄν τις τῶν ἀμφὶ Πρωταγόραν ἢ σὺ αὐτὸς διαμάχεσθαι, ὡς οὐδεὶς ἡγεῖται ἕτερος ἕτερον ἀμαθῆ τε εἶναι καὶ ψευδῆ δοξάζειν. ΘΕΟ. Ἀλλ' ἄπιστον, ὦ Σώκρατες. ΣΩ. Καὶ μὴν εἰς τοῦτό γε ἀνάγκης ὁ λόγος ἥκει ὁ πάντων χρημάτων μέτρον ἄνθρωπον λέγων. ΘΕΟ. Πῶς δή; ΣΩ. Ὅταν σὺ κρίνας τι παρὰ σαυτῷ πρός ἐμὲ ἀποφαίνῃ περί τινος δόξαν, σοὶ μὲν δὴ τοῦτο κατὰ τὸν ἐκείνου λόγον ἀληθὲς ἔστω, ἡμῖν δὲ δὴ τοῖς ἄλλοις περὶ τῆς σῆς κρίσεως πότερον οὐκ ἔστι κριταῖς γενέσθαι; ἢ σὲ ἀεὶ κρίνομεν ἀληθῆ δοξάζειν; ἢ μυρίοι ἑκάστοτέ σοι μάχονται ἀντιδοξάζοντες, ἡγούμενοι ψευδῆ κρίνειν τε καὶ οἴεσθαι; ΘΕΟ. Νὴ τὸν Δία, ὦ Σώκρατες, μάλα μυρίοι δῆτα, φησὶν Ὅμηρος, οἵ γέ μοι τὰ ἐξ ἀνθρώπων πράγματα παρέχουσι. ΣΩ. Τί οὖν; βούλει λέγωμεν, ὡς σὺ τότε σαυτῷ μὲν ἀληθῆ δοξάζεις, τοῖς δὲ μυρίοις ψευδῆ; ΘΕΟ. Ἔοικεν ἔκ γε τοῦ λόγου ἀνάγκη εἶναι. ΣΩ. Τί δὲ αὐτῷ Πρωταγόρᾳ; ἆρ' οὐχὶ ἀνάγκη, εἰ μὲν μηδὲ αὐτὸς ᾤετο μέτρον εἶναι ἄνθρωπον, μηδὲ οἱ πολλοί, ὥσπερ οὐδὲ οἴονται, μηδενὶ δὴ εἶναι ταύτην τὴν ἀλήθειαν ἣν ἐκεῖνος ἔγραψεν; εἰ

δὲ αὐτὸς μὲν ᾤετο, τὸ δὲ πλῆθος μὴ ξυνοίεται, οἶσθ' ὅτι πρῶτον μὲν ὅσῳ πλείους οἷς μὴ δοκεῖ ἢ οἷς δοκεῖ, τοσούτῳ μᾶλλον οὐκ ἔστιν ἢ ἔστι. ΘΕΟ. Ἀνάγκη, εἴπερ γε καθ' ἑκάστην δόξαν ἔσται καὶ οὐκ ἔσται. ΣΩ. Ἔπειτά γε τοῦτ' ἔχει κομψότατον· ἐκεῖνος μὲν περὶ τῆς αὑτοῦ οἰήσεως τὴν τῶν ἀντιδοξαζόντων οἴησιν, ᾗ ἐκεῖνον ἡγοῦνται ψεύδεσθαι, ξυγχωρεῖ που ἀληθῆ εἶναι, ὁμολογῶν τὰ ὄντα δοξάζειν ἅπαντας. ΘΕΟ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τὴν αὑτοῦ ἂν ψευδῆ ξυγχωροῖ, εἰ τὴν τῶν ἡγουμένων αὐτὸν ψεύδεσθαι ὁμολογεῖ ἀληθῆ εἶναι; ΘΕΟ. Ἀνάγκη. ΣΩ. Οἱ δέ γ' ἄλλοι οὐ ξυγχωροῦσιν ἑαυτοὺς ψεύδεσθαι. ΘΕΟ. Οὐ γὰρ οὖν. ΣΩ. Ὁ δέ γ' αὖ ὁμολογεῖ καὶ ταύτην ἀληθῆ τὴν δόξαν, ἐξ ὧν γέγραφε. ΘΕΟ. Φαίνεται. ΣΩ. Ἐξ ἁπάντων ἄρα ἀπὸ Πρωταγόρου ἀρξαμένων ἀμφισβητήσεται, μᾶλλον δὲ ὑπό γε ἐκείνου ὁμολογήσεται, ὅταν τἀναντία λέγοντι ξυγχωρῇ ἀληθῆ αὐτὸν δοξάζειν, τότε καὶ ὁ Πρωταγόρας αὐτὸς ξυγχωρήσεται, μήτε κύνα, μήτε τὸν ἐπιτυχόντα ἄνθρωπον μέτρον εἶναι, μηδὲ περὶ ἑνὸς οὗ ἂν μὴ μάθῃ· οὐχ οὕτω; ΘΕΟ. Οὕτω. ΣΩ. Οὐκοῦν ἐπειδὴ ἀμφισβητεῖται ὑπὸ πάντων, οὐδενὶ ἂν εἴη ἡ Πρωταγόρου ἀλήθεια ἀληθής, οὔτε τινὶ ἄλλῳ, οὔτ' αὐτῷ ἐκείνῳ; ΘΕΟ. Ἄγαν, ὦ Σώκρατες, τὸν ἑταῖρόν μου καταθέομεν. ΣΩ. Ἀλλά τοι, ὦ φίλε, ἄδηλον εἰ καὶ παραθέομεν τὸ ὀρθόν. εἰκός γὰρ ἐκεῖνον, πρεσβύτερον ὄντα, σοφώτερον ἡμῶν εἶναι· καὶ εἰ αὐτίκα ἐντεῦθεν ἀνακύψειε μέχρι τοῦ αὐχένος, πολλὰ ἂν

ἐμέ τε ἐλέγξας ληροῦντα, ὡς τὸ εἰκός, καὶ σὲ ὁμολογοῦντα καταδὺς ἂν οἴχοιτο ἀποτρέχων. ἀλλ᾽ ἡμῖν ἀνάγκη, οἶμαι, χρῆσθαι ἡμῖν αὐτοῖς, ὁποῖοί τινές ἐσμεν, καὶ τὰ δοκοῦντα ἀεὶ ταῦτα λέγειν. καὶ δῆτα καὶ νῦν ἄλλο τι φῶμεν ὁμολογεῖν ἂν τοῦτό γε ὁντινοῦν, τὸ εἶναι σοφώτερον ἕτερον ἑτέρου, εἶναι δὲ καὶ ἀμαθέστερον; ΘΕΟ. Ἔμοιγ᾽ οὖν δοκεῖ. XXIII. ΣΩ. Ἦ καὶ ταύτῃ ἂν μάλιστα ἵστασθαι τὸν λόγον, ᾗ ἡμεῖς ὑπεγράψαμεν, βοηθοῦντες Πρωταγόρᾳ, ὡς τὰ μὲν πολλά, ᾗ δοκεῖ, ταύτῃ καὶ ἔστιν ἑκάστῳ, θερμά, ξηρά, γλυκέα, πάντα ὅσα τοῦ τύπου τούτου· εἰ δέ που ἔν τισι ξυγχωρήσεται διαφέρειν ἄλλον ἄλλου, περὶ τὰ ὑγιεινὰ καὶ νοσώδη, ἐθελῆσαι ἂν φάναι, μὴ πᾶν γύναιον καὶ παιδίον καὶ θηρίον δὲ ἱκανὸν εἶναι ἰᾶσθαι αὑτό, γιγνῶσκον ἑαυτῷ τὸ ὑγιεινόν, ἀλλὰ ἐνταῦθα δὴ ἄλλον ἄλλου διαφέρειν, εἴπερ που; ΘΕΟ. Ἔμοιγε δοκεῖ οὕτω. ΣΩ. Οὐκοῦν καὶ περὶ πολιτικῶν, καλὰ μὲν καὶ αἰσχρά, δίκαια καὶ ἄδικα, καὶ ὅσια καὶ μή, οἷα ἂν ἑκάστη πόλις οἰηθεῖσα θῆται νόμιμα ἑαυτῇ, ταῦτα καὶ εἶναι τῇ ἀληθείᾳ ἑκάστῃ. καὶ ἐν τούτοις μὲν οὐδὲν σοφώτερον οὔτε ἰδιώτην ἰδιώτου, οὔτε πόλιν πόλεως εἶναι· ἐν δὲ τῷ ξυμφέροντα ἑαυτῇ ἢ μὴ ξυμφέροντα τίθεσθαι, ἐνταῦθ᾽, εἴπερ που, αὖ ὁμολογήσει ξύμβουλόν τε ξυμβούλου διαφέρειν, καὶ πόλεως δόξαν ἑτέραν ἑτέρας πρὸς ἀλήθειαν· καὶ οὐκ ἂν πάνυ τολμήσειε φῆσαι, ἃ ἂν θῆται πόλις, ξυμφέροντα οἰηθεῖσα αὑτῇ, παντὸς μᾶλλον ταῦτα καὶ ξυνοίσειν; ἀλλ᾽ ἐκεῖ, οὗ λέγω, ἐν τοῖς

δικαίοις καὶ ἀδίκοις, καὶ ὁσίοις καὶ ἀνοσίοις, ἐθέ-
λουσιν ἰσχυρίζεσθαι, ὡς οὐκ ἔστι φύσει αὐτῶν οὐδὲν
οὐσίαν ἑαυτοῦ ἔχον, ἀλλὰ τὸ κοινῇ δόξαν, τοῦτο γί-
γνεται ἀληθὲς τότε, ὅταν δόξῃ, καὶ ὅσον ἂν δοκῇ χρό-
νον· καὶ ὅσοι γε δὴ μὴ παντάπασι τὸν Πρωταγόρου
λόγον λέγουσιν, ὧδέ πως τὴν σοφίαν ἄγουσι. λόγος
δὲ ἡμᾶς, ὦ Θεόδωρε, ἐκ λόγου, μείζων ἐξ ἐλάττο-
νος καταλαμβάνει. ΘΕΟ. Οὐκοῦν σχολὴν ἄγομεν,
ὦ Σώκρατες; ΣΩ. Φαινόμεθα. καὶ πολλάκις μέν
γε δή, ὦ δαιμόνιε, καὶ ἄλλοτε κατενόησα, ἀτὰρ
καὶ νῦν, ὡς εἰκότως οἱ ἐν ταῖς φιλοσοφίαις πολὺν
χρόνον διατρίψαντες, εἰς τὰ δικαστήρια ἰόντες, γε-
λοῖοι φαίνονται ῥήτορες. ΘΕΟ. Πῶς δὴ οὖν λέγεις;
ΣΩ. Κινδυνεύουσιν οἱ ἐν δικαστηρίοις καὶ τοῖς τοι-
ούτοις ἐκ νέων καλινδούμενοι, πρὸς τοὺς ἐν φιλοσο-
φίᾳ καὶ τῇ τοιᾷδε διατριβῇ τεθραμμένους, ὡς οἰκέ-
ται πρὸς ἐλευθέρους τεθράφθαι. ΘΕΟ. Πῇ δή;
ΣΩ. Ἧι τοῖς μὲν (τοῦτο ὃ σὺ εἶπες) ἀεὶ πάρεστι
σχολή, καὶ τοὺς λόγους ἐν εἰρήνῃ ἐπὶ σχολῆς ποιοῦν-
ται, ὥσπερ ἡμεῖς νυνὶ τρίτον ἤδη λόγον ἐκ λόγου με-
ταλαμβάνομεν, οὕτω κἀκεῖνοι, ἐὰν αὐτοὺς ὁ ἐπελ-
θὼν τοῦ προκειμένου μᾶλλον, καθάπερ ἡμᾶς, ἀρέ-
σῃ, καὶ διὰ μακρῶν ἢ βραχέων μέλει οὐδὲν λέγειν,
ἂν μόνον τύχωσι τοῦ ὄντος· οἱ δὲ ἐν ἀσχολίᾳ τε ἀεὶ
λέγουσι· κατεπείγει γὰρ ὕδωρ ῥέον, καὶ οὐκ ἐγχωρεῖ
περὶ οὗ ἂν ἐπιθυμήσωσι τοὺς λόγους ποιεῖσθαι,
ἀλλ᾽ ἀνάγκην ἔχων ὁ ἀντίδικος ἐφέστηκε, καὶ ὑπο-
γραφὴν παραναγιγνωσκομένην, ὧν ἐκτὸς οὐ ῥητέον,

ἣν ἀντωμοσίαν καλοῦσιν· οἱ δὲ λόγοι ἀεὶ περὶ ὁμοδούλου πρὸς δεσπότην καθήμενον, ἐν χειρὶ τὴν δίκην ἔχοντα, καὶ οἱ ἀγῶνες οὐδέποτε τηνάλλως, ἀλλ' ἀεὶ τὴν περὶ αὐτοῦ· πολλάκις δὲ καὶ περὶ ψυχῆς ὁ δρόμος. ὥστ' ἐξ ἁπάντων τούτων ἔντονοι καὶ δριμεῖς γίγνονται, ἐπιστάμενοι τὸν δεσπότην λόγῳ τε θωπεῦσαι, καὶ ἔργῳ χαρίσασθαι, σμικροὶ δὲ καὶ οὐκ ὀρθοὶ τὰς ψυχάς. τὴν γὰρ αὔξην καὶ τὸ εὐθύ τε καὶ τὸ ἐλεύθερον ἡ ἐκ νέων δουλεία ἀφῄρηται, ἀναγκάζουσα πράττειν σκολιά, μεγάλους κινδύνους καὶ φόβους ἔτι ἁπαλαῖς ψυχαῖς ἐπιβάλλουσα, οὓς οὐ δυνάμενοι μετὰ τοῦ δικαίου καὶ ἀληθοῦς ὑποφέρειν, εὐθὺς ἐπὶ τὸ ψεῦδός τε καὶ τὸ ἀλλήλους ἀνταδικεῖν τρεπόμενοι, πολλὰ κάμπτονται καὶ ξυγκλῶνται, ὥσθ' ὑγιὲς οὐδὲν ἔχοντες τῆς διανοίας, εἰς ἄνδρας ἐκ μειρακίων τελευτῶσι, δεινοί τε καὶ σοφοὶ γεγονότες, ὡς οἴονται. καὶ οὗτοι μὲν δὴ τοιοῦτοι, ὦ Θεόδωρε· τοὺς δὲ τοῦ ἡμετέρου χοροῦ πότερον βούλει διελθόντες, ἢ ἐάσαντες, πάλιν ἐπὶ τὸν λόγον τρεπώμεθα, ἵνα μὴ καί, ὃ νῦν δὴ ἐλέγομεν, λίαν πολὺ τῇ ἐλευθερίᾳ καὶ μεταλήψει τῶν λόγων καταχρώμεθα; ΘΕΟ. Μηδαμῶς, ὦ Σώκρατες· ἀλλὰ διελθόντες. πάνυ γὰρ εὖ τοῦτο εἴρηκας, ὅτι οὐχ ἡμεῖς οἱ ἐν τῷ τοιῷδε χορεύοντες τῶν λόγων ὑπηρέται, ἀλλ' οἱ λόγοι οἱ ἡμέτεροι ὥσπερ οἰκέται, καὶ ἕκαστος αὐτῶν περιμένει ἀποτελεσθῆναι ὅταν ἡμῖν δοκῇ· οὔτε γὰρ δικαστὴς, οὔτε θεατὴς, ὥσπερ ποιηταῖς, ἐπιτιμήσων τε καὶ ἄρξων ἐπιστατεῖ παρ'

ἡμῖν. XXIV. ΣΩ. Λέγωμεν δή, ὡς ἔοικεν, ἐπεὶ σοί γε δοκεῖ, περὶ τῶν κορυφαίων· τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ λέγοι; οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον, ἢ βουλευτήριον, ἤ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε ὁρῶσιν οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρχὰς καὶ ξύνοδοι καὶ δεῖπνα καὶ ξὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς. εὖ δὲ ἢ κακῶς τι γέγονεν ἐν πόλει, ἤ τι τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. καὶ ταῦτα πάντ' οὐδ', ὅτι οὐκ οἶδεν, οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρα, καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται, κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδθεν γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα, καὶ πᾶσαν πάντη φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τι τῶν ἐγγὺς οὐδὲν αὑτὴν ξυγκαθιεῖσα. ΘΕΟ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες; ΣΩ. Ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα, ὦ Θεόδωρε, καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν. ταῦ-

τὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας, ὅσοι ἐν φιλοσοφίᾳ διάγουσι. τῷ γὰρ ὄντι τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον ὅ, τι πράττει, ἀλλ' ὀλίγου καὶ εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα· τί δέ ποτ' ἐστὶν ἄνθρωπος, καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον τῶν ἄλλων ποιεῖν ἢ πάσχειν, ζητεῖ τε καὶ πράγματ' ἔχει διερευνώμενος. μανθάνεις γάρ που, ὦ Θεόδωρε, ἢ οὔ; ΘΕΟ. Ἔγωγε· καὶ ἀληθῆ λέγεις. ΣΩ. Τοιγάρτοι, ὦ φίλε, ἰδίᾳ τε ξυγγιγνόμενος ὁ τοιοῦτος ἑκάστῳ καὶ δημοσίᾳ, ὅπερ ἀρχόμενος ἔλεγον, ὅταν ἐν δικαστηρίῳ ἤ που ἄλλοθι ἀναγκασθῇ περὶ τῶν παρὰ πόδας καὶ τῶν ἐν ὀφθαλμοῖς διαλέγεσθαι, γέλωτα παρέχει οὐ μόνον Θρᾴτταις, ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ, εἰς φρέατά τε καὶ πᾶσαν ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας, καὶ ἡ ἀσχημοσύνη δεινή, δόξαν ἀβελτηρίας παρεχομένη. ἔν τε γὰρ ταῖς λοιδορίαις ἴδιον ἔχει οὐδὲν οὐδένα λοιδορεῖν, ἅτ' οὐκ εἰδὼς κακὸν οὐδὲν οὐδενὸς ἐκ τοῦ μὴ μεμελετηκέναι· ἀπορῶν οὖν, γελοῖος φαίνεται· ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις, οὐ προσποιήτως, ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος, ληρώδης δοκεῖ εἶναι. τύραννόν τε γὰρ ἢ βασιλέα ἐγκωμιαζόμενον, ἕνα τῶν νομέων, οἷον συβώτην ἢ ποιμένα, ἤ τινα βουκόλον, ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον, πολὺ βδάλλοντα· δυσκολώτερον δὲ ἐκείνων ζῶον καὶ ἐπιβουλότερον ποιμαίνειν τε καὶ βδάλλειν νομίζει αὐτούς· ἄγροικον δὲ καὶ ἀπαίδευτον ὑπὸ ἀσχολίας οὐδὲν ἧττον τῶν νομέων τὸν τοιοῦτον

ἀναγκαῖον γίγνεσθαι, σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον. γῆς δὲ ὅταν μυρία πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ ὥς τις ἄρα κεκτημένος, θαυμαστὰ πλήθει κέκτηται, πάνυ σμικρὰ δοκεῖ ἀκούειν, εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν. τὰ δὲ δὴ γένη ὑμνούντων, ὡς γενναῖός τις, ἑπτὰ πάππους πλουσίους ἔχων ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν ὁρώντων ἡγεῖται τὸν ἔπαινον, ὑπὸ ἀπαιδευσίας οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν, οὐδὲ λογίζεσθαι ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοί, καὶ βασιλεῖς καὶ δοῦλοι, βάρβαροί τε καὶ Ἕλληνες, πολλάκις μυρίοι γεγόνασιν ὁτῳοῦν· ἀλλ᾽ ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμνυνομένων, καὶ ἀναφερόντων εἰς Ἡρακλέα τὸν Ἀμφιτρύωνος, ἄτοπα αὐτῷ καταφαίνεται τῆς σμικρολογίας· ὅτι δὲ ὁ ἀπ᾽ Ἀμφιτρύωνος εἰς τὸ ἄνω πεντεκαιεικοστὸς τοιοῦτος ἦν, οἵα ξυνέβαινεν αὐτῷ τύχη, καὶ ὁ πεντηκοστὸς ἀπ᾽ αὐτοῦ, γελᾷ, οὐ δυναμένων λογίζεσθαί τε καὶ χαυνότητα ἀνοήτου ψυχῆς ἀπαλλάττειν. ἐν ἅπασι δὴ τούτοις ὁ τοιοῦτος ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερηφάνως ἔχων, ὡς δοκεῖ, τὰ δ᾽ ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις ἀπορῶν. ΘΕΟ. Παντάπασι τὰ γιγνόμενα λέγεις, ὦ Σώκρατες. XXV. ΣΩ. Ὅταν δέ γέ τινα αὐτός, ὦ φίλε, ἑλκύσῃ ἄνω, καὶ ἐθελήσῃ τις αὐτῶν ἐκβῆναι ἐκ τοῦ, Τί ἐγώ σε ἀδικῶ ἢ σὺ ἐμέ, εἰς σκέψιν αὐτῆς δικαιοσύνης τε καὶ ἀδικίας, τί τε ἑκάτερον αὐτοῖν καὶ τί τῶν πάντων ἢ ἀλλήλοιν δια-

φέρετον, ἢ ἐκ τοῦ, Εἰ βασιλεὺς εὐδαίμων κεκτημένος
τ' αὖ πολὺ χρυσίον, εἰς βασιλείας πέρι καὶ ἀνθρω-
πίνης ὅλως εὐδαιμονίας καὶ ἀθλιότητος ἐπίσκεψιν,
ποίω τέ τινε ἐστὸν, καὶ τίνα τρόπον ἀνθρώπου φύσει
προσήκει τὸ μὲν κτήσασθαι αὐτοῖν, τὸ δὲ ἀποφυ-
γεῖν· περὶ πάντων τούτων ὅταν αὖ δέη λόγον διδό-
ναι τὸν σμικρὸν ἐκεῖνον τὴν ψυχὴν καὶ δριμὺν καὶ
δικανικὸν, πάλιν αὖ τὰ ἀντίστροφα ἀποδίδωσιν.
ἰλιγγιῶν τε γὰρ, ἀπὸ ὑψηλοῦ κρεμασθεὶς καὶ βλέ-
πων μετέωρος ἄνωθεν ὑπὸ ἀηθείας, ἀδημονῶν τε
καὶ ἀπορῶν καὶ βαρβαρίζων, γέλωτα Θρᾴτταις μὲν
οὐ παρέχει, οὐδ' ἄλλῳ ἀπαιδεύτῳ οὐδενὶ, (οὐ γὰρ
αἰσθάνονται,) τοῖς δ' ἐναντίως ἢ ὡς ἀνδραπόδοις
τραφεῖσι πᾶσιν. Οὗτος δὴ ἑκατέρου τρόπος, ὦ Θεό-
δωρε· ὁ μὲν τῷ ὄντι ἐν ἐλευθερίᾳ τε καὶ σχολῇ τε-
θραμμένου, ὃν δὴ φιλόσοφον καλεῖς, ᾧ ἀνεμέση-
τον εὐήθει δοκεῖν καὶ οὐδενὶ εἶναι, ὅταν εἰς δουλι-
κὰ ἐμπέσῃ διακονήματα, οἷον, στρωματόδεσμον μὴ
ἐπιστάμενος ξυσκευάσασθαι, μηδὲ ὄψον ἡδῦναι ἢ
θῶπας λόγους· ὁ δ' αὖ, τὰ μὲν τοιαῦτα πάντα δυ-
ναμένου τορῶς τε καὶ ὀξέως διακονεῖν, ἀναβάλλε-
σθαι δὲ οὐκ ἐπισταμένου ἐπιδέξια ἐλευθέρως, οὐδέ
γ' ἁρμονίαν λόγων λαβόντος ὀρθῶς ὑμνῆσαι θεῶν
τε καὶ ἀνδρῶν εὐδαιμόνων βίον ἀληθῆ. ΘΕΟ. Εἰ
πάντας, ὦ Σώκρατες, πείθοις ἃ λέγεις, ὥσπερ ἐμὲ,
πλείων ἂν εἰρήνη καὶ κακὰ ἐλάττω κατ' ἀνθρώπους
εἴη. ΣΩ. Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν,
ὦ Θεόδωρε, (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ αἰεὶ εἶ-

καὶ ἀνάγκη) οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι· τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. ἀλλὰ γάρ, ὦ ἄριστε, οὐ πάνυ τι ῥᾴδιον πεῖσαι, ὡς ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα δὴ μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. ταῦτα μὲν γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ ἀληθὲς ὧδε λέγομεν. Θεός, οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. περὶ τούτου καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ οὐδενία τε καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις, σοφία καὶ ἀρετὴ ἀληθινή· ἡ δὲ ἄγνοια, ἀμαθία καὶ κακία ἐναργής. αἱ δ' ἄλλαι δεινότητές τε δοκοῦσαι καὶ σοφίαι, ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι, φορτικαί, ἐν δὲ τέχναις, βάναυσοι. Τῷ οὖν ἀδικοῦντι καὶ ἀνόσια λέγοντι ἢ πράττοντι μακρῷ ἄριστ' ἔχει τὸ μὴ ξυγχωρεῖν δεινῷ ὑπὸ πανουργίας εἶναι. ἀγάλλονται γὰρ τῷ ὀνείδει, καὶ οἴονται ἀκούειν ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες, οἵους δεῖ ἐν πόλει τοὺς σωθησομένους. λεκτέον οὖν τἀληθές, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται. ἀγνοοῦσι γὰρ ζημίαν ἀδικίας, ὃ δεῖ ἥκιστα ἀγνοεῖν·

οὐ γάρ ἐστιν ἣν δοκοῦσι, πληγαί τε καὶ θάνατοι, ὧν ἐνίοτε πάσχουσιν οὐδὲν ἀδικοῦντες, ἀλλὰ ἣν ἀδύνατον ἐκφυγεῖν. ΘΕΟ. Τίνα δὴ λέγεις; ΣΩ. Παραδειγμάτων, ὦ φίλε, ἐν τῷ ὄντι ἑστώτων, τοῦ μὲν θείου, εὐδαιμονεστάτου, τοῦ δὲ ἀθέου, ἀθλιωτάτου, οὐχ ὁρῶντες ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθάνουσι τῷ μὲν ὁμοιούμενοι, διὰ τὰς ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι· οὗ δὴ τίνουσι δίκην, ζῶντες τὸν εἰκότα βίον ᾧ ὁμοιοῦνται. ἐὰν δ᾽ εἴπωμεν ὅτι, ἂν μὴ ἀπαλλαγῶσι τῆς δεινότητος, καὶ τελευτήσαντας αὐτοὺς ἐκεῖνος μὲν ὁ τῶν κακῶν καθαρὸς τόπος οὐ δέξεται, ἐνθάδε δὲ τὴν αὑτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσι, κακοὶ κακοῖς ξυνόντες, ταῦτα δὴ καὶ παντάπασιν ὡς δεινοὶ καὶ πανοῦργοι, ἀνοήτων τινῶν ἀκούσονται. ΘΕΟ. Καὶ μάλα δή, ὦ Σώκρατες. ΣΩ. Οἶδά τοι, ὦ ἑταῖρε. ἕν μέντοι τι αὐτοῖς ξυμβέβηκεν, ὅτι ἂν ἰδίᾳ λόγον δέῃ δοῦναί τε καὶ δέξασθαι περὶ ὧν ψέγουσι, καὶ ἐθελήσωσιν ἀνδρικῶς πολὺν χρόνον ὑπομεῖναι, καὶ μὴ ἀνάνδρως φεύγειν, τότε ἀτόπως, ὦ δαιμόνιε, τελευτῶντες, οὐκ ἀρέσκουσιν αὐτοὶ αὑτοῖς περὶ ὧν λέγουσι, καὶ ἡ ῥητορικὴ ἐκείνη πως ἀπομαραίνεται, ὥστε παίδων μηδὲν δοκεῖν διαφέρειν. περὶ μὲν οὖν τούτων, ἐπειδὴ καὶ πάρεργα τυγχάνει λεγόμενα, ἀποστῶμεν· εἰ δὲ μή, πλείω ἀεὶ ἐπιῤῥέοντα, καταχώσει ἡμῶν τὸν ἐξ ἀρχῆς λόγον. ἐπὶ δὲ τὰ ἔμπροσθεν ἴωμεν, εἰ καὶ σοὶ δοκεῖ. ΘΕΟ. Ἐμοὶ μὲν τὰ τοιαῦτα, ὦ Σώκρατες, οὐκ ἀηδέστερα

ἀκούειν· ῥᾴω γὰρ τηλικῷδε ὄντι ἐπακολουθεῖν· εἰ μέντοι δοκεῖ, πάλιν ἐπανίωμεν. XXVI. ΣΩ. Οὐκοῦν ἐνταῦθά που ἦμεν τοῦ λόγου, ἐν ᾧ ἔφαμεν τοὺς τὴν φερομένην οὐσίαν λέγοντας, καὶ τὸ ἀεὶ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ εἶναι τούτῳ ᾧ δοκεῖ, ἐν μὲν τοῖς ἄλλοις ἐθέλειν διισχυρίζεσθαι, καὶ οὐχ ἥκιστα περὶ τὰ δίκαια, ὡς παντὸς μᾶλλον, ἃ ἂν θῆται πόλις δόξαντα αὐτῇ, ταῦτα καὶ ἔστι δίκαια τιθεμένῃ, ἕωσπερ ἂν κέηται· περὶ δὲ τοῦ ἀγαθοῦ, οὐδένα ἀνδρεῖον ἔθ' οὕτως εἶναι, ὥστε τολμᾶν διαμάχεσθαι, ὅτι καὶ ἃ ἂν ὠφέλιμα οἰηθεῖσα πόλις ἑαυτῇ θῆται, καὶ ἔστι, τοσοῦτον χρόνον ὅσον ἂν κέηται, ὠφέλιμα, πλὴν εἴτις τὸ ὄνομα λέγει· τοῦτο δέ που σκῶμμα ἂν εἴη πρὸς ὃ ἐλέγομεν· οὐχί; ΘΕΟ. Πάνυ γε. ΣΩ. Μὴ λεγέτω τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα, ὃ ὀνομαζόμενον θεωρεῖται. ΘΕΟ. Μὴ γάρ. ΣΩ. Ἀλλ' ὃ ἂν τοῦτο ὀνομάζῃ, τούτου δήπου στοχάζεται νομοθετουμένη, καὶ πάντας τοὺς νόμους, καθόσον οἴεταί τε καὶ δύναται, ὡς ὠφελιμωτάτους ἑαυτῇ τίθεται· ἢ πρὸς ἄλλο τι βλέπουσα νομοθετεῖται; ΘΕΟ. Οὐδαμῶς. ΣΩ. Ἦ οὖν καὶ τυγχάνει ἀεί, ἢ καὶ πολλὰ καὶ διαμαρτάνει ἑκάστη; ΘΕΟ. Οἶμαι ἔγωγε καὶ διαμαρτάνειν. ΣΩ. Ἔτι τοίνυν ἐνθένδε ἂν μᾶλλον πᾶς τις ὁμολογήσειε ταὐτὰ ταῦτα, εἰ περὶ παντός τις τοῦ εἴδους ἐρωτῴη, ἐν ᾧ καὶ τὸ ὠφέλιμον τυγχάνει ὄν· ἔστι δέ που καὶ περὶ τὸν μέλλοντα χρόνον. ὅταν γὰρ νομοθετώμεθα, ὡς ἐσομένους ὠφελίμους τοὺς νόμους τιθέμεθα εἰς τὸν ἔπειτα χρόνον· τοῦτο δὲ μέλλον [μᾶλλον] ὀρθῶς

ἂν λέγοιμεν. ΘΕΟ. Πάνυ γε. ΣΩ. Ἴθι δή, οὑτωσὶ ἐρωτῶμεν Πρωταγόραν, ἢ ἄλλον τινὰ τῶν ἐκείνῳ τὰ αὐτὰ λεγόντων, Πάντων μέτρον ἄνθρωπός ἐστιν, ὡς φατέ, ὦ Πρωταγόρα, λευκῶν, βαρέων, κούφων, οὐδενὸς ὅτου οὐ τῶν τοιούτων· ἔχων γὰρ αὐτῶν τὸ κριτήριον ἐν ἑαυτῷ, οἷα πάσχει, τοιαῦτα οἰόμενος, ἀληθῆ τε οἴεται αὐτῷ καὶ ὄντα· οὐχ οὕτως; ΘΕΟ. Οὕτως. ΣΩ. Ἦ καὶ τῶν μελλόντων ἔσεσθαι, φήσομεν, ὦ Πρωταγόρα, ἔχει τὸ κριτήριον ἐν ἑαυτῷ, καὶ οἷα ἂν οἰηθῇ ἔσεσθαι, ταῦτα καὶ γίγνεται ἐκείνῳ τῷ οἰηθέντι; οἷον θερμά· ἆρ' ὅταν τις οἰηθῇ ἰδιώτης αὐτὸν πυρετὸν λήψεσθαι, καὶ ἔσεσθαι ταύτην τὴν θερμότητα, καὶ ἕτερος, ἰατρὸς δέ, ἀντοιηθῇ, κατὰ τὴν ποτέρου δόξαν φῶμεν τὸ μέλλον ἀποβήσεσθαι, ἢ κατὰ τὴν ἀμφοτέρων; καὶ τῷ μὲν ἰατρῷ οὐ θερμὸς οὐδὲ πυρέττων γενήσεται, ἑαυτῷ δὲ ἀμφότερα; ΘΕΟ. Γελοῖον μέντ' ἂν εἴη. ΣΩ. Ἀλλ' οἶμαι, περὶ οἴνου γλυκύτητος καὶ αὐστηρότητος μελλούσης ἔσεσθαι ἡ τοῦ γεωργοῦ δόξα, ἀλλ' οὐχὶ τοῦ κιθαριστοῦ, κυρία. ΘΕΟ. Τί μήν; ΣΩ. Οὐδ' αὖ περὶ ἀναρμόστου τε καὶ εὐαρμόστου ἐσομένου παιδοτρίβης ἂν βέλτιον δοξάσειε μουσικοῦ, ὃ καὶ ἔπειτα αὐτῷ τῷ παιδοτρίβῃ δόξει εὐάρμοστον εἶναι. ΘΕΟ. Οὐδαμῶς. ΣΩ. Οὐκοῦν καὶ τοῦ μέλλοντος ἑστιάσεσθαι, μὴ μαγειρικοῦ ὄντος, σκευαζομένης θοίνης, ἀκυροτέρα ἡ κρίσις τῆς τοῦ ὀψοποιοῦ, περὶ τῆς ἐσομένης ἡδονῆς; περὶ μὲν γὰρ δὴ τοῦ ἤδη ὄντος ἑκάστῳ ἡδέος, ἢ γεγονότος, μηδέν πω τῷ λόγῳ διαμαχώμεθα,

ἀλλὰ περὶ τοῦ μέλλοντος ἑκάστῳ καὶ δόξειν καὶ ἔσεσθαι, πότερον αὐτὸς αὑτῷ ἄριστος κριτής, ἢ σύ, ὦ Πρωταγόρα, τό γε περὶ λόγους πιθανὸν ἑκάστῳ ἡμῶν ἐσόμενον εἰς δικαστήριον, βέλτιον ἂν προδοξάσαις ἢ τῶν ἰδιωτῶν ὁστισοῦν; ΘΕΟ. Καὶ μάλα, ὦ Σώκρατες, τοῦτό γε σφόδρα ὑπισχνεῖτο πάντων διαφέρειν αὐτός. ΣΩ. Νὴ Δία, ὦ μέλε· ἢ οὐδείς γ' ἂν αὐτῷ διελέγετο, διδοὺς πολὺ ἀργύριον, εἴ πη τοὺς ξυνόντας ἔπειθεν, ὅτι καὶ τὸ μέλλον ἔσεσθαί τε καὶ δόξειν οὔτε μάντις οὔτε τις ἄλλος ἄμεινον κρίνειεν ἂν ἢ αὐτὸς αὑτῷ. ΘΕΟ. Ἀληθέστατα. ΣΩ. Οὐκοῦν καὶ αἱ νομοθεσίαι καὶ τὸ ὠφέλιμον περὶ τὸ μέλλον ἐστί; καὶ πᾶς ἂν ὁμολογοῖ, νομοθετουμένην πόλιν πολλάκις ἀνάγκην εἶναι τοῦ ὠφελιμωτάτου ἀποτυγχάνειν; ΘΕΟ. Μάλα γε. ΣΩ. Μετρίως ἄρα ἡμῖν πρὸς τὸν διδάσκαλόν σου εἰρήσεται, ὅτι ἀνάγκη αὐτῷ ὁμολογεῖν, σοφώτερόν τε ἄλλον ἄλλου εἶναι, καὶ τὸν μὲν τοιοῦτον, μέτρον εἶναι, ἐμοὶ δὲ τῷ ἀνεπιστήμονι μηδὲ ὁπωστιοῦν ἀνάγκην εἶναι μέτρῳ γίγνεσθαι, ὡς ἄρτι με ἠνάγκαζεν ὁ ὑπὲρ ἐκείνου λόγος εἴτ' ἐβουλόμην εἴτε μή, τοιοῦτον εἶναι. ΘΕΟ. Ἐκείνῃ μοι δοκεῖ, ὦ Σώκρατες, μάλιστα ἁλίσκεσθαι ὁ λόγος, ἁλισκόμενος καὶ ταύτῃ, ᾗ τὰς τῶν ἄλλων δόξας κυρίας ποιεῖ· αὗται δὲ ἐφάνησαν τοὺς ἐκείνου λόγους οὐδαμῇ ἀληθεῖς ἡγούμεναι. ΣΩ. Πολλαχῇ, ὦ Θεόδωρε, καὶ ἄλλῃ ἂν τό γε τοιοῦτον ἁλοίη, μὴ πᾶσαν παντὸς ἀληθῆ δόξαν εἶναι· περὶ δὲ τὸ παρὸν ἑκάστῳ πάθος, ἐξ οὗ αἱ αἰσθήσεις καὶ αἱ

κατὰ ταύτας δόξαι γίγνονται, χαλεπώτερον ἑλεῖν ὡς οὐκ ἀληθεῖς. ἴσως δὲ οὐδὲν λέγω· ἀνάλωτοι γὰρ, εἰ ἔτυχον, εἰσί, καὶ οἱ φάσκοντες αὐτὰς ἐναργεῖς τε εἶναι καὶ ἐπιστήμας, τάχα ἂν ὄντα λέγοιεν· καὶ Θεαίτητος ὅδε οὐκ ἀπὸ σκοποῦ εἴρηκεν, αἴσθησιν καὶ ἐπιστήμην ταὐτὸν θέμενος. XXVII. Προσιτέον οὖν ἐγγυτέρω, ὡς ὁ ὑπὲρ Πρωταγόρου λόγος ἐπέταττε, καὶ σκεπτέον, τὴν φερομένην ταύτην οὐσίαν διακρούοντα, εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται. μάχη δ' οὖν περὶ αὐτῆς οὐ φαύλη οὐδ' ὀλίγοις γέγονε. ΘΕΟ. Πολλοῦ καὶ δεῖ φαύλη εἶναι, ἀλλὰ περὶ μὲν τὴν Ἰωνίαν καὶ ἐπιδίδωσι πάμπολυ. οἱ γὰρ τοῦ Ἡρακλείτου ἑταῖροι χορηγοῦσι τούτου τοῦ λόγου μάλα ἐῤῥωμένως. ΣΩ. Τῷ τοι, ὦ φίλε Θεόδωρε, μᾶλλον σκεπτέον ἐξ ἀρχῆς, ὥςπερ αὐτοὶ ὑποτείνονται. ΘΕΟ. Παντάπασι μὲν οὖν. καὶ γὰρ, ὦ Σώκρατες, περὶ τούτων τῶν Ἡρακλειτείων, ἤ, ὥςπερ σὺ λέγεις, Ὁμηρείων, καὶ ἔτι παλαιοτέρων, αὐτοῖς μὲν τοῖς περὶ τὴν Ἔφεσον, ὅσοι προςποιοῦνται ἔμπειροι εἶναι, οὐδὲν μᾶλλον οἷόν τε διαλεχθῆναι ἢ τοῖς οἰστρῶσιν. ἀτεχνῶς γὰρ κατὰ τὰ ξυγγράμματα φέρονται· τὸ δ' ἐπιμεῖναι ἐπὶ λόγῳ καὶ ἐρωτήματι, καὶ ἡσυχίως ἐν μέρει ἀποκρίνασθαι καὶ ἐρέσθαι, ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν. μᾶλλον δὲ ὑπερβάλλει τὸ οὐδ' οὐδὲν πρὸς τὸ μηδὲ σμικρὸν ἐνεῖναι τοῖς ἀνδράσιν ἡσυχίας· ἀλλ' ἄν τινά τι ἔρῃ, ὥςπερ ἐκ φαρέτρας ῥηματίσκια αἰνιγματώδη ἀνασπῶντες ἀποτοξεύουσι· κἂν τούτου ζητῇς λόγον λαβεῖν, τί εἴρηκεν, ἑτέρῳ πεπλήξῃ και-

νῶς μετωνομασμένῳ, περανεῖς δὲ οὐδέποτε οὐδὲν πρὸς οὐδένα αὐτῶν· οὐδέ γε ἐκεῖνοι αὐτοὶ πρὸς ἀλλήλους, ἀλλ' εὖ πάνυ φυλάττουσι τὸ μηδὲν βέβαιον ἐᾷν εἶναι, μήτ' ἐν λόγῳ μήτ' ἐν ταῖς αὐτῶν ψυχαῖς, ἡγούμενοι, ὡς ἐμοὶ δοκεῖ, αὐτὸ στάσιμον εἶναι· τούτῳ δὲ πάνυ πολεμοῦσι, καὶ καθόσον δύνανται πανταχόθεν ἐκβάλλουσι. ΣΩ. Ἴσως, ὦ Θεόδωρε, τοὺς ἄνδρας μαχομένους ἑώρακας, εἰρηνεύουσι δὲ οὐ ξυγγέγονας· οὐ γάρ σοι ἑταῖροί εἰσιν. ἀλλ', οἶμαι, τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσιν, οὓς ἂν βούλωνται ὁμοίους αὐτοῖς ποιῆσαι. ΘΕΟ. Ποίοις μαθηταῖς, ὦ δαιμόνιε; οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής, ἀλλ' αὐτόματοι ἀναφύονται, ὁπόθεν ἂν τύχοι ἕκαστος αὐτῶν ἐνθουσιάσας, καὶ τὸν ἕτερον ὁ ἕτερος ἡγεῖται εἰδέναι. παρὰ μὲν οὖν τούτων, ὅπερ ᾖα ἐρῶν, οὐκ ἄν ποτε λάβοις λόγον, οὔτε ἑκόντων οὔτε ἀκόντων· αὐτοὺς δὲ δεῖ παραλαβόντας ὥσπερ πρόβλημα ἐπισκοπεῖσθαι. ΣΩ. Καὶ μετρίως γε λέγεις. τό γε δὴ πρόβλημα, ἄλλο τι παρειλήφαμεν ἢ παρὰ μὲν τῶν ἀρχαίων, μετὰ ποιήσεως ἐπικρυπτομένων τοὺς πολλούς, ὡς ἡ γένεσις τῶν ἄλλων πάντων Ὠκεανός τε καὶ Τηθὺς ῥεύματα τυγχάνει, καὶ οὐδὲν ἕστηκε· παρὰ δὲ τῶν ὑστέρων, ἅτε σοφωτέρων, ἀναφανδὸν ἀποδεικνυμένων, ἵνα καὶ οἱ σκυτοτόμοι αὐτῶν τὴν σοφίαν μάθωσιν ἀκούσαντες, καὶ παύσωνται ἠλιθίως οἰόμενοι, τὰ μὲν ἑστάναι, τὰ δὲ κινεῖσθαι τῶν ὄντων, μαθόντες δ' ὅτι πάντα κινεῖται, τιμῶσιν αὐτούς;

ὀλίγου δὲ ἐπελαθόμην, ὦ Θεόδωρε, ὅτι ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο, οἷον ἀκίνητον τελέθει τῷ παντὶ ὄνομ' εἶναι, καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διϊσχυρίζονται, ὡς ἕν τε πάντα ἐστὶ καὶ ἕστηκεν αὐτὸ ἐν αὑτῷ, οὐκ ἔχον χώραν ἐν ᾗ κινεῖται. τούτοις οὖν, ὦ ἑταῖρε, πᾶσι τί χρησόμεθα; κατὰ σμικρὸν γὰρ προϊόντες λελήθαμεν ἀμφοτέρων εἰς τὸ μέσον πεπτωκότες· καὶ ἂν μή πη ἀμυνόμενοι διαφύγωμεν, δίκην δώσομεν, ὥσπερ οἱ ἐν ταῖς παλαίστραις διὰ γραμμῆς παίζοντες, ὅταν ὑπ' ἀμφοτέρων ληφθέντες, ἕλκωνται εἰς τἀναντία. δοκεῖ οὖν μοι τοὺς ἑτέρους πρότερον σκεπτέον, ἐφ' οὕσπερ ὡρμήσαμεν, τοὺς ῥέοντας· καὶ ἐὰν μέν τι φαίνωνται λέγοντες, συνέλξομεν μετ' αὐτῶν ἡμᾶς αὐτοὺς, τοὺς ἑτέρους ἐκφυγεῖν πειρώμενοι· ἐὰν δὲ οἱ τοῦ ὅλου στασιῶται ἀληθέστερα λέγειν δοκῶσι, φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὖ τῶν καὶ τὰ ἀκίνητα κινούντων. ἀμφότεροι δ' ἂν φανῶσι μηδὲν μέτριον λέγοντες, γελοῖοι ἐσόμεθα, ἡγούμενοι ἡμᾶς μέν τι λέγειν φαύλους ὄντας, παμπαλαίους δὲ καὶ πανσόφους ἄνδρας ἀποδεδοκιμακότες. ὅρα οὖν, ὦ Θεόδωρε, εἰ λυσιτελεῖ εἰς τοσοῦτον προϊέναι κίνδυνον. ΘΕΟ. Οὐδὲν μὲν οὖν ἀνεκτὸν, ὦ Σώκρατες, μὴ οὐ διασκέψασθαι τί λέγουσιν ἑκάτεροι τῶν ἀνδρῶν. ΣΩ. Σκεπτέον ἂν εἴη, σοῦ γε οὕτω προθυμουμένου. XXVIII. Δοκεῖ οὖν μοι ἀρχὴ εἶναι τῆς σκέψεως κινήσεως πέρι, ποῖόν τί ποτε ἄρα λέγοντές φασι τὰ πάντα κινεῖσθαι. βούλομαι δὲ

λέγειν τὸ τοιόνδε· πότερον ἕν τι εἶδος αὐτῆς λέγουσιν, ἢ (ὥσπερ ἐμοὶ φαίνεται) δύο· μὴ μέντοι μόνον ἐμοὶ δοκείτω, ἀλλὰ ξυμμέτεχε καὶ σύ, ἵνα κοινῇ πάσχωμεν, ἄν τι καὶ δέῃ. καί μοι λέγε, Ἆρα κινεῖσθαι καλεῖς, ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ, ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; ΘΕΟ. Ἔγωγε. ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος. ὅταν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ, ἢ σκληρὸν ἐκ μαλακοῦ γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται· ἆρα οὐκ ἄξιον ἕτερον εἶδος φάναι κινήσεως; ΘΕΟ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ἀναγκαῖον μὲν οὖν. δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν. ΘΕΟ. Ὀρθῶς γε λέγων. ΣΩ. Τοῦτο τοίνυν οὕτω διελόμενοι διαλεγώμεθα ἤδη τοῖς τὰ πάντα φάσκουσι κινεῖσθαι, καὶ ἐρωτῶμεν· Πότερον πᾶν φατὲ ἀμφοτέρως κινεῖσθαι, φερόμενόν τε καὶ ἀλλοιούμενον, ἢ τὸ μέν τι ἀμφοτέρως, τὸ δ' ἑτέρως; ΘΕΟ. Ἀλλὰ μὰ Δί' ἔγωγε οὐκ ἔχω εἰπεῖν· οἶμαι δ' ἂν φάναι, ἀμφοτέρως. ΣΩ. Εἰ δέ γε μή, ὦ ἑταῖρε, κινούμενά τε ἑαυτοῖς καὶ ἑστῶτα φανεῖται, καὶ οὐδὲν μᾶλλον ὀρθῶς ἕξει εἰπεῖν ὅτι κινεῖται τὰ πάντα, ἢ ὅτι ἕστηκε. ΘΕΟ. Ἀληθέστατα λέγεις. ΣΩ. Οὐκοῦν ἐπειδὴ κινεῖσθαι αὐτὰ δεῖ, τὸ δὲ μὴ κινεῖσθαι μὴ ἐνεῖναι μηδενί, πάντα δὴ πᾶσαν κίνησιν ἀεὶ κινεῖται; ΘΕΟ. Ἀνάγκη. ΣΩ. Σκόπει δή μοι τόδε αὐτῶν· τῆς θερμότητος ἢ λευκότητος ἢ ὁτουοῦν γένεσιν οὐχ οὕτω πως ἐλέγομεν φάναι αὐτούς, φέρεσθαι ἕκαστον τούτων ἅμα αἰσθήσει μεταξὺ τοῦ ποιοῦντός τε καὶ

πάσχοντος, καὶ τὸ μὲν πάσχον, αἰσθητὸν, ἀλλ᾽ οὐκ αἴσθησιν ἔτι γίγνεσθαι, τὸ δὲ ποιοῦν, ποιόν τι, ἀλλ᾽ οὐ ποιότητα; ἴσως οὖν ἡ ποιότης ἅμα ἀλλόκοτόν τε φαίνεται ὄνομα, καὶ οὐ μανθάνεις ἀθρόον λεγόμενον. κατὰ μέρη οὖν ἄκουε. τὸ γὰρ ποιοῦν οὔτε θερμότης, οὔτε λευκότης, θερμὸν δὲ καὶ λευκὸν γίγνεται, καὶ τἄλλα οὕτω. μέμνησαι γάρ που ἐν τοῖς πρόσθεν ὅτι οὕτως ἐλέγομεν, ἓν μηδὲν αὐτὸ καθ᾽ αὑτὸ εἶναι, μηδ᾽ αὖ τὸ ποιοῦν ἢ πάσχον, ἀλλ᾽ ἐξ ἀμφοτέρων πρὸς ἄλληλα ξυγγιγνομένων, τὰς αἰσθήσεις καὶ τὰ αἰσθητὰ ἀποτίκτοντα, τὰ μὲν ποιά ἄττα γίγνεσθαι, τὰ δὲ αἰσθανόμενα. ΘΕΟ. Μέμνημαι. πῶς δ᾽ οὔ; ΣΩ. Τὰ μὲν τοίνυν ἄλλα χαίρειν ἐάσωμεν, εἴτε ἄλλως, εἴτε οὕτω λέγουσιν· οὗ δ᾽ ἕνεκα λέγομεν, τοῦτο μόνον φυλάττωμεν, ἐρωτῶντες· κινεῖται καὶ ῥεῖ, ὥς φατε, τὰ πάντα; ἦ γάρ; ΘΕΟ. Ναί. ΣΩ. Οὐκοῦν ἀμφοτέρας ἃς διειλόμεθα κινήσεις, φερόμενά τε καὶ ἀλλοιούμενα; ΘΕΟ. Πῶς δ᾽ οὔ; εἴπερ γε δεῖ τελέως κινήσεσθαι. ΣΩ. Εἰ μὲν τοίνυν ἐφέρετο μόνον, ἠλλοιοῦτο δὲ μή, εἴχομεν ἄν που εἰπεῖν, οἷα ἄττα ῥεῖ τὰ φερόμενα· ἢ πῶς λέγομεν; ΘΕΟ. Οὕτω. ΣΩ. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο μένει, τὸ λευκὸν ῥεῖν τὸ ῥέον, ἀλλὰ μεταβάλλει, ὥστε καὶ αὐτοῦ τούτου εἶναι ῥοὴν τῆς λευκότητος, καὶ μεταβολὴν εἰς ἄλλην χρόαν, ἵνα μὴ ἁλῷ ταύτῃ μένον, ἆρά ποτε οἷόν τέ τι προσειπεῖν χρῶμα, ὥστε καὶ ὀρθῶς προσαγορεύειν; ΘΕΟ. Καὶ τίς μηχανή, ὦ Σώκρατες, ἢ ἄλλο γέ τι τῶν τοιούτων,

εἴπερ ἀεὶ λέγοντος ὑπεξέρχεται, ἅτε δὴ ῥέον; ΣΩ. Τί δὲ περὶ αἰσθήσεως ἐροῦμεν ὁποιασοῦν, οἷον τῆς τοῦ ὁρᾶν ἢ ἀκούειν; μένειν ποτὲ ἐν αὐτῷ τῷ ὁρᾶν ἢ ἀκούειν; ΘΕΟ. Οὔκουν δεῖ γε, εἴπερ πάντα κινεῖται. ΣΩ. Οὔτε ἄρα ὁρᾶν, προσρητέον τι μᾶλλον ἢ μὴ ὁρᾶν, οὐδέ τιν' ἄλλην αἴσθησιν μᾶλλον ἢ μή, πάντων γε πάντως κινουμένων. ΘΕΟ. Οὐ γὰρ οὖν. ΣΩ. Καὶ μὴν αἴσθησίς γε ἐπιστήμη, ὡς ἔφαμεν ἐγώ τε καὶ Θεαίτητος. ΘΕΟ. Ἦν ταῦτα. ΣΩ. Οὐδὲν ἄρα ἐπιστήμην μᾶλλον ἢ μὴ ἐπιστήμην ἀπεκρινάμεθα, ἐρωτώμενοι ὅ, τι ἐστὶν ἐπιστήμη. ΘΕΟ. Ἐοίκατε. ΣΩ. Καλὸν ἂν ἡμῖν ξυμβαίνοι τὸ ἐπανόρθωμα τῆς ἀποκρίσεως, προθυμηθεῖσιν ἀποδεῖξαι ὅτι πάντα κινεῖται, ἵνα δὴ ἐκείνη ἡ ἀπόκρισις ὀρθὴ φανῇ: τὸ δ', ὡς ἔοικεν, ἐφάνη, εἰ πάντα κινεῖται, πᾶσα ἀπόκρισις περὶ ὅτου ἄν τις ἀποκρίνηται, ὁμοίως ὀρθὴ εἶναι, οὕτω τ' ἔχειν φάναι καὶ μὴ οὕτως, εἰ δὲ βούλει, γίγνεσθαι, ἵνα μὴ στήσωμεν αὐτοὺς τῷ λόγῳ. ΘΕΟ. Ὀρθῶς λέγεις. ΣΩ. Πλήν γε, ὦ Θεόδωρε, ὅτι οὕτω τε εἶπον, καὶ οὐχ οὕτω· δεῖ δὲ οὐδὲ τοῦτο Οὕτω λέγειν· (οὐδὲ γὰρ ἂν ἔτι κινοῖτο Οὕτω·) οὐδ' αὖ Μὴ οὕτω· (οὐδὲ γὰρ τοῦτο κίνησις·) ἀλλά τιν' ἄλλην φωνὴν θετέον τοῖς τὸν λόγον τοῦτον λέγουσιν· ὡς νῦν γε πρὸς τὴν αὑτῶν ὑπόθεσιν οὐκ ἔχουσι ῥήματα, εἰ μὴ ἄρα τὸ Οὐδ' ὅπως. μάλιστα δ' οὕτως ἂν αὐτοῖς ἁρμόττοι, ἄπειρον λεγόμενον. ΘΕΟ. Οἰκειοτάτη οὖν διάλεκτος αὕτη αὐτοῖς. ΣΩ. Οὐκοῦν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου

ἀπηλλάγμεθα, καὶ οὔπω ξυγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάντων χρημάτων μέτρον εἶναι, ἂν μὴ φρόνιμός τις ᾖ, ἐπιστήμην τε αἴσθησιν οὐ ξυγχωρησόμεθα, κατά γε τὴν τοῦ πάντα κινεῖσθαι μέθοδον. εἰ μή τι πως ἄλλως Θεαίτητος ὅδε λέγει. ΘΕΟ. Ἄριστ' εἴρηκας, ὦ Σώκρατες. τούτων γὰρ περανθέντων, καὶ ἐμὲ δεῖ ἀπηλλάχθαι σοι ἀποκρινόμενον κατὰ τὰς ξυνθήκας, ἐπειδὴ τὸ περὶ τοῦ Πρωταγόρου λόγου τέλος σχοίη. XXIX. ΘΕΑΙ. Μή, πρίν γ' ἄν, ὦ Θεόδωρε, Σωκράτης τε καὶ σὺ τοὺς φάσκοντας αὖ τὸ πᾶν ἑστάναι διέλθητε, ὥςπερ ἄρτι προὔθεσθε. ΘΕΟ. Νέος ὤν, ὦ Θεαίτητε, τοὺς πρεςβυτέρους ἀδικεῖν διδάσκεις, ὁμολογίας παραβαίνοντας. ἀλλὰ παρασκευάζου ὅπως τῶν ἐπιλοίπων Σωκράτει δώσεις λόγον. ΘΕΑΙ. Ἐάνπερ γε βούληται. ἥδιστα μέντ' ἂν ἤκουσα περὶ ὧν λέγω. ΘΕΟ. Ἱππέας εἰς πεδίον προκαλεῖ, Σωκράτη εἰς λόγους προκαλούμενος· ἐρώτα οὖν καὶ ἀκούσῃ. ΣΩ. Ἀλλά μοι δοκῶ, ὦ Θεόδωρε, περί γε ὧν κελεύει Θεαίτητος, οὐ πείσεσθαι αὐτῷ. ΘΕΟ. Τί δὴ οὖν οὐ πείσεσθαι; ΣΩ. Μέλισσον μὲν καὶ τοὺς ἄλλους οἳ ἓν ἑστὼς λέγουσι τὸ πᾶν, αἰσχυνόμενος μὴ φορτικῶς σκώπτωμεν, ἧττον αἰσχύνομαι, ἢ ἕνα ὄντα Παρμενίδην. Παρμενίδης δέ μοι φαίνεται τὸ τοῦ Ὁμήρου, αἰδοῖός τέ μοι ἅμα δεινός τε. ξυμπροσέμιξα γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεςβύτῃ, καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. φοβοῦμαι οὖν μὴ οὔτε τὰ λεγόμενα ξυνίωμεν, τί τε διανοούμενος εἶπε, πολὺ

πλέον λειπώμεθα, καὶ τὸ μέγιστον, οὗ ἕνεκα ὁ λόγος ὥρμηται, ἐπιστήμης πέρι, τί ποτ᾽ ἐστίν, ἄσκεπτον γένηται ὑπὸ τῶν ἐπεισκωμαζόντων λόγων, εἴ τις αὐτοῖς πείσεται· ἄλλως τε καὶ ὃ νῦν ἐγείρομεν, πλήθει ἀμήχανον, εἴτε τις ἐν παρέργῳ σκέψεται, ἀνάξι᾽ ἂν πάθοι, εἴτε ἱκανῶς μηκυνόμενος, τὸ τῆς ἐπιστήμης ἀφανιεῖ· δεῖ δὲ οὐδέτερα, ἀλλὰ Θεαίτητον ὧν κυεῖ περὶ ἐπιστήμης πειρᾶσθαι ἡμᾶς τῇ μαιευτικῇ τέχνῃ ἀπολῦσαι. ΘΕΟ. Ἀλλὰ χρή, εἰ δοκεῖ, οὕτω ποιεῖν. ΣΩ. Ἔτι τοίνυν, ὦ Θεαίτητε, τοσόνδε περὶ τῶν εἰρημένων ἐπίσκεψαι· αἴσθησιν γὰρ δὴ ἐπιστήμην ἀπεκρίνω· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Εἰ οὖν τίς σε ὧδ᾽ ἐρωτῴη· τῷ τὰ λευκὰ καὶ μέλανα ὁρᾷ ἄνθρωπος, καὶ τῷ τὰ ὀξέα καὶ βαρέα ἀκούει; εἴποις ἄν, οἶμαι, ὄμμασί τε καὶ ὠσί. ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων, καὶ μὴ δι᾽ ἀκριβείας ἐξεταζόμενον, τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον, ἔστι δὲ ὅτε ἀναγκαῖον· οἷον καὶ νῦν ἀνάγκη ἐπιλαβέσθαι τῆς ἀποκρίσεως ἣν ἀποκρίνῃ, ᾗ οὐκ ὀρθή. σκόπει γάρ, ἀπόκρισις ποτέρα ὀρθοτέρα; ᾧ ὁρῶμεν, τοῦτο εἶναι ὀφθαλμούς, ἢ δι᾽ οὗ ὁρῶμεν· καὶ, ᾧ ἀκούομεν, ὦτα, ἢ δι᾽ οὗ ἀκούομεν. ΘΕΑΙ. Δι᾽ ὧν ἕκαστα αἰσθανόμεθα, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, μᾶλλον ἢ οἷς. ΣΩ. Δεινὸν γάρ που, ὦ παῖ, εἰ πολλαί τινες ἐν ἡμῖν, ὥσπερ ἐν δουρείοις ἵπποις, αἰσθήσεις ἐγκάθηνται, ἀλλὰ μὴ εἰς μίαν τινὰ ἰδέαν, εἴτε ψυχήν, εἴτε ὅ δεῖ καλεῖν,

πάντα ταῦτα ξυντείνει· ἢ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά. ΘΕΑΙ. Ἀλλά μοι δοκεῖ οὕτω μᾶλλον, ἢ ἐκείνως. ΣΩ. Τοῦδέ τοι ἕνεκα αὐτά σοι διακριβοῦμαι, εἴ τινι ἡμῶν αὐτῶν, τῷ αὐτῷ, διὰ μὲν ὀφθαλμῶν διϊκνούμεθα λευκῶν τε καὶ μελάνων, διὰ δὲ τῶν ἄλλων, ἑτέρων αὖ τινῶν, καὶ ἕξεις, ἐρωτώμενος, πάντα τὰ τοιαῦτα εἰς τὸ σῶμα ἀναφέρειν. ἴσως δὲ βέλτιόν σε λέγειν αὐτὰ ἀποκρινόμενον μᾶλλον, ἢ ἐμὲ ὑπὲρ σοῦ πολυπραγμονεῖν. καί μοι λέγε· θερμὰ καὶ ξηρὰ καὶ κοῦφα καὶ γλυκέα, δι' ὧν αἰσθάνῃ, ἆρα οὐ τοῦ σώματος ἕκαστα τίθης; ἢ ἄλλου τινός; ΘΕΑΙ. Οὐδενὸς ἄλλου. ΣΩ. Ἦ καὶ ἐθελήσεις ὁμολογεῖν, ἃ δι' ἑτέρας δυνάμεως αἰσθάνῃ, ἀδύνατον εἶναι δι' ἄλλης τούτων αἰσθέσθαι, οἷον, ἃ δι' ἀκοῆς, δι' ὄψεως, ἢ ἃ δι' ὄψεως, δι' ἀκοῆς; ΘΕΑΙ. Πῶς γὰρ οὐκ ἐθελήσω; ΣΩ. Εἴ τι ἄρα περὶ ἀμφοτέρων διανοῇ, οὐκ ἂν διά γε τοῦ ἑτέρου ὀργάνου, οὐδ' αὖ διὰ τοῦ ἑτέρου περὶ ἀμφοτέρων αἰσθάνοι' ἄν. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Περὶ δὴ φωνῆς καὶ περὶ χρόας, πρῶτον μὲν αὐτὸ τοῦτο περὶ ἀμφοτέρων διανοῇ, ὅτι ἀμφοτέρω ἐστόν; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ ὅτι ἑκάτερον, ἑκατέρου μὲν ἕτερον, ἑαυτῷ δὲ ταὐτόν; ΘΕΑΙ. Τί μήν; ΣΩ. Καὶ ὅτι ἀμφοτέρω, δύο, ἑκάτερον δέ, ἕν; ΘΕΑΙ. Καὶ τοῦτο. ΣΩ. Οὐκοῦν καὶ εἴτε ἀνομοίω εἴτε ὁμοίω ἀλλήλοιν, δυνατὸς εἶ ἐπισκέψασθαι; ΘΕΑΙ. Ἴσως. ΣΩ. Ταῦτα δὴ πάντα διὰ τίνος περὶ αὐτοῖν διανοῇ; οὔτε γὰρ δι' ἀκοῆς, οὔτε δι' ὄψεως

ἰδόν τε τὸ κοινὸν λαμβάνειν περὶ αὐτῶν. ἔτι δὲ καὶ τόδε τεκμήριον περὶ οὗ λέγομεν· εἰ γὰρ δυνατὸν εἴη ἀμφοτέρω σκέψασθαι, ἆρ' ἐστὸν ἁλμυρὼ ἢ οὔ, οἶσθ' ὅτι ἕξεις εἰπεῖν ᾧ ἐπισκέψῃ, καὶ τοῦτο οὔτε ὄψις, οὔτε ἀκοὴ φαίνεται, ἀλλά τι ἄλλο. ΘΕΑΙ. Τί δ' οὐ μέλλει, ἥγε διὰ τῆς γλώττης δύναμις; ΣΩ. Καλῶς λέγεις. ἡ δὲ δὴ διὰ τίνος δύναμις τό τ' ἐπὶ πᾶσι κοινὸν καὶ τὸ ἐπὶ τούτοις δηλοῖ σοι, ᾧ τὸ ἔστιν ἐπονομάζεις καὶ τὸ οὐκ ἔστιν, ἃ νῦν δὴ ἠρωτῶμεν περὶ αὐτῶν; τούτοις πᾶσι ποῖα ἀποδώσεις ὄργανα, δι' ὧν αἰσθάνεται ἡμῶν τὸ αἰσθανόμενον ἕκαστα; ΘΕΑΙ. Οὐσίαν λέγεις καὶ τὸ μὴ εἶναι, καὶ ὁμοιότητα καὶ ἀνομοιότητα, καὶ τὸ ταὐτόν τε καὶ τὸ ἕτερον, ἔτι δὲ ἕν τε καὶ τὸν ἄλλον ἀριθμὸν περὶ αὐτῶν· δῆλον δὲ ὅτι καὶ ἄρτιόν τε καὶ περιττὸν ἐρωτᾷς, καὶ τἄλλα ὅσα τούτοις ἕπεται, διὰ τίνος ποτὲ τῶν τοῦ σώματος τῇ ψυχῇ αἰσθανόμεθα. ΣΩ. Ὑπέρευ, ὦ Θεαίτητε, ἀκολουθεῖς, καὶ ἔστιν, ἃ ἐρωτῶ, αὐτὰ ταῦτα. ΘΕΑΙ. Ἀλλὰ μὰ Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ ἂν ἔχοιμι εἰπεῖν, πλήν γ' ὅτι μοι δοκεῖ τὴν ἀρχὴν οὐδ' εἶναι τοιοῦτον οὐδὲν τούτοις ὄργανον ἴδιον, ὥσπερ ἐκείνοις, ἀλλ' αὐτὴ δι' αὐτῆς ἡ ψυχὴ τὰ κοινά μοι φαίνεται περὶ πάντων ἐπισκοπεῖν. ΣΩ. Καλὸς γὰρ εἶ, ὦ Θεαίτητε, καὶ οὐχ, ὡς ἔλεγε Θεόδωρος, αἰσχρός· ὁ γὰρ καλῶς λέγων, καλός τε κἀγαθός· πρὸς δὲ τῷ καλῷ, εὖ ἐποίησάς με, μάλα συχνοῦ λόγου ἀπαλλάξας, εἰ φαίνεταί σοι, τὰ μὲν αὐτὴ δι' αὐτῆς ἡ ψυχὴ ἐπισκοπεῖν, τὰ δέ, διὰ τῶν τοῦ σώ-

ματος δυνάμεων. τοῦτο γὰρ ἦν ὃ καὶ αὐτῷ μοι ἐδόκει· ἐβουλόμην δὲ καὶ σοὶ δόξαι. ΘΕΑΙ. Ἀλλὰ μὴν φαίνεταί γε. XXX. ΣΩ. Ποτέρων οὖν τίθης τὴν οὐσίαν; τοῦτο γὰρ μάλιστα ἐπὶ πάντων παρέπεται. ΘΕΑΙ. Ἐγὼ μὲν, ὧν αὐτὴ ἡ ψυχὴ καθ᾽ αὑτὴν ἐπορέγεται. ΣΩ. Ἦ καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, καὶ τὸ ταὐτὸν καὶ ἕτερον; ΘΕΑΙ. Ναί. ΣΩ. Τί δὲ καλὸν καὶ αἰσχρὸν καὶ ἀγαθὸν καὶ κακόν; ΘΕΑΙ. Καὶ τούτων μοι δοκεῖ ἐν τοῖς μάλιστα πρὸς ἄλληλα σκοπεῖσθαι τὴν οὐσίαν, ἀναλογιζομένη ἐν ἑαυτῇ τὰ γεγονότα καὶ τὰ παρόντα πρὸς τὰ μέλλοντα. ΣΩ. Ἔχε δή· ἄλλο τι τοῦ μὲν σκληροῦ τὴν σκληρότητα διὰ τῆς ἐπαφῆς αἰσθήσεται, καὶ τοῦ μαλακοῦ τὴν μαλακότητα ὡσαύτως; ΘΕΑΙ. Ναί. ΣΩ. Τὴν δέ γε οὐσίαν, καὶ ὅ, τι ἐστόν, καὶ τὴν ἐναντιότητα πρὸς ἀλλήλω, καὶ τὴν οὐσίαν αὖ τῆς ἐναντιότητος αὐτὴ ἡ ψυχὴ ἐπανιοῦσα καὶ ξυμβάλλουσα πρὸς ἄλληλα, κρίνειν πειρᾶται ἡμῖν; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τὰ μὲν εὐθὺς γενομένοις πάρεστι φύσει αἰσθάνεσθαι ἀνθρώποις τε καὶ θηρίοις, ὅσα διὰ τοῦ σώματος παθήματα ἐπὶ τὴν ψυχὴν τείνει· τὰ δὲ περὶ τούτων ἀναλογίσματα πρός τε οὐσίαν καὶ ὠφέλειαν μόγις καὶ ἐν χρόνῳ διὰ πολλῶν πραγμάτων καὶ παιδείας παραγίγνεται οἷς ἂν καὶ παραγίγνηται; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Οἷόν τε οὖν ἀληθείας τυχεῖν, ᾧ μηδὲ οὐσίας; ΘΕΑΙ. Ἀδύνατον. ΣΩ. Οὗ δὲ ἀληθείας τις ἀτυχήσει, ποτὲ τούτου ἐπιστήμων ἔσται; ΘΕΑΙ. Καὶ πῶς ἄν, ὦ Σώκρατες;

νας μετωνομασμένῳ, περανεῖς δὲ οὐδέποτε οὐδὲν πρὸς οὐδένα αὐτῶν· οὐδέ γε ἐκεῖνοι αὐτοὶ πρὸς ἀλλήλους, ἀλλ' εὖ πάνυ φυλάττουσι τὸ μηδὲν βέβαιον ἐᾶν εἶναι, μήτ' ἐν λόγῳ μήτ' ἐν ταῖς αὑτῶν ψυχαῖς, ἡγούμενοι, ὡς ἐμοὶ δοκεῖ, αὐτὸ στάσιμον εἶναι· τούτῳ δὲ πάνυ πολεμοῦσι, καὶ καθόσον δύνανται πανταχόθεν ἐκβάλλουσι. ΣΩ. Ἴσως, ὦ Θεόδωρε, τοὺς ἄνδρας μαχομένους ἑώρακας, εἰρηνεύουσι δὲ οὐ ξυγγέγονας· οὐ γάρ σοι ἑταῖροί εἰσιν. ἀλλ', οἶμαι, τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσιν, οὓς ἂν βούλωνται ὁμοίους αὑτοῖς ποιῆσαι. ΘΕΟ. Ποίοις μαθηταῖς, ὦ δαιμόνιε; οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής, ἀλλ' αὐτόματοι ἀναφύονται, ὁπόθεν ἂν τύχοι ἕκαστος αὐτῶν ἐνθουσιάσας, καὶ τὸν ἕτερον ὁ ἕτερος ἡγεῖται εἰδέναι. παρὰ μὲν οὖν τούτων, ὅπερ ᾖα ἐρῶν, οὐκ ἄν ποτε λάβοις λόγον, οὔτε ἑκόντων οὔτε ἀκόντων· αὐτοὺς δὲ δεῖ παραλαβόντας ὥσπερ πρόβλημα ἐπισκοπεῖσθαι. ΣΩ. Καὶ μετρίως γε λέγεις. τό γε δὴ πρόβλημα, ἄλλο τι παρειλήφαμεν ἢ παρὰ μὲν τῶν ἀρχαίων, μετὰ ποιήσεως ἐπικρυπτομένων τοὺς πολλούς, ὡς ἡ γένεσις τῶν ἄλλων πάντων Ὠκεανός τε καὶ Τηθὺς ῥεύματα τυγχάνει, καὶ οὐδὲν ἕστηκε· παρὰ δὲ τῶν ὑστέρων, ἅτε σοφωτέρων, ἀναφανδὸν ἀποδεικνυμένων, ἵνα καὶ οἱ σκυτοτόμοι αὐτῶν τὴν σοφίαν μάθωσιν ἀκούσαντες, καὶ παύσωνται ἠλιθίως οἰόμενοι, τὰ μὲν ἑστάναι, τὰ δὲ κινεῖσθαι τῶν ὄντων, μαθόντες δ' ὅτι πάντα κινεῖται, τιμῶσιν αὐτούς;

ὀλίγου δὲ ἐπελαθόμην, ὦ Θεόδωρε, ὅτι ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο, οἷον ἀκίνητον τελέθει τῷ παντὶ ὄνομ' εἶναι, καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διϊσχυρίζονται, ὡς ἕν τε πάντα ἐστὶ καὶ ἕστηκεν αὐτὸ ἐν αὑτῷ, οὐκ ἔχον χώραν ἐν ᾗ κινεῖται. τούτοις οὖν, ὦ ἑταῖρε, πᾶσι τί χρησόμεθα; κατὰ σμικρὸν γὰρ προϊόντες λελήθαμεν ἀμφοτέρων εἰς τὸ μέσον πεπτωκότες· καὶ ἂν μή πῃ ἀμυνόμενοι διαφύγωμεν, δίκην δώσομεν, ὥσπερ οἱ ἐν ταῖς παλαίστραις διὰ γραμμῆς παίζοντες, ὅταν ὑπ' ἀμφοτέρων ληφθέντες, ἕλκωνται εἰς τἀναντία. δοκεῖ οὖν μοι τοὺς ἑτέρους πρότερον σκεπτέον, ἐφ' οὕσπερ ὡρμήσαμεν, τοὺς ῥέοντας· καὶ ἐὰν μέν τι φαίνωνται λέγοντες, ξυνέλξομεν μετ' αὐτῶν ἡμᾶς αὐτούς, τοὺς ἑτέρους ἐκφυγεῖν πειρώμενοι· ἐὰν δὲ οἱ τοῦ ὅλου στασιῶται ἀληθέστερα λέγειν δοκῶσι, φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὖ τῶν καὶ τὰ ἀκίνητα κινούντων. ἀμφότεροι δ' ἂν φανῶσι μηδὲν μέτριον λέγοντες, γελοῖοι ἐσόμεθα, ἡγούμενοι ἡμᾶς μέν τι λέγειν φαύλους ὄντας, παμπαλαίους δὲ καὶ πανσόφους ἄνδρας ἀποδεδοκιμακότες. ὅρα οὖν, ὦ Θεόδωρε, εἰ λυσιτελεῖ εἰς τοσοῦτον προϊέναι κίνδυνον. ΘΕΟ. Οὐδὲν μὲν οὖν ἀνεκτόν, ὦ Σώκρατες, μὴ οὐ διασκέψασθαι τί λέγουσιν ἑκάτεροι τῶν ἀνδρῶν. ΣΩ. Σκεπτέον ἂν εἴη, σοῦ γε οὕτω προθυμουμένου. XXVIII. Δοκεῖ οὖν μοι ἀρχὴ εἶναι τῆς σκέψεως κινήσεως πέρι, ποῖόν τί ποτε ἄρα λέγοντές φασι τὰ πάντα κινεῖσθαι. βούλομαι δὲ

λέγειν τὸ τοιόνδε· πότερον ἕν τι εἶδος αὐτῆς λέγουσιν, ἢ (ὥσπερ ἐμοὶ φαίνεται) δύο· μὴ μέντοι μόνον ἐμοὶ δοκείτω, ἀλλὰ ξυμμέτεχε καὶ σύ, ἵνα κοινῇ πάσχωμεν, ἄν τι καὶ δέῃ. καί μοι λέγε, Ἆρα κινεῖσθαι καλεῖς, ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ, ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; ΘΕΟ. Ἔγωγε. ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος. ὅταν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ, ἢ σκληρὸν ἐκ μαλακοῦ γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται· ἆρα οὐκ ἄξιον ἕτερον εἶδος φάναι κινήσεως; ΘΕΟ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ἀναγκαῖον μὲν οὖν. δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν. ΘΕΟ. Ὀρθῶς γε λέγων. ΣΩ. Τοῦτο τοίνυν οὕτω διελόμενοι διαλεγώμεθα ἤδη τοῖς τὰ πάντα φάσκουσι κινεῖσθαι, καὶ ἐρωτῶμεν· Πότερον πᾶν φατὲ ἀμφοτέρως κινεῖσθαι, φερόμενόν τε καὶ ἀλλοιούμενον, ἢ τὸ μέν τι ἀμφοτέρως, τὸ δ' ἑτέρως; ΘΕΟ. Ἀλλὰ μὰ Δί' ἔγωγε οὐκ ἔχω εἰπεῖν· οἶμαι δ' ἂν φάναι, ἀμφοτέρως. ΣΩ. Εἰ δέ γε μή, ὦ ἑταῖρε, κινούμενά τε ἑαυτοῖς καὶ ἑστῶτα φανεῖται, καὶ οὐδὲν μᾶλλον ὀρθῶς ἕξει εἰπεῖν ὅτι κινεῖται τὰ πάντα, ἢ ὅτι ἕστηκε. ΘΕΟ. Ἀληθέστατα λέγεις. ΣΩ. Οὐκοῦν ἐπειδὴ κινεῖσθαι αὐτὰ δεῖ, τὸ δὲ μὴ κινεῖσθαι μὴ ἐνεῖναι μηδενί, πάντα δὴ πᾶσαν κίνησιν ἀεὶ κινεῖται; ΘΕΟ. Ἀνάγκη. ΣΩ. Σκόπει δή μοι τόδε αὐτῶν· τῆς θερμότητος ἢ λευκότητος ἢ ὁτουοῦν γένεσιν οὐχ οὕτω πως ἐλέγομεν φάναι αὐτούς, φέρεσθαι ἕκαστον τούτων ἅμα αἰσθήσει μεταξὺ τοῦ ποιοῦντός τε καὶ

πάσχοντος, καὶ τὸ μὲν πάσχον, αἰσθητόν, ἀλλ' οὐκ αἴσθησιν ἔτι γίγνεσθαι, τὸ δὲ ποιοῦν, ποιόν τι, ἀλλ' οὐ ποιότητα; ἴσως οὖν ἡ ποιότης ἅμα ἀλλόκοτόν τε φαίνεται ὄνομα, καὶ οὐ μανθάνεις ἀθρόον λεγόμενον. κατὰ μέρη οὖν ἄκουε. τὸ γὰρ ποιοῦν οὔτε θερμότης, οὔτε λευκότης, θερμὸν δὲ καὶ λευκὸν γίγνεται, καὶ τἄλλα οὕτω. μέμνησαι γάρ που ἐν τοῖς πρόσθεν ὅτι οὕτως ἐλέγομεν, ἓν μηδὲν αὐτὸ καθ' αὑτὸ εἶναι, μηδ' αὖ τὸ ποιοῦν ἢ πάσχον, ἀλλ' ἐξ ἀμφοτέρων πρὸς ἄλληλα ξυγγιγνομένων, τὰς αἰσθήσεις καὶ τὰ αἰσθητὰ ἀποτίκτοντα, τὰ μὲν ποιά ἄττα γίγνεσθαι, τὰ δὲ αἰσθανόμενα. ΘΕΟ. Μέμνημαι. πῶς δ' οὔ; ΣΩ. Τὰ μὲν τοίνυν ἄλλα χαίρειν ἐάσωμεν, εἴτε ἄλλως, εἴτε οὕτω λέγουσιν· οὗ δ' ἕνεκα λέγομεν, τοῦτο μόνον φυλάττωμεν, ἐρωτῶντες· κινεῖται καὶ ῥεῖ, ὥς φατε, τὰ πάντα; ἦ γάρ; ΘΕΟ. Ναί. ΣΩ. Οὐκοῦν ἀμφοτέρας ἃς διειλόμεθα κινήσεις, φερόμενά τε καὶ ἀλλοιούμενα; ΘΕΟ. Πῶς δ' οὔ; εἴπερ γε δεῖ τελέως κινήσεσθαι. ΣΩ. Εἰ μὲν τοίνυν ἐφέρετο μόνον, ἠλλοιοῦτο δὲ μή, εἴχομεν ἄν που εἰπεῖν, οἷα ἄττα ῥεῖ τὰ φερόμενα· ἢ πῶς λέγομεν; ΘΕΟ. Οὕτω. ΣΩ. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο μένει, τὸ λευκὸν ῥεῖν τὸ ῥέον, ἀλλὰ μεταβάλλει, ὥστε καὶ αὐτοῦ τούτου εἶναι ῥοὴν τῆς λευκότητος, καὶ μεταβολὴν εἰς ἄλλην χρόαν, ἵνα μὴ ἁλῷ ταύτῃ μένον, ἆρά ποτε οἷόν τέ τι προσειπεῖν χρῶμα, ὥστε καὶ ὀρθῶς προσαγορεύειν; ΘΕΟ. Καὶ τίς μηχανή, ὦ Σώκρατες, ἢ ἄλλο γέ τι τῶν τοιούτων,

εἴπερ ἀεὶ λέγοντος ὑπεξέρχεται, ἅτε δὴ ῥέον; ΣΩ. Τί δὲ περὶ αἰσθήσεως ἐροῦμεν ὁποιασοῦν, οἷον τῆς τοῦ ὁρᾷν ἢ ἀκούειν; μένειν ποτὲ ἐν αὐτῷ τῷ ὁρᾷν ἢ ἀκούειν; ΘΕΟ. Οὔκουν δεῖ γε, εἴπερ πάντα κινεῖται. ΣΩ. Οὔτε ἄρα ὁρᾷν, προσρητέον τι μᾶλλον ἢ μὴ ὁρᾷν, οὐδέ τιν' ἄλλην αἴσθησιν μᾶλλον ἢ μή, πάντων γε πάντως κινουμένων. ΘΕΟ. Οὐ γὰρ οὖν. ΣΩ. Καὶ μὴν αἴσθησίς γε ἐπιστήμη, ὡς ἔφαμεν ἐγώ τε καὶ Θεαίτητος. ΘΕΟ. Ἦν ταῦτα. ΣΩ. Οὐδὲν ἄρα ἐπιστήμην μᾶλλον ἢ μὴ ἐπιστήμην ἀπεκρινάμεθα, ἐρωτώμενοι ὅ, τι ἐστὶν ἐπιστήμη. ΘΕΟ. Ἐοίκατε. ΣΩ. Καλὸν ἂν ἡμῖν ξυμβαίνοι τὸ ἐπανόρθωμα τῆς ἀποκρίσεως, προθυμηθεῖσιν ἀποδεῖξαι ὅτι πάντα κινεῖται, ἵνα δὴ ἐκείνη ἡ ἀπόκρισις ὀρθὴ φανῇ: τὸ δ', ὡς ἔοικεν, ἐφάνη, εἰ πάντα κινεῖται, πᾶσα ἀπόκρισις περὶ ὅτου ἄν τις ἀποκρίνηται, ὁμοίως ὀρθὴ εἶναι, οὕτω τ' ἔχειν φάναι καὶ μὴ οὕτως, εἰ δὲ βούλει, γίγνεσθαι, ἵνα μὴ στήσωμεν αὐτοὺς τῷ λόγῳ. ΘΕΟ. Ὀρθῶς λέγεις. ΣΩ. Πλήν γε, ὦ Θεόδωρε, ὅτι οὕτω τε εἶπον, καὶ οὐχ οὕτω· δεῖ δὲ οὐδὲ τοῦτο Οὕτω λέγειν· (οὐδὲ γὰρ ἂν ἔτι κινοῖτο Οὕτω·) οὐδ' αὖ Μὴ οὕτω· (οὐδὲ γὰρ τοῦτο κίνησις·) ἀλλά τιν' ἄλλην φωνὴν θετέον τοῖς τὸν λόγον τοῦτον λέγουσιν· ὡς νῦν γε πρὸς τὴν αὑτῶν ὑπόθεσιν οὐκ ἔχουσι ῥήματα, εἰ μὴ ἄρα τὸ Οὐδ' ὅπως· μάλιστα δ' οὕτως ἂν αὐτοῖς ἁρμόττοι, ἄπειρον λεγόμενον. ΘΕΟ. Οἰκειοτάτη οὖν διάλεκτος αὕτη αὐτοῖς. ΣΩ. Οὐκοῦν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου

ἀπηλλάγμεθα, καὶ οὔπω ξυγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάντων χρημάτων μέτρον εἶναι, ἂν μὴ φρόνιμός τις ᾖ, ἐπιστήμην τε αἴσθησιν οὐ ξυγχωρησόμεθα, κατά γε τὴν τοῦ πάντα κινεῖσθαι μέθοδον. εἰ μή τί πως ἄλλως Θεαίτητος ὅδε λέγει. ΘΕΟ. Ἄριστ' εἴρηκας, ὦ Σώκρατες. τούτων γὰρ περανθέντων, καὶ ἐμὲ δεῖ ἀπηλλάχθαι σοι ἀποκρινόμενον κατὰ τὰς ξυνθήκας, ἐπειδὴ τὸ περὶ τοῦ Πρωταγόρου λόγου τέλος σχοίη. XXIX. ΘΕΑΙ. Μή, πρίν γ' ἄν, ὦ Θεόδωρε, Σωκράτης τε καὶ σὺ τοὺς φάσκοντας αὖ τὸ πᾶν ἑστάναι διέλθητε, ὥσπερ ἄρτι προὔθεσθε. ΘΕΟ. Νέος ὢν, ὦ Θεαίτητε, τοὺς πρεσβυτέρους ἀδικεῖν διδάσκεις, ὁμολογίας παραβαίνοντας. ἀλλὰ παρασκευάζου ὅπως τῶν ἐπιλοίπων Σωκράτει δώσεις λόγον. ΘΕΑΙ. Ἐάνπερ γε βούληται. ἥδιστα μέντ' ἂν ἤκουσα περὶ ὧν λέγω. ΘΕΟ. Ἱππέας εἰς πεδίον προκαλεῖ, Σωκράτη εἰς λόγους προκαλούμενος· ἐρώτα οὖν καὶ ἀκούσῃ. ΣΩ. Ἀλλά μοι δοκῶ, ὦ Θεόδωρε, περί γε ὧν κελεύει Θεαίτητος, οὐ πείσεσθαι αὐτῷ. ΘΕΟ. Τί δὴ οὖν οὐ πείσεσθαι; ΣΩ. Μέλισσον μὲν καὶ τοὺς ἄλλους οἳ ἓν ἑστὼς λέγουσι τὸ πᾶν, αἰσχυνόμενος μὴ φορτικῶς σκώπτωμεν, ἧττον αἰσχύνομαι, ἢ ἕνα ὄντα Παρμενίδην. Παρμενίδης δέ μοι φαίνεται τὸ τοῦ Ὁμήρου, αἰδοῖός τέ μοι ἅμα δεινός τε. ξυμπροσέμιξα γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτῃ, καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. φοβοῦμαι οὖν μὴ οὔτε τὰ λεγόμενα ξυνίωμεν, τί τε διανοούμενος εἶπε, πολὺ

πλέον λειπώμεθα, καὶ τὸ μέγιστον, οὗ ἕνεκα ὁ λόγος ὥρμηται, ἐπιστήμης πέρι, τί ποτ' ἐστίν, ἄσκεπτον γένηται ὑπὸ τῶν ἐπεισκωμαζόντων λόγων, εἴ τις αὐτοῖς πείσεται· ἄλλως τε καὶ ὃ νῦν ἐγείρομεν, πλήθει ἀμήχανον, εἴτε τις ἐν παρέργῳ σκέψεται, ἀνάξι' ἂν πάθοι, εἴτε ἱκανῶς μηκυνόμενος, τὸ τῆς ἐπιστήμης ἀφανιεῖ· δεῖ δὲ οὐδέτερα, ἀλλὰ Θεαίτητον ὧν κυεῖ περὶ ἐπιστήμης πειρᾶσθαι ἡμᾶς τῇ μαιευτικῇ τέχνῃ ἀπολῦσαι. ΘΕΟ. Ἀλλὰ χρή, εἰ δοκεῖ, οὕτω ποιεῖν. ΣΩ. Ἔτι τοίνυν, ὦ Θεαίτητε, τοσόνδε περὶ τῶν εἰρημένων ἐπίσκεψαι· αἴσθησιν γὰρ δὴ ἐπιστήμην ἀπεκρίνω· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Εἰ οὖν τίς σε ὧδ' ἐρωτῴη· τῷ τὰ λευκὰ καὶ μέλανα ὁρᾷ ἄνθρωπος, καὶ τῷ τὰ ὀξέα καὶ βαρέα ἀκούει; εἴποις ἄν, οἶμαι, ὄμμασί τε καὶ ὠσί. ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων, καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον, τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον, ἔστι δὲ ὅτε ἀναγκαῖον· οἷον καὶ νῦν ἀνάγκη ἐπιλαβέσθαι τῆς ἀποκρίσεως ἣν ἀποκρίνῃ, ᾗ οὐκ ὀρθή. σκόπει γάρ, ἀπόκρισις ποτέρα ὀρθοτέρα; ᾧ ὁρῶμεν, τοῦτο εἶναι ὀφθαλμούς, ἢ δι' οὗ ὁρῶμεν· καὶ, ᾧ ἀκούομεν, ὦτα, ἢ δι' οὗ ἀκούομεν. ΘΕΑΙ. Δι' ὧν ἕκαστα αἰσθανόμεθα, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, μᾶλλον ἢ οἷς. ΣΩ. Δεινὸν γάρ που, ὦ παῖ, εἰ πολλαί τινες ἐν ἡμῖν, ὥσπερ ἐν δουρείοις ἵπποις, αἰσθήσεις ἐγκάθηνται, ἀλλὰ μὴ εἰς μίαν τινὰ ἰδέαν, εἴτε ψυχήν, εἴτε ὅ δεῖ καλεῖν,

πάντα ταῦτα ξυντείνει· ἢ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά. ΘΕΑΙ. Ἀλλά μοι δοκεῖ οὕτω μᾶλλον, ἢ ἐκείνως. ΣΩ. Τοῦδέ τοι ἕνεκα αὐτά σοι διακριβοῦμαι, εἴ τινι ἡμῶν αὐτῶν, τῷ αὐτῷ, διὰ μὲν ὀφθαλμῶν διϊκνούμεθα λευκῶν τε καὶ μελάνων, διὰ δὲ τῶν ἄλλων, ἑτέρων αὖ τινῶν, καὶ ἕξεις, ἐρωτώμενος, πάντα τὰ τοιαῦτα εἰς τὸ σῶμα ἀναφέρειν. ἴσως δὲ βέλτιόν σε λέγειν αὐτὰ ἀποκρινόμενον μᾶλλον, ἢ ἐμὲ ὑπὲρ σοῦ πολυπραγμονεῖν. καί μοι λέγε· θερμὰ καὶ ξηρὰ καὶ κοῦφα καὶ γλυκέα, δι' ὧν αἰσθάνῃ, ἆρα οὐ τοῦ σώματος ἕκαστα τίθης; ἢ ἄλλου τινός; ΘΕΑΙ. Οὐδενὸς ἄλλου. ΣΩ. Ἦ καὶ ἐθελήσεις ὁμολογεῖν, ἃ δι' ἑτέρας δυνάμεως αἰσθάνῃ, ἀδύνατον εἶναι δι' ἄλλης ταῦτ' αἰσθέσθαι, οἷον, ἃ δι' ἀκοῆς, δι' ὄψεως, ἢ ἃ δι' ὄψεως, δι' ἀκοῆς; ΘΕΑΙ. Πῶς γὰρ οὐκ ἐθελήσω; ΣΩ. Εἴ τι ἄρα περὶ ἀμφοτέρων διανοῇ, οὐκ ἂν διά γε τοῦ ἑτέρου ὀργάνου, οὐδ' αὖ διὰ τοῦ ἑτέρου περὶ ἀμφοτέρων αἰσθάνοι' ἄν. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Περὶ δὴ φωνῆς καὶ περὶ χρόας, πρῶτον μὲν αὐτὸ τοῦτο περὶ ἀμφοτέρων διανοῇ, ὅτι ἀμφοτέρω ἐστόν; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ ὅτι ἑκάτερον, ἑκατέρου μὲν ἕτερον, ἑαυτῷ δὲ ταὐτόν; ΘΕΑΙ. Τί μήν; ΣΩ. Καὶ ὅτι ἀμφοτέρω, δύο, ἑκάτερον δέ, ἕν; ΘΕΑΙ. Καὶ τοῦτο. ΣΩ. Οὐκοῦν καὶ εἴτε ἀνομοίω εἴτε ὁμοίω ἀλλήλοιν, δυνατὸς εἶ ἐπισκέψασθαι; ΘΕΑΙ. Ἴσως. ΣΩ. Ταῦτα δὴ πάντα διὰ τίνος περὶ αὐτοῖν διανοῇ; οὔτε γὰρ δι' ἀκοῆς, οὔτε δι' ὄψεως

οἷόν τε τὸ κοινὸν λαμβάνειν περὶ αὐτῶν. ἔτι δὲ καὶ
τόδε τεκμήριον περὶ οὗ λέγομεν· εἰ γὰρ δυνατὸν εἴη
ἀμφοτέρω σκέψασθαι, ἆρ' ἐστὸν ἁλμυρὼ ἢ οὔ, οἶσθ'
ὅτι ἕξεις εἰπεῖν ᾧ ἐπισκέψῃ, καὶ τοῦτο οὔτε ὄψις,
οὔτε ἀκοὴ φαίνεται, ἀλλά τι ἄλλο. ΘΕΑΙ. Τί δ' οὐ
μέλλει, ἥγε διὰ τῆς γλώττης δύναμις; ΣΩ. Καλῶς
λέγεις. ἡ δὲ δὴ διὰ τίνος δύναμις τό τ' ἐπὶ πᾶσι κοι-
νὸν καὶ τὸ ἐπὶ τούτοις δηλοῖ σοι, ᾧ τὸ ἔστιν ἐπονο-
μάζεις καὶ τὸ οὐκ ἔστιν, ἃ νῦν δὴ ἠρωτῶμεν περὶ
αὐτῶν, τούτοις πᾶσι ποῖα ἀποδώσεις ὄργανα, δι'
ὧν αἰσθάνεται ἡμῶν τὸ αἰσθανόμενον ἕκαστα;
ΘΕΑΙ. Οὐσίαν λέγεις καὶ τὸ μὴ εἶναι, καὶ ὁμοιότη-
τα καὶ ἀνομοιότητα, καὶ τὸ ταὐτόν τε καὶ τὸ ἕτερον,
ἔτι δὲ ἕν τε καὶ τὸν ἄλλον ἀριθμὸν περὶ αὐτῶν·
δῆλον δὲ ὅτι καὶ ἄρτιόν τε καὶ περιττὸν ἐρωτᾷς, καὶ
τἆλλα ὅσα τούτοις ἕπεται, διὰ τίνος ποτὲ τῶν τοῦ
σώματος τῇ ψυχῇ αἰσθανόμεθα. ΣΩ. Ὑπέρευ, ὦ
Θεαίτητε, ἀκολουθεῖς, καὶ ἔστιν, ἃ ἐρωτῶ, αὐτὰ
ταῦτα. ΘΕΑΙ. Ἀλλὰ μὰ Δία, ὦ Σώκρατες, ἔγωγε
οὐκ ἂν ἔχοιμι εἰπεῖν, πλήν γ' ὅτι μοι δοκεῖ τὴν ἀρ-
χὴν οὐδ' εἶναι τοιοῦτον οὐδὲν τούτοις ὄργανον ἴδιον,
ὥσπερ ἐκείνοις, ἀλλ' αὐτὴ δι' αὑτῆς ἡ ψυχὴ τὰ κοι-
νά μοι φαίνεται περὶ πάντων ἐπισκοπεῖν. ΣΩ. Κα-
λὸς γὰρ εἶ, ὦ Θεαίτητε, καὶ οὐχ, ὡς ἔλεγε Θεόδωρος,
αἰσχρός· ὁ γὰρ καλῶς λέγων, καλός τε κἀγαθός·
πρὸς δὲ τῷ καλῷ, εὖ ἐποίησάς με, μάλα συχνοῦ λό-
γου ἀπαλλάξας, εἰ φαίνεταί σοι, τὰ μὲν αὐτὴ δι'
αὑτῆς ἡ ψυχὴ ἐπισκοπεῖν, τὰ δὲ, διὰ τῶν τοῦ σώ-

ματος δυνάμεων. τοῦτο γὰρ ἦν ὃ καὶ αὐτῷ μοι ἐδόκει· ἐβουλόμην δὲ καὶ σοὶ δόξαι. ΘΕΑΙ. Ἀλλὰ μὴν φαίνεταί γε. XXX. ΣΩ. Ποτέρων οὖν τίθης τὴν οὐσίαν; τοῦτο γὰρ μάλιστα ἐπὶ πάντων παρέπεται. ΘΕΑΙ. Ἐγὼ μὲν, ὧν αὐτὴ ἡ ψυχὴ καθ᾽ αὑτὴν ἐπορέγεται. ΣΩ. Ἦ καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, καὶ τὸ ταὐτὸν καὶ ἕτερον; ΘΕΑΙ. Ναί. ΣΩ. Τί δὲ καλὸν καὶ αἰσχρὸν καὶ ἀγαθὸν καὶ κακόν; ΘΕΑΙ. Καὶ τούτων μοι δοκεῖ ἐν τοῖς μάλιστα πρὸς ἄλληλα σκοπεῖσθαι τὴν οὐσίαν, ἀναλογιζομένη ἐν ἑαυτῇ τὰ γεγονότα καὶ τὰ παρόντα πρὸς τὰ μέλλοντα. ΣΩ. Ἔχε δή· ἄλλο τι τοῦ μὲν σκληροῦ τὴν σκληρότητα διὰ τῆς ἐπαφῆς αἰσθήσεται, καὶ τοῦ μαλακοῦ τὴν μαλακότητα ὡσαύτως; ΘΕΑΙ. Ναί. ΣΩ. Τὴν δέ γε οὐσίαν, καὶ ὅ, τι ἐστόν, καὶ τὴν ἐναντιότητα πρὸς ἀλλήλω, καὶ τὴν οὐσίαν αὖ τῆς ἐναντιότητος αὐτὴ ἡ ψυχὴ ἐπανιοῦσα καὶ ξυμβάλλουσα πρὸς ἄλληλα, κρίνειν πειρᾶται ἡμῖν; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τὰ μὲν εὐθὺς γενομένοις πάρεστι φύσει αἰσθάνεσθαι ἀνθρώποις τε καὶ θηρίοις, ὅσα διὰ τοῦ σώματος παθήματα ἐπὶ τὴν ψυχὴν τείνει· τὰ δὲ περὶ τούτων ἀναλογίσματα πρός τε οὐσίαν καὶ ὠφέλειαν μόγις καὶ ἐν χρόνῳ διὰ πολλῶν πραγμάτων καὶ παιδείας παραγίγνεται οἷς ἂν καὶ παραγίγνηται; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Οἷόν τε οὖν ἀληθείας τυχεῖν, ᾧ μηδὲ οὐσίας; ΘΕΑΙ. Ἀδύνατον. ΣΩ. Οὗ δὲ ἀληθείας τις ἀτυχήσει, ποτὲ τούτου ἐπιστήμων ἔσται; ΘΕΑΙ. Καὶ πῶς ἄν, ὦ Σώκρατες;

ΣΩ. Ἐν μὲν ἄρα τοῖς παθήμασιν οὐκ ἔνι ἐπιστήμη, ἐν δὲ τῷ περὶ ἐκείνων συλλογισμῷ· οὐσίας γὰρ καὶ ἀληθείας ἐνταῦθα μὲν, ὡς ἔοικε, δυνατὸν ἅψασθαι, ἐκεῖ δὲ ἀδύνατον. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Ἦ οὖν ταὐτὸν ἐκεῖνό τε καὶ τοῦτο καλεῖς, τοσαύτας διαφορὰς ἔχοντε; ΘΕΑΙ. Οὔκουν ἂν δὴ δίκαιόν γε. ΣΩ. Τί οὖν δὴ ἐκείνῳ ἀποδίδως ὄνομα, τῷ ὁρᾷν, ἀκούειν, ὀσφραίνεσθαι, ψύχεσθαι, θερμαίνεσθαι; ΘΕΑΙ. Αἰσθάνεσθαι ἔγωγε· τί γὰρ ἄλλο; ΣΩ. Ξύμπαν ἄρ' αὐτὸ καλεῖς αἴσθησιν; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Ὧ γε, φαμὲν, οὐ μέτεστιν ἀληθείας ἅψασθαι, οὐδὲ γὰρ οὐσίας; ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Οὐδ' ἄρ' ἐπιστήμης; ΘΕΑΙ. Οὐ γάρ. ΣΩ. Οὐκ ἄρ' ἂν εἴη ποτὲ, ὦ Θεαίτητε, αἴσθησίς τε καὶ ἐπιστήμη ταὐτόν. ΘΕΑΙ. Οὐ φαίνεται, ὦ Σώκρατες. Καὶ μάλιστά γε νῦν καταφανέστατον γέγονεν ἄλλο ὂν αἰσθήσεως ἐπιστήμη. ΣΩ. ἀλλ' οὔτι μὲν δὴ τούτου γε ἕνεκα ἠρχόμεθα διαλεγόμενοι, ἵνα εὕρωμεν τί ποτ' οὐκ ἔστ' ἐπιστήμη, ἀλλὰ τί ἐστιν· ὅμως δὲ τοσοῦτόν γε προβεβήκαμεν, ὥστε μὴ ζητεῖν αὐτὴν ἐν αἰσθήσει τοπαράπαν, ἀλλ' ἐν ἐκείνῳ τῷ ὀνόματι, ὅ, τί ποτ' ἔχει ἡ ψυχὴ, ὅταν αὐτὴ καθ' αὑτὴν πραγματεύηται περὶ τὰ ὄντα. ΘΕΑΙ. Ἀλλὰ μὴν τοῦτό γε καλεῖται, ὦ Σώκρατες, ὡς ἐγῷμαι, δοξάζειν. ΣΩ. Ὀρθῶς γὰρ οἴει, ὦ φίλε, καὶ ὅρα δὴ νῦν πάλιν ἐξ ἀρχῆς, πάντα τὰ πρόσθεν ἐξαλείψας, εἴ τι μᾶλλον καθορᾷς, ἐπειδὴ ἐνταῦθα προελήλυθας, καὶ λέγε αὖθις τί ποτ' ἐστὶν ἐπιστήμη. XXXI. ΘΕΑΙ. Δόξαν μὲν πᾶσαν εἰπεῖν, ὦ

Σώκρατες, ἀδύνατον, ἐπειδὴ καὶ ψευδής ἐστι δόξα·
κινδυνεύει δὲ ἡ ἀληθὴς δόξα ἐπιστήμη εἶναι, καί μοι
τοῦτο ἀποκεκρίσθω. ἐὰν γὰρ μὴ φανῇ προϊοῦσιν,
ὥσπερ τονῦν, ἄλλο τι πειρασόμεθα λέγειν. ΣΩ.
Οὕτω μέντοι χρή, ὦ Θεαίτητε, λέγειν προθύμως μᾶλ-
λον, ἢ ὡς τοπρῶτον ὤκνεις ἀποκρίνεσθαι. ἐὰν γὰρ
οὕτω δρῶμεν, δυοῖν θάτερον, ἢ εὑρήσομεν ἐφ᾽ ὃ
ἐρχόμεθα, ἢ ἧττον οἰησόμεθα εἰδέναι ὃ μηδαμῇ ἴσμεν·
καίτοι οὐκ ἂν εἴη μεμπτὸς μισθὸς ὁ τοιοῦτος. καὶ
δὴ καὶ νῦν τί φῄς; δυοῖν ὄντοιν εἰδέοιν δόξης, τοῦ
μὲν ἀληθινοῦ, ψευδοῦς δὲ τοῦ ἑτέρου, τὴν ἀληθῆ
δόξαν ἐπιστήμην ὁρίζῃ; ΘΕΑΙ. Ἔγωγε· τοῦτο γὰρ
αὖ νῦν μοι φαίνεται. ΣΩ. Ἆρ᾽ οὖν ἔτι ἄξιον περὶ
δόξης ἀναλαβεῖν πάλιν; ΘΕΑΙ. Τὸ ποῖον δὴ λέγεις;
ΣΩ. Θράττει μέ πως νῦν τε καὶ ἄλλοτε δὴ πολλάκις.
ὥςτ᾽ ἐν ἀπορίᾳ πολλῇ πρὸς ἐμαυτὸν καὶ πρὸς ἄλλον
γεγονέναι, οὐκ ἔχοντα εἰπεῖν, τί ποτ᾽ ἐστὶ τοῦτο τὸ
πάθος παρ᾽ ἡμῖν, καὶ τίνα τρόπον ἐγγιγνόμενον.
ΘΕΑΙ. Τὸ ποῖον δή; ΣΩ. Τὸ δοξάζειν τινὰ ψευδῆ.
σκοπῶ δὴ καὶ νῦν, ἔτι διστάζων, πότερον ἐάσωμεν
αὐτὸ, ἢ ἐπισκεψώμεθα ἄλλον τρόπον ἢ ὀλίγον πρό-
τερον. ΘΕΑΙ. Τί μήν, ὦ Σώκρατες, εἴπερ γε καὶ
ὁπῃοῦν φαίνεται δεῖν; ἄρτι γὰρ οὐ κακῶς γε σὺ καὶ
ὁ Θεόδωρος ἐλέγετε σχολῆς πέρι, ὡς οὐδὲν ἐν τοῖς
τοιοῖσδε κατεπείγει. ΣΩ. Ὀρθῶς ὑπέμνησας· ἴσως
γὰρ οὐκ ἀπὸ καιροῦ πάλιν ὥσπερ ἴχνος μετελθεῖν.
κρεῖττον γάρ που σμικρὸν εὖ ἢ πολὺ μὴ ἱκανῶς πε-
ρᾶναι. ΘΕΑΙ. Τί μήν; ΣΩ. Πῶς οὖν; τί δὴ καὶ

λέγομεν; ψευδῆ φαμὲν ἑκάστοτε εἶναι δόξαν; καί τινα ἡμῶν δοξάζειν ψευδῆ, τὸν δ' αὖ ἀληθῆ, ὡς φύσει οὕτως ἐχόντων; ΘΕΑΙ. Φαμὲν γὰρ δή. ΣΩ. Οὐκοῦν τόδε γ' ἔσθ' ἡμῖν περὶ πάντα καὶ καθ' ἕκαστον, ἤτοι εἰδέναι, ἢ μὴ εἰδέναι; μανθάνειν γὰρ καὶ ἐπιλανθάνεσθαι μεταξὺ τούτων ὡς ὄντα χαίρειν λέγω ἐν τῷ παρόντι· νῦν γὰρ ἡμῖν πρὸς λόγον ἐστὶν οὐδέν. ΘΕΑΙ. Ἀλλὰ μήν, ὦ Σώκρατες, ἄλλο γ' οὐδὲν λείπεται περὶ ἕκαστον πλὴν εἰδέναι ἢ μὴ εἰδέναι. ΣΩ. Οὐκοῦν ἤδη ἀνάγκη τὸν δοξάζοντα δοξάζειν ἢ ὧν τι οἶδεν, ἢ μὴ οἶδε; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Καὶ μὴν εἰδότα γε μὴ εἰδέναι τὸ αὐτό, ἢ μὴ εἰδότα εἰδέναι, ἀδύνατον. ΘΕΑΙ. Πῶς δ' οὔ; ΣΩ. Ἆρ' οὖν ὁ τὰ ψευδῆ δοξάζων, ἃ οἶδε, ταῦτα οἴεται οὐ ταῦτα εἶναι, ἀλλὰ ἕτερα ἄττα ὧν οἶδε, καὶ ἀμφότερα εἰδὼς ἀγνοεῖ αὖ ἀμφότερα; ΘΕΑΙ. Ἀλλὰ ἀδύνατον, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' ἄρα, ἃ μὴ οἶδεν, ἡγεῖται αὐτὰ εἶναι ἕτερα ἄττα ὧν μὴ οἶδε, καὶ τοῦτ' ἐστὶ τῷ μήτε Θεαίτητον μήτε Σωκράτη εἰδότι εἰς τὴν διάνοιαν λαβεῖν, ὡς ὁ Σωκράτης, Θεαίτητος, ἢ ὁ Θεαίτητος, Σωκράτης; ΘΕΑΙ. Καὶ πῶς ἄν; ΣΩ. Ἀλλ' οὐ μήν, ἅ γέ τις οἶδεν, οἴεταί που ἃ μὴ οἶδεν αὐτὰ εἶναι· οὐδ' αὖ, ἃ μὴ οἶδεν, ἃ οἶδε. ΘΕΑΙ. Τέρας γὰρ ἔσται. ΣΩ. Πῶς οὖν ἂν ἔτι ψευδῆ δοξάσειεν; ἐκτὸς γὰρ τούτων, ἀδύνατόν που δοξάζειν, ἐπείπερ πάντα ἢ ἴσμεν, ἢ οὐκ ἴσμεν, ἐν δὲ τούτοις οὐδαμοῦ φαίνεται δυνατὸν ψευδῆ δοξάσαι. ΘΕΑΙ. Ἀληθέστατα. ΣΩ. Ἆρ' οὖν οὐ

ταύτῃ σκεπτέον ὃ ζητοῦμεν, κατὰ τὸ εἰδέναι καὶ μὴ εἰδέναι ἰόντας, ἀλλὰ κατὰ τὸ εἶναι καὶ μή; ΘΕΑΙ. Πῶς λέγεις; ΣΩ. Μὴ ἁπλοῦν ᾖ, ὅτι ὁ τὰ μὴ ὄντα περὶ ὁτουοῦν δοξάζων οὐκ ἔσθ᾽ ὡς οὐ ψευδῆ δοξάσει, κἂν ὁπωσοῦν ἄλλως τὰ τῆς διανοίας ἔχῃ. ΘΕΑΙ. Εἰκός γ᾽ αὖ, ὦ Σώκρατες. ΣΩ. Πῶς οὖν· τί ἐροῦμεν, ὦ Θεαίτητε, ἐάν τις ἡμᾶς ἀνακρίνῃ; δυνατὸν δὲ ὁτῳοῦν ὃ λέγεται, καί τις ἀνθρώπων τὸ μὴ ὂν δοξάσει, εἴτε περὶ τῶν ὄντων του, εἴτε αὐτὸ καθ᾽ αὑτό; Καὶ ἡμεῖς δή, ὡς ἔοικε, πρὸς ταῦτα φήσομεν, Ὅταν γε ἀληθῆ μὴ οἴηται οἰόμενος· ἢ πῶς ἐροῦμεν; ΘΕΑΙ. Οὕτω. ΣΩ. Ἦ οὖν καὶ ἄλλοθί που τὸ τοιοῦτόν ἐστι; ΘΕΑΙ. Τὸ ποῖον; ΣΩ. Εἴ τις ὁρᾷ μέν τι, ὁρᾷ δὲ οὐδέν. ΘΕΑΙ. Καὶ πῶς; ΣΩ. Ἀλλὰ μὴν εἰ ἕν γέ τι ὁρᾷ, τῶν ὄντων τι ὁρᾷ· ἢ σὺ οἴει ποτὲ τὸ ἓν ἐν τοῖς μὴ οὖσιν εἶναι; ΘΕΑΙ. Οὐκ ἔγωγε. ΣΩ. Ὁ ἄρα ἕν γέ τι ὁρῶν, ὄν τι ὁρᾷ. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Καὶ ὁ ἄρα τι ἀκούων, ἕν γέ τι ἀκούει καὶ ὂν ἀκούει. ΘΕΑΙ. Ναί. ΣΩ. Καὶ ὁ ἁπτόμενος δή του, ἑνός γέ του ἅπτεται, καὶ ὄντος ἅπτεται, εἴπερ ἑνός. ΘΕΑΙ. Καὶ τοῦτο. ΣΩ. Ὁ δὲ δὴ δοξάζων οὐχ ἕν τι δοξάζει; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Ὁ δ᾽ ἕν τι δοξάζων οὐκ ὄν τι; ΘΕΑΙ. Ξυγχωρῶ. ΣΩ. Ὁ ἄρα μὴ ὂν δοξάζων οὐδὲν δοξάζει. ΘΕΑΙ. Οὐ φαίνεται. ΣΩ. Ἀλλὰ μὴν ὅ γε μηδὲν δοξάζων τοπαράπαν οὐδὲ δοξάζει. ΘΕΑΙ. Δῆλον, ὡς ἔοικε. ΣΩ. Οὐκ ἄρα οἷόν τε τὸ μὴ ὂν δοξάζειν, οὔτε περὶ τῶν ὄντων, οὔτε αὐτὸ καθ᾽ αὑτό. ΘΕΑΙ.

Οὐ φαίνεται. ΣΩ. Ἄλλο τι ἄρ' ἐστὶ τὸ ψευδῆ δο-
ξάζειν τοῦ τὰ μὴ ὄντα δοξάζειν; ΘΕΑΙ. Ἄλλο ἔοι-
κε. ΣΩ. Οὐ γὰρ οὕτως, οὔτε, ὡς ὀλίγον πρότερον
ἐσκοποῦμεν, ψευδής ἐστι δόξα ἐν ἡμῖν. ΘΕΑΙ. Οὐ γὰρ
οὖν δή. XXXII. ΣΩ. Ἀλλ' ἄρα ὧδε τοῦτο γιγνόμενον
προσαγορεύομεν; ΘΕΑΙ. Πῶς; ΣΩ. Ἀλλοδοξίαν
τινὰ οὖσαν ψευδῆ φαμὲν εἶναι δόξαν, ὅταν τίς τι
τῶν ὄντων ἄλλο αὖ τῶν ὄντων, ἀνταλλαξάμενος τῇ
διανοίᾳ, φῇ εἶναι. οὕτω γὰρ ὂν μὲν ἀεὶ δοξάζει,
ἕτερον δὲ ἀνθ' ἑτέρου, καὶ ἁμαρτάνων οὗ ἐσκόπει,
δικαίως ἂν καλοῖτο ψευδῆ δοξάζων. ΘΕΑΙ. Ὀρθό-
τατά μοι νῦν δοκεῖς εἰρηκέναι. ὅταν γάρ τις ἀντὶ
καλοῦ αἰσχρὸν ἢ ἀντὶ αἰσχροῦ καλὸν δοξάζῃ, τότε
ὡς ἀληθῶς δοξάζει ψευδῆ. ΣΩ. Δῆλος εἶ, ὦ Θεαί-
τητε, καταφρονῶν μου καὶ οὐ δεδιώς. ΘΕΑΙ. Τί
μάλιστα; ΣΩ. Οὐκ ἄν, οἶμαι, σοὶ δοκῶ τοῦ ἀλη-
θῶς ψευδοῦς ἀντιλαβέσθαι ἐρόμενος, εἰ οἷόν τε τα-
χὺ βραδέως ἢ κοῦφον βαρέως, ἢ ἄλλο τι ἐναντίον
μὴ κατὰ τὴν αὑτοῦ φύσιν, ἀλλὰ κατὰ τὴν τοῦ ἐναν-
τίου γίγνεσθαι ἑαυτῷ ἐναντίως. τοῦτο μὲν οὖν, ἵνα
μὴ μάτην θαῤῥήσῃς, ἀφίημι. ἀρέσκει δέ, ὡς φῄς,
τὸ τὰ ψευδῆ δοξάζειν ἀλλοδοξεῖν εἶναι; ΘΕΑΙ.
Ἔμοιγε. ΣΩ. Ἔστιν ἄρα, κατὰ τὴν σὴν δόξαν, ἕτε-
ρόν τι, ὡς ἕτερον, καὶ μὴ ὡς ἐκεῖνο, τῇ διανοίᾳ τί-
θεσθαι. ΘΕΑΙ. Ἔστι μέντοι. ΣΩ. Ὅταν οὖν τοῦθ'
ἡ διάνοιά του δρᾷ, οὐ καὶ ἀνάγκη αὐτὴν ἤτοι ἀμ-
φότερα ἢ τὸ ἕτερον διανοεῖσθαι; ΘΕΑΙ. Ἀνάγκη
μὲν οὖν. ΣΩ. Ἤτοι ἅμα γε ἢ ἐν μέρει; ΘΕΑΙ.

Κάλλιστα. ΣΩ. Τὸ δὲ διανοεῖσθαι ἆρ', ὅπερ ἐγώ, καλεῖς; ΘΕΑΙ. Τί καλῶν; ΣΩ. Λόγον ὃν αὐτὴ πρὸς αὐτὴν ἡ ψυχὴ διεξέρχεται περὶ ὧν ἂν σκοπῇ, ὥς γε μὴ εἰδώς σοι ἀποφαίνομαι. τοῦτο γάρ μοι ἰνδάλλεται, διανοουμένη οὐκ ἄλλο τι ἢ διαλέγεσθαι, αὐτὴ ἑαυτὴν ἐρωτῶσα καὶ ἀποκρινομένη, καὶ φάσκουσα, καὶ οὐ φάσκουσα· ὅταν δὲ ὁρίσασα, εἴτε βραδύτερον, εἴτε ὀξύτερον ἐπαΐξασα, τὸ αὐτὸ ἤδη φῇ καὶ μὴ διστάζῃ, δόξαν ταύτην τίθεμεν αὐτῆς· ὥστ' ἔγωγε τὸ δοξάζειν λέγειν καλῶ, καὶ τὴν δόξαν, λόγον εἰρημένον· οὐ μέντοι πρὸς ἄλλον, οὐδὲ φωνῇ, ἀλλὰ σιγῇ, πρὸς αὐτόν. σὺ δὲ τί; ΘΕΑΙ. Κἀγώ. ΣΩ. Ὅταν ἄρα τις τὸ ἕτερον ἕτερον δοξάζῃ, καὶ φησίν, ὡς ἔοικε, τὸ ἕτερον ἕτερον εἶναι πρὸς ἑαυτόν. ΘΕΑΙ. Τί μήν; ΣΩ. Ἀναμιμνήσκου δή, εἰ πώποτ' εἶπες πρὸς σεαυτόν, ὅτι παντὸς μᾶλλον τό τοι καλὸν αἰσχρόν ἐστιν, ἢ τὸ ἄδικον δίκαιον, ἢ καὶ (τὸ πάντων κεφάλαιον) σκόπει, εἴ ποτ' ἐπεχείρησας σεαυτὸν πείθειν ὡς παντὸς μᾶλλον τὸ ἕτερον ἕτερόν ἐστιν, ἢ πᾶν τοὐναντίον οὐδ' ἐν ὕπνῳ πώποτε ἐτόλμησας εἰπεῖν πρὸς σεαυτόν, ὡς παντάπασιν ἄρα τὰ περιττὰ ἄρτιά ἐστιν, ἢ τι ἄλλο τοιοῦτον. ΘΕΑΙ. Ἀληθῆ λέγεις. ΣΩ. Ἄλλον δέ τινα οἴει ὑγιαίνοντα, ἢ μαινόμενον, τολμῆσαι σπουδῇ πρὸς ἑαυτὸν εἰπεῖν, ἀναπείθοντα αὐτόν, ὡς ἀνάγκη τὸν ἵππον βοῦν εἶναι, ἢ τὰ δύο ἕν; ΘΕΑΙ. Μὰ Δί', οὐκ ἔγωγε. ΣΩ. Οὐκοῦν εἰ τὸ λέγειν πρὸς ἑαυτόν, δοξάζειν ἐστίν, οὐδεὶς ἀμφότερα λέγων καὶ δοξάζων καὶ ἐφαπτόμε-

νος ἀμφοῖν τῇ ψυχῇ εἴποι ἂν καὶ δοξάσειεν ὡς τὸ ἕτερον ἕτερόν ἐστιν. ἐατέον δὲ καὶ σοὶ τὸ ῥῆμα περὶ τοῦ ἑτέρου. λέγω γὰρ αὐτὸ τῇδε, μηδένα δοξάζειν ὡς τὸ αἰσχρὸν καλόν, ἢ ἄλλο τι τῶν τοιούτων. ΘΕΑΙ. Ἀλλ', ὦ Σώκρατες, ἐῶ τε καί μοι δοκεῖ ὡς λέγεις. ΣΩ. Ἄμφω μὲν ἄρα δοξάζοντα ἀδύνατον τὸ ἕτερον ἕτερον δοξάζειν. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Ἀλλὰ μὴν τὸ ἕτερόν γε μόνον δοξάζων, τὸ δὲ ἕτερον μηδαμῇ, οὐδέποτε δοξάσει τὸ ἕτερον ἕτερον εἶναι. ΘΕΑΙ. Ἀληθῆ λέγεις· ἀναγκάζοιτο γὰρ ἂν ἐφάπτεσθαι καὶ οὗ μὴ δοξάζει. ΣΩ. Οὔτ' ἄρ' ἀμφότερα οὔτε τὸ ἕτερον δοξάζοντι ἐγχωρεῖ ἀλλοδοξεῖν· ὥστ' εἴ τις ὁριεῖται δόξαν εἶναι ψευδῆ τὸ ἑτεροδοξεῖν, οὐδὲν ἂν λέγοι. οὔτε γὰρ ταύτῃ, οὔτε κατὰ τὰ πρότερα φαίνεται ψευδὴς ἐν ἡμῖν οὖσα δόξα. ΘΕΑΙ. Οὐκ ἔοικε.

XXXIII. ΣΩ. Ἀλλὰ μέντοι, ὦ Θεαίτητε, εἰ τοῦτο μὴ φανήσεται ὄν, πολλὰ ἀναγκασθησόμεθα ὁμολογεῖν καὶ ἄτοπα. ΘΕΑΙ. Τὰ ποῖα δή; ΣΩ. Οὐκ ἐρῶ σοι, πρὶν ἂν πανταχῇ πειραθῶ σκοπῶν. αἰσχυνοίμην γὰρ ἂν ὑπὲρ ἡμῶν, ἐν ᾧ ἀποροῦμεν, ἀναγκαζομένων ὁμολογεῖν οἷα λέγω. ἀλλ' ἐὰν εὕρωμεν καὶ ἐλεύθεροι γενώμεθα, τότ' ἤδη περὶ τῶν ἄλλων ἐροῦμεν, ὡς πασχόντων, αὐτοὶ ἐκτὸς τοῦ γελοίου ἑστῶτες· ἐὰν δὲ πάντῃ ἀπορήσωμεν, ταπεινωθέντες, οἶμαι, τῷ λόγῳ παρέξομεν, ὡς ναυτιῶντες, πατεῖν τε καὶ χρῆσθαι ὅ, τι ἂν βούληται. ᾗ οὖν ἔτι πόρον τινὰ εὑρίσκω τοῦ ζητήματος ἡμῖν, ἄκουε. ΘΕΑΙ. Λέγε μόνον. ΣΩ. Οὐ φήσω ἡμᾶς ὀρθῶς ὁμολογῆσαι, ἡνίκα ὡμολογή-

σαμεν, ἅ τις οἶδεν, ἀδύνατον δοξάσαι, ἃ μὴ οἶδεν, εἶναι αὐτά, καὶ ψευσθῆναι· ἀλλά πη δυνατόν. ΘΕΑΙ. Ἆρα λέγεις ὃ καὶ ἐγὼ τότε ὑπώπτευσα ἡνίκ' αὐτὸ ἔφαμεν, τοιοῦτον εἶναι, ὅτι ἐνίοτ' ἐγὼ γιγνώσκων Σωκράτη, πόῤῥωθεν δὲ ὁρῶν ἄλλον ὃν οὐ γιγνώσκω, ᾠήθην εἶναι Σωκράτη ὃν οἶδα; γίγνεται γὰρ δὴ ἐν τῷ τοιούτῳ οἷον λέγεις. ΣΩ. Οὐκοῦν ἀπέστημεν αὐτοῦ, ὅτι, ἃ ἴσμεν, ἐποίει ἡμᾶς εἰδότας μὴ εἰδέναι; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Μὴ γὰρ οὕτω τιθῶμεν, ἀλλ' ὧδε, καὶ ἴσως πη ἡμῖν ξυγχωρήσεται, ἴσως δὲ ἀντιτενεῖ. ἀλλὰ γὰρ ἐν τῷ τοιούτῳ ἐχόμεθα, ἐν ᾧ ἀνάγκη πάντα μεταστρέφοντα λόγον βασανίζειν. σκόπει οὖν εἴ τι λέγω· ἆρα ἔστι μὴ εἰδότα τι πρότερον, ὕστερον μαθεῖν; ΘΕΑΙ. Ἔστι μέντοι. ΣΩ. Οὐκοῦν καὶ αὖθις ἕτερον καὶ ἕτερον; ΘΕΑΙ. Τί δ' οὔ; ΣΩ. Θὲς δή μοι, λόγου ἕνεκα, ἐν ταῖς ψυχαῖς ἡμῶν ἐν κήρινον ἐκμαγεῖον· τῷ μὲν μεῖζον, τῷ δ' ἔλαττον, καὶ τῷ μὲν καθαρωτέρου κηροῦ, τῷ δὲ κοπρωδεστέρου καὶ σκληροτέρου, ἐνίοις δὲ ὑγροτέρου, ἔστι δ' οἷς μετρίως ἔχοντος. ΘΕΑΙ. Τίθημι. ΣΩ. Δῶρον τοίνυν αὐτὸ φῶμεν εἶναι τῆς τῶν Μουσῶν μητρὸς Μνημοσύνης, καὶ ἐς τοῦτο, ὅ, τι ἂν βουληθῶμεν μνημονεῦσαι ὧν ἂν ἴδωμεν ἢ ἀκούσωμεν ἢ αὐτοὶ ἐννοήσωμεν, ὑπέχοντες αὐτὸ ταῖς αἰσθήσεσι καὶ ἐννοίαις, ἀποτυποῦσθαι, ὥσπερ δακτυλίων σημεῖα ἐνσημαινομένους· καὶ ὃ μὲν ἂν ἐκμαγῇ, μνημονεύειν τε καὶ ἐπίστασθαι, ἕως ἂν ἐνῇ τὸ εἴδωλον αὐτοῦ· ὅταν δὲ ἐξαλειφθῇ, ἢ μὴ οἷόν τε γένηται

ἐκμαγῆναι, ἐπιλελῆσθαί τε καὶ μὴ ἐπίστασθαι. ΘΕΑΙ. Ἔστω οὕτω. ΣΩ. Ὁ τοίνυν ἐπιστάμενος μὲν αὐτά, σκοπῶν δέ τι ὧν ὁρᾷ ἢ ἀκούει, ἄθρει εἰ ἄρα τοιῷδε τρόπῳ ψευδῆ ἂν δοξάσειε. ΘΕΑΙ. Ποίῳ δή τινι; ΣΩ. Ἃ οἶδεν, οἰηθεὶς εἶναι τοτὲ μέν, ἃ οἶδε, τοτὲ δέ, ἃ μή. ταῦτα γὰρ ἐν τοῖς πρόσθεν οὐ καλῶς ὡμολογήσαμεν ὁμολογοῦντες ἀδύνατα. ΘΕΑΙ. Νῦν δὲ πῶς λέγεις; ΣΩ. Δεῖ ὧδε λέγεσθαι περὶ αὐτῶν, ἐξ ἀρχῆς διοριζομένους· Ὅτι ὃ μέν τις οἶδεν, ἔχων αὐτοῦ μνημεῖον ἐν τῇ ψυχῇ, αἰσθάνεται δὲ αὐτὸ μή, οἰηθῆναι ἕτερόν τι ὧν οἶδεν, ἔχοντα καὶ ἐκείνου τύπον, αἰσθανόμενον δὲ μή, ἀδύνατον· καὶ ὅ γε οἶδεν αὖ, οἰηθῆναι εἶναι, ὃ μὴ οἶδε μηδ' ἔχει αὐτοῦ σφραγῖδα· καὶ ὃ μὴ οἶδεν, ὃ μὴ οἶδεν αὖ· καὶ ὃ μὴ οἶδεν, ὃ οἶδε· καὶ ὃ αἰσθάνεταί γε, ἕτερόν τι ὧν αἰσθάνεται, οἰηθῆναι εἶναι· καὶ ὃ αἰσθάνεται, ὧν τι μὴ αἰσθάνεται· καὶ ὃ μὴ αἰσθάνεται, ὧν μὴ αἰσθάνεται· καὶ ὃ μὴ αἰσθάνεται, ὧν αἰσθάνεται· καὶ ἔτι γε αὖ ὧν οἶδε καὶ αἰσθάνεται καὶ ἔχει τὸ σημεῖον κατὰ τὴν αἴσθησιν, οἰηθῆναι αὖ ἕτερόν τι ὧν οἶδε καὶ αἰσθάνεται καὶ ἔχει αὖ καὶ ἐκείνου τὸ σημεῖον κατὰ τὴν αἴσθησιν, ἀδυνατώτερον ἔτι ἐκείνων, εἰ οἷόν τε· καὶ ὃ οἶδε καὶ ὃ αἰσθάνεται ἔχων τὸ μνημεῖον ὀρθῶς, ὃ οἶδεν, οἰηθῆναι ἀδύνατον· καὶ ὃ οἶδε καὶ ὃ αἰσθάνεται ἔχων κατὰ ταὐτά, ὃ αἰσθάνεται· καὶ ὃ αὖ μὴ οἶδε μηδὲ αἰσθάνεται, ὃ μὴ οἶδε μηδὲ αἰσθάνεται· καὶ ὃ μὴ οἶδε μηδὲ αἰσθάνεται, ὃ μὴ οἶδε· καὶ ὃ μὴ οἶδε μηδὲ

αἰσθάνεται, ὃ μὴ αἰσθάνεται· πάντα ταῦτα ὑπερβάλλει ἀδυναμίᾳ τοῦ ἐν αὐτοῖς ψευδῆ τινα δοξάσαι. λείπεται δὴ ἐν τοῖς τοιοῖσδε, εἴπερ που ἄλλοθι, τὸ τοιοῦτον γενέσθαι. ΘΕΑΙ. Ἐν τίσι δή; ἐὰν ἄρα ἐξ αὐτῶν τι μᾶλλον μάθω· νῦν μὲν γὰρ οὐχ ἕπομαι. ΣΩ. Ἐν οἷς οἶδεν, οἰηθῆναι αὐτὰ ἕτερ' ἄττα εἶναι ὧν οἶδε καὶ αἰσθάνεται, ἢ ὧν μὴ οἶδεν, αἰσθάνεται δέ, ἢ ὧν οἶδε καὶ αἰσθάνεται, ὧν οἶδεν αὖ καὶ αἰσθάνεται. XXXIV. ΘΕΑΙ. Νῦν πολὺ πλεῖον ἀπελείφθην ἢ τότε. ΣΩ. Ὧδε δὴ αὖ πάλιν ἄκουε· ἐγὼ εἰδὼς Θεόδωρον καὶ ἐν ἐμαυτῷ μεμνημένος οἷός ἐστι, καὶ Θεαίτητον κατὰ ταὐτά, ἄλλο τι ἐνίοτε μὲν ὁρῶ αὐτούς, ἐνίοτε δὲ οὔ, καὶ ἅπτομαί ποτ' αὐτῶν, τοτὲ δ' οὔ, καὶ ἀκούω, ἤ τινα ἄλλην αἴσθησιν αἰσθάνομαι, τοτὲ δ' αἴσθησιν μὲν οὐδεμίαν ἔχω περὶ ὑμῶν, μέμνημαι δὲ ὑμᾶς οὐδὲν ἧττον καὶ ἐπίσταμαι αὐτὸς ἐμαυτῷ. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Τοῦτο τοίνυν πρῶτον μάθε ὧν βούλομαι δηλῶσαι, ὡς ἔστι μέν, ἃ οἶδε, μὴ αἰσθάνεσθαι, ἔστι δὲ αἰσθάνεσθαι. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Οὐκοῦν καὶ ἃ μὴ οἶδε, πολλάκις μέν ἐστι μηδὲ αἰσθάνεσθαι, πολλάκις δὲ αἰσθάνεσθαι μόνον; ΘΕΑΙ. Ἔστι καὶ τοῦτο. ΣΩ. Ἴδε δή, ἐάν τι μᾶλλον νῦν ἐπίσπῃ· Σωκράτης ἐπιγιγνώσκει Θεόδωρον καὶ Θεαίτητον, ὁρᾷ δὲ μηδέτερον, μηδὲ ἄλλη αἴσθησις αὐτῷ πάρεστι περὶ αὐτῶν· οὐκ ἄν ποτε ἐν ἑαυτῷ δοξάσειεν ὡς ὁ Θεαίτητός ἐστι Θεόδωρος. λέγω τι, ἢ οὐδέν; ΘΕΑΙ. Ναί, ἀληθῆ γε. ΣΩ. Τοῦτο μὲν τοίνυν ἐκείνων πρῶτον ἦν ὧν ἔλεγον. ΘΕΑΙ.

Ἦν γάρ. ΣΩ. Δεύτερον τοίνυν, ὅτι τὸν μὲν γιγνώσκων ὑμῶν, τὸν δὲ μὴ γιγνώσκων, αἰσθανόμενος δὲ μηδέτερον, οὐκ ἄν ποτε αὖ οἰηθείην, ὃν οἶδα, εἶναι ὃν μὴ οἶδα. ΘΕΑΙ. Ὀρθῶς. ΣΩ. Τρίτον δὲ, μηδέτερον γιγνώσκων, μηδὲ αἰσθανόμενος, οὐκ ἂν οἰηθείην, ὃν μὴ οἶδα, ἕτερόν τιν' εἶναι ὧν μὴ οἶδα· καὶ τἆλλα τὰ πρότερα πάνθ' ἑξῆς νόμιζε πάλιν ἀκηκοέναι, ἐν οἷς οὐδέποτ' ἐγὼ περὶ σοῦ καὶ Θεοδώρου τὰ ψευδῆ δοξάσω, οὔτε γιγνώσκων, οὔτε ἀγνοῶν ἄμφω, οὔτε τὸν μὲν, τὸν δ' οὐ γιγνώσκων· καὶ περὶ αἰσθήσεων κατὰ ταὐτὰ, εἰ ἄρα ἕπῃ. ΘΕΑΙ. Ἕπομαι. ΣΩ. Λείπεται τοίνυν τὰ ψευδῆ δοξάσαι, ἐν τῷδε, ὅταν γιγνώσκων σὲ καὶ Θεόδωρον, καὶ ἔχων ἐν ἐκείνῳ τῷ κηρίνῳ, ὥςπερ δακτυλίων, σφῷν ἀμφοῖν τὰ σημεῖα, διὰ μακροῦ καὶ μὴ ἱκανῶς ὁρῶν ἄμφω, προθυμηθῶ, τὸ οἰκεῖον ἑκατέρου σημεῖον ἀποδοὺς τῇ οἰκείᾳ ὄψει, ἐμβιβάσας προςαρμόσαι εἰς τὸ ἑαυτῆς ἴχνος, ἵνα γένηται ἀναγνώρισις· εἶτα τούτων ἀποτυχὼν καὶ ὥςπερ οἱ ἔμπαλιν ὑποδούμενοι παραλλάξας, προςβάλω τὴν ἑκατέρου ὄψιν πρὸς τὸ ἀλλότριον σημεῖον· ἢ καὶ οἷα τὰ ἐν τοῖς κατόπτροις τῆς ὄψεως πάθη, δεξιὰ εἰς ἀριστερὰ μεταῤῥεούσης, ταὐτὸν παθὼν διαμάρτω· τότε δὴ ξυμβαίνει ἡ ἑτεροδοξία, καὶ τὸ ψευδῆ δοξάζειν. ΘΕΑΙ. Ἔοικε γὰρ, ὦ Σώκρατες, θαυμασίως, ᾧ λέγεις, τὸ τῆς δόξης πάθος. ΣΩ. Ἔτι τοίνυν καὶ ὅταν ἀμφοτέρους γιγνώσκων, τὸν μὲν, πρὸς τῷ γιγνώσκειν, αἰσθάνωμαι, τὸν δὲ μή, τὴν δὲ γνῶσιν τοῦ ἑτέρου

μὴ κατὰ τὴν αἴσθησιν ἔχω. ὃ ἐν τοῖς πρόσθεν οὕτως ἔλεγον, καί μου τότε οὐκ ἐμάνθανες. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Τοῦτο μὴν ἔλεγον, ὅτι ὁ γιγνώσκων τὸν ἕτερον, καὶ αἰσθανόμενος, καὶ τὴν γνῶσιν κατὰ τὴν αἴσθησιν αὐτοῦ ἔχων, οὐδέποτε οἰήσεται εἶναι αὐτὸν ἕτερόν τινα ὧν γιγνώσκει τε καὶ αἰσθάνεται, καὶ τὴν γνῶσιν αὖ καὶ ἐκείνου ἔχει κατὰ τὴν αἴσθησιν· ἦν γὰρ τοῦτο; ΘΕΑΙ. Ναί. ΣΩ. Παρελείπετο δέ γέ που τὸ νῦν λεγόμενον, ἐν ᾧ δή φαμεν τὴν ψευδῆ δόξαν γίγνεσθαι, τὸ ἄμφω γιγνώσκοντα, καὶ ἄμφω ὁρῶντα, ἤ τινα ἄλλην αἴσθησιν ἔχοντα ἀμφοῖν, [τῷ σημείῳ] μὴ κατὰ τὴν αὑτοῦ αἴσθησιν ἑκάτερον ἔχειν, ἀλλ', οἷον τοξότην φαῦλον ἱέντα, παραλλάξαι τοῦ σκοποῦ καὶ ἁμαρτεῖν· ὃ δὴ καὶ ψεῦδος ἄρα ὠνόμασται. ΘΕΑΙ. Εἰκότως γε. ΣΩ. Καὶ ὅταν τοίνυν τῷ μὲν παρῇ αἴσθησις τῶν σημείων, τῷ δὲ μή, τὸ δὲ τῆς ἀπούσης αἰσθήσεως τῇ παρούσῃ προσαρμόσῃ, πάντῃ ταύτῃ ψεύδεται ἡ διάνοια· καὶ ἑνὶ λόγῳ, περὶ ὧν μὲν μὴ οἶδέ τις μηδὲ ᾔσθετο πώποτε, οὐκ ἔστιν, ὡς ἔοικεν, οὔτε ψεύδεσθαι, οὔτε ψευδὴς δόξα, εἴ τι νῦν ἡμεῖς ὑγιὲς λέγομεν· περὶ δὲ ὧν ἴσμεν τε καὶ αἰσθανόμεθα, ἐν αὐτοῖς τούτοις στρέφεται καὶ ἑλίττεται ἡ δόξα, ψευδὴς καὶ ἀληθὴς γιγνομένη· καταντικρὺ μὲν καὶ κατὰ τὸ εὐθὺ τὰ οἰκεῖα ξυνάγουσα ἀποτυπώματα καὶ τυποῦσα, ἀληθής, εἰς πλάγια δὲ καὶ σκολιά, ψευδής. ΘΕΑΙ. Οὐκοῦν καλῶς, ὦ Σώκρατες, λέγεται; ΣΩ. Ἔτι τοίνυν καὶ τάδε ἀκούσας, μᾶλλον αὐτὸ ἐρεῖς. τὸ μὲν

γὰρ τἀληθὲς δοξάζειν, καλόν, τὸ δὲ ψεύδεσθαι, αἰσχρόν. ΘΕΑΙ. Πῶς δ' οὔ; ΣΩ. Ταῦτα τοίνυν φασὶν ἐνθένδε γίγνεσθαι· ὅταν μὲν ὁ κηρός του ἐν τῇ ψυχῇ βαθύς τε καὶ πολὺς καὶ λεῖος καὶ μετρίως ὠργασμένος ᾖ, τὰ ἰόντα διὰ τῶν αἰσθήσεων, ἐνσημαινόμενα εἰς τοῦτο τὸ τῆς ψυχῆς κέαρ, ὃ ἔφη Ὅμηρος, αἰνιττόμενος τὴν τοῦ κηροῦ ὁμοιότητα, τότε μὲν καὶ τούτοις καθαρὰ τὰ σημεῖα ἐγγιγνόμενα, καὶ ἱκανῶς τοῦ βάθους ἔχοντα, πολυχρόνιά τε γίγνεται, καὶ εἰσιν οἱ τοιοῦτοι, πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες· εἶτα οὐ παραλλάττουσι τῶν αἰσθήσεων τὰ σημεῖα, ἀλλὰ δοξάζουσιν ἀληθῆ· σαφῆ γὰρ καὶ ἐν εὐρυχωρίᾳ ὄντα ταχὺ διανέμουσιν ἐπὶ τὰ αὑτῶν ἕκαστα ἐκμαγεῖα, ἃ δὴ ὄντα καλεῖται· καὶ σοφοὶ δὴ οὗτοι καλοῦνται. ἢ οὐ δοκεῖ σοι; ΘΕΑΙ. Ὑπερφυῶς μὲν οὖν. ΣΩ. Ὅταν τοίνυν λάσιόν του τὸ κέαρ ᾖ, ὃ δὴ ἐπῄνεσεν ὁ πάντα σοφὸς ποιητής, ἢ ὅταν κοπρῶδες καὶ μὴ καθαροῦ τοῦ κηροῦ, ἢ ὑγρὸν σφόδρα ἢ σκληρόν· ὧν μὲν ὑγρόν, εὐμαθεῖς μέν, ἐπιλήσμονες δὲ γίγνονται· ὧν δὲ σκληρόν, τἀναντία· οἱ δὲ δὴ λάσιον καὶ τραχὺ λιθῶδές τι, ἢ γῆς ἢ κόπρου ξυμμιγείσης ἔμπλεων, ἔχοντες, ἀσαφῆ τὰ ἐκμαγεῖα ἴσχουσιν· ἀσαφῆ δὲ καὶ οἱ τὰ σκληρά· βάθος γὰρ οὐκ ἔνι. ἀσαφῆ δὲ καὶ οἱ τὰ ὑγρά· ὑπὸ γὰρ τοῦ ξυγχεῖσθαι ταχὺ γίγνεται ἀμυδρά· ἐὰν δὲ πρὸς πᾶσι τούτοις ἐπ' ἀλλήλων ξυμπεπτωκότα ᾖ ὑπὸ στενοχωρίας, ἐάν του σμικρὸν ᾖ τὸ ψυχάριον, ἔτι ἀσαφέστερα ἐκείνων, πάντες οὖν αὗτοι γίγνονται οἷοι δοξάζειν

ψευδῆ. ὅταν γάρ τι ὁρῶσιν, ἢ ἀκούωσιν, ἢ ἐπινοῶσιν, ἕκαστα ἀπονέμειν ταχὺ ἑκάστοις οὐ δυνάμενοι, βραδεῖς τε εἰσὶ καὶ ἀλλοτριονομοῦντες παρορῶσί τε καὶ παρακούουσι καὶ παρανοοῦσι πλεῖστα, καὶ καλοῦνται αὖ οὗτοι ἐψευσμένοι τε δὴ τῶν ὄντων καὶ ἀμαθεῖς. ΘΕΑΙ. Ὀρθότατα ἀνθρώπων λέγεις, ὦ Σώκρατες. ΣΩ. Φῶμεν ἄρα ἐν ἡμῖν ψευδεῖς δόξας εἶναι; ΘΕΑΙ. Σφόδρα γε. ΣΩ. Καὶ ἀληθεῖς δή; ΘΕΑΙ. Καὶ ἀληθεῖς. ΣΩ. Ἤδη οὖν οἰόμεθα ἱκανῶς ὡμολογῆσθαι ὅτι παντὸς μᾶλλον ἐστὸν ἀμφοτέρα τούτω τὼ δόξα; ΘΕΑΙ. Ὑπερφυῶς μὲν οὖν.

XXXV. ΣΩ. Δεινόν γε, ὦ Θεαίτητε, ὡς ἀληθῶς κινδυνεύει καὶ ἀηδὲς εἶναι ἀνὴρ ἀδολέσχης. ΘΕΑΙ. Τί δέ; πρὸς τί τοῦτ᾽ εἶπες; ΣΩ. Τὴν ἐμαυτοῦ δυσμαθίαν δυσχεράνας, καὶ ὡς ἀληθῶς ἀδολεσχίαν· τί γὰρ ἄν τις ἄλλο θεῖτο ὄνομα, ὅταν ἄνω κάτω τοὺς λόγους ἕλκῃ τις ὑπὸ νωθείας, οὐ δυνάμενος πεισθῆναι, καὶ ᾖ δυσαπάλλακτος ἀφ᾽ ἑκάστου λόγου; ΘΕΑΙ. Σὺ δὲ δὴ τί δυσχεραίνεις; ΣΩ. Οὐ δυσχεραίνω μόνον, ἀλλὰ καὶ δέδοικα ὅ, τι ἀποκρινοῦμαι, ἄν τις ἔρηταί με· Ὦ Σώκρατες, εὕρηκας δὴ ψευδῆ δόξαν, ὅτι οὔτε ἐν ταῖς αἰσθήσεσίν ἐστι πρὸς ἀλλήλας, οὔτ᾽ ἐν ταῖς διανοίαις, ἀλλ᾽ ἐν τῇ ξυνάψει αἰσθήσεως πρὸς διάνοιαν; φήσω δὲ ἐγώ, οἶμαι, καλλωπιζόμενος, ὥς τι εὑρηκότων ἡμῶν καλόν. ΘΕΑΙ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, οὐκ αἰσχρὸν εἶναι τὸ νῦν ἀποδεδειγμένον. ΣΩ. Οὐκοῦν, φήσει, λέγεις, ὅτι αὖ τὸν ἄνθρωπον, ὃν διανοούμεθα μόνον, ὁρῶμεν δ᾽ οὔ, ἵππον οὐκ ἄν

ποτε οἰηθείημεν εἶναι, ὃν νῦν οὔτε ὁρῶμεν οὔτε ἁπτόμεθα, διανοούμεθα δὲ μόνον, καὶ ἄλλ' οὐδὲν αἰσθανόμεθα περὶ αὐτοῦ; ταῦτα, οἶμαι, φήσω λέγειν. ΘΕΑΙ. Καὶ ὀρθῶς γε. ΣΩ. Τί οὖν; φήσει· τὰ ἕνδεκα, ἃ μηδὲν ἄλλο ἢ διανοεῖταί τις, ἄλλο τι ἐκ τούτου τοῦ λόγου οὐκ ἄν ποτε οἰηθείη δώδεκα εἶναι, ἃ μόνον αὖ διανοεῖται; ἴθι δὴ οὖν, σὺ ἀποκρινοῦ. ΘΕΑΙ. Ἀλλ' ἀποκρινοῦμαι, ὅτι ὁρῶν μὲν ἄν τις ἢ ἐφαπτόμενος οἰηθείη τὰ ἕνδεκα δώδεκα εἶναι· ἃ μέντοι ἐν τῇ διανοίᾳ ἔχει, οὐκ ἄν ποτε περὶ αὐτῶν ταῦτα δοξάσειεν οὕτω. ΣΩ. Τί οὖν; οἴει τινὰ πώποτε αὐτὸν ἐν αὑτῷ πέντε καὶ ἑπτά, λέγω δὲ μὴ ἀνθρώπους ἑπτὰ καὶ πέντε προθέμενον σκοπεῖν, μηδ' ἄλλο τοιοῦτον, ἀλλ' αὐτὰ τὰ πέντε καὶ ἑπτά, ἅ φαμεν ἐκεῖ μνημεῖα ἐν τῷ ἐκμαγείῳ εἶναι, καὶ ψευδῆ ἐν αὐτοῖς οὐκ εἶναι δοξάσαι, ταῦτα αὐτὰ εἴ τις ἀνθρώπων ἤδη πώποτε ἐσκέψατο, λέγων πρὸς αὑτὸν καὶ ἐρωτῶν, πόσα ποτ' ἐστί, καὶ ὁ μέν τις εἶπεν οἰηθεὶς ἕνδεκα αὐτὰ εἶναι, ὁ δὲ, δώδεκα· ἢ πάντες λέγουσί τε καὶ οἴονται δώδεκα αὐτὰ εἶναι; ΘΕΑΙ. Οὐ μὰ τὸν Δία, ἀλλὰ πολλοὶ δὴ καὶ ἕνδεκα. ἐὰν δέ γε ἐν πλείονι ἀριθμῷ τις σκοπῆται, μᾶλλον σφάλλεται. οἶμαι γάρ σε περὶ παντὸς ἀριθμοῦ μᾶλλον λέγειν. ΣΩ. Ὀρθῶς γὰρ οἴει, καὶ ἐνθυμοῦ, μή τί ποτε γίγνηται ἄλλο, ἢ αὐτὰ τὰ δώδεκα τὰ ἐν τῷ ἐκμαγείῳ, ἕνδεκα οἰηθῆναι. ΘΕΑΙ. Ἔοικέ γε. ΣΩ. Οὐκοῦν εἰς τοὺς πρώτους πάλιν ἀνήκει λόγους; ὁ γὰρ τοῦτο παθών, ὃ οἶδεν, ἕτερον αὐτὸ οἴεται εἶναι ὧν

αὖ οἶδεν, ὃ ἔφαμεν ἀδύνατον, καὶ τούτῳ αὐτῷ ἠναγκάζομεν μὴ εἶναι ψευδῆ δόξαν, ἵνα μὴ τὰ αὐτὰ ὁ αὐτὸς ἀναγκάζοιτο εἰδὼς μὴ εἰδέναι ἅμα. ΘΕΑΙ. Ἀληθέστατα. ΣΩ. Οὐκοῦν ἄλλ᾽ ὁτιοῦν δεῖ ἀποφαίνειν τὸ τὰ ψευδῆ δοξάζειν, ἢ διανοίας πρὸς αἴσθησιν παραλλαγήν. εἰ γὰρ τοῦτ᾽ ἦν, οὐκ ἄν ποτε ἐν αὐτοῖς τοῖς διανοήμασιν ἐψευδόμεθα· νῦν δὲ ἤτοι οὐκ ἔστι ψευδὴς δόξα, ἤ, ἅ τις οἶδεν, οἷόν τε μὴ εἰδέναι. καὶ τούτων πότερα αἱρεῖ; ΘΕΑΙ. Ἄπορον αἵρεσιν προτίθης, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ μέντοι ἀμφότερά γε κινδυνεύει ὁ λόγος οὐκ ἐάσειν. ὅμως δέ, (πάντα γὰρ τολμητέον,) τί εἰ ἐπιχειρήσαιμεν ἀναισχυντεῖν; ΘΕΑΙ. Πῶς; ΣΩ. Ἐθελήσαντες εἰπεῖν, ποῖόν τί ποτ᾽ ἐστὶ τὸ ἐπίστασθαι. ΘΕΑΙ. Καὶ τί τοῦτο ἀναίσχυντον; ΣΩ. Ἔοικας οὐκ ἐννοεῖν, ὅτι πᾶς ἡμῖν ἐξ ἀρχῆς ὁ λόγος ζήτησις γέγονεν ἐπιστήμης, ὡς οὐκ εἰδόσι, τί ποτ᾽ ἐστί. ΘΕΑΙ. Ἐννοῶ μὲν οὖν. ΣΩ. Ἔπειτ᾽ οὐκ ἀναιδὲς δοκεῖ, μὴ εἰδότας ἐπιστήμην ἀποφαίνεσθαι, τὸ ἐπίστασθαι οἷόν ἐστιν; ἀλλὰ γάρ, ὦ Θεαίτητε, πάλαι ἐσμὲν ἀνάπλεῳ τοῦ μὴ καθαρῶς διαλέγεσθαι. μυριάκις γὰρ εἰρήκαμεν τὸ Γιγνώσκομεν καὶ Οὐ γιγνώσκομεν, καὶ Ἐπιστάμεθα καὶ Οὐκ ἐπιστάμεθα, ὥς τι ξυνιέντες ἀλλήλων, ἐν ᾧ ἔτι ἐπιστήμην ἀγνοοῦμεν· εἰ δὲ βούλει, καὶ νῦν ἐν τῷ παρόντι κεχρήμεθ᾽ αὖ τῷ Ἀγνοεῖν τε καὶ Συνιέναι, ὡς προσῆκον αὐτοῖς χρῆσθαι, εἴπερ στερόμεθα ἐπιστήμης. ΘΕΑΙ. Ἀλλὰ τίνα τρόπον διαλέξῃ, ὦ Σώκρατες, τούτων ἀπεχόμενος; ΣΩ. Οὐδένα, ὤν γε ὃς

εἰμί· εἰ μέντοι ἦν ἀντιλογικός, οἷος ἀνήρ, εἰ καὶ νῦν παρῆν, τούτων τ' ἂν ἔφη ἀπέχεσθαι, καὶ ἡμῖν σφόδρ' ἂν ἃ ἐγὼ λέγω ἐπέπληττεν. ἐπειδὴ οὖν ἐσμὲν φαῦλοι, βούλει τολμήσω εἰπεῖν, οἷόν ἐστι τὸ ἐπίστασθαι; φαίνεται γάρ μοι προὔργου τι ἂν γενέσθαι. ΘΕΑΙ. Τόλμα τοίνυν νὴ Δία· τούτων δὲ μὴ ἀπεχομένῳ σοι ἔσται πολλὴ ξυγγνώμη. XXXVI. ΣΩ. Ἀκήκοας οὖν ὃ νῦν λέγουσι τὸ ἐπίστασθαι; ΘΕΑΙ. Ἴσως· οὐ μέντοι ἔν γε τῷ παρόντι μνημονεύω. ΣΩ. Ἐπιστήμης που ἕξιν φασὶν αὐτὸ εἶναι. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Ἡμεῖς τοίνυν σμικρὸν μεταθώμεθα, καὶ εἴπωμεν ἐπιστήμης κτῆσιν. ΘΕΑΙ. Τί οὖν δὴ φήσεις τοῦτο ἐκείνου διαφέρειν; ΣΩ. Ἴσως μὲν οὐδέν· ὃ δ' οὖν δοκεῖ, ἀκούσας ξυνδοκίμαζε. ΘΕΑΙ. Ἐάνπερ γε οἷός τ' ὦ. ΣΩ. Οὐ τοίνυν μοι ταὐτὸν φαίνεται τὸ κεκτῆσθαι τῷ ἔχειν· οἷον, εἰ ἱμάτιον πριάμενός τις, καὶ ἐγκρατὴς ὢν μὴ φοροῖ, ἔχειν μὲν οὐκ ἂν αὐτὸν αὐτό, κεκτῆσθαι δέ γε φαῖμεν. ΘΕΑΙ. Καὶ ὀρθῶς γε. ΣΩ. Ὅρα δὴ καὶ ἐπιστήμην εἰ δυνατὸν οὕτω κεκτημένον μὴ ἔχειν, ἀλλ' ὥσπερ εἴ τις ὄρνιθας ἀγρίας, περιστερὰς ἤ τι ἄλλο, θηρεύσας, οἴκοι κατασκευασάμενος περιστερεῶνα τρέφοι· τρόπον μὲν γάρ ἄν πού τινα φαῖμεν αὐτὸν αὐτὰς ἀεὶ ἔχειν, ὅτι δὴ κέκτηται· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Τρόπον δέ γ' ἄλλον οὐδεμίαν ἔχειν, ἀλλὰ δύναμιν μὲν αὐτῷ περὶ αὐτὰς παραγεγονέναι, ἐπειδὴ ἐν οἰκείῳ περιβόλῳ ὑποχειρίους ἐποιήσατο, λαβεῖν καὶ ἔχειν, ἐπειδὰν βούληται, θηρευσαμένῳ ἣν ἂν ἀεὶ ἐθέλῃ, καὶ

πάλιν ἀφιέναι, καὶ τοῦτο ἐξεῖναι ποιεῖν, ὁποσάκις ἂν δοκῇ αὐτῷ. ΘΕΑΙ. Ἔστι ταῦτα. ΣΩ. Πάλιν δὴ, ὥσπερ ἐν τοῖς πρόσθεν κήρινόν τι ἐν ταῖς ψυχαῖς κατεσκευάζομεν οὐκ οἶδ' ὅ, τι πλάσμα, νῦν αὖ ἐν ἑκάστῃ ψυχῇ ποιήσωμεν περιστερεῶνά τινα παντοδαπῶν ὀρνίθων· τὰς μὲν κατ' ἀγέλας οὔσας, χωρὶς τῶν ἄλλων· τὰς δὲ κατ' ὀλίγας· ἐνίας δὲ μόνας διὰ πασῶν ὅπῃ ἂν τύχωσι πετομένας. ΘΕΑΙ. Πεποιήσθω δή· ἀλλὰ τί τοὐντεῦθεν; ΣΩ. Παιδίων μὲν ὄντων, φάναι χρὴ, εἶναι τοῦτο τὸ ἀγγεῖον κενόν, ἀντὶ δὲ τῶν ὀρνίθων, ἐπιστήμας νοῆσαι· ἣν δ' ἂν ἐπιστήμην κτησάμενος καθείρξει εἰς τὸν περίβολον, φάναι αὐτὸν μεμαθηκέναι ἢ εὑρηκέναι τὸ πρᾶγμα οὗ ἦν αὕτη ἡ ἐπιστήμη, καὶ τὸ ἐπίστασθαι τοῦτ' εἶναι. ΘΕΑΙ. Ἔστω. ΣΩ. Τὸ τοίνυν πάλιν ἣν ἂν βούληται τῶν ἐπιστημῶν θηρεύειν, καὶ λαβόντα ἴσχειν, καὶ αὖθις ἀφιέναι, σκόπει τίνων δεῖται ὀνομάτων, εἴτε τῶν αὐτῶν ὧν τοπρῶτον, ὅτε ἐκτᾶτο, εἴτε ἑτέρων. μαθήσῃ δ' ἐνθένδε σαφέστερον τί λέγω, ἀριθμητικὴν μὲν γὰρ λέγεις τέχνην; ΘΕΑΙ. Ναί. ΣΩ. Ταύτην δὴ ὑπόλαβε θήραν ἐπιστημῶν ἀρτίου τε καὶ περιττοῦ παντός. ΘΕΑΙ. Ὑπολαμβάνω. ΣΩ. Ταύτῃ δὴ, οἶμαι, τῇ τέχνῃ αὐτός τε ὑποχειρίους τὰς ἐπιστήμας τῶν ἀριθμῶν ἔχει, καὶ ἄλλῳ παραδίδωσιν ὁ παραδιδούς. ΘΕΑΙ. Ναί. ΣΩ. Καὶ καλοῦμέν γε παραδιδόντα μὲν διδάσκειν, παραλαμβάνοντα δὲ μανθάνειν, ἔχοντα δὲ δὴ, τῷ κεκτῆσθαι ἐν τῷ περιστερεῶνι ἐκείνῳ, ἐπίστασθαι. ΘΕΑΙ. Πάνυ μὲν

οὔκ. ΣΩ. Τῷ δὴ ἐντεῦθεν ἤδη πρόσσχες τὸν νοῦν· ἀριθμητικὸς γὰρ ὢν τέλεος, ἄλλο τι πάντας ἀριθμοὺς ἐπίσταται; πάντων γὰρ ἀριθμῶν εἰσὶν αὐτῷ ἐν τῇ ψυχῇ ἐπιστῆμαι. ΘΕΑΙ. Τί μήν; ΣΩ. Ἦ οὖν ὁ τοιοῦτος ἀριθμοῖ ἄν ποτέ τι, ἢ αὐτὸς πρὸς αὑτὸν ἐντός, ἢ ἄλλο τι τῶν ἔξω ὅσα ἔχει ἀριθμόν; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΣΩ. Τὸ δὲ ἀριθμεῖν γε, οὐκ ἄλλο τι θήσομεν τοῦ σκοπεῖσθαι πόσος τις ἀριθμὸς τυγχάνει ὤν. ΘΕΑΙ. Οὕτω. ΣΩ. Ὃ ἄρα ἐπίσταται, σκοπούμενος, φαίνεται ὡς οὐκ εἰδώς, ὃν ὡμολογήκαμεν ἅπαντα ἀριθμὸν εἰδέναι. ἀκούεις γάρ που τὰς τοιαύτας ἀμφισβητήσεις. ΘΕΑΙ. Ἔγωγε. XXXVII. ΣΩ. Οὐκοῦν ἡμεῖς ἀπεικάζοντες τῇ τῶν περιστερῶν κτήσει τε καὶ θήρᾳ ἐροῦμεν, ὅτι διττὴ ἦν ἡ θήρα, ἡ μὲν πρὶν ἐκτῆσθαι, τοῦ κεκτῆσθαι ἕνεκα, ἡ δὲ κεκτημένῳ, τοῦ λαβεῖν καὶ ἔχειν ἐν ταῖς χερσὶν ἃ πάλαι ἐκέκτητο· οὕτω δὲ καὶ ὧν πάλαι ἐπιστῆμαι ἦσαν αὐτῷ μαθόντι, ἢ ἠπίστατο αὐτά, πάλιν ἔστι καταμανθάνειν ταῦτα ταῦτα, ἀναλαμβάνοντα τὴν ἐπιστήμην ἑκάστου καὶ ἴσχοντα, ἣν ἐκέκτητο μὲν πάλαι, πρόχειρον δ' οὐκ εἶχε τῇ διανοίᾳ; ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Τοῦτο δὴ ἄρτι ἠρώτων, ὅπως χρὴ τοῖς ὀνόμασι χρώμενον λέγειν περὶ αὐτῶν, ὅταν ἀριθμήσων ἴῃ ὁ ἀριθμητικός, ἤ τι ἀναγνωσόμενος ὁ γραμματικός. ὡς ἐπιστάμενος ἄρα ἐν τῷ τοιούτῳ, πάλιν ἔρχεται μαθησόμενος παρ' ἑαυτοῦ ἃ ἐπίσταται; ΘΕΑΙ. Ἀλλ' ἄτοπον, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' ἃ οὐκ ἐπίσταται, φῶμεν αὐτὸν ἀναγνώσεσθαι καὶ ἀριθ-

μήσειν, δεδωκότες αὐτῷ πάντα μὲν γράμματα, πάντα δὲ ἀριθμὸν ἐπίστασθαι; ΘΕΑΙ. Ἀλλὰ καὶ τοῦτ' ἄλογον. ΣΩ. Βούλει οὖν λέγωμεν ὅτι τῶν μὲν ὀνομάτων οὐδὲν ἡμῖν μέλει, ὅπῃ τις χαίρει ἕλκων τὸ ἐπίστασθαι καὶ μανθάνειν; ἐπειδὴ δὲ ὡρισάμεθα ἕτερον μέν τι, τὸ κεκτῆσθαι τὴν ἐπιστήμην, ἕτερον δὲ τὸ ἔχειν, ὃ μέν τις κέκτηται, μὴ κεκτῆσθαι ἀδύνατον φαμὲν εἶναι; ὥστε οὐδέποτε ξυμβαίνει ὅ τις οἶδε, μὴ εἰδέναι, ψευδῆ μέντοι δόξαν οἷόν τ' εἶναι περὶ αὐτοῦ λαβεῖν· μὴ γὰρ ἔχειν τὴν ἐπιστήμην τούτου οἷόν τε, ἀλλ' ἑτέραν ἀντ' ἐκείνης, ὅταν θηρεύων τινὰ ἀπ' αὐτοῦ ἐπιστήμην, διαπετομένων, ἀνθ' ἑτέρας ἑτέραν ἁμαρτὼν λάβῃ· ὅταν ἄρα τὰ ἕνδεκα δώδεκα οἰηθῇ εἶναι, τὴν τῶν ἕνδεκα ἐπιστήμην ἀντὶ τῆς τῶν δώδεκα λαβεῖν, τὴν ἐν αὑτῷ οἷον φάτταν ἀντὶ περιστερᾶς. ΘΕΑΙ. Ἔχει γὰρ οὖν λόγον. ΣΩ. Ὅταν δέ γε, ἣν ἐπιχειρῇ λαβεῖν, λάβῃ, ἀψευδεῖν τε καὶ τὰ ὄντα δοξάζειν τότε, καὶ οὕτω δὴ εἶναι ἀληθῆ τε καὶ ψευδῆ δόξαν, καὶ ὧν ἐν τοῖς ἔμπροσθεν ἐδυσχεραίνομεν, οὐδὲν ἐμποδὼν γίγνεσθαι. ἴσως οὖν μοι ξυμφήσεις· ἢ πῶς ποιήσεις; ΘΕΑΙ. Οὕτω. ΣΩ. Καὶ γὰρ τοῦ μὲν ἃ ἐπίστανται μὴ ἐπίστασθαι, ἀπηλλάγμεθα. ἃ γὰρ κεκτήμεθα, μὴ κεκτῆσθαι οὐδαμοῦ ἔτι ξυμβαίνει, οὔτε ψευσθεῖσί τινας, οὔτε μή. δεινότερον μέντοι πάθος ἄλλο παραφαίνεσθαί μοι δοκεῖ. ΘΕΑΙ. Τὸ ποῖον; ΣΩ. Εἰ ἡ τῶν ἐπιστημῶν ἐπαλλαγὴ ψευδὴς γενήσεταί ποτε δόξα. ΘΕΑΙ. Πῶς δή; ΣΩ. Πρῶτον μὲν, τό τινος ἔχον-

τα ἐπιστήμην τοῦτο αὐτὸ ἀγνοεῖν; μὴ ἀγνωμοσύνῃ,
ἀλλὰ τῇ ἑαυτοῦ ἐπιστήμῃ· ἔπειτα ἕτερον αὖ τοῦτο
δοξάζειν, τὸ δ᾽ ἕτερον τοῦτο. πῶς οὐ πολλὴ ἀλο-
γία, ἐπιστήμης παραγενομένης, γνῶναι μὲν τὴν ψυ-
χὴν μηδέν, ἀγνοῆσαι δὲ πάντα; ἐκ γὰρ τούτου τοῦ
λόγου κωλύει οὐδὲν καὶ ἄγνοιαν παραγενομένην
γνῶναί τι ποιῆσαι, καὶ τυφλότητα ἰδεῖν, εἴπερ καὶ
ἐπιστήμη ἀγνοῆσαί ποτέ τινα ποιήσει. ΘΕΑΙ. Ἴσως
γάρ, ὦ Σώκρατες, οὐ καλῶς τὰς ὄρνιθας ἐτίθεμεν,
ἐπιστήμας μόνον τιθέντες· ἔδει δὲ καὶ ἀνεπιστημο-
σύνας τιθέναι ὁμοῦ ξυνδιαπετομένας ἐν τῇ ψυχῇ,
καὶ τὸν θηρεύοντα, τοτὲ μὲν ἐπιστήμην λαμβάνον-
τα, τοτὲ δ᾽ ἀνεπιστημοσύνην τοῦ αὐτοῦ πέρι, ψευδῆ
μὲν δοξάζειν τῇ ἀνεπιστημοσύνῃ, ἀληθῆ δὲ τῇ ἐπι-
στήμῃ. ΣΩ. Οὐ ῥᾴδιόν γε, ὦ Θεαίτητε, μὴ ἐπαι-
νεῖν σε· ὃ μέντοι εἶπες, πάλιν ἐπίσκεψαι. ἔστω μὲν
γὰρ ὡς λέγεις· ὁ δὲ δὴ τὴν ἀνεπιστημοσύνην λαβὼν
ψευδῆ μέν, φῄς, δοξάσει· ἦ γάρ; ΘΕΑΙ. Ναί.
ΣΩ. Οὐ δήπου καὶ ἡγήσεταί γε ψευδῆ δοξάζειν.
ΘΕΑΙ. Πῶς γάρ; ΣΩ. Ἀλλ᾽ ἀληθῆ γε, καὶ ὡς εἰ-
δὼς διακείσεται περὶ ὧν ἔψευσται. ΘΕΑΙ. Τί μήν;
ΣΩ. Ἐπιστήμην ἄρα οἰήσεται τεθηρευκὼς ἔχειν,
ἀλλ᾽ οὐκ ἀνεπιστημοσύνην. ΘΕΑΙ. Δῆλον. ΣΩ.
Οὐκοῦν μακρὰν περιελθόντες πάλιν ἐπὶ τὴν πρώτην
πάρεσμεν ἀπορίαν; ὁ γὰρ ἐλεγκτικὸς ἐκεῖνος γελά-
σας φήσει· Πότερον, ὦ βέλτιστοι, ἀμφοτέρας τις
εἰδώς, ἐπιστήμην τε καὶ ἀνεπιστημοσύνην, ἣν οἶδεν,
ἑτέραν αὐτὴν οἴεταί τινα εἶναι ὧν οἶδεν; ἢ οὐδετέ-

ραιν αὐταῖν εἰδὼς, ἣν μὴ οἶδε, δοξάζει ἑτέραν ὧν οὐκ οἶδεν; ἢ τὴν μὲν εἰδὼς, τὴν δ᾽ οὔ, ἣν οἶδεν, ἣν μὴ οἶδεν, ἢ ἣν μὴ οἶδεν, ἣν οἶδεν, ἡγεῖται; ἢ πάλιν αὖ μοι ἐρεῖτε ὅτι τῶν ἐπιστημῶν καὶ ἀνεπιστημοσυνῶν εἰσὶν αὖ ἐπιστῆμαι, ἃς ὁ κεκτημένος, ἐν ἑτέροις τισὶ γελοίοις περιστερεῶσιν ἢ κηρίνοις πλάσμασι καθείρξας, ἕωσπερ ἂν κεκτῆται, ἐπίσταται, καὶ ἐὰν μὴ προχείρους ἔχῃ ἐν τῇ ψυχῇ; καὶ οὕτω δὴ ἀναγκασθήσεσθε εἰς ταὐτὸν περιτρέχειν μυριάκις, οὐδὲν πλέον ποιοῦντες; τί πρὸς ταῦτα, ὦ Θεαίτητε, ἀποκρινούμεθα; ΘΕΑΙ. Ἀλλὰ μὰ Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ ἔχω τί χρὴ λέγειν. ΣΩ. Ἆρ᾽ οὖν ἡμῖν, ὦ παῖ, καλῶς ὁ λόγος ἐπιπλήττει καὶ ἐνδείκνυται, ὅτι οὐκ ὀρθῶς ψευδῆ δόξαν προτέραν ζητοῦμεν ἐπιστήμης, ἐκείνην ἀφέντες· τὸ δ᾽ ἐστὶν ἀδύνατον γνῶναι, πρὶν ἄν τις ἐπιστήμην ἱκανῶς λάβοι τί ποτ᾽ ἐστί. ΘΕΑΙ. Ἀνάγκη, ὦ Σώκρατες, ἐν τῷ παρόντι ὡς λέγεις οἴεσθαι. XXXVIII. ΣΩ. Τί οὖν τις ἐρεῖ πάλιν ἐξ ἀρχῆς ἐπιστήμην; οὐ γάρ πω ἀπεροῦμέν γέ πω. ΘΕΑΙ. Ἥκιστα, ἐάνπερ μὴ σύ γε ἀπαγορεύῃς. ΣΩ. Λέγε δή, τί ἂν αὐτὸ μάλιστα εἰπόντες ἥκιστ᾽ ἂν ἡμῖν αὐτοῖς ἐναντιωθεῖμεν. ΘΕΑΙ. Ὅπερ ἐπεχειροῦμεν, ὦ Σώκρατες, ἐν τῷ πρόσθεν· οὐ γὰρ ἔχω ἔγωγε ἄλλο οὐδέν. ΣΩ. Τὸ ποῖον; ΘΕΑΙ. Τὴν ἀληθῆ δόξαν ἐπιστήμην εἶναι. ἀναμάρτητόν γέ πού ἐστι τὸ δοξάζειν ἀληθῆ, καὶ τὰ ὑπ᾽ αὐτοῦ γιγνόμενα πάντα καλὰ καὶ ἀγαθὰ γίγνεται. ΣΩ. Ὁ τὸν ποταμὸν καθηγούμενος, ὦ Θεαίτητε, ἔφη ἄρα δείξειν.

αὐτό· καὶ τοῦτο ἐὰν ἰόντες ἐρευνῶμεν, τάχ' ἂν ἐμπόδιον γενόμενον αὐτὸ φήνειε τὸ ζητούμενον· μένουσι δὲ, δῆλον οὐδέν. ΘΕΑΙ. Ὀρθῶς λέγεις· ἀλλ' ἴωμέν γε καὶ σκοπῶμεν. ΣΩ. Οὐκοῦν τοῦτό γε βραχείας σκέψεως; τέχνη γάρ σοι ὅλη σημαίνει μὴ εἶναι ἐπιστήμην αὐτό. ΘΕΑΙ. Πῶς δή; καὶ τίς αὕτη; ΣΩ. Ἡ τῶν μεγίστων εἰς σοφίαν, οὓς δὴ καλοῦσι ῥήτοράς τε καὶ δικανικούς. οὗτοι γάρ που τῇ ἑαυτῶν τέχνῃ πείθουσιν, οὐ διδάσκοντες, ἀλλὰ δοξάζειν ποιοῦντες ἃ ἂν βούλωνται· ἢ σὺ οἴει δεινούς τινας οὕτω διδασκάλους εἶναι, ὥστε οἷς μὴ παρεγένοντό τινες ἀποστερουμένοις χρήματα, ἤ τι ἄλλο βιαζομένοις, τούτους δύνασθαι πρὸς ὕδωρ σμικρὸν διδάξαι ἱκανῶς τῶν γενομένων τὴν ἀλήθειαν; ΘΕΑΙ. Οὐδαμῶς ἔγωγε οἶμαι, ἀλλὰ πεῖσαι μέν. ΣΩ. Τὸ πεῖσαι δ' οὐχὶ δοξάσαι λέγεις ποιῆσαι; ΘΕΑΙ. Τί μήν; ΣΩ. Οὐκοῦν ὅταν δικαίως πεισθῶσι δικασταὶ περὶ ὧν ἰδόντι μόνον ἔστιν εἰδέναι, ἄλλως δὲ μή, ταῦτα τότε ἐξ ἀκοῆς κρίνοντες, ἀληθῆ δόξαν λαβόντες, ἄνευ ἐπιστήμης ἔκριναν, ὀρθὰ πεισθέντες, εἴπερ εὖ ἐδίκασαν; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Οὐκ ἄν, ὦ φίλε, εἴ γε ταὐτὸν ἦν δόξα τε ἀληθὴς [καὶ δικαστήριον] καὶ ἐπιστήμη, ὀρθά ποτ' ἂν δικαστὴς ἄκρος ἐδόξαζεν ἄνευ ἐπιστήμης· νῦν δὲ ἔοικεν ἄλλο τι ἑκάτερον εἶναι. ΘΕΑΙ. Ὅ γε ἐγώ, ὦ Σώκρατες, εἰπόντος του ἀκούσας ἐπιλελήσμην, νῦν δ' ἐννοῶ· ἔφη δὲ, τὴν μὲν μετὰ λόγου ἀληθῆ δόξαν ἐπιστήμην εἶναι, τὴν δὲ ἄλογον ἐκτὸς ἐπιστήμης· καὶ ὧν μὲν μὴ

ἐστι λόγος, οὐκ ἐπιστητὰ εἶναι, οὑτωσὶ καὶ ὀνομάζων, ἃ δ' ἔχει, ἐπιστητά. ΣΩ. Ἦ καλῶς λέγεις. τὰ δὲ δὴ ἐπιστητὰ ταῦτα καὶ μὴ πῇ διῄρει, λέγε, εἰ ἄρα κατὰ ταὐτὰ σύ τε κἀγὼ ἀκηκόαμεν. ΘΕΑΙ. Ἀλλ' οὐκ οἶδα, εἰ ἐξευρήσω· λέγοντος μέντ' ἂν ἑτέρου, ὡς ἐγῷμαι, ἀκολουθήσαιμι. XXXIX. ΣΩ. Ἄκουε δὴ ὄναρ ἀντὶ ὀνείρατος. ἐγὼ γὰρ αὖ ἐδόκουν ἀκούειν τινῶν, ὅτι τὰ μὲν πρῶτα οἷαπερεὶ στοιχεῖα, ἐξ ὧν ἡμεῖς τε ξυγκείμεθα καὶ τἆλλα, λόγον οὐκ ἔχοι· αὐτὸ γὰρ καθ' αὑτὸ ἕκαστον ὀνομάσαι μόνον εἴη, προσειπεῖν δὲ οὐδὲν ἄλλο δυνατόν, οὔθ' ὡς ἔστιν, οὔθ' ὡς οὐκ ἔστιν· ἤδη γὰρ ἂν οὐσίαν ἢ μὴ οὐσίαν αὐτῷ προστίθεσθαι· δεῖν δὲ οὐδὲν προσφέρειν, εἴπερ αὐτὸ ἐκεῖνο μόνον τις ἐρεῖ. ἐπεὶ οὐδὲ τὸ αὐτό, οὐδὲ τὸ ἐκεῖνο, οὐδὲ τὸ ἕκαστον, οὐδὲ τὸ μόνον, οὐδὲ τὸ τοῦτο προσοιστέον, οὐδ' ἄλλα πολλὰ τοιαῦτα. ταῦτα μὲν γὰρ περιτρέχοντα πᾶσι προσφέρεσθαι, ἕτερα ὄντα ἐκείνων οἷς προστίθεται· δεῖν δέ, εἴπερ ἦν δυνατὸν αὐτὸ λέγεσθαι καὶ εἶχεν οἰκεῖον αὑτοῦ λόγον, ἄνευ τῶν ἄλλων ἁπάντων λέγεσθαι· νῦν δὲ ἀδύνατον εἶναι, ὁτιοῦν τῶν πρώτων ῥηθῆναι λόγῳ· οὐ γὰρ εἶναι αὐτῷ ἀλλ' ἢ ὀνομάζεσθαι μόνον. ὄνομα γὰρ μόνον ἔχειν· τὰ δὲ ἐκ τούτων ἤδη ξυγκείμενα ὥσπερ αὐτὰ πέπλεκται, οὕτω καὶ τὰ ὀνόματα αὐτῶν ξυμπλακέντα λόγον γεγονέναι· ὀνομάτων γὰρ ξυμπλοκὴν εἶναι λόγου οὐσίαν. οὕτω δὴ τὰ μὲν στοιχεῖα, ἄλογα καὶ ἄγνωστα εἶναι, αἰσθητὰ δέ· τὰς δὲ συλλαβὰς γνωστάς τε καὶ ῥητὰς καὶ ἀληθεῖ δόξῃ δοξα-

στάς. ὅταν μὲν οὖν ἄνευ λόγου τὴν ἀληθῆ δόξαν
τινός τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν ψυχὴν περὶ
αὐτό, γιγνώσκειν δ' οὔ· τὸν γὰρ μὴ δυνάμενον δοῦ-
ναί τε καὶ δέξασθαι λόγον, ἀνεπιστήμονα εἶναι περὶ
τούτου· προσλαβόντα δὲ λόγον, δυνατόν τε ταῦτα
πάντα γε γνῶναι, καὶ τελέως πρὸς ἐπιστήμην ἔχειν.
οὕτω σὺ τὸ ἐνύπνιον ἢ ἄλλως ἀκήκοας; ΘΕΑΙ.
Οὕτω μὲν οὖν παντάπασι. ΣΩ. Ἀρέσκει οὖν σε καὶ
τίθεσθαι ταύτῃ, δόξαν ἀληθῆ μετὰ λόγου ἐπιστή-
μην εἶναι; ΘΕΑΙ. Κομιδῆ μὲν οὖν. ΣΩ. Ἆρ', ὦ
Θεαίτητε, νῦν οὕτω τῇδε τῇ ἡμέρᾳ εἰλήφαμεν, ὃ πά-
λαι καὶ πολλοὶ τῶν σοφῶν ζητοῦντες, πρὶν εὑρεῖν,
κατεγήρασαν; ΘΕΑΙ. Ἐμοιγ' οὖν δοκεῖ, ὦ Σώκρα-
τες, καλῶς λέγεσθαι τὸ νῦν ῥηθέν. ΣΩ. Καὶ εἰ-
κός γε αὐτὸ ταῦτο οὕτως ἔχειν· τίς γὰρ ἂν καὶ ἔτι
ἐπιστήμη εἴη χωρὶς λόγου τε καὶ ὀρθῆς δόξης; ἕν
μέντοι τί με τῶν ῥηθέντων ἀπαρέσκει. ΘΕΑΙ. Τὸ
ποῖον δή; ΣΩ. Ὃ καὶ δοκεῖ λέγεσθαι κομψότατα,
ὡς τὰ μὲν στοιχεῖα, ἄγνωστα· τὸ δὲ τῶν συλλαβῶν
γένος, γνωστόν. ΘΕΑΙ. Οὐκοῦν ὀρθῶς; ΣΩ.
Ἰστέον δή. ὥσπερ γὰρ ὁμήρους ἔχομεν τοῦ λόγου,
τὰ παραδείγματα, οἷς χρώμενος εἶπε πάντα ταῦτα.
ΘΕΑΙ. Ποῖα δή; ΣΩ. Τὰ τῶν γραμμάτων στοιχεῖά
τε καὶ συλλαβάς· ἢ οἴει ἄλλοσέ ποι βλέποντα ταῦ-
τα εἰπεῖν τὸν εἰπόντα ἃ λέγομεν; ΘΕΑΙ. Οὔκ, ἀλλ'
εἰς ταῦτα. XL. ΣΩ. Βασανίζωμεν δὴ αὐτὰ ἀναλαμ-
βάνοντες, μᾶλλον δὲ ἡμᾶς αὐτούς, οὕτως ἢ οὐχ οὕτω
γράμματα ἐμάθομεν. φέρε πρῶτον· ἆρ' αἱ μὲν συλ-

λαβαὶ λόγον ἔχουσι, τὰ δὲ στοιχεῖα, ἄλογα; ΘΕΑΙ. Ἴσως. ΣΩ. Πάνυ μὲν οὖν καὶ ἐμοὶ φαίνεται. Σωκράτους γοῦν εἴ τις ἔροιτο τὴν πρώτην συλλαβὴν οὑτωσίν, Ὦ Θεαίτητε, λέγε τί ἐστι σω, τί ἀποκρινεῖ; ΘΕΑΙ. Ὅτι σ καὶ ω. ΣΩ. Οὐκοῦν τοῦτον ἔχεις λόγον τῆς συλλαβῆς; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Ἴθι δή, οὕτως εἰπὲ καὶ τὸν τοῦ σ λόγον. ΘΕΑΙ. Καὶ πῶς τοῦ στοιχείου τις ἐρεῖ στοιχεῖα; καὶ γὰρ δή, ὦ Σώκρατες, τό τε σ τῶν ἀφώνων ἐστί, ψόφος τις μόνον, οἷον συριττούσης τῆς γλώττης· τοῦ δ' αὖ β οὔτε φωνὴ οὔτε ψόφος, οὐδὲ τῶν πλείστων στοιχείων. ὥστε πάνυ εὖ ἔχει τὸ λέγεσθαι αὐτὰ ἄλογα, ὧν γε τὰ ἐναργέστατα ἑπτὰ αὐτὰ φωνὴν μόνην ἔχει, λόγον δὲ οὐδ' ὁντινοῦν. ΣΩ. Τουτὶ μὲν ἄρα, ὦ ἑταῖρε, κατωρθώκαμεν περὶ ἐπιστήμης. ΘΕΑΙ. Φαινόμεθα. ΣΩ. Τί δὲ δή, τὸ μὴ γνωστὸν εἶναι τὸ στοιχεῖον, ἀλλὰ τὴν συλλαβήν, ἆρ' ὀρθῶς ἀποδεδέγμεθα; ΘΕΑΙ. Εἰκός γε. ΣΩ. Φέρε δή, τὴν συλλαβὴν πότερον λέγομεν τὰ ἀμφότερα στοιχεῖα, καί, ἐὰν πλείω ᾖ ἢ δύο, τὰ πάντα; ἢ μίαν τινὰ ἰδέαν γεγονυῖαν ξυντεθέντων αὐτῶν; ΘΕΑΙ. Τὰ πάντα, ἔμοιγε δοκοῦμεν. ΣΩ. Ὅρα δὴ ἐπὶ δυοῖν, σ καὶ ω; ἀμφότερά ἐστιν ἡ πρώτη συλλαβὴ τοῦ ἐμοῦ ὀνόματος· ἄλλο τι ὁ γιγνώσκων αὐτὴν τὰ ἀμφότερα γιγνώσκει; ΘΕΑΙ. Τί μήν; ΣΩ. Τὸ σ καὶ τὸ ω ἄρα γιγνώσκει. ΘΕΑΙ. Ναί. ΣΩ. Τί δέ; ἑκάτερον ἄρ' ἀγνοεῖ, καὶ οὐδέτερον εἰδὼς ἀμφότερα γιγνώσκει; ΘΕΑΙ. Ἀλλὰ δεινὸν

καὶ ἄλογον, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ μέντοι εἴγε ἀνάγκη ἑκάτερον γιγνώσκειν, εἴπερ ἀμφότερά τις γνώσεται, προγιγνώσκειν τὰ στοιχεῖα ἅπασα ἀνάγκη τῷ μέλλοντί ποτε γνώσεσθαι συλλαβήν· καὶ οὕτως ἡμῖν ὁ καλὸς λόγος ἀποδεδρακὼς οἰχήσεται. ΘΕΑΙ. Καὶ μάλα γε ἐξαίφνης. ΣΩ. Οὐ γὰρ καλῶς αὐτὸν φυλάττομεν. χρῆν γὰρ ἴσως τὴν συλλαβὴν τίθεσθαι μὴ τὰ στοιχεῖα, ἀλλ᾽ ἐξ ἐκείνων ἕν τι γεγονὸς εἶδος, ἰδέαν μίαν αὐτὸ αὑτοῦ ἔχον, ἕτερον δὲ τῶν στοιχείων. ΘΕΑΙ. Πάνυ μὲν οὖν, καὶ τάχα γ᾽ ἂν μᾶλλον οὕτως ἢ ἐκείνως ἔχοι. ΣΩ. Σκεπτέον καὶ οὐ προδοτέον οὕτως ἀνάνδρως μέγαν τε καὶ σεμνὸν λόγον. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΣΩ. Ἐχέτω δή, ὡς νῦν φαμέν· μία ἰδέα ἐξ ἑκάστων τῶν ξυναρμοττόντων στοιχείων γιγνομένη ἡ συλλαβή, ὁμοίως ἔν τε γράμμασι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν μέρη αὐτῆς οὐ δεῖ εἶναι; ΘΕΑΙ. Τί δή; ΣΩ. Ὅτι οὗ ἂν ᾖ μέρη, τὸ ὅλον ἀνάγκη τὰ πάντα μέρη εἶναι· ἢ καὶ τὸ ὅλον ἐκ τῶν μερῶν λέγεις γεγονός, ἕν τι εἶδος ἕτερον τῶν πάντων μερῶν; ΘΕΑΙ. Ἔγωγε. ΣΩ. Τὸ δὲ δὴ πᾶν καὶ τὸ ὅλον πότερον ταὐτὸν καλεῖς, ἢ ἕτερον ἑκάτερον; ΘΕΑΙ. Ἔχω μὲν οὐδὲν σαφές· ὅτι δὲ κελεύεις προθύμως ἀποκρίνασθαι, παρακινδυνεύων λέγω, ὅτι ἕτερον. ΣΩ. Ἡ μὲν προθυμία, ὦ Θεαίτητε, ὀρθή· εἰ δὲ καὶ ἡ ἀπόκρισις, σκεπτέον. ΘΕΑΙ. Δεῖ δέ γε δή. XLI. ΣΩ. Οὐκοῦν διαφέροι ἂν τὸ ὅλον τοῦ παντός, ὡς ὁ νῦν λόγος. ΘΕΑΙ. Ναί. ΣΩ. Τί δὲ δή,

τὰ πάντα καὶ τὸ πᾶν ἐσθ' ὅ, τι διαφέρει; οἷον ἐπειδὰν λέγωμεν, ἕν, δύο, τρία, τέτταρα, πέντε, ἕξ, καὶ ἐὰν δὶς τρία, ἢ τρὶς δύο, ἢ τέτταρά τε καὶ δύο, ἢ τρία καὶ δύο καὶ ἕν, [ἢ πέντε καὶ ἕν], πότερον ἐν πᾶσι τούτοις τὸ αὐτὸ ἢ ἕτερον λέγομεν; ΘΕΑΙ. Ταὐτόν. ΣΩ. Ἆρ' ἄλλο τι ἢ ἕξ; ΘΕΑΙ. Οὐδέν. ΣΩ. Οὐκοῦν ἐφ' ἑκάστης λέξεως πάντα τὰ ἕξ εὐρήκαμεν. ΘΕΑΙ. Ναί. ΣΩ. Πάλιν δ' οὐδὲν λέγομεν, τὰ πάντα λέγοντες; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Ἢ ἄλλο τι τὰ ἕξ; ΘΕΑΙ. Οὐδέν. ΣΩ. Ταὐτὸν ἄρα ἔν γε τοῖς ὅσα ἐξ ἀριθμοῦ ἐστι, τό τε πᾶν προσαγορεύομεν καὶ τὰ ἅπαντα. ΘΕΑΙ. Φαίνεται. ΣΩ. Ὧδε δὴ περὶ αὐτῶν λέγωμεν· ὁ τοῦ πλέθρου ἀριθμὸς καὶ πλέθρον ταὐτόν· ἢ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Καὶ ὁ τοῦ σταδίου δὴ ὡσαύτως; ΘΕΑΙ. Ναί. ΣΩ. Καὶ μὴν ὁ τοῦ στρατοπέδου γε καὶ τὸ στρατόπεδον, καὶ πάντα τὰ τοιαῦτα ὁμοίως; ὁ γὰρ ἀριθμὸς πᾶς, τὸ πᾶν ὂν ἕκαστον αὐτῶν ἐστι. ΘΕΑΙ. Ναί. ΣΩ. Ὁ δὲ ἑκάστων ἀριθμὸς μῶν ἄλλο τι ἢ μέρη ἐστί; ΘΕΑΙ. Οὐδέν. ΣΩ. Ὅσα ἄρα ἔχει μέρη, ἐκ μερῶν ἂν εἴη; ΘΕΑΙ. Φαίνεται. ΣΩ. Τὰ δέ γε πάντα μέρη τὸ πᾶν εἶναι ὡμολόγηται, εἴπερ καὶ ὁ πᾶς ἀριθμὸς τὸ πᾶν ἔσται; ΘΕΑΙ. Οὕτω. ΣΩ. Τὸ ὅλον ἄρ' οὐκ ἔστιν ἐκ μερῶν· πᾶν γὰρ ἂν εἴη, τὰ πάντα ὂν μέρη. ΘΕΑΙ. Οὐκ ἔοικε. ΣΩ. Μέρος δ' ἔσθ' ὅτου ἄλλου ἐστὶν ὅπερ ἐστὶν, ἢ τοῦ ὅλου; ΘΕΑΙ. Τοῦ παντός γε. ΣΩ. Ἀνδρικῶς γε, ὦ Θεαίτητε, μάχῃ. τὸ πᾶν δὲ οὐχ, ὅταν μηδὲν ἀπῇ, αὐτὸ τοῦτο τὸ πᾶν

ἐστι; ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Ὅλον δὲ οὐ ταὐτὸν τοῦτο ἔσται, οὗ ἂν μηδαμῇ μηδὲν ἀποστατῇ; οὗ δ' ἂν ἀποστατῇ, οὔτε ὅλον οὔτε πᾶν ἅμα γενόμενον ἐκ τοῦ αὐτοῦ τὸ αὐτό; ΘΕΑΙ. Δοκεῖ μοι νῦν οὐδὲν διαφέρειν πᾶν τε καὶ ὅλον. ΣΩ. Οὐκοῦν ἐλέγομεν, ὅτι οὗ ἂν μέρη ᾖ, τὸ ὅλον τε καὶ πᾶν, τὰ πάντα μέρη ἔσται; ΘΕΑΙ. Πάνυ γε. ΣΩ. Πάλιν δή, ὅπερ ἄρτι ἐπεχείρουν, οὐκ, εἴπερ ἡ συλλαβὴ μὴ τὰ στοιχεῖά ἐστιν, ἀνάγκη αὐτὴν μὴ ὡς μέρη ἔχειν ἑαυτῆς τὰ στοιχεῖα, ἢ ταὐτὸν οὖσαν αὐτοῖς, ὁμοίως ἐκείνοις γνωστὴν εἶναι; ΘΕΑΙ. Οὕτω. ΣΩ. Οὐκοῦν τοῦτο ἵνα μὴ γένηται, ἕτερον αὐτῶν αὐτὴν ἐθέμεθα; ΘΕΑΙ. Ναί. ΣΩ. Τί δ', εἰ μὴ τὰ στοιχεῖα συλλαβῆς μέρη ἐστίν, ἔχεις ἄλλ' ἄττα εἰπεῖν, ἃ μέρη μέν ἐστι συλλαβῆς, οὐ μέντοι στοιχεῖά γε ἐκείνης; ΘΕΑΙ. Οὐδαμῶς, ὦ Σώκρατες, μόρια ταύτης ξυγχωροίην· γελοῖον που, τὰ στοιχεῖα ἀφέντα, ἐπ' ἄλλα ἰέναι. ΣΩ. Παντάπασι δή, ὦ Θεαίτητε, κατὰ τὸν νῦν λόγον, μία τις ἰδέα ἀμέριστος συλλαβὴ ἂν εἴη. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Μέμνησαι οὖν, ὦ φίλε, ὅτι ὀλίγον ἐν τῷ πρόσθεν ἀπεδεχόμεθα, ἡγούμενοι εὖ λέγεσθαι ὅτι τῶν πρώτων οὐκ εἴη λόγος, ἐξ ὧν τὰ ἄλλα ξύγκειται, διότι αὐτὸ καθ' αὑτὸ ἕκαστον εἴη ἀξύνθετον, καὶ οὐδὲ τὸ εἶναι περὶ αὐτοῦ ὀρθῶς ἔχοι προσφέροντα εἰπεῖν, οὐδὲ τοῦτο, ὡς ἕτερα καὶ ἀλλότρια λεγόμενα, καὶ αὕτη δὴ ἡ αἰτία ἄλογόν τι καὶ ἄγνωστον αὐτὸ ποιοῖ; ΘΕΑΙ. Μέμνημαι. ΣΩ. Ἦ οὖν ἄλλη τις ἢ αὕτη ἡ αἰτία τοῦ μονοειδές τι καὶ ἀμέριστον αὐτὸ εἶναι; ἐγὼ μὲν

γὰρ οὐχ ὁρῶ ἄλλην. ΘΕΑΙ. Οὐ γὰρ οὖν δὴ φαίνεται. ΣΩ. Οὐκοῦν εἰς ταὐτὸν ἐμπέπτωκεν ἡ συλλαβὴ εἶδος ἐκείνῳ, εἴπερ μέρη τε μὴ ἔχει καὶ μία ἐστὶν ἰδέα; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Εἰ μὲν ἄρα πολλὰ στοιχεῖα ἡ συλλαβή ἐστι, καὶ ὅλον τι, μέρη δ' αὐτῆς ταῦτα· ὁμοίως αἵ τε συλλαβαὶ γνωσταὶ καὶ ῥηταὶ καὶ τὰ στοιχεῖα, ἐπείπερ τὰ πάντα μέρη τῷ ὅλῳ ταὐτὸν ἐφάνη. ΘΕΑΙ. Καὶ μάλα. ΣΩ. Εἰ δέ γε ἕν τε καὶ ἀμερές, ὁμοίως μὲν συλλαβή, ὡσαύτως δὲ στοιχεῖον, ἄλογόν τε καὶ ἄγνωστον. ἡ γὰρ αὐτὴ αἰτία ποιήσει αὐτὰ τοιαῦτα. ΘΕΑΙ. Οὐκ ἔχω ἄλλως εἰπεῖν. ΣΩ. Τοῦτο μὲν ἄρα μὴ ἀποδεχώμεθα, ὃς ἂν λέγῃ συλλαβὴν μὲν γνωστὸν καὶ ῥητὸν, στοιχεῖον δὲ τοὐναντίον. ΘΕΑΙ. Μὴ γάρ, εἴπερ τῷ λόγῳ πεισόμεθα. ΣΩ. Τί δ' αὖ; τοὐναντίον λέγοντος ἆρ' οὐ μᾶλλον ἂν ἀποδέξαιο, ἐξ ὧν αὐτὸς ξύνοισθα σαυτῷ ἐν τῇ τῶν γραμμάτων μαθήσει; ΘΕΑΙ. Τὸ ποῖον; ΣΩ. Ὡς οὐδὲν ἄλλο μανθάνων διετέλεσας, ἢ τὰ στοιχεῖα ἐν τῇ ὄψει διαγιγνώσκειν πειρώμενος καὶ ἐν τῇ ἀκοῇ αὐτὸ καθ' αὑτὸ ἕκαστον, ἵνα μὴ ἡ θέσις σε ταράττῃ λεγομένων τε καὶ γραφομένων. ΘΕΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Ἐν δὲ κιθαριστοῦ τελέως μεμαθηκέναι, μῶν ἄλλο τι ἦν ἢ τὸ τῷ φθόγγῳ ἑκάστῳ δύνασθαι ἐπακολουθεῖν, ποίας χορδῆς εἴη; ἃ δὴ στοιχεῖα πᾶς ἂν ὁμολογήσειε μουσικῆς λέγεσθαι. ΘΕΑΙ. Οὐδὲν ἄλλο. ΣΩ. Ὧν μὲν ἄρ' αὐτοὶ ἔμπειροί ἐσμεν στοιχείων καὶ συλλαβῶν, εἰ δεῖ ἀπὸ τούτων τεκμαίρεσθαι καὶ εἰς τὰ ἄλλα, πολὺ τὸ τῶν στοιχείων γένος ἐναρ-

γεστέραν τε τὴν γνῶσιν ἔχειν φήσομεν καὶ κυριωτέραν
τῆς συλλαβῆς πρὸς τὸ λαβεῖν τελέως ἕκαστον μάθη-
μα· καὶ ἐάν τις φῇ συλλαβὴν μὲν γνωστόν, ἄγνω-
στον δὲ πεφυκέναι στοιχεῖον, ἑκόντα ἢ ἄκοντα παίζειν
ἡγησόμεθ' αὐτόν. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. XLII.
ΣΩ. Ἀλλὰ δὴ τούτου μὲν ἔτι κἂν ἄλλαι φανεῖεν ἀπο-
δείξεις, ὡς ἐμοὶ δοκεῖ· τὸ δὲ προκείμενον μὴ ἐπιλα-
θώμεθα δι' αὐτὰ ἰδεῖν, ὅ, τι δή ποτε καὶ λέγεται τὸ
μετὰ δόξης ἀληθοῦς λόγον προσγενόμενον τὴν τε-
λεωτάτην ἐπιστήμην γεγονέναι. ΘΕΑΙ. Οὐκοῦν χρὴ
ὁρᾶν; ΣΩ. Φέρε δή, τίνα ποτὲ βούλεται τὸν λόγον
ἡμῖν σημαίνειν; τριῶν γάρ ἕν τί μοι δοκεῖ λέγειν.
ΘΕΑΙ. Τίνων δή; ΣΩ. Τὸ μὲν πρῶτον εἴη ἂν τὸ
τὴν αὑτοῦ διάνοιαν ἐμφανῆ ποιεῖν διὰ φωνῆς μετὰ
ῥημάτων τε καὶ ὀνομάτων, ὥσπερ εἰς κάτοπτρον ἢ
ὕδωρ τὴν δόξαν ἐκτυπούμενον εἰς τὴν διὰ τοῦ στό-
ματος ῥοήν· ἢ οὐ δοκεῖ σοι τὸ τοιοῦτον λόγος εἶναι;
ΘΕΑΙ. Ἔμοιγε. ΣΩ. τὸν οὖν αὐτὸ δρῶντα λέγειν φα-
μέν; ΘΕΑΙ. Φαμέν. ΣΩ. Οὐκοῦν τοῦτό γε πᾶς ποιεῖν
δυνατὸς θᾶττον ἢ σχολαίτερον, τὸ ἐνδείξασθαι, τί δοκεῖ
περὶ ἑκάστου αὐτῷ, ὁ μὴ ἐνεὸς ἢ κωφὸς ἀπ' ἀρχῆς, καὶ
οὕτως ὅσοι τι ὀρθὸν δοξάζουσι, πάντες αὐτὸ φανοῦν-
ται μετὰ λόγου ἔχοντες, καὶ οὐδαμοῦ ἔτι ὀρθὴ δόξα χω-
ρὶς ἐπιστήμης γενήσεται; ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Μὴ
τοίνυν ῥᾳδίως καταγιγνώσκωμεν τὸ μηδὲν εἰρηκέναι τὸν
ἀποφηνάμενον ἐπιστήμην, ὃ νῦν σκοποῦμεν. ἴσως
γὰρ ὁ λέγων οὐ τοῦτο ἔλεγεν ἀλλὰ τό, ἐρωτηθέντα,
τί ἕκαστον, δυνατὸν εἶναι τὴν ἀπόκρισιν διὰ τῶν στοι-

γελοῖον ἀποδοῦναι τῷ ἐρομένῳ. ΘΕΑΙ. Οἷον τί λέγεις,
ὦ Σώκρατες; ΣΩ. Οἷον καὶ Ἡσίοδος περὶ ἁμάξης
λέγει τό, ἑκατὸν δέ τε δούραθ' ἁμάξης· ἃ ἐγὼ μὲν
οὐκ ἂν δυναίμην εἰπεῖν, οἶμαι δὲ οὐδὲ σύ, ἀλλ' ἀγα-
πῷμεν ἂν ἐρωτηθέντες ὅ, τι ἐστὶν ἅμαξα, εἰ ἔχοιμεν
εἰπεῖν, τροχοί, ἄξων, ὑπερτερία, ἄντυγες, ζυγός.
ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Ὁ δέ γε ἴσως οἴοιτ' ἂν
ἡμᾶς, ὥςπερ ἂν τὸ σὸν ὄνομα ἐρωτηθέντας, καὶ ἀπο-
κριναμένους κατὰ συλλαβήν, γελοίους εἶναι, ὀρθῶς
μὲν δοξάζοντας καὶ λέγοντας ἃ λέγομεν, οἰομένους δὲ
γραμματικοὺς εἶναι, καὶ ἔχειν τε καὶ λέγειν γραμμα-
τικῶς τὸν τοῦ Θεαιτήτου ὀνόματος λόγον· τὸ δ' οὐκ
εἶναι ἐπιστημόνως οὐδὲν λέγειν, πρὶν ἂν διὰ τῶν
στοιχείων μετὰ τῆς ἀληθοῦς δόξης ἕκαστον περαίνῃ
τις· ὅπερ καὶ ἐν τοῖς πρόσθεν που ἐῤῥήθη. ΘΕΑΙ.
Ἐῤῥήθη γάρ. ΣΩ. Οὕτω τοίνυν καὶ περὶ ἁμάξης
ἡμᾶς μὲν ὀρθὴν ἔχειν δόξαν, τὸν δὲ διὰ τῶν ἑκατὸν
ἐκείνων δυνάμενον διελθεῖν αὐτῆς τὴν οὐσίαν, προς-
λαβόντα τοῦτο, λόγον τε προςειληφέναι τῇ ἀληθεῖ
δόξῃ, καὶ ἀντὶ δοξαστικοῦ τεχνικόν τε καὶ ἐπιστή-
μονα περὶ ἁμάξης οὐσίας γεγονέναι, διὰ στοιχείων τὸ
ὅλον περάναντα. ΘΕΑΙ. Οὐκοῦν εὖ δοκεῖ σοι, ὦ
Σώκρατες; ΣΩ. Εἰ σοί, ὦ ἑταῖρε, δοκεῖ, καὶ ἀπο-
δέχῃ, τὴν διὰ τοῦ στοιχείου διέξοδον περὶ ἑκάστου,
λόγον εἶναι, τὴν δὲ κατὰ συλλαβὰς ἢ καὶ κατὰ μεῖ-
ζον ἔτι, ἀλογίαν, τοῦτό μοι λέγε, ἵν' αὐτὸ ἐπισκοπῶ-
μεν. ΘΕΑΙ. Ἀλλὰ πάνυ ἀποδέχομαι. ΣΩ. Πότε-
ρον ἡγούμενος ἐπιστήμονα εἶναι ὁντινοῦν ὁτουοῦν,

ὅταν τὸ αὐτὸ τοτὲ μὲν τοῦ αὐτοῦ δοκῇ αὐτῷ εἶναι, τοτὲ δὲ ἑτέρου, ἢ καὶ ὅταν τοῦ αὐτοῦ τοτὲ μὲν ἕτερον, τοτὲ δὲ ἕτερον δοξάζῃ; ΘΕΑΙ. Μὰ Δί᾿ οὐκ ἔγωγε. ΣΩ. Εἶτα ἀμνημονεῖς ἐν τῇ τῶν γραμμάτων μαθήσει κατ᾿ ἀρχὰς σαυτόν τε καὶ τοὺς ἄλλους δρῶντας αὐτά; ΘΕΑΙ. Ἆρα λέγεις τῆς αὐτῆς συλλαβῆς τοτὲ μὲν ἕτερον, τοτὲ δὲ ἕτερον ἡγουμένους γράμμα, καὶ τὸ αὐτὸ τοτὲ μὲν εἰς τὴν προσήκουσαν, τοτὲ δὲ εἰς ἄλλην τιθέντας συλλαβήν; ΣΩ. Ταῦτα λέγω. ΘΕΑΙ. Μὰ Δί᾿ οὐ τοίνυν ἀμνημονῶ, οὐδέ γέ πω ἡγοῦμαι ἐπίστασθαι τοὺς οὕτω ἔχοντας. ΣΩ. Τί οὖν; ὅταν ἐν τῷ τοιούτῳ καιρῷ Θεαίτητον γράφων τις θ καὶ ε, οἴηταί τε δεῖν γράφειν, καὶ γράψῃ, καὶ αὖ Θεόδωρον ἐπιχειρῶν γράφειν, τ καὶ ε οἴηταί τε δεῖν γράφειν, καὶ γράψῃ, ἆρ᾿ ἐπίστασθαι φήσομεν αὐτὸν τὴν πρώτην τῶν ὑμετέρων ὀνομάτων συλλαβήν; ΘΕΑΙ. Ἀλλ᾿ ἄρτι ὡμολογήσαμεν τὸν οὕτως ἔχοντα μήπω εἰδέναι. ΣΩ. Κωλύει οὖν τι καὶ περὶ τὴν δευτέραν συλλαβὴν καὶ τρίτην καὶ τετάρτην οὕτως ἔχειν τὸν αὐτόν; ΘΕΑΙ. Οὐδέν γε. ΣΩ. Ἆρ᾿ οὖν τότε τὴν διὰ στοιχείου διέξοδον ἔχων γράψει Θεαίτητον μετὰ ὀρθῆς δόξης, ὅταν ἑξῆς γράφῃ; ΘΕΑΙ. Δῆλον δή. ΣΩ. Οὐκοῦν ἔτι ἀνεπιστήμων ὤν, ὀρθὰ δὲ δοξάζων, ὥς φαμεν; ΘΕΑΙ. Ναί. ΣΩ. Λόγον γε ἔχων μετὰ ὀρθῆς δόξης· τὴν γὰρ τοῦ στοιχείου ὁδὸν ἔχων ἔγραψεν, ἣν δὴ λόγον ὡμολογήσαμεν. ΘΕΑΙ. Ἀληθῆ. ΣΩ. Ἔστιν ἄρα, ὦ ἑταῖρε, μετὰ λόγου ὀρθὴ δόξα, ἣν οὔπω δεῖ ἐπιστήμην καλεῖν.

ΘΕΑΙ. Κινδυνεύει. ΣΩ. XLIII. Ὄναρ δή, ὡς ἔοικεν, ἐπλουτήσαμεν, οἰηθέντες ἔχειν τὸν ἀληθέστατον ἐπιστήμης λόγον. Ἢ μήπω κατηγορῶμεν· ἴσως γὰρ οὐ τοῦτό τις αὐτὸν ὁριεῖται, ἀλλὰ τὸ λοιπὸν εἶδος τῶν τριῶν, ὧν ἕν γέ τι ἔφαμεν λόγον θήσεσθαι τὸν ἐπιστήμην ὁριζόμενον δόξαν εἶναι ὀρθὴν μετὰ λόγου. ΘΕΑΙ. Ὀρθῶς ὑπέμνησας· ἔτι γὰρ ἓν λοιπόν· τὸ μὲν γὰρ ἦν διανοίας ἐν φωνῇ ὥσπερ εἴδωλον· τὸ δ᾽ ἄρτι λεχθὲν διὰ στοιχείου ὁδὸς ἐπὶ τὸ ὅλον. Τὸ δὲ δὴ τρίτον τί λέγεις; ΣΩ. Ὅπερ ἂν οἱ πολλοὶ εἴποιεν, τὸ ἔχειν τι σημεῖον εἰπεῖν, ᾧ τῶν ἁπάντων διαφέρει τὸ ἐρωτηθέν. ΘΕΑΙ. Οἷον τίνα τίνος ἔχεις μοι λόγον εἰπεῖν; ΣΩ. Οἷον, εἰ βούλει, ἡλίου πέρι ἱκανὸν οἶμαί σοι εἶναι ἀποδέξασθαι, ὅτι τὸ λαμπρότατόν ἐστι τῶν κατ᾽ οὐρανὸν ἰόντων περὶ γῆν. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Λάβε δὴ οὗ χάριν εἴρηται· ἔστι δὲ ὅπερ ἄρτι ἐλέγομεν, ὡς ἄρα τὴν διαφορὰν ἑκάστου ἂν λαμβάνῃς, ᾗ τῶν ἄλλων διαφέρει, λόγον, ὥς φασί τινες, λήψῃ· ἕως δ᾽ ἂν κοινοῦ τινος ἐφάπτῃ, ἐκείνων πέρι σοι ἔσται ὁ λόγος, ὧν ἂν ἡ κοινότης ᾖ. ΘΕΑΙ. Μανθάνω· καί μοι δοκεῖ καλῶς ἔχειν λόγον τὸ τοιοῦτον καλεῖν. ΣΩ. Ὃς δ᾽ ἂν μετ᾽ ὀρθῆς δόξης περὶ ὁτουοῦν τῶν ὄντων τὴν διαφορὰν τῶν ἄλλων προσλάβῃ, αὐτοῦ ἐπιστήμων γεγονὼς ἔσται, οὗ πρότερον ἦν δοξαστής. ΘΕΑΙ. Φαμέν γε μὴν οὕτω. ΣΩ. Νῦν δῆτα, ὦ Θεαίτητε, παντάπασί γε ἔγωγε ἐπειδὴ ἐγγὺς ὥσπερ σκιαγραφήματος γέγονα τοῦ λεγομένου, ξυνίημι οὐδὲ σμικρόν· ἕως δὲ ἀφειστήκη πόρρωθεν,

ἐφαίνετό τί μοι λέγεσθαι. ΘΕΑΙ. Πῶς τί τοῦτο;
ΣΩ. Φράσω, ἐάν οἷός τε γένωμαι· ὀρθὴν ἔγωγε ἔχων
δόξαν περὶ σοῦ, ἐὰν μὲν προσλάβω τὸν σὸν λόγον,
γιγνώσκω δή σε· εἰ δὲ μή, δοξάζω μόνον. ΘΕΑΙ.
Ναί. ΣΩ. Λόγος δέ γε ἦν ἡ τῆς σῆς διαφορότητος
ἑρμηνεία. ΘΕΑΙ. Οὕτω. ΣΩ. Ἡνίκ' οὖν ἐδόξαζον
μόνον, ἄλλο τι, ᾧ τῶν ἄλλων διαφέρεις, τούτων οὐδε-
νὸς ἡπτόμην τῇ διανοίᾳ; ΘΕΑΙ. Οὐκ ἔοικε. ΣΩ.
Τῶν κοινῶν τι ἄρα διενοούμην, ὧν οὐδὲν σὺ μᾶλλον
ἤ τις ἄλλος ἔχει. ΘΕΑΙ. Ἀνάγκη. ΣΩ. Φέρε δὴ
πρὸς Διός, πῶς ποτε ἐν τῷ τοιούτῳ σὲ μᾶλλον ἐδό-
ξαζον ἢ ἄλλον ὁντινοῦν; θὲς γάρ με διανοούμενον
ὡς ἔστιν οὗτος Θεαίτητος, ὃς ἂν ᾖ τε ἄνθρωπος, καὶ
ἔχῃ ῥῖνα καὶ ὀφθαλμοὺς καὶ στόμα καὶ οὕτω δὴ ἓν
ἕκαστον τῶν μελῶν. Αὕτη οὖν ἡ διάνοια ἔσθ' ὅ, τι
μᾶλλον ποιήσει με Θεαίτητον ἢ Θεόδωρον διανοεῖ-
σθαι, ἤ, τὸ λεγόμενον, Μυσῶν τὸν ἔσχατον; ΘΕΑΙ.
Τί γάρ; ΣΩ. Ἀλλ' ἐὰν δὴ μὴ μόνον τὸν ἔχοντα ῥῖ-
να καὶ ὀφθαλμοὺς διανοηθῶ, ἀλλὰ καὶ τὸν σιμόν τε
καὶ ἐξόφθαλμον, μή τι σὲ αὖ μᾶλλον δοξάσω ἢ ἐμαυ-
τὸν ἢ ὅσοι τοιοῦτοι; ΘΕΑΙ. Οὐδέν. ΣΩ. Ἀλλ' οὐ
πρότερόν γε, οἶμαι, Θεαίτητος ἐν ἐμοὶ δοξασθήσεται,
πρὶν ἂν ἡ σιμότης αὕτη, τῶν ἄλλων σιμοτήτων ὧν
ἐγὼ ἑώρακα, διάφορόν τι μνημεῖον παρ' ἐμοὶ ἐνσημη-
ναμένη καταθῆται, καὶ τἆλλα οὕτως, ἐξ ὧν εἶ σύ· ἥ
ἐμέ, καὶ ἐὰν αὔριον ἀπαντήσω, ἀναμνήσει καὶ ποιή-
σει ὀρθὰ δοξάζειν περὶ σοῦ. ΘΕΑΙ. Ἀληθέστατα.
ΣΩ. Περὶ τὴν διαφορότητα ἄρα καὶ ἡ ὀρθὴ δόξα ἂν

εἴη ἑκάστου πέρι. ΘΕΑΙ. Φαίνεταί γε. ΣΩ. Τὸ οὖν προςλαβεῖν λόγον τῇ ὀρθῇ δόξῃ, τί ἂν ἔτι εἴη; εἰ μὲν γὰρ προςδοξάσαι λέγει, ᾗ διαφέρει τι τῶν ἄλλων, πάνυ γελοία γίγνεται ἡ ἐπίταξις. ΘΕΑΙ. Πῶς; ΣΩ. Ὧν ὀρθὴν δόξαν ἔχομεν, ᾗ τῶν ἄλλων διαφέρει, τούτων προςλαβεῖν ἡμᾶς κελεύει ὀρθὴν δόξαν, ᾗ τῶν ἄλλων διαφέρει· καὶ οὕτως ἡ μὲν σκυτάλης, ἢ ὑπέρου, ἢ ὅτου δὴ λέγεται περιτροπὴ πρὸς ταύτην τὴν ἐπίταξιν οὐδὲν ἂν λέγοι· τυφλοῦ δὲ παρακέλευσις ἂν καλοῖτο δικαιότερον. Τὸ γὰρ, ἃ ἔχομεν, ταῦτα προςλαβεῖν κελεύειν, ἵνα μάθωμεν ἃ δοξάζομεν, πάνυ γενναίως ἔοικεν ἐσκοτωμένῳ. ΘΕΑΙ. Εἰπὲ δὴ, τί νῦν δὴ ὡς ἐρῶν ἐπύθου; ΣΩ. Εἰ τὸ λόγον, ὦ παῖ, προςλαβεῖν, γνῶναι κελεύει, ἀλλὰ μὴ δοξάσαι τὴν διαφορότητα, ἡδὺ χρῆμ' ἂν εἴη τοῦ καλλίστου τῶν περὶ ἐπιστήμην λόγου· τὸ γὰρ γνῶναι ἐπιστήμην που λαβεῖν ἐστιν· ἦ γάρ; ΘΕΑΙ. Ναί. ΣΩ. Οὐκοῦν ἐρωτηθεὶς, ὡς ἔοικε, τί ἐστιν ἐπιστήμη, ἀποκρινεῖται, ὅτι δόξα ὀρθὴ μετὰ ἐπιστήμης διαφορότητος; λόγου γὰρ πρόςληψις τοῦτ' ἂν εἴη, κατ' ἐκεῖνον. ΘΕΑΙ. Ἔοικε. ΣΩ. Καὶ παντάπασί γε εὔηθες, ζητούντων ἡμῶν ἐπιστήμην, δόξαν φάναι ὀρθὴν εἶναι μετ' ἐπιστήμης, εἴτε διαφορότητος, εἴτε ὁτουοῦν. Οὔτε ἄρα αἴσθησις, ὦ Θεαίτητε, οὔτε δόξα ἀληθὴς, οὔτε μετ' ἀληθοῦς δόξης λόγος προςγιγνόμενος, ἐπιστήμη ἂν εἴη. ΘΕΑΙ. Οὐκ ἔοικε. ΣΩ. Ἦ οὖν ἔτι κυοῦμέν τι καὶ ὠδίνομεν, ὦ φίλε, περὶ ἐπιστήμης, ἢ πάντα ἐκτετόκαμεν; ΘΕΑΙ. Καὶ ναὶ μὰ Δία ἔγωγε πλείω ἢ ὅσα εἶχον ἐν ἐμαυτῷ,

διά σε εἴρηκα. ΣΩ. Οὐκοῦν ταῦτα μὲν πάντα ἡ μαιευτικὴ ἡμῖν τέχνη ἀνεμιαῖα φησὶ γεγενῆσθαι, οὐκ ἄξια τροφῆς; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. XLIV. ΣΩ. Ἐὰν τοίνυν ἄλλων μετὰ ταῦτα ἐγκύμων ἐπιχειρῇς γίγνεσθαι, ὦ Θεαίτητε, ἐάν τε γίγνῃ, βελτιόνων ἔσῃ πλήρης, διὰ τὴν νῦν ἐξέτασιν· ἐάν τε κενὸς ᾖς, ἧττον ἔσῃ βαρὺς τοῖς ξυνοῦσι καὶ ἡμερώτερος, σωφρόνως οὐκ οἰόμενος εἰδέναι ἃ μὴ οἶσθα. Τοσοῦτον γὰρ μόνον ἡ ἐμὴ τέχνη δύναται, πλέον δὲ οὐδέν, οὐδέ τι οἶδα ὧν οἱ ἄλλοι, ὅσοι μεγάλοι καὶ θαυμάσιοι ἄνδρες εἰσί τε καὶ γεγόνασι. Τὴν δε μαιείαν ταύτην ἐγώ τε καὶ ἡ μήτηρ ἐκ θεοῦ ἐλάχομεν· ἡ μὲν τῶν γυναικῶν, ἐγὼ δὲ τῶν νέων τε καὶ γενναίων, καὶ ὅσοι καλοί. Νῦν μὲν οὖν ἀπαντητέον μοι εἰς τὴν τοῦ βασιλέως στοὰν ἐπὶ τὴν τοῦ Μελίτου γραφήν, ἥν με γέγραπται· ἕωθεν δέ, ὦ Θεόδωρε, δεῦρο πάλιν ἀπαντῶμεν.

ΣΧΟΛΙΑ
ΕΙΣ
ΠΛΑΤΩΝΑ.

ΕΙΣ ΤΟΝ ΕΥΘΥΦΡΟΝΑ.

16, 6. *Δίκην — γραφὴν*] Δίκη, ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις· Γραφή, ἡ ὑπὲρ δημοσίων.

Ἀγνὼς] Τοῦτ' ἐστὶν, ἄγνωστως.

16, 12. *Πιτθεὺς*] Πιτθὶς δῆμος Αἰγηΐδος Ἀθήνησιν, ἐξ οὗ οὗτος.

16, 13. *Ἀτεχνῶς*] παντελῶς, ἁπλῶς, ἢ καθάπαξ, ἰσχυρῶς, ἢ τελέως. οἱ δὲ, ἐν ἴσῳ, τῷ ὄντι, καὶ ἀληθείᾳ. οἱ δὲ δηλοῦν τὸ παράπαν, καὶ καθόλου, κατ' ἀλήθειαν. Ἄλλως. Ἀτεχνῶς, παντελῶς, ἢ ἀντὶ τοῦ λίαν, περισπωμένως· βαρυτόνως δὲ τὸ ἀπείρως.

17, 16. *Ἀφ' ἑστίας*] [ἀφ' ἑστίας ἄρχεσθαι λέγεται] ἐπὶ τῶν ἐν δυνάμει γινομένων, καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους· ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι

τὴν τῶν Τιτάνων ἀρχὴν φασὶ τὸν Δία τὴν βασιλείαν παραλαβόντα ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ, τι ἂν βούλοιτο· τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι, καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. Ἄλλως. Ἀφ' ἑστίας. παροιμία δέ ἐστιν. μετήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. ἢ ἀφ' ἑστίας, ἤτοι ἀπὸ τῶν οἰκειοτάτων. ἑστία γὰρ ἡ οἰκία.

19, 16. Ἦπου] ἴσως, σχεδόν.

19, 20. Πελάτης] ὁ ἀντιστρωφῶν, καὶ ὑπηρετῶν, καὶ προςπελάζων, ἀπὸ τοῦ πέλας, ἤτοι ἐγγύς, ἐκαλεῖτο ὁ δι' ἔνδειαν προςιών· μίσθιος δέ, ὁ ὑπηρετῶν. Ἄλλως. Πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι, καὶ θῆτες. οἱ αὐτοὶ δὲ καὶ Ἑκτήμοροι, ἐπεὶ [ἐπὶ] τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν.

20, 4. Ἐξηγητοῦ] τοῦ τοὺς νόμους ἐξηγουμένου.

20, 25. Αὐτοσχεδιάζοντα] ἐκ τοῦ αὐτομάτου, καὶ προχείρου, καὶ ἑτοίμου λέγοντα, χωρὶς αἰτίας.

21, 2. Λάχε δίκην] Κλήρῳ γὰρ εἰςῆγον τὰς δίκας δι' εὐταξίαν.

22, 26. Ἡγῇ σὺ εἶναι] Ἴδε, πῶς ὁ Πλάτων οὐ δέχεται περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας, πολέμους, συνουσίας, καὶ τὰ τοιαῦτα. ὁ ὅλος γὰρ σκοπὸς τῆς καθεξῆς διαλέξεως εἰς τοῦτο σπουδάζει.

23, 8. Ἐπὶ σχολῆς] ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης Εὐκαιρίας.

23, 29 Θεῖα, ὅσιά ἐστιν] Γράφεται καὶ, ὅσια, ὅσιά ἐστιν.

32, 22. Θ' ἕρξαντα] Γράφεται καί, στέρξαντα.

2, 23. Ἵνα δῖος] Ἵνα περ δῖος, ἔνθα καὶ αἰ-

δώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ Στασίνου Κυπρίων·

> Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
> Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

33, 24. Σκαληνὸς] ὁ σκολιὸς καὶ πολυγώνιος. τοῦ γὰρ τριγώνου ἐστὶν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελὲς, σκαληνόν.

37, 6. Οὐ χαμαί ποτε πεσεῖται.] Παροιμία· Οὐ μὴ χαμαὶ πέσῃ, ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων.

38, 5. Τιμή τε καὶ δῶρα] Γράφεται καὶ, ἔργα.

38, 11. Τὸν Δαίδαλον] Γράφεται καὶ, τὸν διδάσκαλον.

38, 27. Εἴπερ τις ἄλλος] ὡς οὐδεὶς ἄλλος.

39, 3. Θητὸς] Θής, θητὸς, ὁ μισθοῦ δουλεύων.

Διωκάθειν] ἤγουν διώκειν.

ΕΙΣ ΤΗΝ ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑΝ.

42, 16. Ἐρήμην] Ἐρήμη δίκη ἐστὶν, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ.

43, 17. Ἀντωμοσίαν] Ἀντωμοσία ἐπὶ δίκη λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα, ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον, μὴ ἠδικηκέναι. οἱ δὲ, Ἀντωμοσίαν, τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις, καὶ ἀνέγγραφον, εἰς ὅρκον περιϊσταμένην δίκην, ἐφ' οἷς οἱ κριταὶ δικάζουσιν· ἔνιοι, ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν, ὁ ἀντίδικος ἀντομνύη-

ται, φάσκων, προςποιεῖσθαι αὐτόν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. οἱ δέ, ὅτι ὁ τοῦ κατηγορουμένου ὅρκος Ἀντωμοσία, ἐπὶ τῷ τἀληθῆ ἀπολογήσασθαι, ὥςπερ τοῦ κατηγοροῦντος πρότερον Διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν.

44, 18. Προῖκα] κατὰ δωρεάν, ἄνευ μισθοῦ.

45, 7. Ἦ δ' ὅς — ἦν δ' ἐγώ] ἔφη οὗτος, ἔφην δ' ἐγώ.

47, 18. Ἤια] ἀντὶ τοῦ, ἐπορευόμην.

47, 27. Νὴ τὸν κύνα] Ῥαδαμάνθυος ὅρκος οὗτος, ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ, ἤ τινος ἄλλου τοιούτου.

Οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ, κύων,
Ἔπειτα χήν· θεοὺς δ' ἐσίγων.

Κρατῖνος Χείρωσι. κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι.

47, 28. Ἦ μὴν] ὄντως δή.

48, 10. Ἐπ' αὐτοφώρῳ] ἐπ' αὐτόπτῳ, ἐπ' ὄψει.

48, 25. Ἃ οὐκ ἤκουσαν] Γράφεται, ἃ οὐκ ἦσαν.

49. 26. Χαριεντίζεται] εὐτραπελεύεται, σκώπτει.

53, 16. Ὦ τάν] ὦ οὗτος, ὦ ἑταῖρε, ὦ τάλαν, ὦ μέλε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνων· παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ Ὦ τάν, ὡς παρὰ Κτησιφῶντι. οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βραχυτονοῦσι. καὶ βέλτιον. ἀδύνατον γάρ, μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναι φησίν, ὦ ἔταν, ἀγνοῶν, ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητική ἐστιν, ἔτα, καὶ Δωρικῶς ἔταν.

56, 23. Ἐν τῇ ἀντιγραφῇ] Ἀντιγραφή ἐστιν, ὅταν ὁ φεύγων καὶ αὐτὸς γράφηται τὸν διώκοντα, ὥς ἐπὶ τῶν λαγχανόντων τὴν μὴ οὖσαν δίκην, καὶ τῶν παραγραφομένων. καὶ οὗτοι γὰρ τρόπον τινὰ κατηγοροῦσι. [cf. Suid.]

62, 7. Πολλοῦ δέω] πόῤῥω λίαν εἰμί.

77, 13. Κατέδαρθεν] κατεκοιμήθη.

ΕΙΣ ΤΟΝ ΚΡΙΤΩΝΑ.

70, 7, Ἐπιεικῶς] ἱκανῶς, ἐπίπαν, φιλικῶς, παρὰ Πλάτωνι.

81, 10. Ἀλλὰ δοκεῖ] Γράφεται καί, ἀλλὰ δοκεῖν.

82, 5. Χωρὶς μὲν] Γράφεται καί, ἀλλὰ χωρὶς μέν.

82, 22. Εἰ γὰρ ὤφελον] ἀντὶ τοῦ, εἴθε.

89, 2. Χρήματα πράττοντες] ἀντὶ τοῦ, τελοῦντες.

94, 16. Γεννήταις] Γεννῆται, οἱ τοῦ [αὐτοῦ] γένους μετέχοντες, καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά. οἱ δὲ, ὁμογάλακτας, φράτορας, συγγενεῖς, τοὺς Γεννήτας. [Etym. M. et Harpocr.]

ΕΙΣ ΤΟΝ ΦΑΙΔΩΝΑ.

101, 5. Θεωρίαν ἀπάξειν] ἀντὶ τοῦ, θυσίαν ἀπενεγκεῖν. Θεωροὶ δέ εἰσιν, οἱ πεμπόμενοι θῦσαι, καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο, Θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα, Θεωρικά, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη, Θεωρίς, καὶ ὁ ἱερεύς, Θεωρός.

104, 12. Ἄτοπον] τὸ θαυμαστόν, ὡς καὶ ἐν Θεαιτήτῳ φησὶν [T. II. p. 49. Ed. Bip.] · οὐδέν γ' ἄτο-

που, ἀλλὰ πολὺ θαυμαστότερον ἦν. ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται δὲ καὶ ἐπὶ τοῦ ἀνυπόπτου. Εὔπολις Μαρικᾷ·

Καὶ πόλλ' ἀγαθ' ἐν τοῖσι κουρείοις ἐγὼ
Ἀτόπως καθίζων, κοὐδὲ γιγνώσκειν δοκῶν.

καὶ τὸ ἀδόκητον καὶ ἀνυπονόητον. οἱ δὲ ἄλογον.

106, 19. Καθῆκε τὰ σκέλη] Συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον, ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι.

[106, 22. τὸ μὴ — βιάζεσθαι. κατὰ τὸν Κέβητα ἡ τάξις τῶν προβλημάτων. τὸ πρῶτον πρόβλημα, τὸ μὴ ἐξάγειν ἑαυτόν· οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν. Sieb.].

106. 25. Φιλολάῳ] Οὗτος ὁ Φιλόλαος Πυθαγόρειος ἦν, ἐξ Ἰταλίας πεφευγὼς διὰ τὸν ἐμπρησμὸν τὸν τότε ὑπὸ Γύλωνος γεγονότα, διὰ τὸ ἀνεπιτήδειον αὐτοῦ πρὸς φιλοσοφίαν, καὶ ἀπελαθέντα [ἐκ] τοῦ ὁμακοΐου. Ὃς καὶ δι' αἰνιγμάτων ἐδίδασκε, καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὖν καὶ εἰς Θήβας, τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσασθαι, ἐκεῖσε τεθαμμένῳ. Ἵππαρχος δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορείων περιεσώθησαν. πρὸς τὸν Λύσιν δὲ τοῦτον Πλάτων ποιεῖται τὸν διάλογον. [ἔθος ἦν τοῖς Πυθαγορείοις δι' αἰνιγμάτων λέγειν· τούτων γὰρ καὶ ἡ σιωπή, ἐνδεικνυμένων διὰ τῆς σιωπῆς τὸ ἀπόῤῥητον τοῦ θεοῦ, ὃν μιμεῖσθαι δεῖ τὸν φιλόσοφον. ἦν δὲ ὁ Φιλόλαος εἰπών, ὅτι οὐ δεῖ ἐξάγειν ἑαυτόν, δι' αἰνιγμάτων. ἔλεγε γὰρ ἀπιόντι εἰς ἱερόν· οὐ δεῖ ἐπιστρέφεσθαι, καὶ ἐν ὁδῷ μὴ σχίζειν ξύλα· ἐδήλου δὲ τοῦτο, τουτέστι, μὴ σχίζε καὶ τέμνε τὸν βίον· ὁδὸς γὰρ ὁ βίος· τὸ

δὲ μελετᾶν θανάτου, διὰ τὸ ἀπιόντα εἰς ἱερὸν μὴ ἐπιστρέφεσθαι· ἱερὸν γὰρ ὁ ἐκεῖσε βίος. Olymp. ap. Müller. Not. codd. Ciz. P. II. p. 4. ubi plura et Wyttenb. ad Phaed. p. 130.]

106, 28. Ἴσως καὶ μάλιστα] Τὸ μὲν Ἴσως, διὰ τὸ μυθικὸν ἐπιχείρημα· τὸ δὲ Μάλιστα, διὰ τὸ φιλόσοφον.

107, 4. Μέχρις ἡλίου δυσμῶν] Ὡς ζήσεσθαι μέλλων μέχρις ἡλίου δυσμῶν. ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο· καθὰ τοῖς Πυθαγορείοις τὸ ἐν μεσημβρίᾳ καθεύδειν, διὰ τὸ τὸν ἥλιον τότε μᾶλλον ἐνεργεῖν.

107, 14. Καὶ τἄλλα] Οἷον πλοῦτος, δόξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τἄλλα πάντα. θάνατος δὲ μόνως ἀγαθόν ἐστι.

[βέλτιον τεθν. Κατὰ Σωκράτην ἡ τάξις τῶν προβλημάτων· πρῶτον γὰρ δὴ ἐθέλειν κατὰ προαίρεσιν, εἶτα μὴ ἐξάγειν ἑαυτοὺς κατὰ φύσιν. Sieb.]

107, 18. Ἐπιγελάσας, Ἴττω Ζεὺς] Ἐγέλασε, διότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ Ἴττω ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίᾳ διαλέκτῳ· ὃ δείκνυται, ὅτι φύσει τὸν Σωκράτην θαυμάζει. [add. Olympiod. ap. Forst. p. 365.]

107, 26. Ἐν ἀποῤῥήτοις] Ἐντεῦθεν τὸ πρῶτον πρόβλημα, τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν. ἔπειτα δεύτερον διαλεκτικὸν καὶ φιλόσοφον.

[108, 9. ὅ μέντοι — ἔλεγες. Ἐντεῦθεν τὸ δεύτερον πρόβλημα, τὸ τοὺς φιλοσόφους ἐθέλειν ἀποθνήσκειν. Sieb.]

[108, 28. τὴν πραγματειώδη ἀπορίαν πραγματείαν ἐκάλεσεν ὁ Πλάτων· ἀνωτέρω δέ, ἡνίκα ὁ Σιμ-

μίας ἠρώτα, ἀπορίαν μόνον ἐκάλεσε τὴν ἐρώτησιν αὐτοῦ. Olymp.]

110, 22. Κινδυνεύουσιν] ἀντὶ τοῦ, δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται.

[110, 25. τὸ τεθνάναι τέλος ἐστί· διὸ καὶ διαφέρει τὸ ἀποθνήσκειν τοῦ τεθνάναι. ἀποθνήσκει μὲν γὰρ θάνατον μελετῶν ὁ καθαρτικός, καθαίρων ἑαυτὸν τῶν παθῶν· τέθνηκε δὲ ἤδη ὁ θεωρητικός· κεχώρισται γὰρ τῶν παθῶν. Olymp.]

111, 2. Γελασείοντα] γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα.

111, 7. Θανατῶσι] θανάτου ἐπιθυμοῦσι.

111, 24. Ἥκιστα] οὐδαμῶς.

112, 2. Καθόσον μὴ πολλὴ ἀνάγκη] Τοῦτο ἐπεξηγηματικόν ἐστι τοῦ ἐν τοῖς ἐφεξῆς, τοῦ, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι, μηδὲ κοινωνῶμεν, ὅτι μὴ πᾶσα ἀνάγκη. τὸ γὰρ Ὅτι, ἴσον τῷ καθόσον· λείπει δ' ἐκεῖ, τὸ κοινωνεῖν αὐτοῦ· ὅπερ δὴ νοεῖται καὶ συνυπακούεται.

[112, 21. Ποιητὰς λέγει Παρμενίδην, Ἐμπεδοκλέα, Ἐπίχαρμον. οὗτοι γὰρ οὐδὲν ἀκριβὲς λέγουσιν εἰδέναι τὴν αἴσθησιν, καθάπερ Ἐπίχαρμός φησι· Νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, τὰ δὲ ἄλλα πάντα κωφὰ καὶ τυφλά. Καὶ οἱ ποιηταὶ δέ φασι περὶ τοῦ Διομήδους, ὅτι Ἀχλὺν δ' ἀπ' ὀφθαλμῶν ἕλεν, ἣ πρὶν ἐπῆεν, ὄφρ' εὖ γιγνώσκοι (Hom. Il. V. 127.). Εἰ μὴ γὰρ ἔτυχε τῆς Ἀθηνᾶς, οὐκ ἂν ἑώρα τι ἀκριβές. Olymp. add. ap. Wytt. Comm. p. 151.]

112, 29. Ἢ δὲ ὅς] Ἐὰν μὲν ᾖ δύο μέρη λόγου, ἔσται, ἔφη δὲ ὅς, τουτέστιν, ἔφη δὲ οὗτος. οἱ δὲ λέγουσιν, ὅτι αὐτὸ μόνον σημαίνει τὸ ἔφη. ἐὰν δὲ ᾖ

ἓν μέρος λόγου, ἔσται φίλος, ὡς Ἀθηναῖοι, ἢ ὄφελος, ὡς Αἰγινῆται, ἢ ὄξος, ὡς Χαλκιδεῖς, ᾧ πρὸς τὰ ἱερὰ χρῶνται. τάττεται δὲ ἐπὶ παντὸς προσώπου, καὶ ἀριθμοῦ, ὡς τὸ, Ὦ τάν.

[113, 12. αὐτὸ δίκαιον καλεῖ τὴν ἰδέαν. Olymp.]

[114, 2. οἰκεῖον τὸ θηρεύειν ἐπὶ τῶν νοητῶν, διότι ἀφανεῖ δυνάμει τῆς ψυχῆς γινώσκεται ταῦτα, καθάπερ καὶ οἱ θηραταὶ ἀφανεῖς σπεύδουσιν εἶναι τοῖς θηράμασιν. Olymp.]

[114, 12. φησίν, ὅτι ταύτην τὴν ἀτραπὸν ἰτέον, οὐ τὴν λεωφόρον, τουτέστι, καθαρῶς ζητέον· ἀτραπὸς γὰρ ἡ ὁδός, τουτέστιν ἡ κάθαρσις ἡ ἐπὶ τὴν θεωρίαν ἄγουσα· οὐ τὴν λεωφόρον δὲ δεῖ ἰέναι, τουτέστι τὴν τῶν πολλῶν. καὶ Πυθαγόρειον γὰρ ἦν παράγγελμα, φεύγειν τὰς λεωφόρους, ὥσπερ τό· Τὰ μὴ πατέουσιν ἅμαξαι, τὰ στείβειν· καί· Ἑτέρων δ' ἴχνια μὴ καθομά. Olymp.]

[114, 21. φλυαρίαν καλεῖ ὁ Πλάτων πᾶν τὸ περιττόν, οὐ μόνον τὸ ἐν λόγοις, ἀλλὰ καὶ τὸ ἐν ἔργοις. Olymp.]

[114, 26. πῶς διὰ τὰ χρήματα πάντες οἱ πόλεμοι γίνονται; πολλοὶ γὰρ καὶ δι' ἄλλας αἰτίας ἐγένοντο. ῥητέον οὖν, ὡς μὲν Ἁρποκρατίων, ἢ ὅτι ἐπὶ τὸ πλεῖστον, ἢ ὅτι καὶ ἡ τῶν λαφύρων ἐλπὶς ἐπιτείνει τὸν πόλεμον· ὡς δὲ Λογγῖνος τὰ ἐκτὸς πάντα χρήματα καλεῖ· οἱ δὲ Ἀττικοὶ ἐξηγηταί, ἐπειδὴ ὀργάνοις χρῶνται τοῖς χρήμασι πάντες οἱ πολεμοῦντες. Κάλλιον δὲ πόλεμον ἀκούειν τὸν ἀναγκαῖον· διὸ ἀναγκαζόμεθα προσέθηκε. Olymp. Alia ex eodem ap. Wyttenb. p. 159. Müller. p. 11.]

[115, 23. ὡς τὸ εἰκός. οὐκ ἐνδοιάζον τὰ εἰκός

ἀλλὰ ταῦτ' ἐστὶ τὸ ἐοικός· ἐπάγει δὲ τό· ἴσως τὸ ἀληθὲς γνωσόμεθα· διὰ εὐλάβειαν· ἐπεὶ αὐτός ἐστι ὁ λέγων, (de Rep. X. p. 520. F.) ὅτι ἀδαμαντίνοις δεσμοῖς δεῖ ταῦτα ἔχοντα κατιέναι εἰς ᾅδου. Olymp.]

[116, 20. ὅτι μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, ὅ ἐστιν ἀκλινῶς τε καὶ καθαρτικῶς, οὗτοι μάλιστα καὶ ἀεὶ λύειν προμήθοῦνται (ita pro προθυμοῦνται legit), τὸ μὲν προμηθεύεσθαι παρὰ τοῦ Προμηθέως ἔχοντες, τὸ δὲ ἀεὶ καὶ μάλιστα παρὰ τοῦ Ἡρακλέος. Olymp.]

117, 3. *Εἰ γὰρ διαβέβληνται*] ἀντὶ τοῦ, διαβεβλημένως ἔχουσι πρὸς τὸ σῶμα.

Τὴν τύχην εἶναι] Γράφεται καί, τὴν τύχην ἔχειν. [ψυχὴν est p. 117, 4.]

[117, 10. τὸ ἄλλο ἐπιχείρημα, ὅτι οἱ παρ' ἡμῖν ἀνθρωπίσκοι ἐθέλουσιν ἀποθνήσκειν· καθάπερ ἡ Εὐάδνη ἐν πυρκαιᾷ ἐνέβαλεν ἑαυτήν, διὰ τὸ οἴεσθαι συνεῖναι τῷ ἀνδρὶ τελευτήσαντι. Olymp.]

[117, 26. τὸ αὐτὸς οὐ τὸν φιλοσώματον ἀλλὰ τὸν πλαστὸν φιλόσοφον νοητέον. Olymp.]

119, 16. *Οὐδ' ἀληθὲς ἔχῃ*] Γράφεται καί, οὐδ' ἀληθὲς ἔχουσα.

[119, 25. παρῳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον, ὅτι, ὅςτις δ' ἡμῶν ἀτέλεστος, ὥςπερ ἐν βορβόρῳ κεῖσεται· τελετὴ γάρ ἐστι ἡ τῶν ἀρετῶν βακχεία, καί φησι· πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· ναρθηκοφόρους οὐ μὴν βάκχους τοὺς πολιτικοὺς καλῶν, ναρθηκοφόρους δὲ βάκχους, τοὺς καθαρτικούς. Olymp.]

[121, 6. τί βούλεται ἐνταῦθα τῷ Πλάτωνι ἡ μνήμη τῶν κωμῳδοποιῶν; ἢ τὸ λεγόμενον τοῦτό ἐστιν,

ὅτι οὐ δώσω χώραν τοῖς κωμῳδοποιοῖς διαλοιδορεῖσθαί μοι; ὁ γὰρ Εὔπολίς φησι περὶ τοῦ Σωκράτους· Τί δῆτα ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχόν, ὃς τἄλλα μὲν πεφρόντικεν, ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου δὲ κατημέληκε. Νῦν οὖν οὐκ ἐρεῖ ταῦτα περὶ ἐμοῦ, ζητοῦντος, εἰ εἰσὶν αἱ ψυχαὶ ἡμῶν ἐν ᾅδου. χρειώδης γὰρ ἡ τοιαύτη ζήτησις. Olymp.]

[121, 10. Ὅτι τὸ ζῶν καὶ τὸ τεθνεὸς ἐξ ἀλλήλων, κατασκευάζει ἡ λέξις ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν τῶν ἀπὸ Ὀρφέως, φημί, λέγοντος·

Οἳ δ᾽ αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν,
Ἠδ᾽ ἄλοχοι σεμναὶ — κεδναί τε θύγατρες.

Πανταχοῦ γὰρ ὁ Πλάτων παρῳδεῖ τὰ Ὀρφέως. ἀλλὰ μὴν καὶ Ἐμπεδοκλῆς ἔφη·

Ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κοῦρός τε κούρη τε
Θαμνός τ᾽ οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.
Olymp.]

[124, 19. Ἐνδυμίωνα. Ἐλέγετο δὲ οὗτος ἀεὶ καθεύδειν, διότι ἀστρονομῶν ἐπ᾽ ἐρημίας διέτριβε· διὸ καὶ φίλος τῇ Σελήνῃ· ὃ δὴ καὶ περὶ Πτολεμαίου φασίν· οὗτος γὰρ ἐπὶ μ ἔτη ἐν τοῖς λεγομένοις πτεροῖς τοῦ Κανώβου ᾤκει ἀστρονομίᾳ σχολάζων· διὸ καὶ ἀνεγράψατο τὰς στήλας ἐκεῖ τῶν εὑρημένων αὐτῷ ἀστρονομικῶν δογμάτων. Olymp.]

124, 23. Ὁμοῦ πάντα] Ὁμοῦ σημαίνει ποτὲ μὲν τὸ ἐγγύς, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας [T. I. p. 420. Reisk.]· καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι ἀπὸ Σόλωνος. ὃ δ᾽ ἐστὶν ὁμοῦ σ΄. ἔτη καὶ μ΄. καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος [T. II. p. 105.]· εἰσὶν ὁμοῦ πάντες δισμύριοι Ἀθηναῖοι.

καὶ Μένανδρος ἐν τῷ ἑαυτὸν τιμωρουμένῳ· πρὸς τῆς Ἀθηνᾶς δαίμων δύο γεγονὼς ἔτη τοσαῦτα· ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι. καὶ Ἀριστοφάνης [ἐν τῷ] Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσα φησὶ λαβέσθαι. καὶ γάρ ἐσθ' ὁμοῦ. δηλοῖ δὲ καὶ τὸ ἐν τούτῳ. Ὅμηρος [Il. ψ, 84.]·

Ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐφ' ὑμετέροισι δόμοισι.

Καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους [T. I. p. 634.]· οὐκοῦν εἰ μέν τι ἐάσομεν τούτων συμβάντων ὑμᾶς, οὐ καθαροῖς ὁμοῦ διατρίψομεν. ἔστι καὶ χρονικόν. Σοφοκλῆς Οἰδίποδι [4. 5.]·

Πόλις ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

ἔχει καὶ δύναμιν συλλεκτικήν, ὡς παρὰ Μενάνδρῳ ἐν Ὑδρίᾳ· οἱ Θρᾷκες Λιβύτρωες καλοῦνται· πάντα νῦν ἤδη 'σθ' ὁμοῦ. ὅπερ δηλοῖ τὸ ἐν τῷ αὐτῷ.

[127, 16. τὸ ἐνταῦθα ἴσον οὐκ ἀκριβές ἐστι. πῶς γὰρ ἀκριβῶς ἴσον τὸ καὶ ψαμμίου μεγέθους ἀφαιρεθέντος ἢ προστεθέντος ἴσον μεῖναν; Οὐδὲ γὰρ ὁρῶμεν οὐδὲν ἀκριβὲς οὐδὲ ἀκούομεν, κατὰ τὸν αὐτοῦ λόγον. Ἀπὸ οὖν τοῦ παχυμεροῦς ἴσου ἐπὶ τὸ ἀκριβὲς ἴσον ἔρχεται. Olymp.]

127, 26. Ἐνίοτε ταὐτὰ ὄντα φαίνεται] Γράφεται καί, τῷ μὲν τῷδε.

133, 25. Ἕως ἂν ἐξετάσηται] Γράφεται καί, ἐξιάσηται. [Ap. Wyttenb. ἐξεπάσεται — ἐξιάσεται p. 193 a.]

[134, 15. τῷ ποίῳ τινί. Φαίνεται ὁ Σωκράτης τρίτον τὸ αὐτὸ λέγων — ἢ οὐ τὸ αὐτὸ σημαίνει ἕκαστον τούτων. Τὸ μὲν γὰρ περὶ τῶν πραγμάτων αὐτῶν λέγεται, ὅτι ποίῳ μέρει προσήκει τὸ διασκιδάν-

νυσθαι, οἷον ὅτι τῇ ἐμψυχίᾳ, οὐ μὴν τῇ ψυχῇ, καὶ ὑπὲρ ποίου τινὸς δεδιέναι, τουτέστι, περὶ τίνος δεῖ ἡμᾶς κρίσιν ἔχειν, ὡς τοῦτο πεισομένους, καὶ τίνας δεδιέναι, ὡς τοῦτο πάσχοντας. Διό φησιν, τῷ ποίῳ τινί. Τὸ μὲν οὖν λέγεται περὶ τῶν πραγμάτων, τὸ δὲ περὶ τῆς κρίσεως, τὸ δὲ περὶ τῶν προσώπων. Olymp.]

[134, 18. συντεθέντι, ἵνα εἴπῃ περὶ τῶν μερῶν· ταῦτα γὰρ συντίθεται: συνθέτῳ δέ, ἵνα εἴπῃ τὸ ὅλον· τοῦτο γάρ ἐστι συνθετόν. Olymp.]

[136, 14. τὸ μὲν τῆς πλάνης ὄνομα κοινῶς καὶ ἐπὶ ζωῆς καὶ γνώσεως φέρεται· τὸ δὲ ταράττεται ἐπὶ ζωῆς μόνης· τὸ δὲ ἰλιγγιᾷ ἐπὶ γνώσεως μόνης, καλῶς δὲ τὸ ἰλιγγιᾷ· ὥσπερ γὰρ οἱ τοιοῦτοι διὰ τὴν ἔνδοθεν αὐτοῖς δίνην καὶ τὰ ἔξω τοιαῦτα νομίζουσιν, οὕτω καὶ ἡ ψυχή, διὰ τὸ μόνα τὰ αἰσθητὰ ὁρᾶν, πάντα νομίζει ῥευστὰ καὶ ἐν κινήσει εἶναι. Olymp.]

[136, 22. πῶς πάθημα τὴν φρόνησιν ἔφη; ἢ ὅτι μέθεξίς ἐστιν τῆς αὐτοφρονήσεως· καὶ γὰρ τὸ μετέχειν πεπονθέναι λέγει πολλάκις ὁ Πλάτων· μήποτε δὲ καὶ ὡς διάθεσιν οὖσαν ἐν οὐσίᾳ τῆς ψυχῆς. Olymp.]

[137, 14 ὅτι νοητὸν λέγει ἐνταῦθα ὁ Πλάτων τὸν νοῦν, οὐ μὴν (τὸ) νοούμενον, δῆλός ἐστιν ἀντιτάξας αὐτῷ τὸ ἀνόητον· ἀνόητον γὰρ λέγεται οὐ τὸ μὴ νοούμενον, ἀλλὰ τὸ μὴ νοοῦν· οὕτω δὲ καὶ Ἀριστοτέλης τὸ αἰσθητὸν αἰσθητικὸν ἐκάλεσεν. Olymp. Male.]

[ἀδιάλυτόν ἐστιν, ὡς μὴ ἐκ μερῶν συγκείμενον. τὸ γὰρ διαλυόμενον εἰς οἰκεῖα μέρη διαλύεται. Olymp.]

[139, 24. ἐπὶ τῶν φιλοσωμάτων ψυχῶν χωρίζεται μὲν τὸ σῶμα τῆς ψυχῆς, οὐ μὴν ἡ ψυχὴ τοῦ σώματος, ἀλλὰ σχετικῶς ἔτι συνῆπται αὐτῷ κατὰ τὴν ἡμίσχετον σχέσιν· ἐξ ὧν καὶ τὰ σκιοειδῆ φαντάσματα περὶ τοὺς τάφους ἐνειλεῖται· ὡς καὶ ὁ ποιητὴς λέγει περὶ τῆς Πατρόκλου ψυχῆς (Il. 16, 857.)· Ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην. Olymp.]

[140, 5. ὅτι παλαιὸς λόγος, Ὀρφικός τε καὶ Πυθαγόρειος, ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα, καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις. Olymp.]

[145, 19. ὅτι Ἀπολλωνιακὸς ὢν κατὰ τὴν καθαρτικὴν ζωήν, εἰκότως ὁμόδουλος εἶναι λέγει τοῖς κύκνοις· ἤδη δὲ καὶ ὡς μουσικὸς καὶ ὡς ἰατρὸς τῶν ψυχῶν. Olymp.]

[146, 1. ἀδύνατον μὲν τοῖς πολλοῖς, παγχάλεπον δὲ τοῖς ἐλαχίστοις. Olymp.]

148, 8. Ὑπερδικεῖν] ἤγουν συνηγορεῖν. καὶ Ὑπέρδικοι, οἱ συνήγοροι.

148, 10. Θρᾶττον] ταράττον, ἐνοχλοῦν.

152, 16. Πρὸς δύο οὐδ᾽ ὁ Ἡρακλῆς] Ταύτης τὴν αἰτίαν ὁ Δοῦρις οὕτως ἀφηγεῖται. Ἡρακλέα φησὶ βωμὸν δειμάμενον ἐπὶ τῷ Ἀλφειῷ, πυγμῆς ἀγῶνα καταθεῖναι, καὶ νικήσαντα τὴν ἑξῆς Ὀλυμπιάδα, πάλιν ἀγωνιζόμενον, ὑπὸ Ἐλάτου καὶ Φεράνδρου πάλῃ ληφθῆναι, καὶ ἐξ ἐκείνου τό, Πρὸς δύο οὐδ᾽ ὁ Ἡρακλῆς, παροιμιασθῆναι. Ἐχεφυλλίδας δέ, αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου, τῶν Μολιονίδων, ἡττηθῆναι κατὰ τὴν ἐπ᾽ Αὐγείᾳ στρατείαν· διωχθέντα δὲ ἄχρι τῆς Βουπρασίδος, καὶ περιβλεψάμενον, ὡς οὐδεὶς ἐξίκετο τῶν πολεμίων, ἀναψύξαι τε καὶ ἐκ

τοῦ παραῤῥέοντος ποταμοῦ πιόντα, προςαγορεῦσαι τοῦτο ἡδὺ ὕδωρ· ὃ νῦν δείκνυται ἰόντων ἐκ Δύμης εἰς Ἦλιν, καλούμενον ὑπὸ τῶν ἐγχωρίων βαθὺ ὕδωρ. Τὰ δὲ αὐτὰ καὶ Φερεκύδης, καὶ Κώμαρχος, καὶ Ἴστρος ἐν τοῖς Ἠλιακοῖς ἱστοροῦσι καὶ διὰ τοῦτο θεωροὺς τοὺς Μολιονίδας ἰόντας εἰς Κόρινθον λοχήσαντα τὸν Ἡρακλῆ περὶ Κλεωνὰς ἀποκτεῖναι· ὅθεν Ἠλείοις ἀπώμοτον εἶναι τὰ Ἴσθμια ἀγωνίζεσθαι, ὅτι θεωροὺς πεμφθέντας εἰς τὸν Ἰσθμὸν τοὺς Μολιονίδας ἑλὼν Ἡρακλῆς, ὑπὸ Κορινθίων ἐδέχθη. Ἡρόδωρος δὲ καὶ Ἑλλάνικος φασίν, ὡς ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκῖνον ἐφορμῆσαι· πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι, σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων· καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. Ἐμνήσθη δὲ ταύτης Πλάτων καὶ ἐν ιά. Νόμων· ὀρθὸν μὲν δὴ τὸ πάλαι τε εὐρημένον, ὡς πρὸς δύο μάχεσθαι χαλεπόν. καὶ ἐνταῦθα.

153, 7. Ἢ οὐκ ᾔσθησαι] Γράφεται καί, σύ.

[161, 16. μέμνηται τῆς Θηβαϊκῆς Ἁρμονίας τοῦ θεοῦ, ἐνδεικνύμενος, ὅτι ἐστὶ νοεῖν καὶ χωριστὴν ἁρμονίαν, ὡς τὴν Ἄρεως παῖδα καὶ Ἀφροδίτης· οὕτω γάρ πως καὶ ἡ ψυχὴ λέγοιτο ἁρμονία, κατὰ τὸν Τίμαιον· ἱλάσασθαι δέ φησι τὸν θεὸν τὸ εἴδωλον χωρίσας ἀπὸ τῆς ἀληθοῦς ψυχικῆς ἁρμονίας, ἢ ὅσον γε ἐπὶ ταῖς δόξαις τοῖς πολλοῖς καὶ ἡ θεὸς χωριστὸς εἶναι δόξειεν ἁρμονία. Τί δὲ δή; τὰ Κάδμου πῶς ἱλασόμεθα; ἢ Κάδμος μὲν ὁ ὑποσέληνος κόσμος, ὡς Διονυσιακός· διὸ καὶ Ἁρμονία σύνεστι τῇ θεῷ· δηλοῖ δὲ καὶ ὁ Πείσανδρος θεολογῶν τὰ κατὰ Κάδμον ἐν τῷ μύθῳ, ἐν ᾧ φησὶ τὸν Κάδμον ὑποτίθεσθαι

τῷ Διΐ, πῶς ἂν καταγωνίσαιτο τὸν Τυφῶνα· αἱ δὲ (θυγατέρες) τὰ τέσσαρα στοιχεῖα Διονυσιακὰ ποιοῦσι, Σεμέλη μὲν τὸ πῦρ, Ἀγαύη δὲ τὴν γῆν, διασπῶσα τὰ οἰκεῖα γεννήματα, Ἰνὼ δὲ τὸ ὕδωρ, ἐνάλιος οὖσα, καὶ Αὐτονόη δὲ τὸν ἀέρα ἡ λοιπή· ἱλάσκεται δὲ τὸν Κάδμον, ἀποδεικνὺς τὴν ψυχὴν πάμπαν ἀθάνατον; καὶ τόδε τὸ πᾶν οὐ θνητῶν μόνων οὐσιῶν οὐδὲ μακραιώνων δεκτικόν, ἀλλὰ καὶ παντάπασιν ἀθανάτων. Olymp.]

163, 11. Ὑπερήφανος] ὑπέρφρων.

168, 18. Καρδόπῳ] τῇ μάκτρᾳ τοῦ ἀλεύρου.

168, 24. Τὸν δεύτερον πλοῦν] Παροιμία, Δεύτερος πλοῦς, ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, καθόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν, ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. Ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Ἠθικῶν [c. 8.], καὶ Μένανδρος Κεκρυφάλῳ, καὶ Πλοκίῳ, καὶ Θεοφορουμένῃ.

172, 1. Τὴν σαυτοῦ σκιάν] Τὴν αὑτοῦ σκιὰν δέδοικεν, ἐπὶ τῶν σφόδρα δειλοτάτων. Μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις.

175, 1. Οὐδ' ἂν ἔφη] Γράφεται καί, ὁ δ' αὖ.

[175. 5. καὶ εἴδη παρέλαβε καὶ τὰ συνουσιωμένα εἴδεαι, ἵνα μὴ διαφύγοι τὰς ὑποθέσεις ἡ ψυχή, εἴτις ἁπλῆν ζωὴν ὑποθοῖτο, καθάπερ τὰ ἁπλᾶ εἴδη, τὸ αὐτὸ θερμὸν καὶ τὸ αὐτὸ ψυχρόν, οὔτε οὐσίαν μετὰ ζωῆς οὐσιωμένην, καθάπερ τὸ πῦρ μετὰ θερμότητος οὐσίωται. Olymp.]

178, 2. Καὶ μή μοι ὃ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλὰ μιμούμενος ἐμέ] καὶ μή μοι ἣν ἂν ἐρωτῶ ἀπόκρισιν ἀποκρίνου, ἀλλ' ἄλλην, μιμούμενος ἐμέ.

[178, 28. ἡ ἀπόδειξις πρόεισιν ἐκ τῶν ὑποθέσεων τοιάδε (τοιῷδε) συλλογισμῷ· ἡ ψυχή, ᾧ ἂν παρῇ, ζωὴν τούτῳ ἐπιφέρει· πᾶν δέ, ὃ ἐπιφέρειτι, ἄδεκτόν ἐστι τοῦ ἐναντίου αὐτῷ· ἡ ψυχὴ ἄρα ἄδεκτος θανάτου. Olymp. Plura ex eo ap. Wyttenb. p. 282.]

180, 26. *Ἀναβάλοιτο*] ἀνακρούοιτο.

181, 17. *Ἕρμαιον*] τὸ ἀπροςδόκητον κέρδος· ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσι. ταύτας δὲ τῷ Ἑρμῇ ἀφιεροῦσιν ὡς ὄντι καὶ τούτῳ ἑνὶ τῶν ἐνοδίων θεῶν.

[181, 26. οὐ πάντα μυθικῶς λέγει, ἀλλ' ἔνια καὶ πραγματωδῶς. ὅτι τριμερὴς καὶ ὁ μῦθος· τὸ μὲν πρῶτον ἔνωσις τῶν ἔπειτα λόγων πρὸς τοὺς προάγοντας, τὸ δὲ δεύτερον περιήγησις τῆς γῆς ὅση καὶ οἵα τυγχάνει οὖσα· τὸ δὲ τρίτον, διανομὴ τῶν ψυχῶν εἰς τὰς προςηκούσας λήξεις, ὅτι ἐκ τριῶν ἡ νεκυΐα συνέστηκεν, [ἐκ τῶν δικαζόντων], ἐκ τῶν δικαζομένων, ἐκ τῶν τόπων, ἐν οἷς ταῦτα. τριῶν δὲ οὐσῶν νεκυϊῶν, καὶ ἑκάστης τῶν εἰρημένων τριῶν μεμνημένης, ἡ μὲν περὶ τοῦ τόπου μᾶλλον ποιεῖται τὸν λόγον, ἡ δὲ ἐν Γοργίᾳ περὶ τῶν δικαζόντων, ἡ δὲ ἐν Πολιτείᾳ (lib. X.) περὶ τῶν δικαζομένων. (Est et quarta νεκυΐα, *fabula de inferis*, in Phaedro). — τίνες οἱ λέγοντες; λέγεται γὰρ ταῦτα περὶ τῶν ἐν ᾅδου, φησίν· πρῶτον μὲν αἱ κοιναὶ ἔννοιαι, σῴζουσαι ἀδιαρθρώτως· δεύτερον οἱ θεολόγοι· τρίτον, οἱ χρησμοὶ τῶν θεῶν· τέταρτον, αἱ τελεταί· πέμπτον, αὐτοὶ παραγενόμενοι οἱ θεοί. Olymp.]

182, 10. ὁ Σωκράτης διχῇ δείκνυσι, φιλοσόφως μὲν ἀπὸ τοῦ δεῖσθαι τὰς ψυχὰς τῶν ἡγεμόνων· μιᾶς γὰρ οὔσης ὁδοῦ, μὴ ἂν δεηθῆναι τῶν ἀγόντων· ἱε-

ρατικοῖς δέ, ἀπὸ τῶν ἐν τριόδοις τιμῶν τῆς Ἑκάτης· Ὅτι μία μὲν, κατὰ τὸ κοινόν, ἡ εἰς ἅδου πορεία· πολλαὶ δὲ καὶ παντοδαπαὶ αἱ μετὰ τὴν μίαν ὁδοί — ἢ διὰ τὰς Δήμητρος πλάνας· ἢ ὅτι ἐπὶ τριόδου θύουσι τῇ Τριοδίτι Ἑκάτῃ, καὶ παραδεικνύουσι τὰς τριόδους ἐν ἄλλοις νομίμοις. ἀλλὰ καὶ τῶν ἀποιχομένων τὰς ψυχὰς τριχῇ θεραπεύουσιν, ἄλλως μὲν τὰς τῶν παναγῶν ἱερέων, ἄλλως δὲ τὰς τῶν βιοθανάτων, καὶ ἔτι ἄλλως τὰς τῶν πολλῶν. Olymp.]

182, 12. Ἀπὸ τῶν θυσιῶν [ut vulg.] καὶ νομίμων] Γράφεται καί, ὁσίων.

183, 10. Γλαύκου τέχνη] ἢ ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ τῶν πάνυ ἐμμελῶς καὶ ἐντέχνως εἰργασμένων. Ἵππασος γάρ τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους οὕτως, ὥστε τὰς μὲν διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος ἐπίτριτον μὲν εἶναι τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ τοῦ τετάρτου· κρουομένους δὲ τούτους ἐπιτελεῖν συμφωνίαν τινά. καὶ λέγεται, Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους, πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν, καὶ ἀπὸ ταύτης τῆς πραγματείας ἔτι καὶ νῦν λέγεσθαι τὴν καλουμένην Γλαύκου τέχνην. Μέμνηται δὲ τούτου Ἀριστόξενος ἐν τῷ περὶ τῆς μουσικῆς ἀκροάσεως, καὶ Νικοκλῆς ἐν τῷ περὶ θεωρίας. ἔστι δὲ καὶ ἑτέρα τέχνη γραμμάτων, ἣν ἀνατιθέασι Γλαύκῳ Σαμίῳ, ἀφ' ἧς ἴσως καὶ ἡ παροιμία διεδόθη. οὗτος δὲ καὶ σιδήρου κόλλησιν εὗρεν, ὥς φησιν Ἡρόδοτος. [I, 25.]

184, 9. Αὐτὴν δὲ τὴν γῆν] Τοῦτ' ἐκεῖνο, ὃ λέγει ἐν τῷ Τιμαίῳ, τὸν οὐρανὸν τῶν τεσσάρων εἶναι στοιχείων, ἀφ' ἑκάστου τοῦ καθαρωτάτου, καὶ οἷον νῷ

μόνῳ θεατοῦ τε καὶ ληπτοῦ, εἰς τὴν κατασκευὴν τοῦ ποιητοῦ δεηθέντος.

[185, 19. καλὸν ἔφη τὸν μῦθον, ὡς καὶ ἀδὸ φαινόμενον κατὰ φύσιν ἔχοντα καὶ οὐδὲν ἀπεμφαῖνον. Διὸ ἢ ταῦτα εἶναι τὰ πράγματα ὡς ἀληθῶς φαίη τις ἄν, ἢ τοιαῦτα καὶ οὐ πόῤῥωθεν τὸ μυθικὸν ἔχοντα. ἴσως δὲ ὅτι καὶ μῦθος καὶ λόγος ὁ αὐτὸς εἶναι δύναται· λόγος μὲν, ὅτι καὶ τὰ πράγματα τοιαῦτα, μῦθος δέ, ὅτι αἰνίξασθαι δύναται καὶ βελτίονα ὑπάρχοντα. Olymp.]

demus et Gorgias. Recensuit, vertit, notasque suas adiecit Martinus Iosephus Routh, A. M. Collegii D. Mariae Magdal. Oxon. Socius. Oxonii e typogr. Clarendon. MDCCLXXXIV. 8. Praeter edd. vett. aliaque praesidia nota adhibuit (in Euthydemo) lectiones varias e cod. bibl. Regiae Paris., bombyc. seculo XIII. exarato, n. MDCCCVIII. in Catal. Codd. Pariss., quem ad Stephani edit. contulerat Io. Lefebure, qui eum censuit cum aliis scriptis a duobus viris eruditis collatum esse. Occurrunt nempe vel inter versus vel in margine variae lectiones varia manu scriptae, praeter varias lectiones a codicis scriba notatas, quae quidem paucae sunt. Tum etiam ad manus ei fuerunt Casauboni adnotationes (in Euthydemum tres) inter adversaria eius in bibl. Bodlejana, et Tho. Waldgravii S. T. P. adnotationes in Platonem, anglico sermone scriptae, quas collegio Magdalenensi donaverat. In textu Stephani exemplum ut plurimum secutus est.

Platonis Dialogi tres, Cratylus, Parmenides, Euthydemus. Emendavit et annotatione instruxit Lud. Frider. Heindorfius. Berolini e libr. Nauckiana MDCCCVI. 8. (Dialogorum selectorum Plat. ab eo editorum Vol. III.)

Protagoras. Inscribitur: *Πρωταγόρας, ἢ Σοφισταί, ἐνδεικτικός*, et cum Euthydemo ad sextam tetralogiam refertur. Verterat eum Cicero, quae versio periit. — Sechs auserlesene Gespräche Platons, griechisch und deutsch, nebst des Herrn Dacier Vorrede und Anmerkungen, herausgegeben durch Io. Sam. Müller. Hamburg. 1736. 4. Insunt: Alcibiades I., Laches, Protagoras, Theages, Alcibiades II., Erastae s. Amatores. — Sophistae hunc dialogum, emendatum et illustratum subiunxit Heindorfius, v. T. I. p. XV. — Tres etiam

dialogi Plat.; Protagoras, Ion et Theages cum not. german. curante F. A. Wolfio jam a. 1782 nunciati sunt. — Geo. Frid. Richteri Comm. de loco Platonis in Protagora, cur voluptates quaedam malae sint. L. 1742. 4. Multo praestantior est commentatio acad. Car. Frid. Heinrichii, Profess. Kilon., inscripta: Demonstratio et restitutio loci corrupti e Platonis Protagora. Kiliae 1813. 4. ex qua haec excerpenda duximus:

Locus est c. 47. p. 163. hui. edit. ubi commemoratur Pherecratis comoedia, cuius integra inscriptio fuit *Χείρων, ἢ Ἄγριοι* (de qua idem vir doctiss. Heinrichius iam disputaverat iu libro: Epimenides aus Kreta, eine krit. histor. Zusammenstellung aus Bruchstücken des Alterthums etc. L. 1801. p. 188. ss. 192. ss.) Ea fabula (inquit H. p. 15. Progr.) ad artem musicam tota pertinebat et corruptelam eam, quae mutatis legibus musicis et ad dulcedinem mollitiemque depravatis, in animos civium influere atque morum severitatem, reipublicae causa potissime retinendam, dissolvere et enervare multis visa est. — Chiron quid faceret ad musicum argumentum quaeri non potest, nisi ab eo, qui forte nondum cognovit illum, non *δικαιώτατον* solum sed etiam *μουσικώτατον* Centaurorum. Demandatae huic in fabula partes antistitis et velut propugnatoris musicae vetustae.— Artifici ars erat adiuncta, Musica, cuius tanquam causa agebatur, illo Centauro patrono, sub iudice Iustitia (*Δικαιοσύνη* aut *Δίκη*). — Quod coniuncti cum Chirone *Ἄγριοι* chorum facerent, cui non ultro occurrit, non nisi centauros illos fuisse, ferum et hirsutum genus? Satyros et ipsos *ἀγρίους* choro socios fuisse admixtos, praeter alia, verisimile hoc facit, quod veterani utrique erant in comitatu Bacchi commilitones." Iam quum Centauri illi, aut

Ἄγριοι, nullo modo dici potuerint μισάνθρωποι, repudiatis aliorum, etiam Heindorfii, rationibus et explicationibus, locum ita emendat: ἢ σφόδρα, ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥςπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ ἡμιάνθρωποι, ἀγαπήσαις ἄν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ κ. τ. λ. Centauros dictos esse semihomines constat, et graeca vox ἡμιάνθρωποι, quae apud Lucian. certe in Deor. Conc. §. 4. T. III. p. 529. Reitz. atque in glossariis occurrit, non nimis illa vulgaris, abire facile in μισάνθρωποι potuit. Idem tuetur iuncturam verborum τοιοῦτοι, ὥςπερ — contra Heindorfium, qui scribi οἷοίπερ maluit, (p. 9. s.) similibus locutionibus et exemplis.

Hippias minor. Inscribitur Ἱππίας ὁ ἐλάττων (aut ὁ β') ἢ περὶ ψεύδους. Separatim, quantum scimus, non est editus neque critice nuper tractatus.

Cratylus. Inscribitur Κράτυλος, ἢ περὶ ὀνομάτων ὀρθότητος, λογικός. Editiones eius aliquot quae saeculo XVI. prodierunt, indicavit Fabricii Bibl. gr. Vol. III. p. 97. et 138. ed. Harles. De editione Fischeri T. I. p. XIV., de Heindorfii ed. paullo ante p. VI. dictum est. Is usus est lectionibus codicis Gudiani in biblioth. Guelferbyt. chartacei N. 44. unde excerptam scripturae varietatem cum ipso communicaverat I. G. Schneiderus, V. C. Accessit nuperrime Varietas lect. in Cratylo e cod. Darmstad. enotata a Cel. Frid. Creuzero et adiecta editioni Plotini Lib. de pulcritudine p. 472—512. Volumen Darmstad. bibl., de quo etiam Bastius dixit in Add. et Emendd. ad Gregor. Cor. p. 892. ss. complectitur plura a pluribus librariis exarata admodum diversis temporibus. Et Platonica quidem excerpta recentioris aetatis sunt in cod. Chart. saec. XV. scripta. Integer descriptus est Cratylus. Vocab. νομοθέτης (ut

vulg. est) in eo cod. saepe e correct. scribitur *νομα-τοθέτης* et contra *ὀνοματοθέτης* non raro e corr. mutatum in *νομοθέτης*. Margini enim et correctiones et glossemata adscripta sunt; paucae autem lectiones sunt memorabiles. Ita p. 238. l. 8. hui. ed. legitur: *ὅ ἂν φῇς καλεῖ τις ἕκαστον ὄνομα* (coniunctis, ut videtur, pluribus lectionibus). P. 245. bis in cod. est *χρησάμενος*. P. 252. l. 19. Cod.: *σημεῖον δ' αὐτοῦ ἡ ἐν Τροίᾳ μονὴ τοῦ πλήθους τε καὶ καρτερίας*. P. 262. l. 25. Cod. *τὸν τιθέμενον εἰς τὸν ἄλλον θεόν*. P. 267. l. 25. pro *ὑμοπολῶν* ;*αὐτὰ* Cod. *ἐπισκοπῶν αὖ τὰ* — et mox *ἐπισκοπεῖσθαι*. P. 276. l. 11. *νοήσιν* et l. 17. *ἐπιστήμην*. P. 284. l. 8. pro *ἀπόφησιν* c. *ἀφαίρεσιν* in marg. P. 286. l. 26. *ἐπωνομᾶσθαι*.

Non absoluta est interpretatio dialogi a Fischero edi coepta: Platonis Cratylus, graece et latine, annotationibus criticis et grammaticis illustratus a J. F. Fischero. Particula I—VIII· L. 1791—95. 4. Procli commentarius in hunc dialogum MS. in pluribus habetur bibliothecis. Inde etiam fragmenta quaedam edita sunt.

Praeterea nuper ad copias Platonicas accesserunt scripta haec, quibus partim uti licuit in exitu voluminis.

Sylloge lectionum graecarum, glossarum, Scholiorum in Tragicos graecos atque Platonem, ex codd. mss. in Bibl. Paris. erutorum in ordinem redacta. Accedit observationum criticarum Sylloge — Vtramque collegit et publicavit AA. LL. M. Godofr. Faehse, Gymn. Servest. Director. Lipsiae 1813. 8. Varietas lectionis in nonnullos Plat. libros legitur p. 299—310. Observationes criticae in Plat. opera (non illae e codd. ductae) p. 353—398.

Plotini Liber de pulcritudine, ad Codicum fidem

emendavit etc. Frider. Creuzer, Litt. Grr. et Latt. in Acad. Heidelberg. Prof. Accedunt Anecdota graeca — itemque Lectiones Platonicae, maximam partem ex codd. mss. enotatae. Heidelbergae MDCCCXIV. 8. Lectiones illae, quae etiam ad Scholia pertinent, leguntur p. 458 — 537.

Catalogus sive Notitia Manuscriptorum, qui a Cel. E. D. Clarke comparati, in bibliotheca Bodleiana adservantur. Pars prior. Inseruntur Scholia quaedam inedita in Platonem et in carmina Gregorii Nazianzeni. Oxonii, e typogr. Clar. 1812. 4. Auctore T. Gaisfordio, qui in praef. haec scripsit: „Scholia inedita e nn. 12. 39. protraxi, collationem insuper dialogorum Platonis [cum cod. illo vetustissimo a. 896. scripto et 24. dialogos continente] daturus, nisi, re diu perpensa, collationem istam in maius quoddam opus, aliquando forsan proditurum, reservare decrevissem."

Praesidiis illis, quantum potuimus, et per huius editionis consilium naturamque licuit, sumus usi, eamdem in textis recognoscendis, scholiis et adnotationibus addendis sequuti rationem, quam in superiori volumine, eadem diligentia in editione curanda adhibita, cui ut nunquam operae defuisse reperiantur, optamus.

ΣΟΦΙΣΤΗΣ.

ΘΕΟΔ. Κατὰ τὴν χθὲς ὁμολογίαν, ὦ Σώκρατες, ἥκομεν αὐτοί τε κοσμίως, καὶ τόνδε τινὰ ξένον ἄγομεν, τὸ μὲν γένος, ἐξ Ἐλέας, ἑταῖρον δὲ τῶν ἀμφὶ Παρμενίδην καὶ Ζήνωνα, μάλα δὲ ἄνδρα φιλόσοφον. ΣΩ. Ἆρ᾽ οὖν, ὦ Θεόδωρε, οὐ ξένον, ἀλλά τινα θεὸν ἄγων, κατὰ τὸν Ὁμήρου λόγον, λέληθας; ὅς φησιν ἄλλους τε θεοὺς τοῖς ἀνθρώποις, ὁπόσοι μετέχουσιν αἰδοῦς δικαίας, καὶ δὴ καὶ τὸν ξένιον οὐχ ἥκιστα θεὸν ξυνοπαδὸν γιγνόμενον, ὕβρεις τε καὶ εὐνομίας τῶν ἀνθρώπων καθορᾷν. τάχ᾽ οὖν ἂν καὶ σοί τις οὗτος τῶν κρειττόνων ξυνέποιτο, φαύλους ἡμᾶς ὄντας ἐν τοῖς λόγοις ἐποψόμενός τε καὶ ἐλέγξων, θεὸς ὤν τις ἐλεγκτικός. ΘΕΟ. Οὐχ οὗτος ὁ τρόπος, ὦ Σώκρατες, τοῦ ξένου, ἀλλὰ μετριώτερος τῶν περὶ τὰς ἔριδας ἐσπουδακότων· καί μοι δοκεῖ θεὸς μὲν ἀνὴρ οὐδαμῶς εἶναι, θεῖος μήν· πάντας γὰρ ἐγὼ τοὺς φιλοσόφους τοιούτους προσαγορεύω. ΣΩ. Καὶ καλῶς γε, ὦ φίλε. τοῦτο μέντοι κινδυνεύει τὸ γένος οὐ

πολύ τι ῥᾷον, ὡς ἔπος εἰπεῖν, εἶναι διακρίνειν, ἢ τὸ τοῦ θεοῦ. Πάνυ γὰρ ἄνδρες οὗτοι παντοῖοι φανταζόμενοι διὰ τὴν τῶν ἄλλων ἄγνοιαν ἐπιστρωφῶσι πόληας, οἱ μὴ πλαστῶς ἀλλ' ὄντως φιλόσοφοι, καθορῶντες ὑψόθεν τὸν τῶν κάτω βίον, καὶ τοῖς μὲν δοκοῦσιν εἶναι τοῦ μηδενὸς τίμιοι, τοῖς δ' ἄξιοι τοῦ παντός· καὶ τοτὲ μὲν πολιτικοὶ φαντάζονται, τοτὲ δὲ σοφισταί, τοτὲ δ' ἔστιν οἷς δόξαν παράσχοιντο ἂν ὡς παντάπασιν ἔχοντες μανικῶς. τοῦ μέντοι ξένου ἡμῖν ἡδέως ἂν πυνθανοίμην, εἰ φίλον αὐτῷ, τί ταῦθ' οἱ περὶ τὸν ἐκεῖ τόπον ἡγοῦντο καὶ ὠνόμαζον. ΘΕΟ. Τὰ ποῖα δή; ΣΩ. Σοφιστήν, πολιτικόν, φιλόσοφον. ΘΕΟ. Τί δὲ μάλιστα καὶ τὸ ποῖόν τι περὶ αὐτῶν διαπορηθεὶς ἐρέσθαι διενοήθης; ΣΩ. Τόδε, πότερον ἓν πάντα ταῦτα ἐνόμιζον, ἢ δύο· ἤ, καθάπερ τὰ ὀνόματα τρία, τρία καὶ τὰ γένη διαιρούμενοι, καθ' ἓν ὄνομα γένος ἑκάστῳ προσῆπτον. ΘΕΟ. Ἀλλ' οὐδείς, ὡς ἐγῷμαι, φθόνος αὐτῷ, διελθεῖν αὐτά· ἢ πῶς, ὦ ξένε, λέγομεν; ΞΕ. Οὕτως, ὦ Θεόδωρε. φθόνος μὲν γὰρ οὐδείς, οὐδὲ χαλεπὸν εἰπεῖν, ὅτι γε τρία ἡγοῦντο· καθ' ἕκαστον μὴν διορίσασθαι σαφῶς τί ποτ' ἐστίν, οὐ σμικρὸν οὐδὲ ῥᾴδιον ἔργον. ΘΕΟ. Καὶ μὲν δὴ κατὰ τύχην γε, ὦ Σώκρατες, λόγων ἐπελάβου παραπλησίων, ὧν καὶ πρὶν ἡμᾶς δεῦρ' ἐλθεῖν διερωτῶντες αὐτὸν ἐτυγχάνομεν· ὁ δὲ ταυτά, ἅπερ καὶ πρὸς σὲ νῦν, καὶ τότε ἐσκήπτετο πρὸς ἡμᾶς· ἐπεὶ διακηκοέναι γε φησὶν ἱκανῶς,

καὶ οὐκ ἀμνημονεῖν. II. ΣΩ. Μὴ τοίνυν, ἡμῶν, ὦ ξένε, τήν γε πρώτην αἰτησάντων χάριν, ἀπαρνηθεὶς γένῃ, τοσόνδε δ' ἡμῖν φράζε, πότερον εἴωθας ἥδιον αὐτὸς ἐπὶ σαυτοῦ μακρῷ λόγῳ διεξιέναι, λέγων τοῦτο, ὃ ἂν ἐνδείξασθαί τῳ βουληθῇς, ἢ δι' ἐρωτήσεων· οἷόν ποτε καὶ Παρμενίδῃ χρωμένῳ καὶ διεξιόντι λόγους παγκάλους παρεγενόμην ἐγὼ νέος ὤν, ἐκείνου μάλα δὴ τότε ὄντος πρεσβύτου. ΞΕ. Τῷ μέν, ὦ Σώκρατες, ἀλύπως τε καὶ εὐηνίως προσδιαλεγομένῳ ῥᾷον οὕτω, τὸ πρὸς ἄλλον· εἰ δὲ μή, τὸ καθ' αὑτόν. ΣΩ. Ἔξεστι τοίνυν τῶν παρόντων, ὃν ἂν βουληθῇς, ἐκλέξασθαι. πάντες γὰρ ὑπακούσονταί σοι πρᾴως· ξυμβούλῳ μὴν ἐμοὶ χρώμενος, τῶν νέων τινὰ αἱρήσῃ, Θεαίτητον τόνδε, ἢ καὶ τῶν ἄλλων εἴ τίς σοι κατὰ νοῦν. ΞΕ. Ὦ Σώκρατες, αἰδώς τίς μ' ἔχει, τονῦν πρῶτον ξυγγενόμενον ὑμῖν μὴ κατὰ σμικρὸν ἔπος πρὸς ἔπος ποιεῖσθαι τὴν ξυνουσίαν, ἀλλ' ἐκτείναντα ἀπομηκύνειν λόγον συχνὸν κατ' ἐμαυτόν, εἴτε καὶ πρὸς ἕτερον, οἷον ἐπίδειξιν ποιούμενον. Τῷ γὰρ ὄντι τὸ νῦν ῥηθὲν οὐχ ὅσον ὧδε ἐρωτηθὲν ἐλπίσειεν ἂν αὐτὸ εἶναί τις, ἀλλὰ τυγχάνει λόγου παμμήκους ὄν. τὸ δὲ αὖ σοὶ μὴ χαρίσασθαι καὶ τοῖσδε, ἄλλως τε καὶ σοῦ λέξαντος, ὡς εἶπες, ἄξενόν τι καταφαίνεταί μοι καὶ ἄγριον. ἐπεὶ Θεαίτητόν γε τὸν προσδιαλεγόμενον εἶναι δέχομαι παντάπασιν, ἐξ ὧν αὐτός τε πρότερον διείλεγμαι καὶ σὺ τανῦν μοι διακελεύῃ. ΘΕΑΙ. Ἆρα τοίνυν, ὦ ξένε, οὕτω, καὶ καθάπερ εἶπε Σω-

κράτης, πᾶσι κεχαρισμένος ἔσῃ; ΞΕ. Κινδυνεύει πρὸς μὲν ταῦτα οὐδὲν ἔτι λεκτέον εἶναι, Θεαίτητε· πρὸς δὲ σὲ ἤδη τὸ μετὰ τοῦτο, ὡς ἔοικε, γίγνοιτο ἂν ὁ λόγος· ἂν δ' ἄρα τι τῷ μήκει πονῶν ἄχθῃ, μὴ ἐμὲ αἰτιᾶσθαι τούτων, ἀλλὰ τούσδε τοὺς σοὺς ἑταίρους. ΘΕΑΙ. Ἀλλ' οἶμαι δὴ νῦν οὕτως οὐκ ἀπερεῖν· ἂν δ' ἄρα τι τοιοῦτον γίγνηται, καὶ τόνδε παραληψόμεθα Σωκράτη, τὸν Σωκράτους μὲν ὁμώνυμον, ἐμὸν δὲ ἡλικιώτην καὶ ξυγγυμναστήν· ᾧ ξυνδιαπονεῖν μετ' ἐμοῦ ταπολλὰ οὐκ ἄηθες. III. ΞΕ. Εὖ λέγεις, καὶ ταῦτα μὲν ἰδίᾳ βουλεύσῃ προϊόντος τοῦ λόγου· κοινῇ δὲ μετ' ἐμοῦ σοι ξυσκεπτέον, ἀρχομένῳ πρῶτον, ὡς ἐμοὶ φαίνεται, νῦν ἀπὸ τοῦ σοφιστοῦ, ζητοῦντι καὶ ἐμφανίζοντι λόγῳ τί ποτ' ἔστι. Νῦν γὰρ δὴ σὺ κἀγὼ τούτου πέρι τοὔνομα μόνον ἔχομεν κοινῇ· τὸ δὲ ἔργον, ἐφ' ᾧ καλοῦμεν, ἑκάτερος τάχ' ἂν ἰδίᾳ παρ' ἡμῖν αὐτοῖς ἔχοιμεν. δεῖ δὲ ἀεὶ παντὸς πέρι τὸ πρᾶγμα αὐτὸ μᾶλλον διὰ λόγων ἢ τοὔνομα μόνον ξυνομολογήσασθαι χωρὶς λόγου. Τὸ δὲ φῦλον, ὃ νῦν ἐπινοοῦμεν ζητεῖν, οὐ πάντων ῥᾷστον ξυλλαβεῖν τί ποτ' ἐστίν, ὁ σοφιστής· ὅσα δ' αὖ τῶν μεγάλων δεῖ διαπονεῖσθαι καλῶς, περὶ τῶν τοιούτων δέδοκται πᾶσι καὶ πάλαι, τὸ πρότερον ἐν σμικροῖς καὶ ῥᾴοσιν αὐτὰ δεῖν μελετᾶν, πρὶν ἂν ἐν αὐτοῖς τοῖς μεγίστοις. Νῦν οὖν, ὦ Θεαίτητε, ἔγωγε καὶ νῷν οὕτω ξυμβουλεύω, χαλεπὸν καὶ δυσθήρευτον ἡγησαμένοις εἶναι τὸ τοῦ σοφιστοῦ γένος, πρότερον ἐν ἄλλῳ ῥᾴονι

τὴν μέθοδον αὐτοῦ προμελετᾶν· εἰ μὴ σύ πᾳ θε
εὐπετεστέραν ἔχεις εἰπεῖν ἄλλην ὁδόν. ΘΕΑΙ. Ἀλλ
οὐκ ἔχω. ΞΕ. Βούλει δῆτα περί τινος τῶν φαύ-
λων μετιόντες πειραθῶμεν παράδειγμα αὐτὸ θέ-
σθαι τοῦ μείζονος; ΘΕΑΙ. Ναί. ΞΕ. Τί δῆτα
προταξαίμεθ' ἂν, εὔγνωστον μὲν καὶ σμικρόν, λό-
γον δὲ μηδενὸς ἐλάττονα ἔχον τῶν μειζόνων; οἷον
ἀσπαλιευτής· ἆρ' οὐ πᾶσί τε γνώριμον καὶ σπου-
δῆς οὐ πάνυ τι πολλῆς τινος ἐπάξιον; ΘΕΑΙ. Οὕ-
τω. ΞΕ. Μέθοδον μὴν αὐτὸν ἐλπίζω καὶ λόγον
οὐκ ἀνεπιτήδειον ἡμῖν ἔχειν πρὸς ὃ βουλόμεθα.
ΘΕΑΙ. Καλῶς τοίνυν ἂν ἔχοι. VI. ΞΕ. Φέρε δή, τῇ-
δε ἀρχώμεθα αὐτοῦ· καί μοι λέγε, πότερον ὡς
τεχνίτην αὐτόν, ἤ τινα ἄτεχνον, ἄλλην δὲ δύναμιν
ἔχοντα, θήσομεν. ΘΕΑΙ. Ἥκιστά γε ἄτεχνον. ΞΕ.
Ἀλλὰ μὴν τῶν γε τεχνῶν πασῶν σχεδὸν εἴδη δύο.
ΘΕΑΙ. Πῶς; ΞΕ. Γεωργία μὲν καὶ ὅση περὶ
τὸ θνητὸν πᾶν σῶμα θεραπεία, τό τε αὖ περὶ τὸ
ξύνθετον καὶ πλαστόν, ὃ δὴ σκεῦος ὠνομάκαμεν, ἥ
τε μιμητική, ξύμπαντα ταῦτα δικαιότατ' ἂν ἑνὶ
προσαγορεύοιτ' ὀνόματι. ΘΕΑΙ. Πῶς, καὶ τίνι
ΞΕ. Πᾶν ὅπερ ἂν μὴ πρότερόν τις ὂν ὕστερον εἰ
οὐσίαν ἄγῃ, τὸν μὲν ἄγοντα ποιεῖν, τὸ δὲ ἀγόμε
νον ποιεῖσθαί πού φαμεν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ
Τὰ δέ γε νῦν δὴ ἃ διήλθομεν ἅπαντα εἶχεν ε
τοῦτο τὴν αὑτῶν δύναμιν. ΘΕΑΙ. Εἶχε γὰρ οὖ
ΞΕ. Ποιητικὴν τοίνυν, αὐτὰ ξυγκεφαλαιωσάμενοι
προσείπωμεν. ΘΕΑΙ. Ἔστω. ΞΕ. Τὸ δὴ μαθ

τικὸν αὖ μετὰ τοῦτο εἶδος ὅλον, καὶ τὸ τῆς γνωρίσεως, τό τε χρηματιστικὸν καὶ ἀγωνιστικὸν καὶ θηρευτικόν, ἐπειδὴ δημιουργεῖ μὲν οὐδὲν τούτων, τὰ δὲ ὄντα καὶ γεγονότα τὰ μὲν χειροῦται λόγοις καὶ πράξεσι, τὰ δὲ τοῖς χειρουμένοις οὐκ ἐπιτρέπει, μάλιστ' ἄν που διὰ ταῦτα ξύμπαντα τὰ μέρη τέχνη τις κτητικὴ λεχθεῖσα ἂν διαγράψειε. ΘΕΑΙ. Ναί. Πρέποι γὰρ ἄν. ΞΕ. Κτητικῆς δὴ καὶ ποιητικῆς ξυμπασῶν οὐσῶν τῶν τεχνῶν, ἐν ποτέρᾳ τὴν ἀσπαλιευτικήν, ὦ Θεαίτητε, τιθῶμεν; ΘΕΑΙ. Ἐν κτητικῇ που δῆλον. V. ΞΕ. Κτητικῆς δὲ ἆρ' οὐ δύο εἴδη; τὸ μὲν ἑκόντων πρὸς ἑκόντας μεταβλητικὸν ὂν διά τε δωρεῶν καὶ ἀγοράσεων καὶ μισθώσεων; τὸ δὲ λοιπὸν ἢ κατ' ἔργα ἢ κατὰ λόγους χειρούμενον ξύμπαν χειρωτικὸν ἂν εἴη; ΘΕΑΙ. Φαίνεται γοῦν ἐκ τῶν εἰρημένων. ΞΕ. Τί δέ; τὴν χειρωτικὴν ἆρ' οὐ διχῇ τμητέον; ΘΕΑΙ. Πῇ; ΞΕ. Τὸ μὲν ἀναφανδὸν ὅλον ἀγωνιστικὸν θέντες, τὸ δὲ κρυφαῖον αὐτῆς πᾶν, θηρευτικόν. ΘΕΑΙ. Ναί. ΞΕ. Τήν γε μὴν θηρευτικὴν ἄλογον τὸ μὴ οὐ τέμνειν διχῇ. ΘΕΑΙ. Λέγε, ὅπῃ. ΞΕ. Τὸ μὲν ἀψύχου γένους διαιρουμένους, τὸ δ' ἐμψύχου. ΘΕΑΙ. Τί μήν; εἴπερ ἐστόν γε ἄμφω. ΞΕ. Πῶς δὲ οὐκ ἐστόν; καὶ δεῖ γε ἡμᾶς τὸ μὲν τῶν ἀψύχων, ἀνώνυμον ὄν, πλὴν κατ' ἔνια τῆς κολυμβητικῆς ἄττα μέρη, καὶ τοιαῦτ' ἄλλα βραχέα, χαίρειν ἐᾶσαι· τὸ δέ, τῶν ἐμψύχων ζώων οὖσαν θήραν, προσειπεῖν ζωοθηρικήν. ΘΕΑΙ. Ἔστω. ΞΕ. Ζωοθηρικῆς δὲ

ἆρ' οὐ διπλοῦν εἶδος ἂν λέγοιτο ἐν δίκῃ; τὸ μὲν πεζοῦ γένους, πολλοῖς εἴδεσι καὶ ὀνόμασι διῃρημένον, πεζοθηρικόν· τὸ δ' ἕτερον, νευστικοῦ ζώου πᾶν, ἐνυγροθηρικόν; ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Νευστικοῦ δὲ τὸ μὲν πτηνὸν φῦλον ὁρῶμεν, τὸ δὲ ἔνυδρον. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Καὶ τοῦ πτηνοῦ μὲν γένους πᾶσα ἡμῖν ἡ θήρα λέγεταί πού τις ὀρνιθοθηρευτική. ΘΕΑΙ. Λέγεται γὰρ οὖν. VI. ΞΕ. Τοῦ δὲ ἐνύδρου σχεδὸν τὸ ξύνολον ἁλιευτική. ΘΕΑΙ. Ναί. ΞΕ. Τί δέ; ταύτην αὖ τὴν θήραν ἆρ' οὐκ ἂν κατὰ τὰ μέγιστα μέρη δύο διέλοιμεν; ΘΕΑΙ. Κατὰ ποῖα; ΞΕ. Καθ' ἃ τὸ μὲν ἕρκεσιν αὐτόθεν ποιεῖται τὴν θήραν, τὸ δὲ πληγῇ. ΘΕΑΙ. Πῶς λέγεις; καὶ πῇ διαιρούμενος ἑκάτερον; ΞΕ. Τὸ μὲν ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργῃ τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Κύρτους δὴ καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους καὶ τὰ τοιαῦτα μῶν ἄλλο τι πλὴν ἕρκη χρὴ προσαγορεύειν; ΘΕΑΙ. Οὐδὲν ἄλλο. ΞΕ. Τοῦτο μὲν ἄρα ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν, ἤ τι τοιοῦτον; ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δὲ ἀγκίστροις καὶ τριόδουσι πληγῇ γιγνόμενον, ἕτερον μὲν ἐκείνου, πληκτικὴν δέ τινα θήραν ἡμᾶς προσειπεῖν ἑνὶ λόγῳ νῦν χρεών· ἢ τί τις ἄν, ὦ Θεαίτητε, εἴποι κάλλιον; ΘΕΑΙ. Ἀμελῶμεν τοῦ ὀνόματος· ἀρκεῖ γὰρ καὶ τοῦτο. ΞΕ. Τῆς τοίνυν πληκτικῆς τὸ μὲν νυκτερινόν, οἶμαι, πρὸς πυρὸς φῶς γιγνόμενον ὑπ' αὐτῶν τῶν περὶ τὴν θήραν

πυρευτικὴν ῥηθῆναι ξυμβέβηκε. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τὸ δέ γε μεθημερινόν, ὡς ἐχόντων ἐν ἄκροις ἄγκιστρα καὶ τῶν τριοδόντων, πᾶν ἀγκιστρευτικόν. ΘΕΑΙ. Λέγεται γὰρ οὖν. ΞΕ. Τοῦ τοίνυν ἀγκιστρευτικοῦ τῆς πληκτικῆς τὸ μὲν ἄνωθεν εἰς τὰ κάτω γιγνόμενον διὰ τὸ τοῖς τριόδουσι οὕτω μάλιστα χρῆσθαι, τριοδοντία, οἶμαι, τις κέκληται. ΘΕΑΙ. Φασὶ γοῦν τινες. ΞΕ. Τὸ δέ γε λοιπόν ἐστιν ἓν ἔτι μόνον, ὡς εἰπεῖν, εἶδος. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Τὸ τῆς ἐναντίας ταύτῃ πληγῆς, ἀγκίστρῳ τε γιγνόμενον καὶ τῶν ἰχθύων, οὐχ ᾗ τις ἂν τύχῃ τοῦ σώματος, ὥσπερ τοῖς τριόδουσιν, ἀλλὰ περὶ τὴν κεφαλὴν καὶ τὸ στόμα τοῦ θηρευθέντος ἑκάστοτε, καὶ κάτωθεν εἰς τοὐναντίον ἄνω ῥάβδοις καὶ καλάμοις ἀνασπώμενον, οὗ τί φήσομεν, ὦ Θεαίτητε, δεῖν τοὔνομα λέγεσθαι; ΘΕΑΙ. Δοκεῖ μέν, ὅπερ ἄρτι προυθέμεθα δεῖν ἐξευρεῖν, τοῦτ' αὐτὸ νῦν ἀποτετελέσθαι. VII. ΞΕ. Νῦν ἄρα τῆς ἀσπαλιευτικῆς πέρι σύ τε κἀγὼ ξυνωμολογήκαμεν, οὐ μόνον τοὔνομα, ἀλλὰ καὶ τὸν λόγον περὶ αὐτὸ τοὔργον εἰλήφαμεν ἱκανῶς. ξυμπάσης γὰρ τέχνης τὸ μὲν ἥμισυ μέρος κτητικὸν ἦν· κτητικοῦ δὲ χειρωτικόν· χειρωτικοῦ δὲ θηρευτικόν· τοῦ δὲ θηρευτικοῦ ζωοθηρικόν· ζωοθηρικοῦ δὲ ἐνυγροθηρικόν· ἐνυγροθηρικοῦ δὲ τὸ κάτωθεν τμῆμα ὅλον ἁλιευτικόν· ἁλιευτικῆς δὲ πληκτικόν· πληκτικῆς δὲ ἀγκιστρευτικόν· τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην ἀπ' αὐτῆς τῆς πράξεως ἀφομοιω-

θὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην γέγονε. ΘΕΑΙ. Παντάπασι μὲν οὖν τοῦτό γε ἱκανῶς δεδήλωται. VIII. ΞΕ. Φέρε δή, κατὰ τοῦτο τὸ παράδειγμα καὶ τὸν σοφιστὴν ἐπιχειρῶμεν εὑρεῖν, ὅ, τι ποτ᾽ ἐστί. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Καὶ μὴν ἐκεῖνό γ᾽ ἦν τὸ ζήτημα πρῶτον, πότερον ἰδιώτην ἤ τινα τέχνην ἔχοντα θετέον εἶναι τὸν ἀσπαλιευτήν. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ νῦν δὴ τοῦτον ἰδιώτην θήσομεν, ὦ Θεαίτητε, ἢ παντάπασιν ὡς ἀληθῶς σοφιστήν; ΘΕΑΙ. Οὐδαμῶς ἰδιώτην· μανθάνω γὰρ ὃ λέγεις, ὡς παντὸς δεῖ τοιοῦτος εἶναι, τό γε ὄνομα τοῦτο ἔχοντα· ἀλλὰ τινα τέχνην αὐτὸν ἡμῖν ἔχοντα, ὡς ἔοικε, θετέον. ΞΕ. Τίνα ποτ᾽ οὖν δὴ ταύτην; Ἆρ᾽ ὦ πρὸς θεῶν ἠγνοήκαμεν τἀνδρὸς τὸν ἄνδρα ὄντα συγγενῆ; ΘΕΑΙ. Τίνα τοῦ; ΞΕ. Τὸν ἀσπαλιευτὴν τῷ σοφιστῇ. ΘΕΑΙ. Πῇ; ΞΕ. Θηρευταί τινε καταφαίνεσθον ἄμφω μοι. ΘΕΑΙ. Τίνος θήρας ἅτερος; τὸν μὲν γὰρ ἕτερον εἴπομεν. ΞΕ. Δίχα που νῦν δὴ διείλομεν τὴν ἄγραν πᾶσαν, τὸ μὲν νευστικοῦ μέρους, τὸ δὲ πεζοῦ τέμνοντες. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ τὸ μὲν διήλθομεν, ὅσον περὶ τὰ νευστικὰ τῶν ἐνύδρων, τὸ δὲ πεζὸν εἰάσαμεν ἄσχιστον, εἰπόντες ὅτι πολυειδὲς εἴη. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Μέχρι μὲν τοίνυν ἐνταῦθα ὁ σοφιστὴς καὶ ὁ ἀσπαλιευτὴς ἅμα ἀπὸ τῆς κτητικῆς τέχνης πορεύεσθον. ΘΕΑΙ. Ἐοίκατον γοῦν. ΞΕ. Ἐκτρέπεσθον δέ γε ἀπὸ τῆς ζῳοθηρικῆς, ὁ μὲν ἐπὶ

πυρευτικὴν ῥηθῆναι ξυμβέβηκε. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τὸ δέ γε μεθημερινόν, ὡς ἐχόντων ἐν ἄκροις ἄγκιστρα καὶ τῶν τριοδόντων, πᾶν ἀγκιστρευτικόν. ΘΕΑΙ. Λέγεται γὰρ οὖν. ΞΕ. Τοῦ τοίνυν ἀγκιστρευτικοῦ τῆς πληκτικῆς τὸ μὲν ἄνωθεν εἰς τὰ κάτω γιγνόμενον διὰ τὸ τοῖς τριόδουσι μάλιστα οὕτω χρῆσθαι, τριοδοντία, οἶμαι, τις κέκληται. ΘΕΑΙ. Φασὶ γοῦν τινες. ΞΕ. Τὸ δέ γε λοιπόν ἐστιν ἓν ἔτι μόνον, ὡς εἰπεῖν, εἶδος. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Τὸ τῆς ἐναντίας ταύτῃ πληγῆς, ἀγκίστρῳ τε γιγνόμενον καὶ τῶν ἰχθύων, οὐχ ᾗ τις ἂν τύχῃ τοῦ σώματος, ὥσπερ τοῖς τριόδουσιν, ἀλλὰ περὶ τὴν κεφαλὴν καὶ τὸ στόμα τοῦ θηρευθέντος ἑκάστοτε, καὶ κάτωθεν εἰς τοὐναντίον ἄνω ῥάβδοις καὶ καλάμοις ἀνασπώμενον, οὗ τί φήσομεν, ὦ Θεαίτητε, δεῖν τοὔνομα λέγεσθαι; ΘΕΑΙ. Δοκεῖ μέν, ὅπερ ἄρτι προυθέμεθα δεῖν ἐξευρεῖν, τοῦτ' αὐτὸ νῦν ἀποτετελέσθαι. VII. ΞΕ. Νῦν ἄρα τῆς ἀσπαλιευτικῆς πέρι σύ τε κἀγὼ ξυνωμολογήκαμεν, οὐ μόνον τοὔνομα, ἀλλὰ καὶ τὸν λόγον περὶ αὐτὸ τοὔργον εἰλήφαμεν ἱκανῶς. ξυμπάσης γὰρ τέχνης τὸ μὲν ἥμισυ μέρος κτητικὸν ἦν· κτητικοῦ δὲ χειρωτικόν· χειρωτικοῦ δὲ θηρευτικόν· τοῦ δὲ θηρευτικοῦ ζῳοθηρικόν· ζῳοθηρικοῦ δὲ ἐνυγροθηρικόν· ἐνυγροθηρικοῦ δὲ τὸ κάτωθεν τμῆμα ὅλον ἁλιευτικόν· ἁλιευτικῆς δὲ πληκτικόν· πληκτικῆς δὲ ἀγκιστρευτικόν· τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην ἀπ' αὐτῆς τῆς πράξεως ἀφομοιω-

θὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην
γέγονε. ΘΕΑΙ. Παντάπασι μὲν οὖν τοῦτό γε ἱκα-
νῶς δεδήλωται. VIII. ΞΕ. Φέρε δή, κατὰ τοῦτο τὸ
παράδειγμα καὶ τὸν σοφιστὴν ἐπιχειρῶμεν εὑρεῖν, ὅ,
τι ποτ' ἐστί. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Καὶ
μὴν ἐκεῖνό γ' ἦν τὸ ζήτημα πρῶτον, πότερον ἰδιώ-
την ἤ τινα τέχνην ἔχοντα θετέον εἶναι τὸν ἀσπα-
λιευτήν. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ νῦν δὴ τοῦτον
ἰδιώτην θήσομεν, ὦ Θεαίτητε, ἢ παντάπασιν ὡς
ἀληθῶς σοφιστήν; ΘΕΑΙ. Οὐδαμῶς ἰδιώτην· μαν-
θάνω γὰρ ὃ λέγεις, ὡς παντὸς δεῖ τοιοῦτος εἶ-
ναι, τό γε ὄνομα τοῦτο ἔχων· ἀλλά τινα τέ-
χνην αὐτὸν ἡμῖν ἔχοντα, ὡς ἔοικε, θετέον. ΞΕ.
Τίνα ποτ' οὖν δὴ ταύτην; Ἆρ' ὦ πρὸς θεῶν
ἠγνοήκαμεν τἀνδρὸς τὸν ἄνδρα ὄντα ξυγγενῆ;
ΘΕΑΙ. Τίνα τοῦ; ΞΕ. Τὸν ἀσπαλιευτὴν τοῦ
σοφιστοῦ. ΘΕΑΙ. Πῇ; ΞΕ. Θηρευτά τινε κα-
ταφαίνεσθον ἄμφω μοι. ΘΕΑΙ. Τίνος θήρας θατέ-
ρου; τὸν μὲν γὰρ ἕτερον εἴπομεν. ΞΕ. Δίχα που
νῦν δὴ διείλομεν τὴν ἄγραν πᾶσαν, τὸ μὲν νευ-
στικοῦ μέρους, τὸ δὲ πεζοῦ τέμνοντες. ΘΕΑΙ.
Ναί. ΞΕ. Καὶ τὸ μὲν διήλθομεν, ὅσον περὶ τὰ
νευστικὰ τῶν ἐνύδρων, τὸ δὲ πεζὸν εἰάσαμεν ἄσχι-
στον, εἰπόντες ὅτι πολυειδὲς εἴη. ΘΕΑΙ. Πάνυ
γε. ΞΕ. Μέχρι μὲν τοίνυν ἐνταῦθα ὁ σοφιστὴς
καὶ ὁ ἀσπαλιευτὴς ἅμα ἀπὸ τῆς κτητικῆς τέχνης
πορεύεσθον. ΘΕΑΙ. Ἐοίκατον γοῦν. ΞΕ. Ἐκ-
τρέπεσθον δέ γε ἀπὸ τῆς ζῳοθηρικῆς, ὁ μὲν ἐπὶ

θάλατταν που καὶ ποταμοὺς καὶ λίμνας, τῶν τούτοις ζῶα θηρευσόμενος. ΘΕΑΙ. Τί μήν; ΞΕ. Ὁ δέ γε ἐπὶ τὴν γῆν καὶ ποταμοὺς ἑτέρους αὖ τινὰς, πλούτου καὶ νεότητος οἷον λειμῶνας ἀφθόνους, τῶν τούτοις θρέμματα χειρωσόμενος. ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Τῆς πεζῆς θήρας γίγνεσθον δύο μεγίστω τινὲ μέρη. ΘΕΑΙ. Ποῖον ἑκάτερον; ΞΕ. Τὸ μὲν τῶν ἡμέρων, τὸ δὲ τῶν ἀγρίων. IX. ΘΕΑΙ. Εἶτ᾽ ἔστι τις θήρα τῶν ἡμέρων; ΞΕ. Εἴπερ γέ ἐστιν ἄνθρωπος ἥμερον ζῶον. θὲς δὴ ὅπῃ χαίρεις, εἴτε μηδὲν τιθεὶς ἥμερον, εἴτε ἄλλο μὲν ἥμερόν τι, τὸν δὲ ἄνθρωπον ἄγριον· εἴτε ἥμερον μὲν λέγεις αὖ τὸν ἄνθρωπον, ἀνθρώπων δὲ μηδεμίαν ἡγῇ θήραν· τούτων ὁπότερ᾽ ἂν ἡγῇ φίλον εἰρῆσθαί σοι, τοῦτο ἡμῖν διόρισον. ΘΕΑΙ. Ἀλλ᾽ ἡμᾶς τε ἥμερον, ὦ ξένε, ἡγοῦμαι ζῶον, θήραν τε ἀνθρώπων εἶναι λέγω. ΞΕ. Διττὴν τοίνυν καὶ τὴν ἡμεροθηρικὴν εἴπωμεν. ΘΕΑΙ. Κατὰ τί λέγοντες; ΞΕ. Τὴν μὲν ληστικὴν καὶ ἀνδραποδιστικὴν καὶ τυραννικὴν καὶ ξύμπασαν τὴν πολεμικὴν ἓν πάντα, βίαιον θήραν, ὁρισάμενοι. ΘΕΑΙ. Καλῶς. ΞΕ. Τὴν δέ γε δικανικὴν καὶ δημηγορικὴν καὶ προσομιλητικὴν ἓν αὖ τὸ ξύνολον, πιθανουργικήν τινα μίαν τέχνην προσειπόντες. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τῆς δὲ πιθανουργικῆς διττὰ λέγομεν γένη. ΘΕΑΙ. Ποῖα; ΞΕ. Τὸ μὲν ἕτερον ἰδίᾳ, τὸ δὲ δημοσίᾳ γιγνόμενον. ΘΕΑΙ. Γίγνεσθον γὰρ οὖν εἶδος ἑκάτερον. ΞΕ. Οὐκοῦν αὖ τῆς ἰδιοθηρευτικῆς τὸ μὲν μισθαρνευτικόν τι,

ἐστί, τὸ δὲ δωροφορικόν; ΘΕΑΙ. Οὐ μανθάνω. ΞΕ. Τῇ τῶν ἐρώντων θήρᾳ τὸν νοῦν, ὡς ἔοικας, οὔπω προσέσχες. ΘΕΑΙ. Τοῦ πέρι; ΞΕ. Ὅτι τοῖς θηρευθεῖσι δῶρα προσεπιδιδόασι. ΘΕΑΙ. Ἀληθέστατα λέγεις. ΞΕ. Τοῦτο μὲν τοίνυν ἐρωτικῆς τέχνης εἶδος ἔστω. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τοῦ δέ γε μισθαρνευτικοῦ τὸ μὲν προσομιλοῦν διὰ χάριτος καὶ παντάπασι δι᾽ ἡδονῆς τὸ δέλεαρ πεποιημένον, καὶ τὸν μισθὸν πραττόμενον τροφὴν ἑαυτῷ μόνην, κολακικήν, ὡς ἐγῷμαι, πάντες φαῖμεν ἂν ἢ ἡδυντικήν τινα τέχνην εἶναι. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τὸ δὲ ἐπαγγελλόμενον μὲν ὡς ἀρετῆς ἕνεκα τὰς ὁμιλίας ποιούμενον, μισθὸν δὲ νόμισμα πραττόμενον, ἆρα οὐ τοῦτο τὸ γένος ἑτέρῳ προσειπεῖν ἄξιον ὀνόματι; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τίνι δὴ τούτῳ, πειρῶ λέγειν. ΘΕΑΙ. Δῆλον δή· τὸν γὰρ σοφιστήν μοι δοκοῦμεν εὑρηκέναι· τοῦτ᾽ οὖν ἔγωγε εἰπὼν τὸ προσῆκον ὄνομ᾽ ἂν ἡγοῦμαι καλεῖν αὐτόν. X. ΞΕ. Κατὰ δὴ τὸν νῦν, ὦ Θεαίτητε, λόγον, ὡς ἔοικεν, ἡ τέχνης οἰκειωτικῆς, χειρωτικῆς, κτητικῆς, θηρευτικῆς, ζωοθηρίας, πεζοθηρίας, χερσαίας, ἡμεροθηρικῆς, ἀνθρωποθηρίας, ἰδιοθηρίας, μισθαρνικῆς, νομισματοπωλικῆς, δοξοπαιδευτικῆς, νέων, πλουσίων, καὶ ἐνδόξων γιγνομένη θήρα προσρητέον, ὡς ὁ νῦν λόγος ξυμβαίνει ἡμῖν, σοφιστική. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἔτι δὲ καὶ τῇδε ἴδωμεν· οὐ γάρ τι φαύλης μέτοχόν ἐστι τέχνης τὸ νῦν ζητούμενον, ἀλλ᾽ εὖ μάλα ποικίλης· καὶ γὰρ

οὖν ἐν τοῖς πρόσθεν εἰρημένοις φάντασμα παρέχεται, μὴ τοῦτο ὃ νῦν αὐτὸ ἡμεῖς φαμεν, ἀλλ' ἕτερον εἶναί τι γένος. ΘΕΑΙ. Πῇ δή; ΞΕ. Τὸ τῆς κτητικῆς τέχνης διπλοῦν ἦν εἶδός που, τὸ μὲν θηρευτικὸν μέρος ἔχον, τὸ δὲ ἀλλακτικόν. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ. Τῆς τοίνυν ἀλλακτικῆς δύο εἴδη λέγωμεν, τὸ μὲν δωρητικόν, τὸ δὲ ἕτερον ἀγοραστικόν. ΘΕΑΙ. Εἰρήσθω. ΞΕ. Καὶ μὴν αὖ φήσομεν ἀγοραστικὴν διχῇ τέμνεσθαι. ΘΕΑΙ. Πῇ; ΞΕ. Τὴν μὲν τῶν αὐτουργῶν, αὐτοπωλικὴν διαιρουμένην· τὴν δὲ τὰ ἀλλότρια ἔργα μεταβαλλομένην, μεταβλητικήν. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τί δέ; τῆς μεταβλητικῆς οὐχ ἡ μὲν κατὰ πόλιν ἀλλαγή, σχεδὸν αὐτῆς ἥμισυ μέρος ὄν, καπηλικὴ προσαγορεύεται; ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δέ γε ἐξ ἄλλης εἰς ἄλλην πόλιν διαλλάττον ὠνῇ καὶ πράσει, ἐμπορική; ΘΕΑΙ. Τί δ' οὔ; ΞΕ. Τῆς δ' ἐμπορικῆς ἆρ' οὐκ ᾐσθήμεθα ὅτι τὸ μέν, ὅσοις τὸ σῶμα τρέφεται καὶ χρῆται, τὸ δέ, ὅσοις ἡ ψυχή, πωλοῦν διὰ νομίσματος ἀλλάττεται; ΘΕΑΙ. Πῶς τοῦτο λέγεις; ΞΕ. Τὸ περὶ τὴν ψυχὴν ἴσως ἀγνοοῦμεν, ἐπεὶ τό γε ἕτερόν που ξυνίεμεν. ΘΕΑΙ. Ναί. ΞΕ. Μουσικήν τε τοίνυν ξυνάπασαν λέγωμεν ἐκ πόλεως ἑκάστοτε εἰς πόλιν ἔνθεν μὲν ὠνηθεῖσαν, ἑτέρωσε δὲ ἀγομένην καὶ πιπρασκομένην, καὶ γραφικὴν καὶ θαυματοποιητικὴν καὶ πολλὰ ἕτερα τῆς ψυχῆς, τὰ μὲν παραμυθίας, τὰ δὲ καὶ σπουδῆς χάριν ἀχθέντα καὶ πωλούμενα, τὸν ἄγοντα καὶ πωλοῦντα, μηδὲν ἧ-

τον τῆς τῶν σιτίων καὶ ποτῶν πράσεως, ἔμπορον
ὀρθῶς ἂν λεγόμενον παρέχειν. ΘΕΑΙ. Ἀληθέστατα
λέγεις. ΞΕ. Οὐκοῦν καὶ τὸν μαθήματα ξυνωνού-
μενον, πόλιν τε ἐκ πόλεως νομίσματος ἀμείβοντα,
ταυτὸν προσερεῖς ὄνομα; ΘΕΑΙ. Σφόδρα γε. XI. ΞΕ.
Τῆς δὴ ψυχεμπορικῆς ταύτης ἆρ' οὐ τὸ μὲν ἐπιδει-
κτικὴ δικαιότατα λέγοιτ' ἄν, τὸ δὲ γελοῖον μὲν οὐχ
ἧττον τοῦ πρόσθεν, ὅμως δὲ μαθημάτων οὖσαν πρᾶ-
σιν αὐτὴν ἀδελφῷ τινι τῆς πράξεως ὀνόματι προσ-
ειπεῖν ἀνάγκη; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Ταύ-
της τοίνυν τῆς μαθηματοπωλικῆς τὸ μὲν περὶ τὰ
τῶν ἄλλων τεχνῶν μαθήματα, ἑτέρῳ, τὸ δὲ περὶ τὸ
τῆς ἀρετῆς, ἄλλῳ προσρητέον. ΘΕΑΙ. Πῶς γὰρ οὔ;
ΞΕ. Τεχνοπωλικὸν μὲν τό γε περὶ τἆλλα ἂν ἁρ-
μόττοι· τὸ δὲ περὶ ταῦτα σὺ προθυμήθητι λέγειν
ὄνομα. ΘΕΑΙ. Καὶ τί τις ἂν ἄλλο ὄνομα εἰπὼν
οὐκ ἂν πλημμελοίη πλὴν τὸ νῦν ζητούμενον αὐτὸ
εἶναι τὸ σοφιστικὸν γένος; ΞΕ. Οὐδὲν ἄλλο. Ἴθι
δὴ νῦν ξυναγάγωμεν αὐτό, λέγοντες ὡς τὸ τῆς κτη-
τικῆς, μεταβλητικῆς, ἀγοραστικῆς, ἐμπορικῆς, ψυχ-
εμπορικῆς περὶ λόγους καὶ μαθήματα ἀρετῆς πω-
λητικόν, δεύτερον ἀνεφάνη σοφιστική. ΘΕΑΙ. Μά-
λα γε. ΞΕ. Τρίτον δὲ οἶμαί σε, κἂν εἴ τις αὐτοῦ
καθιδρυμένος ἐν πόλει, τὰ μὲν ὠνούμενος, τὰ δὲ
καὶ τεκταινόμενος αὐτὸς μαθήματα περὶ τὰ αὐτὰ
ταῦτα καὶ πωλῶν, ἐκ τούτου τὸ ζῆν προυτάξατο,
καλεῖν οὐδὲν ἄλλο πλὴν ὅπερ δὴ νῦν. ΘΕΑΙ. Τί
δ' οὐ μέλλω; ΞΕ. Καὶ τὸ τῆς κτητικῆς ἄρα μεταβλη-

τικόν, ἀγοραστικόν, καπηλικόν, εἴτε αὐτοπωλικόν, ἀμφοτέρως, ὅ, τι περ ἂν ᾖ περὶ τὰ τοιαῦτα μαθηματοπωλικὸν γένος, ἀεὶ σὺ προςερεῖς, ὡς φαίνῃ, σοφιστικόν. ΘΕΑΙ. Ἀνάγκη. τῷ γὰρ λόγῳ δεῖ ξυνακολουθεῖν. XII. ΞΕ. Ἔτι δὴ σκοπῶμεν, εἴ τινι τοιῷδε προςέοικεν ἄρα τὸ νῦν μεταδιωκόμενον γένος. ΘΕΑΙ. Ποίῳ δή; ΞΕ. Τῆς κτητικῆς ἀγωνιστικὴ τι μέρος ἡμῖν ἦν. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ. Οὐκ ἄπο τρόπου τοίνυν ἐστὶ διαιρεῖν αὐτὴν δίχα. ΘΕΑΙ. Καθ' ὁποῖα, λέγε. ΞΕ. Τὸ μὲν ἁμιλλητικὸν αὐτῆς τιθέντας, τὸ δὲ, μαχητικόν. ΘΕΑΙ. Ἔστι. ΞΕ. Τῆς τοίνυν μαχητικῆς τῷ μὲν σώματι πρὸς σώματα γιγνομένῳ, σχεδὸν εἰκὸς καὶ πρέπον λέγειν ὄνομά τι τοιοῦτον τιθεμένους οἷον βιαστικόν. ΘΕΑΙ. Ναί. ΞΕ. Τῷ δὲ λόγοις πρὸς λόγους, τί τις, ὦ Θεαίτητε, ἄλλο εἴπῃ, πλὴν ἀμφιςβητικόν; ΘΕΑΙ. Οὐδέν. ΞΕ. Τὸ δέ γε περὶ τὰς ἀμφιςβητήσεις θετέον διττόν. ΘΕΑΙ. Πῇ; ΞΕ. Καθόσον μὲν γὰρ γίγνεται μήκεσί τε πρὸς ἐναντία μήκη λόγων, καὶ περὶ δίκαια καὶ ἄδικα δημοσίᾳ, δικανικόν. ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δ' ἐν ἰδίοις αὖ καὶ κατακεκερματισμένον ἐρωτήσεσι πρὸς ἀποκρίσεις, μῶν εἰθίσμεθα καλεῖν ἄλλο πλὴν ἀντιλογικόν; ΘΕΑΙ. Οὐδέν. ΞΕ. Τοῦ δὲ ἀντιλογικοῦ τὸ μὲν ὅσον περὶ τὰ ξυμβόλαια ἀμφιςβητεῖται μέν, εἰκῇ δὲ καὶ ἀτέχνως περὶ αὐτὰ πράττεται, ταῦτα θετέον μὲν εἶδος, ἐπείπερ αὐτὸ διέγνωκεν ὡς ἕτερον ὂν ὁ λόγος, ἀτὰρ ἐπωνυμίας οὔθ' ὑπὸ τῶν ἔμπροσθεν ἔτυ-

χεν, οὔτε νῦν ὑφ' ἡμῶν τυχεῖν ἄξιον. ΘΕΑΙ. Ἀληθῆ· κατὰ σμικρὰ γὰρ λίαν καὶ παντοδαπὰ διῄρηται. ΞΕ. Τὸ δέ γε ἔντεχνον, καὶ περὶ δικαίων αὐτῶν καὶ ἀδίκων καὶ περὶ τῶν ἄλλων ὅλως ἀμφισβητοῦν, ἆρ' οὐκ ἐριστικὸν αὖ λέγειν εἰθίσμεθα; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τοῦ μὲν ἐριστικοῦ τὸ μὲν χρηματοφθορικὸν, τὸ δὲ χρηματιστικὸν ὂν τυγχάνει. ΘΕΑΙ. Παντάπασί γε. ΞΕ. Τὴν ἐπωνυμίαν τοίνυν, ἣν ἑκάτερον δεῖ καλεῖν αὐτῶν, πειραθῶμεν εἰπεῖν. ΘΕΑΙ. Οὐκοῦν χρή. ΞΕ. Δοκῶ μὴν τό γε δι' ἡδονὴν τῆς περὶ ταῦτα διατριβῆς, ἀμελὲς τῶν οἰκείων γιγνόμενον, περὶ δὲ τὴν λέξιν τοῖς πολλοῖς τῶν ἀκουόντων οὐ μεθ' ἡδονῆς ἀκουόμενον, καλεῖσθαι κατὰ γνώμην τὴν ἐμὴν οὐχ ἕτερον ἀδολεσχικοῦ. ΘΕΑΙ. Λέγεται γὰρ οὖν οὕτω πως. ΞΕ. Τούτου τοίνυν τοὐναντίον, ἀπὸ τῶν ἰδιωτικῶν ἐρίδων χρηματιζόμενον, ἐν τῷ μέρει σὺ πειρῶ νῦν εἰπεῖν. ΘΕΑΙ. Καὶ τί τις ἂν αὖ εἰπὼν ἕτερον οὐκ ἐξαμάρτοι, πλήν γε τὸν θαυμαστὸν πάλιν ἐκεῖνον ἥκειν αὖ νῦν τέταρτον, τὸν μεταδιωκόμενον ὑφ' ἡμῶν σοφιστήν; ΞΕ. Οὐδὲν ἄλλ' ἢ τὸ χρηματιστικὸν γένος, ὡς ἔοικεν, ἐριστικῆς ὂν τέχνης, τῆς ἀντιλογικῆς, τῆς ἀμφισβητικῆς, τῆς μαχητικῆς, τῆς ἀγωνιστικῆς, τῆς κτητικῆς ἔστιν, ὡς ὁ λόγος αὖ μεμήνυκε νῦν, ὁ σοφιστής. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. XIII. ΞΕ. Ὁρᾷς οὖν, ὡς ἀληθῶς λέγεται τὸ ποικίλον εἶναι τοῦτο τὸ θηρίον, καὶ, τὸ λεγόμενον, οὐ τῇ ἑτέρᾳ ληπτέον; ΘΕΑΙ. Οὐκοῦν ἀμφοῖν χρή; ΞΕ. Χρὴ γὰρ οὖν, καὶ κατὰ

δύναμιν γε οὕτω ποιητέον, τοιόνδε τι μεταθέοντας ἴχνος αὐτοῦ. καί μοι λέγε· τῶν οἰκετικῶν ὀνομάτων καλοῦμεν ἄττα που; ΘΕΑΙ. Καὶ πολλά· ἀτὰρ ποῖα δὴ τῶν πολλῶν πυνθάνῃ; ΞΕ. Τὰ τοιάδε, οἷον διηθεῖν τε λέγομεν καὶ διαττᾷν καὶ βράττειν καὶ διακρίνειν. ΘΕΑΙ. Τί μήν; ΞΕ. Καὶ πρός γε τούτοις ἔτι, ξαίνειν καὶ κατάγειν καὶ κερκίζειν καὶ μυρία ἐν ταῖς τέχναις ἄλλα τοιαῦτα ἐνόντα ἐπιστάμεθα· ἦ γάρ; ΘΕΑΙ. Τὸ ποῖον αὐτῶν πέρι βουληθεὶς δηλῶσαι, παραδείγματα προθεὶς ταῦτα κατὰ πάντων ἤρου; ΞΕ. Διαιρετικά που τὰ λεχθέντα εἴρηταί ξύμπαντα. ΘΕΑΙ. Ναί. ΞΕ. Κατὰ τὸν ἐμὸν τοίνυν λόγον, ὡς περὶ ταῦτα μίαν οὖσαν ἐν ἅπασι τέχνην, ἑνὸς ὀνόματος ἀξιώσομεν αὐτήν. ΘΕΑΙ. Τίνα προσειπόντες; ΞΕ. Διακριτικήν. ΘΕΑΙ. Ἔστω. ΞΕ. Σκόπει δή, ταύτης αὖ δύο ἄν πῃ δυνώμεθα κατιδεῖν εἴδη. ΘΕΑΙ. Ταχεῖαν ὡς ἐμοὶ σκέψιν ἐπιτάττεις. ΞΕ. Καὶ μὴν ἔν γε ταῖς εἰρημέναις διακρίσεσι, τὸ μὲν χεῖρον ἀπὸ βελτίονος ἀποχωρίζειν ἦν, τὸ δ' ὅμοιον ἀφ' ὁμοίου. ΘΕΑΙ. Σχεδὸν οὕτω νῦν λεχθὲν φαίνεται. ΞΕ. Τῆς μὲν τοίνυν ὄνομα οὐκ ἔχω λεγόμενον, τῆς δὲ καταλειπούσης μὲν τὸ βέλτιον διακρίσεως, τὸ δὲ χεῖρον ἀποβαλλούσης, ἔχω. ΘΕΑΙ. Λέγε, τί. ΞΕ. Πᾶσα ἡ τοιαύτη διάκρισις, ὡς ἐγὼ ξυννοῶ, λέγεται παρὰ πάντων καθαρμός τις. ΘΕΑΙ. Λέγεται γὰρ οὖν. ΞΕ. Οὐκοῦν τόγε καθαρτικὸν εἶδος αὖ διπλοῦν ὂν πᾶς ἂν ἴδοι; ΘΕΑΙ. Ναί, κατὰ σχολήν γε ἴσως·

οὐ μὴν ἔγωγε καθορῶ νῦν. XIV. ΞΕ. Καὶ μὴν τὰ περὶ τὰ σώματα πολλὰ εἴδη καθάρσεων ἑνὶ περιλαβεῖν ὀνόματι προσήκει. ΘΕΑΙ. Ποῖα, καὶ τίνι; ΞΕ. Τά τε τῶν ζώων, ὅσα ἐντὸς σωμάτων ὑπὸ γυμναστικῆς ἰατρικῆς τε ὀρθῶς διακρινόμενα καθαίρεται, καὶ τὰ περὶ τὰ ἐκτὸς, ἃ εἰπεῖν μὲν φαῦλα, ὅσα βαλανευτικὴ παρέχεται· καὶ τῶν ἀψύχων σωμάτων, ὧν γναφευτικὴ καὶ ξύμπασα κοσμητικὴ τὴν ἐπιμέλειαν παρεχομένη κατὰ σμικρὰ, πολλὰ καὶ γελοῖα δοκοῦντα ὀνόματα ἔσχεν. ΘΕΑΙ. Μάλα γε. ΞΕ. Παντάπασι μὲν οὖν, ὦ Θεαίτητε· ἀλλὰ γὰρ τῇ τῶν λόγων μεθόδῳ σπογγιστικῆς ἢ φαρμακοποσίας οὐδὲν ἧττον οὐδέ τι μᾶλλον τυγχάνει μέλον, εἰ τὸ μὲν σμικρὰ, τὸ δὲ μεγάλα ἡμᾶς ὠφελεῖ καθαῖρον. τοῦ κτήσασθαι γὰρ ἕνεκα νοῦν πασῶν τεχνῶν τὸ ξυγγενὲς καὶ τὸ μὴ ξυγγενὲς κατανοεῖν πειρωμένη τιμᾷ πρὸς τοῦτο ἐξ ἴσου πάσας, καὶ θάτερα τῶν ἑτέρων κατὰ τὴν ὁμοιότητα οὐδὲν ἡγεῖται γελοιότερα· σεμνότερον δέ τι τὸν διὰ στρατηγικῆς ἢ φθειριστικῆς δηλοῦντα θηρευτικὴν οὐδὲν νενόμικεν, ἀλλ' ὡς τὸ πολὺ χαυνότερον. καὶ δὴ καὶ νῦν, ὅπερ ἤρου, τί προσεροῦμεν ὄνομα ξυμπάσας δυνάμεις, ὅσαι σῶμα εἴτε ἔμψυχον εἴτε ἄψυχον εἰλήχασι καθαίρειν, οὐδὲν αὐτῇ διοίσει, ποῖόν τι λεχθὲν εὐπρεπέστατον εἶναι δόξει· μόνον ἐχέτω χωρὶς τῶν τῆς ψυχῆς καθάρσεων πάντα ξυνδῆσαν, ὅσα ἄλλο τι καθαίρει. τὸν γὰρ περὶ τὴν διάνοιαν καθαρμὸν ἀπὸ τῶν ἄλλων ἐπικεχείρηκεν ἀφορίσασθαι τανῦν, εἴ γε ὅπερ βούλεται

μανθάνομεν. ΘΕΑΙ. Ἀλλὰ μεμάθηκα καὶ ξυγχωρῶ, δύο μὲν εἴδη καθάρσεως, ἓν δὲ τὸ περὶ τὴν ψυχὴν εἶδος εἶναι, τοῦ περὶ τὸ σῶμα χωρὶς ὄν. ΞΕ. Πάντων κάλλιστα· καί μοι τὸ μετὰ τοῦτο ἐπάκουε, πειρώμενος αὖ τὸ λεχθὲν διχῇ τέμνειν. ΘΕΑΙ. Καθ᾽ ὁποῖ᾽ ἂν ὑφηγῇ, πειράσομαί σοι ξυντέμνειν. XV. ΞΕ. Πονηρίαν ἕτερον ἀρετῆς ἐν ψυχῇ λέγομέν τι; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Καὶ μὴν καθαρμὸς ἦν, τὸ λιπεῖν μὲν θάτερον, ἐκβάλλειν δὲ ὅσον ἂν ᾖ πού τι φλαῦρον. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ. Καὶ ψυχῆς ἄρα καθόσον ἂν εὑρίσκωμεν κακίας ἀφαίρεσίν τινα, καθαρμὸν αὐτὸν λέγοντες ἐν μέλει φθεγξόμεθα. ΘΕΑΙ. Καὶ μάλα γε. ΞΕ. Δύο μὲν εἴδη κακίας περὶ ψυχὴν ῥητέον. ΘΕΑΙ. Ποῖα; ΞΕ. Τὸ μὲν οἷον νόσον ἐν σώματι, τὸ δ᾽ οἷον αἶσχος ἐγγιγνόμενον. ΘΕΑΙ. Οὐκ ἔμαθον. ΞΕ. Νόσον ἴσως καὶ στάσιν οὐ ταυτὸν νενόμικας. ΘΕΑΙ. Οὐδ᾽ αὖ πρὸς τοῦτο ἔχω τί χρή με ἀποκρίνασθαι. ΞΕ. Πότερον ἄλλο τι στάσιν ἡγούμενος ἢ τὴν τοῦ φύσει ξυγγενοῦς ἔκ τινος διαφθορᾶς διαφοράν; ΘΕΑΙ. Οὐδέν. ΞΕ. Ἀλλ᾽ αἶσχος ἄλλο τι πλὴν τὸ τῆς ἀμετρίας πανταχοῦ δυσειδὲς ἐνὸν γένος; ΘΕΑΙ. Οὐδαμῶς ἄλλο. ΞΕ. Τί δαί; ἐν ψυχῇ δόξας ἐπιθυμίαις, καὶ θυμὸν ἡδοναῖς, καὶ λόγον λύπαις, καὶ πάντα ἀλλήλοις ταῦτα τῶν φλαύρως ἐχόντων οὐκ ᾐσθήμεθα διαφερόμενα; ΘΕΑΙ. Καὶ σφόδρα γε. ΞΕ. Ξυγγενῆ γε μὴν ἐξ ἀνάγκης ξύμπαντα γέγονε. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Στάσιν ἄρα καὶ νόσον τῆς ψυχῆς, πο-

νηρίαν λέγοντες, ὀρθῶς ἐροῦμεν. ΘΕΑΙ. Ὀρθότατα μὲν οὖν. ΞΕ. Τί δ᾽, ὅσα κινήσεως μετασχόντα, καὶ σκοπόν τινα θέμενα, πειρώμενα τούτου τυγχάνειν, καθ᾽ ἑκάστην ὁρμὴν παράφορα αὐτοῦ γίγνεται καὶ ἀποτυγχάνει, πότερον αὐτὰ φήσομεν ὑπὸ ξυμμετρίας τῆς πρὸς ἄλληλα, ἢ τοὐναντίον ὑπὸ ἀμετρίας αὐτὰ πάσχειν; ΘΕΑΙ. Δῆλον ὡς ὑπὸ ἀμετρίας. ΞΕ. Ἀλλὰ μὴν ψυχήν γε ἴσμεν ἄκουσαν πᾶσαν πᾶν ἀγνοοῦσαν. ΘΕΑΙ. Σφόδρα γε. ΞΕ. Τὸ γε μὴν ἀγνοεῖν ἐστιν ἐπ᾽ ἀλήθειαν ὁρμωμένης ψυχῆς, παραφόρου ξυνέσεως γιγνομένης, οὐδὲν ἄλλο πλὴν παραφροσύνη. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Ψυχὴν ἄρα ἀνόητον αἰσχρὰν καὶ ἄμετρον θετέον. ΘΕΑΙ. Ἔοικε. ΞΕ. Ἔστι δὴ δύο ταῦτα, ὡς φαίνεται, κακῶν ἐν αὐτῇ γένη, τὸ μὲν πονηρία καλούμενον ὑπὸ τῶν πολλῶν, νόσος αὐτῆς σαφέστατα ὄν. ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δέ γε ἄγνοιαν μὲν καλοῦσι, κακίαν δὲ αὐτὸ ἐν ψυχῇ μόνον γιγνόμενον οὐκ ἐθέλουσιν ὁμολογεῖν. ΘΕΑΙ. Κομιδῇ ξυγχωρητέον, ὃ δὴ νῦν λέξαντος ἠμφιγνόησά σου, τὸ δύο εἶναι γένη κακίας ἐν ψυχῇ, καὶ δειλίαν μὲν καὶ ἀκολασίαν καὶ ἀδικίαν ξύμπαντα ἡγητέον νόσον ἐν ἡμῖν· τὸ δὲ τῆς πολλῆς καὶ παντοδαπῆς ἀγνοίας πάθος αἶσχος θετέον. XVI. ΞΕ. Οὐκοῦν ἐν σώματί γε περὶ δύο παθήματε τούτω δύο τέχνα τινὲ ἐγενέσθην; ΘΕΑΙ. Τίνε τούτω; ΞΕ. Περὶ μὲν αἶσχος γυμναστική, περὶ δὲ νόσον ἰατρική; ΘΕΑΙ. Φαίνεσθον. ΞΕ. Οὐκοῦν καὶ περὶ μὲν ὕβριν καὶ ἀδικίαν καὶ δειλίαν ἡ κολαστικὴ πέφυκε

τεχνῶν μάλιστα δὴ πασῶν προσήκουσα δίκη; ΘΕΑΙ. Τὸ γοῦν εἰκός, ὡς εἰπεῖν κατὰ τὴν ἀνθρωπίνην δόξαν. ΞΕ. Τί δὲ περὶ ξύμπασαν ἄγνοιαν, μῶν ἄλλην τινὰ ἢ διδασκαλικὴν ὀρθότερον εἴποι τις ἄν; ΘΕΑΙ. Οὐδεμίαν. ΞΕ. Φέρε δή· διδασκαλικῆς δὲ ἆρα ἓν μόνον γένος φατέον εἶναι, ἢ πλείω, δύο δέ τινε αὐτῆς εἶναι μεγίστω, σκόπει. ΘΕΑΙ. Σκοπῶ. ΞΕ. Καί μοι δοκοῦμεν τῇδε ἄν πη τάχιστα εὑρεῖν. ΘΕΑΙ. Πῇ; ΞΕ. Τὴν ἄγνοιαν ἰδόντες εἴ πη κατὰ μέσον αὐτῆς τομὴν ἔχει τινά. διπλῆ γὰρ αὕτη γιγνομένη δῆλον ὅτι καὶ τὴν διδασκαλικὴν δύο ἀναγκάζει μόρια ἔχειν, ἓν ἐφ' ἑνὶ γένει τῶν αὐτῆς ἑκατέρῳ. ΘΕΑΙ. Τί οὖν; καταφανές πῃ σοι τὸ νῦν ζητούμενον; ΞΕ. Ἀγνοίας γοῦν μέγα τί μοι δοκῶ καὶ χαλεπὸν ἀφωρισμένον ὁρᾶν εἶδος, πᾶσι τοῖς ἄλλοις αὐτῆς ἀντίσταθμον μέρεσι. ΘΕΑΙ. Ποῖον δή; ΞΕ. Τὸ μὴ κατειδότα τι δοκεῖν εἰδέναι, δι' οὗ κινδυνεύει πάντα, ὅσα διανοίᾳ σφαλλόμεθα, γίγνεσθαι πᾶσι. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Καὶ δὴ καὶ τούτῳ γε οἶμαι μόνῳ τῆς ἀγνοίας ἀμαθία τοὔνομα προσρηθῆναι. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τί δὲ δὴ τῷ τῆς διδασκαλικῆς ἆρα μέρει τῷ τοῦτο ἀπαλλάττοντι λεκτέον; ΘΕΑΙ. Οἶμαι μὲν οὖν, ὦ ξένε, τὸ μὲν ἄλλο δημιουργικὰς διδασκαλίας, τοῦτο δὲ ἐνθάδε γε παιδείαν δι' ἡμῶν κεκλῆσθαι. ΞΕ. Καὶ γὰρ σχεδόν, ὦ Θεαίτητε, ἐν πᾶσιν Ἕλλησιν· ἀλλὰ γὰρ ἡμῖν ἔτι καὶ τοῦτο σκεπτέον, εἰ ἄτομον ἤδη ἐστὶ πᾶν, ἢ ἄρα τινὰ ἔχον διαίρεσιν ἀξίαν ἐπωνυμίας. ΘΕΑΙ. Οὐκοῦν χρὴ σκο-

πεῖν. XVII. ΞΕ. Δοκεῖ τοίνυν μοι καὶ τοῦτο ἔτι πῃ σχίζεσθαι. ΘΕΑΙ. Κατὰ τί; ΞΕ. Τῆς ἐν τοῖς λόγοις διδασκαλικῆς ἡ μὲν τραχυτέρα τις ἔοικεν ὁδὸς εἶναι, τὸ δ᾽ ἕτερον αὐτῆς μόριον λειότερον. ΘΕΑΙ. Τὸ ποῖον δὴ τούτων ἑκάτερον λέγωμεν; ΞΕ. Τὸ μὲν ἀρχαιοπρεπές τι πάτριον, ᾧ πρὸς τοὺς υἱεῖς μάλιστα ἐχρῶντό τε, καὶ ἔτι πολλοὶ χρῶνται ταγῦν, ὅταν αὐτοῖς ἐξαμαρτάνωσι, τὰ μὲν χαλεπαίνοντες, τὰ δὲ μαλθακωτέρως παραμυθούμενοι· τὸ δ᾽ οὖν ξύμπαν αὐτὸ ὀρθότατα εἴποι τις ἂν νουθετικήν. ΘΕΑΙ. Ἔστιν οὕτω. ΞΕ. Τὸ δέ γε, ὡς εἴξασί τινες αὖ λόγον ἑαυτοῖς δόντες ἡγήσασθαι, πᾶσαν ἀκούσιον ἀμαθίαν εἶναι καὶ μαθεῖν οὐδέποτ᾽ ἂν ἐθέλειν τὸν οἰόμενον σοφὸν εἶναι τούτων ὧν οἴοιτο πέρι δεινὸς εἶναι, μετὰ δὲ πολλοῦ πόνου τὸ νουθετικὸν εἶδος τῆς παιδείας σμικρὸν ἀνύτειν. ΘΕΑΙ. Ὀρθῶς γε νομίζοντες. ΞΕ. Καὶ γάρ τοι ταύτης τῆς δόξης ἐπὶ ἐκβολὴν ἄλλῳ τρόπῳ στέλλονται. ΘΕΑΙ. Τίνι δή; ΞΕ. Διερωτῶσιν ὧν ἂν οἴηταί τίς τι πέρι λέγειν, λέγων μηδέν· εἶθ᾽ ἅτε πλανωμένων τὰς δόξας ῥᾳδίως ἐξετάζουσι, καὶ ξυνάγοντες δὴ τοῖς λόγοις, εἰς ταυτὸν τιθέασι παρ᾽ ἀλλήλας· τιθέντες δὲ ἐπιδεικνύουσιν αὐτὰς αὑταῖς ἅμα περὶ τῶν αὐτῶν πρὸς τὰ αὐτὰ κατὰ ταυτὰ ἐναντίας· οἱ δ᾽ ὁρῶντες ἑαυτοῖς μὲν χαλεπαίνουσι, πρὸς δὲ τοὺς ἄλλους ἡμεροῦνται, καὶ τούτῳ δὴ τῷ τρόπῳ τῶν περὶ αὐτοὺς μεγάλων καὶ σκληρῶν δοξῶν ἀπαλλάττονται, πασῶν ἀπαλλαγῶν ἀκούειν τε ἡδίστην καὶ τῷ πάσχοντι βεβαιότατα

γιγνομένην. νομίζοντες γάρ, ὦ παῖ φίλε, οἱ καθαίροντες αὐτοὺς, ὥσπερ οἱ περὶ τὰ σώματα ἰατροὶ νενομίκασι, μὴ πρότερον ἂν τῆς προσφερομένης τροφῆς ἀπολαύειν δύνασθαι σῶμα, πρὶν ἂν τὰ ἐμποδίζοντα ἐν ἑαυτῷ τις ἐκβάλῃ, ταυτὸν καὶ περὶ ψυχῆς διενοήθησαν ἐκεῖνοι, μὴ πρότερον αὐτὴν ἕξειν τῶν προσφερομένων μαθημάτων ὄνησιν, πρὶν ἂν ἐλέγχων τις τὸν ἐλεγχόμενον εἰς αἰσχύνην καταστήσας, τὰς τοῖς μαθήμασιν ἐμποδίους δόξας ἐξελὼν καθαρὸν ἀποφήνῃ καὶ ταῦτα ἡγούμενον, ἅπερ οἶδεν, εἰδέναι μόνα, πλείω δὲ μή. ΘΕΑΙ. Βελτίστη γοῦν καὶ σωφρονεστάτη τῶν ἕξεων αὕτη. ΞΕ. Διὰ ταῦτα δὴ πάντα ἡμῖν, ὦ Θεαίτητε, καὶ τὸν ἔλεγχον λεκτέον ὡς ἄρα μεγίστη καὶ κυριωτάτη τῶν καθάρσεών ἐστι· καὶ τὸν ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι ταῦτα, ἃ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. XVIII. ΞΕ. Τί δαί; τοὺς ταύτῃ χρωμένους τῇ τέχνῃ τίνας φήσομεν; ἐγὼ μὲν γὰρ φοβοῦμαι σοφιστὰς φάναι. ΘΕΑΙ. Τί δή; ΞΕ. Μὴ μεῖζον αὐτοῖς προσάπτωμεν γέρας. ΘΕΑΙ. Ἀλλὰ μὴν προσέοικέ τινι τοιούτῳ τὰ νῦν εἰρημένα. ΞΕ. Καὶ γὰρ κυνὶ λύκος, ἀγριώτατον ἡμερωτάτῳ· τὸν δὲ ἀσφαλῆ δεῖ πάντων μάλιστα περὶ τὰς ὁμοιότητας ἀεὶ ποιεῖσθαι τὴν φυλακήν· ὀλισθηρότατον γὰρ τὸ γένος. ὅμως δὲ ἔστωσαν· οὐ γὰρ περὶ σμικρῶν ὅρων τὴν ἀμφισβήτησιν οἴομαι

γενήσεσθαι τότε, ὁπόταν ἱκανῶς φυλάττωσι. ΘΕΑΙ. Οὔκουν, τό γε εἰκός. ΞΕ. Ἔστω δὴ διακριτικῆς τέχνης, καθαρτική· καθαρτικῆς δὲ τὸ περὶ ψυχὴν μέρος ἀφωρίσθω· τούτου δὲ διδασκαλική· διδασκαλικῆς δὲ παιδευτική· τῆς δὲ παιδευτικῆς, ὁ περὶ τὴν μάταιον δοξοσοφίαν γιγνόμενος ἔλεγχος ἐν τῷ νῦν λόγῳ παραφανέντι μηδὲν ἄλλ' ἡμῖν εἶναι λεγέσθω πλὴν ἡ γένει γενναία σοφιστική. ΘΕΑΙ. Λεγέσθω μέν· ἀπορῶ δὲ ἔγωγε ἤδη, διὰ τὸ πολλὰ πεφάνθαι, τί χρή ποτε ὡς ἀληθῆ λέγοντα καὶ διϊσχυριζόμενον εἰπεῖν ὄντως εἶναι τὸν σοφιστήν. ΞΕ. Εἰκότως γε σὺ ἀπορῶν· ἀλλά τοι κἀκεῖνον ἡγεῖσθαι χρὴ νῦν ἤδη σφόδρα ἀπορεῖν ὅπῃ ποτὲ ἔτι διαδύσεται τὸν λόγον. ὀρθὴ γὰρ ἡ παροιμία, τὸ τὰς ἁπάσας μὴ ῥᾴδιον εἶναι διαφεύγειν. νῦν οὖν καὶ μάλιστα ἐπιθετέον αὐτῷ. ΘΕΑΙ. Καλῶς λέγεις. XIX. ΞΕ. Πρῶτον δὴ στάντες οἷον ἐξαναπνεύσωμεν, καὶ πρὸς ἡμᾶς αὐτοὺς διαλογισώμεθα ἅμα ἀναπαυόμενοι, φέρε, ὁπόσα ἡμῖν ὁ σοφιστὴς πέφανται. δοκῶ μὲν γάρ, τοπρῶτον εὑρέθη νέων καὶ πλουσίων ἔμμισθος θηρευτής. ΘΕΑΙ. Ναί. ΞΕ. Τό γε δεύτερον, ἔμπορός τις περὶ τὰ τῆς ψυχῆς μαθήματα. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τρίτον δὲ ἆρα οὐ περὶ ταυτὰ ταῦτα κάπηλος ἀνεφάνη; ΘΕΑΙ. Ναί, καὶ τέταρτόν γε, αὐτοπώλης περὶ τὰ μαθήματα ἡμῖν. ΞΕ. Ὀρθῶς ἐμνημόνευσας. πέμπτον δ' ἐγὼ πειράσομαι μνημονεύειν· τῆς γὰρ ἀγωνιστικῆς περὶ λόγους ἦν τις ἀθλητὴς τὴν ἐριστικὴν τέχνην ἀφωρισμένος. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ.

Τό γε μὴν ἕκτον ἀμφισβητήσιμον μὲν, ὅμως δὲ θῶμεν αὐτῷ ξυγχωρήσαντες, δοξῶν ἐμποδίων μαθήμασι περὶ ψυχὴν καθαρτὴν αὐτὸν εἶναι. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἆρ' οὖν ἐννοεῖς, ὅταν ἐπιστήμων τις πολλῶν φαίνηται, μιᾶς δὲ τέχνης ὀνόματι προσαγορεύηται, τὸ φάντασμα τοῦτο ὡς οὐκ ἔσθ' ὑγιὲς, ἀλλὰ δῆλον ὡς ὁ πάσχων αὐτὸ πρός τινα τέχνην, οὐ δύναται κατιδεῖν ἐκεῖνο αὐτῆς, εἰς ὃ πάντα τὰ μαθήματα ταῦτα βλέπει, διὸ καὶ πολλοῖς ὀνόμασιν ἀνθ' ἑνὸς τὸν ἔχοντα αὐτὰ προσαγορεύει; ΘΕΑΙ. Κινδυνεύει τοῦτο ταύτῃ πῃ μάλιστα πεφυκέναι. XX. ΞΕ. Μὴ τοίνυν ἡμεῖς γε αὐτὸ ἐν τῇ ζητήσει δι' ἀργίαν πάσχωμεν, ἀλλὰ ἀναλάβωμεν ἓν πρῶτον τῶν περὶ τὸν σοφιστὴν εἰρημένων· ἓν γάρ τί μοι μάλιστα κατεφάνη αὐτὸν μηνύον. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ἀντιλογικὸν αὐτὸν ἔφαμεν εἶναί που. ΘΕΑΙ. Ναί. ΞΕ. Τί δ'; οὐ καὶ τῶν ἄλλων αὐτοῦ τούτου διδάσκαλον γίγνεσθαι; ΘΕΑΙ. Τί μήν; ΞΕ. Σκοπῶμεν δὴ περὶ τίνος ἄρα καί φασιν οἱ τοιοῦτοι ποιεῖν ἀντιλογικούς· ἡ δὲ σκέψις ἡμῖν ἐξ ἀρχῆς ἔστω τῇδέ πῃ. φέρε, περὶ τῶν θείων, ὅσ' ἀφανῆ τοῖς πολλοῖς, ἆρ' ἱκανοὺς ποιοῦσι τοῦτο δρᾷν; ΘΕΑΙ. Λέγεται οὖν δὴ περὶ αὐτῶν ταῦτα. ΞΕ. Τί δ', ὅσα φανερὰ γῆς τε καὶ οὐρανοῦ, καὶ τῶν περὶ τὰ τοιαῦτα; ΘΕΑΙ. Τί γάρ; ΞΕ. Ἀλλὰ μὴν ἔν γε ταῖς ἰδίαις ξυνουσίαις, ὁπόταν γενέσεώς τε καὶ οὐσίας πέρι κατὰ πάντων λέγηταί τι, ξύνισμεν ὡς αὐτοί τε ἀντειπεῖν δεινοί, τούς τε ἄλλους ὅτι ποιοῦσιν, ἅπερ αὐτοί, δυνατούς.

ΘΕΑΙ. Παντάπασί γε. ΞΕ. Τί δ' αὖ, περὶ νόμων
καὶ ξυμπάντων τῶν πολιτικῶν ἆρ' οὐχ ὑπισχνοῦνται
ποιεῖν ἀμφισβητικούς; ΘΕΑΙ. Οὐδεὶς γὰρ ἂν αὐ-
τοῖς, ὡς ἔπος εἰπεῖν, διελέγετο μὴ τοῦτο ὑπισχνου-
μένοις. ΞΕ. Τά γε μὴν περὶ πασῶν τε καὶ κατὰ μίαν
ἑκάστην τέχνην, ἃ δεῖ πρὸς ἕκαστον αὐτὸν τὸν δη-
μιουργὸν ἀντειπεῖν, δεδημοσιωμένα που καταβέβλη-
ται, γεγραμμένα τῷ βουλομένῳ μαθεῖν. ΘΕΑΙ.
Τὰ Πρωταγόρειά μοι φαίνῃ περί τε πάλης καὶ τῶν
ἄλλων τεχνῶν εἰρηκέναι. ΞΕ. Καὶ πολλῶν γε, ὦ
μακάριε, ἑτέρων. ἀτὰρ δὴ τὸ τῆς ἀντιλογικῆς τέ-
χνης ἆρ' οὐκ ἐν κεφαλαίῳ περὶ πάντων πρὸς ἀμ-
φισβήτησιν ἱκανή τις δύναμις ἔοικεν εἶναι; ΘΕΑΙ.
Φαίνεται γοῦν δὴ σχεδὸν οὐδὲν ὑπολιπεῖν. ΞΕ.
Σὺ δὲ δή, πρὸς θεῶν, ὦ παῖ, δυνατὸν ἡγῇ τοῦ-
το; τάχα γὰρ ἂν ὑμεῖς μὲν ὀξύτερον οἱ νέοι πρὸς
αὐτὸ βλέποιτε, ἡμεῖς δὲ ἀμβλύτερον. ΘΕΑΙ.
Τὸ ποῖον, καὶ πρὸς τί μάλιστα λέγεις; οὐ γάρ πω
κατανοῶ τὸ νῦν ἐρωτώμενον. ΞΕ. Εἰ πάντα ἐπί-
στασθαί τινα ἀνθρώπων ἐστὶ δυνατόν. ΘΕΑΙ.
Μακάριον μέν τ' ἂν ἡμῶν, ὦ ξένε, ἦν τὸ γένος.
ΞΕ. Πῶς οὖν ἄν ποτέ τις πρός γε τὸν ἐπιστάμενον
αὐτὸς ἀνεπιστήμων ὢν δύναιτο ὑγιές τι λέγων ἀντ-
ειπεῖν; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Τί ποτ' οὖν ἂν
εἴη τὸ τῆς σοφιστικῆς δυνάμεως θαῦμα; ΘΕΑΙ.
Τοῦ δὴ πέρι; ΞΕ. Καθ' ὅντινα τρόπον ποτὲ δυ-
νατοὶ τοῖς νέοις δόξαν παρασκευάζειν, ὡς εἰσὶ πάν-
τα πάντων αὐτοὶ σοφώτατοι. δῆλον γὰρ ὡς εἰ μήτε

ἀντέλεγον ὀρθῶς, μήτε ἐκείνοις ἐφαίνοντο, φαινόμενοί τε εἰ μηδὲν αὖ μᾶλλον ἐδόκουν διὰ τὴν ἀμφισβήτησιν εἶναι φρόνιμοι, τὸ σὸν δὴ τοῦτο σχολῇ ποτ' ἄν αὐτοῖς τις χρήματα διδοὺς ἤθελεν ἂν τούτων αὐτῶν μαθητὴς γίγνεσθαι. ΘΕΑΙ. Σχολῇ μέντ' ἄν. ΞΕ. Νῦν δέ γ' ἐθέλουσι. ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Δοκοῦσι γάρ, οἶμαι, πρὸς ταῦτα ἐπιστημόνως ἔχειν αὐτοί, πρὸς ἅπερ ἀντιλέγουσι. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Δρῶσι δέ γε τοῦτο πρὸς ἅπαντα; φαμέν; ΘΕΑΙ. Ναί. ΞΕ. Πάντα ἄρα σοφοὶ τοῖς μαθηταῖς φαίνονται. ΘΕΑΙ. Τί μήν; ΞΕ. Οὐκ ὄντες γε· ἀδύνατον γὰρ τοῦτό γε ἐφάνη. ΘΕΑΙ. Πῶς γὰρ οὐκ ἀδύνατον; ΞΕ. Δοξαστικὴν ἄρα τινὰ περὶ πάντων ἐπιστήμην ὁ σοφιστὴς ἡμῖν, ἀλλ' οὐκ ἀλήθειαν, ἔχων ἀναπέφανται. ΘΕΑΙ. Παντάπασι μὲν οὖν, καὶ κινδυνεύει γε τὸ νῦν εἰρημένον ὀρθότατα περὶ αὐτῶν εἰρῆσθαι. XXI. ΞΕ. Λάβωμεν τοίνυν σαφέστερόν τι παράδειγμα περὶ τούτων. ΘΕΑΙ. Τὸ ποῖον δή; ΞΕ. Τόδε· καί μοι πειρῶ προσέχων τὸν νοῦν εὖ μάλα ἀποκρίνασθαι. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Εἴ τις φαίη μὴ λέγειν μηδ' ἀντιλέγειν, ἀλλὰ ποιεῖν καὶ δρᾷν μιᾷ τέχνῃ ξυνάπαντα ἐπίστασθαι πράγματα. ΘΕΑΙ. Πῶς πάντα εἶπες; ΞΕ. Τὴν ἀρχὴν τοῦ ῥηθέντος σύ γ' ἡμῖν εὐθὺς ἀγνοεῖς· τὰ γὰρ ξύμπαντα, ὡς ἔοικας, οὐ μανθάνεις. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΞΕ. Λέγω τοίνυν σὲ καὶ ἐμὲ τῶν πάντων, καὶ πρὸς ἡμῖν τὰ ἄλλα ζῶα καὶ δένδρα. ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Εἴ τις ἐμὲ καὶ σὲ καὶ

τἆλλα φυτὰ πάντα ποιήσειν φαίη. ΘΕΑΙ. Τίνα δὴ λέγων τὴν ποίησιν; οὐ γὰρ δὴ γεωργόν γε ἐρεῖς τινα· καὶ γὰρ δὴ καὶ ζώων αὐτὸν εἶπες ποιητήν. ΞΕ. Φημί, καὶ πρός γε θαλάττης, καὶ γῆς, καὶ οὐρανοῦ, καὶ θεῶν, καὶ τῶν ἄλλων ξυμπάντων· καὶ τοίνυν καὶ ταχὺ ποιήσας αὐτῶν ἕκαστα, πάνυ σμικροῦ νομίσματος ἀποδίδοται. ΘΕΑΙ. Παιδιὰν λέγεις τινά. ΞΕ. Τί δαί; τὴν τοῦ λέγοντος ὅτι πάντα οἶδε, καὶ ταῦτα ἕτερον ἂν διδάξειεν ὀλίγου καὶ ἐν ὀλίγῳ χρόνῳ, μῶν οὐ παιδιὰν νομιστέον; ΘΕΑΙ. Πάντως που. ΞΕ. Παιδιᾶς δὲ ἔχεις τι τεχνικώτερον ἢ καὶ χαριέστερον εἶδος, ἢ τὸ μιμητικόν; ΘΕΑΙ. Οὐδαμῶς· πάμπολυ γὰρ εἴρηκας εἶδος εἰς ἓν πάντα ξυλλαβών, καὶ σχεδὸν ποικιλώτατον. XXII. ΞΕ. Οὐκοῦν τόν γ' ὑπισχνούμενον δυνατὸν εἶναι μιᾷ τέχνῃ πάντα ποιεῖν γιγνώσκομέν πού τοῦτο, ὅτι μιμήματα καὶ ὁμώνυμα τῶν ὄντων ἀπεργαζόμενος τῇ γραφικῇ τέχνῃ, δυνατὸς ἔσται τοὺς ἀνοήτους τῶν νέων παίδων, πόῤῥωθεν τὰ γεγραμμένα ἐπιδεικνύς, λανθάνειν, ὡς ὅ, τι περ ἂν βουληθῇ δρᾷν, τοῦτο ἱκανώτατος ὢν ἀποτελεῖν ἔργῳ. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τί δαὶ δὴ περὶ τοὺς λόγους; ἆρ' οὐ προσδοκῶμεν εἶναί τινα ἄλλην τέχνην; ἢ οὐ δυνατὸν αὖ τυγχάνειν τοὺς νέους, καὶ ἔτι πόῤῥω τῶν πραγμάτων τῆς ἀληθείας ἀφεστῶτας, διὰ τῶν ὤτων τοῖς λόγοις γοητεύειν, δεικνύντας εἴδωλα λεγόμενα περὶ πάντων, ὥστε ποιεῖν ἀληθῆ δοκεῖν λέγεσθαι, καὶ τὸν δὴ λέγοντα σοφώτατον πάντων ἅπαντ' εἶναι;

ΘΕΑΙ. Τί γὰρ οὐκ ἂν εἴη ἄλλη τις τοιαύτη τέχνη; ΞΕ. Τοὺς πολλοὺς γοῦν, ὦ Θεαίτητε, τῶν τότε ἀκουόντων ἆρ' οὐκ ἀνάγκη, χρόνου τε ἐπελθόντος αὐτοῖς ἱκανοῦ καὶ προϊούσης ἡλικίας, τοῖς τε οὖσι προςπίπτοντας ἐγγύθεν καὶ διὰ παθημάτων ἀναγκαζομένους ἐναργῶς ἐφάπτεσθαι τῶν ὄντων, μεταβάλλειν τὰς τότε γενομένας δόξας, ὥςτε σμικρὰ μὲν φαίνεσθαι τὰ μεγάλα, χαλεπὰ δὲ τὰ ῥάδια, καὶ πάντα πάντη ἀνατετράφθαι τὰ ἐν τοῖς λόγοις φαντάσματα ὑπὸ τῶν ἐν ταῖς πράξεσιν ἔργων παραγενομένων; ΘΕΑΙ. Ὡς γοῦν ἐμοὶ τηλικῷδε ὄντι κρῖναι· οἶμαι δὲ καὶ ἐμὲ τῶν ἔτι πόῤῥωθεν ἀφεστηκότων εἶναι. ΞΕ. Τοιγαροῦν ἡμεῖς σε οἵδε πάντες πειρασόμεθα, καὶ νῦν πειρώμεθα, ὡς ἐγγυτάτω ἄνευ τῶν παθημάτων προσάγειν. περὶ δ' οὖν τοῦ σοφιστοῦ τόδε μοι λέγε, πότερον ἤδη τοῦτο σαφὲς, ὅτι τῶν γοήτων ἐστί τις, μιμητὴς ὢν τῶν ὄντων, ἢ διστάζομεν ἔτι, μὴ, περὶ ὅσων περ ἀντιλέγειν δοκεῖ δυνατὸς εἶναι, περὶ τοσούτων καὶ τὰς ἐπιστήμας ἀληθῶς ἔχων τυγχάνη. ΘΕΑΙ. Καὶ πῶς ἂν, ὦ ξένε; ἀλλὰ σχεδὸν ἤδη σαφὲς ἐκ τῶν εἰρημένων, ὅτι τῶν τῆς παιδιᾶς μετεχόντων ἐστί τις μερῶν. ΞΕ. Εἰς γόητα μὲν δὴ καὶ μιμητὴν ἄρα θετέον αὐτόν τινα. ΘΕΑΙ. Πῶς γὰρ οὐ θετέον; XXIII. ΞΕ. Ἄγε δή· νῦν γὰρ ἡμέτερον ἔργον ἤδη τὸν θῆρα μηκέτ' ἀνεῖναι. σχεδὸν γὰρ αὐτὸν περιειλήφαμεν ἐν ἀμφιβληστρικῷ τινι τῶν ἐν τοῖς λόγοις περὶ τὰ τοιαῦτα ὀργάνων, ὥςτε οὐκέτ' ἐκφεύξεται τόδε γε. ΘΕΑΙ. Τὸ ποῖον;

ΞΕ. Τὸ μὴ ἐκ τοῦ γένους εἶναι τοῦ τῶν θαυματοποιῶν τις εἷς. ΘΕΑΙ. Κἀμοὶ τοῦτό γε οὕτω περὶ αὐτοῦ ξυνδοκεῖ. ΞΕ. Δέδοκται τοίνυν ὅτι τάχιστα διαιρεῖν τὴν εἰδωλοποιητικὴν τέχνην, καὶ καταβάντας εἰς αὐτήν, ἐὰν μὲν ἡμᾶς εὐθὺς ὁ σοφιστὴς ὑπομείνῃ, ξυλλαβεῖν αὐτὸν κατὰ τὰ ἐπεσταλμένα ὑπὸ τοῦ βασιλικοῦ λόγου, κἀκείνῳ παραδόντας ἀποφῆναι τὴν ἄγραν· ἐὰν δ᾽ ἄρα κατὰ μέρη τῆς μιμητικῆς δύηταί πῃ, ξυνακολουθεῖν αὐτῷ διαιροῦντας ἀεὶ τὴν ὑποδεχομένην αὐτὸν μοῖραν, ἕωσπερ ἂν ληφθῇ. πάντως οὔτε οὗτος, οὔτε ἄλλο γένος οὐδὲν μήποτε ἐκφυγὸν ἐπεύξηται τὴν τῶν οὕτω δυναμένων μετιέναι καθ᾽ ἕκαστά τε καὶ ἐπὶ πάντα μέθοδον. ΘΕΑΙ. Λέγεις εὖ, καὶ ταῦτα ταύτῃ ποιητέον. ΞΕ. Κατὰ δὴ τὸν παρεληλυθότα τρόπον τῆς διαιρέσεως ἔγωγέ μοι καὶ νῦν φαίνομαι δύο καθορᾶν εἴδη τῆς μιμητικῆς· τὴν δὲ ζητουμένην ἰδέαν, ἐν ὁποτέρῳ ποθ᾽ ἡμῖν οὖσα τυγχάνει, καταμαθεῖν οὐδέπω μοι δοκῶ νῦν δυνατὸς εἶναι. ΘΕΑΙ. Σὺ δ᾽ ἀλλ᾽ εἰπὲ πρῶτον καὶ δίελε ἡμῖν, τίνε τὼ δύο λέγεις. ΞΕ. Μίαν μὲν τὴν εἰκαστικὴν ὁρῶ ἐν αὐτῇ τέχνην· ἔστι δ᾽ αὕτη μάλιστα, ὁπόταν κατὰ τὰς τοῦ παραδείγματος ξυμμετρίας τις ἐν μήκει καὶ βάθει καὶ πλάτει, καὶ πρὸς τούτοις ἔτι χρώματα ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις, τὴν τοῦ μιμήματος γένεσιν ἀπεργάζηται. ΘΕΑΙ. Τί δ᾽; οὐ πάντες οἱ μιμούμενοί τι, τοῦτ᾽ ἐπιχειροῦσι δρᾶν; ΞΕ. Οὔκουν ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσιν. εἰ γὰρ

οὔ; ΞΕ. Μὴ, τοίνυν ἔριδος ἕνεκα, μηδὲ παιδιᾶς, ἀλλ' ἂν σπουδῇ δέῃ ξυννοήσαντά τινα ἀποφήνασθαι τῶν ἀκροατῶν, πῆ χρὴ τοὔνομ' ἐπιφέρειν τοῦτο τὸ μὴ ὄν· ἔχειν δοκοῦμεν ἂν εἰς τί καὶ ἐπὶ ποῖον αὐτόν τε καταχρήσασθαι, καὶ τῷ πυνθανομένῳ δεικνύναι; ΘΕΑΙ. Χαλεπὸν ἤρου, καί, σχεδὸν εἰπεῖν, οἵῳ γε ἐμοὶ παντάπασιν ἄπορον. ΞΕ. Ἀλλ' οὖν τοῦτό γε δῆλον, ὅτι τῶν ὄντων ἐπί τι τὸ μὴ ὂν οὐκ οἰστέον. ΘΕΑΙ. Πῶς γὰρ ἄν; ΞΕ. Οὐκοῦν ἐπείπερ οὐκ ἐπὶ τὸ ὄν, οὐδ' ἐπὶ τὸ τὶ φέρων ὀρθῶς ἄν τις φέροι. ΘΕΑΙ. Πῶς δή; ΞΕ. Καὶ τοῦτο ἡμῖν που φανερόν, ὡς καὶ τὸ τὶ τοῦτο τὸ ῥῆμα, ἐπὶ ὄντι λέγομεν ἑκάστοτε. μόνον γὰρ αὐτὸ λέγειν, ὥσπερ γυμνὸν καὶ ἀπηρημωμένον ἀπὸ τῶν ὄντων ἁπάντων, ἀδύνατον. ἢ γάρ; ΘΕΑΙ. Ἀδύνατον. ΞΕ. Ἆρα τῇδε σκοπῶν ξύμφῃς, ὡς ἀνάγκη τὸν τὶ λέγοντα, ἕν γέ τι λέγειν; ΘΕΑΙ. Οὕτω. ΞΕ. Ἑνὸς γὰρ δὴ τό γε τὶ φήσεις σημεῖον εἶναι, τὸ δὲ τινὲ δυοῖν, τὸ δὲ τινὲς πολλῶν. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τὸν δὲ δὴ μή τι λέγοντα, ἀναγκαιότατον, ὡς ἔοικε, παντάπασι μηδὲν λέγειν. ΘΕΑΙ. Ἀναγκαιότατον μὲν οὖν. ΞΕ. Ἆρ' οὖν οὐδὲ τοῦτο ξυγχωρητέον, τὸ τὸν τοιοῦτον λέγειν μέν, λέγειν μέν τοι μηδέν. ἀλλ' οὐδὲ λέγειν φατέον, ὃς ἂν ἐπιχειρῇ μὴ ὂν φθέγγεσθαι; ΘΕΑΙ. Τέλος γοῦν ἂν ἀπορίας ἔχοι ὁ λόγος.

XXVI. ΞΕ. Μήπω μέγ' εἴπῃς. ἔστι γάρ, ὦ μακάριε, ἔστι καὶ ταῦτά γε τῶν ἀποριῶν ἡ μεγίστη καὶ πρώτη· περὶ γὰρ αὐτὴν αὐτοῦ τὴν ἀρχὴν οὖσα τυγχά-

νει. ΘΕΑΙ. Πῶς φῄς; λέγε καὶ μηδὲν ἀποκνήσῃς. ΞΕ. Τῷ μὲν ὄντι που προςγένοιτ᾽ ἄν τι τῶν ὄντων ἕτερον. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Μὴ ὄντι δὲ τῶν ὄντων ἆρά ποτε προςγίγνεσθαι φήσομεν δυνατὸν εἶναι; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀριθμὸν δὴ τὸν ξύμπαντα τῶν ὄντων τίθεμεν. ΘΕΑΙ. Εἴπερ γε καὶ ἄλλο τι θετέον ὡς ὄν. ΞΕ. Μὴ τοίνυν μηδ᾽ ἐπιχειρῶμεν ἀριθμοῦ μήτε πλῆθος, μήτε τὸ ἓν πρὸς τὸ μὴ ὂν προςφέρειν. ΘΕΑΙ. Οὔκουν ἂν ὀρθῶς γε, ὡς ἔοικεν, ἐπιχειροῖμεν, ὥς φησιν ὁ λόγος. ΞΕ. Πῶς οὖν ἂν ἢ διὰ τοῦ στόματος φθέγξαιτο ἄν τις, ἢ καὶ τῇ διανοίᾳ τοπαράπαν λάβοι τὰ μὴ ὄντα ἢ τὸ μὴ ὂν χωρὶς ἀριθμοῦ; ΘΕΑΙ. Λέγε ὅπῃ. ΞΕ. Μὴ ὄντα μὲν ἐπειδὰν λέγωμεν, ἆρα οὐ πλῆθος ἀριθμοῦ ἐπιχειροῦμεν προςτιθέναι; ΘΕΑΙ. Τί μήν; ΞΕ. Μὴ ὂν δέ, ἆρα οὐ τὸ ἓν αὖ; ΘΕΑΙ. Σαφέστατά γε. ΞΕ. Καὶ μὴν οὔτε δίκαιόν γε οὔτε ὀρθόν φαμεν ὂν ἐπιχειρεῖν μὴ ὄντι προςαρμόττειν. ΘΕΑΙ. Λέγεις ἀληθέστατα. ΞΕ. Ξυννοεῖς οὖν ὡς οὔτε φθέγξασθαι δυνατὸν ὀρθῶς, οὔτ᾽ εἰπεῖν, οὔτε διανοηθῆναι τὸ μὴ ὂν αὐτὸ καθ᾽ αὑτό, ἀλλ᾽ ἔστιν ἀδιανόητόν τε καὶ ἄῤῥητον καὶ ἄφθεγκτον καὶ ἄλογον; ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἆρ᾽ οὖν ἐψευσάμην ἄρτι, λέγων τὴν μεγίστην ἀπορίαν ἐρεῖν αὐτοῦ πέρι; ΘΕΑΙ. Τί δέ; ἔτι μείζω τινὰ λέγειν ἄλλην ἔχομεν; ΞΕ. Τί δέ, ὦ θαυμάσιε, οὐκ ἐννοεῖς αὐτοῖς τοῖς λεχθεῖσιν, ὅτι καὶ τὸν ἐλέγχοντα εἰς ἀπορίαν καθίστησι τὸ μὴ ὂν οὕτως, ὥστε, ὁπό-

ταν αὐτὸ ἐπιχειρῇ τις ἐλέγχειν, ἐναντία αὐτὸν αὑτῷ περὶ ἐκεῖνο ἀναγκάζεσθαι λέγειν; ΘΕΑΙ. Πῶς φῄς; εἰπὲ ἔτι σαφέστερον. ΞΕ. Οὐδὲν δεῖ τὸ σαφέστερον ἐν ἐμοὶ σκοπεῖν. ἐγὼ μὲν γὰρ ὑποθέμενος, οὔτε ἑνὸς οὔτε τῶν πολλῶν τὸ μὴ ὂν δεῖν μετέχειν, ἄρτι τε καὶ νῦν οὕτως ἓν αὐτὸ εἴρηκα· τὸ μὴ ὂν γὰρ φημί. ξυνίης τι; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν αὖ καὶ σμικρὸν ἔμπροσθεν, ἄφθεγκτόν τε αὐτὸ καὶ ἄῤῥητον καὶ ἄλογον ἔφην εἶναι· ξυνέπῃ; ΘΕΑΙ. Ξυνέπομαι· πῶς γὰρ οὔ; ΞΕ. Οὐκοῦν τό γε εἶναι προςάπτειν πειρώμενος ἐναντία τοῖς πρόσθεν ἔλεγον; ΘΕΑΙ. Φαίνῃ. ΞΕ. Τί δαί; τοῦτο προςάγων, οὐχ ὡς ἑνὶ ὂν διελεγόμην; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἄλογόν γε λέγων καὶ ἄῤῥητον καὶ ἄφθεγκτον, ὥς γε πρὸς ἓν τὸν λόγον ἐποιούμην. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Φαμὲν δέ γε δεῖν, εἴπερ ὀρθῶς τις λέξει, μήτε ὡς ἓν μήτε ὡς πολλὰ διορίζειν αὐτό, μηδὲ τοπαράπαν αὐτὸ καλεῖν· ἓν τι γὰρ ἤδη καὶ κατὰ ταύτην ἂν τὴν πρόςρησιν προςαγορεύοιτο. ΘΕΑΙ. Παντάπασί γε. XXVII. ΞΕ. Τὸν μὲν τοίνυν ἐμέ γε ἔτι τί τις ἂν λέγοι; καὶ γὰρ πάλαι καὶ τανῦν ἡττημένον ὂν εὕροι περὶ τὸν τοῦ μὴ ὄντος ἔλεγχον· ὥστε ἐν ἐμοί γε λέγοντι, καθάπερ εἶπον, μὴ σκοπῶμεν τὴν ὀρθολογίαν περὶ τὸ μὴ ὄν· ἀλλ' εἶα δὴ νῦν ἐν σοὶ σκεψώμεθα. ΘΕΑΙ. Πῶς φῄς; ΞΕ. Ἴθι ἡμῖν εὖ καὶ γενναίως, ἅτε νέος ὤν, ὅ,τι μάλιστα δύνασαι ξυντείνας πειράθητι, μήτε οὐσίαν μήτε τὸ ἓν μήτε πλῆθος ἀριθμοῦ προςτιθεὶς τῷ μὴ ὄντι, κατὰ τὸν ὀρθὸν λόγον φθέγξα-

σθαι τι περὶ αὐτοῦ. ΘΕΑΙ. Πολλὴ μέντ' ἄν με
καὶ ἄτοπος ἔχοι προθυμία τῆς ἐπιχειρήσεως, εἴ σε
τοιαῦθ' ὁρῶν πάσχοντα αὐτὸς ἐπιχειροίην. ΞΕ.
Ἀλλ' εἰ δοκεῖ, σὲ μὲν καὶ ἐμὲ χαίρειν ἐῶμεν· ἕως
δ' ἄν τινι δυναμένῳ δρᾷν τοῦτο ἐντυγχάνωμεν, μέ-
χρι τούτου λέγωμεν ὡς παντὸς μᾶλλον πανούργως
εἰς ἄπορον ὁ σοφιστὴς τόπον καταδέδυκε. ΘΕΑΙ.
Καὶ μάλα γε φαίνεται. ΞΕ. Τοιγαροῦν εἴ τινα φή-
σομεν αὐτὸν ἔχειν φανταστικὴν τέχνην, ῥᾳδίως ἐκ
ταύτης τῆς χρείας τῶν λόγων ἀντιλαμβανόμενος ἡμῶν
εἰς τοὐναντίον ἀποστρέψει τοὺς λόγους, ὅταν εἰδω-
λοποιὸν αὐτὸν καλῶμεν, ἀνερωτῶν τί τοπαράπαν
εἴδωλον λέγομεν. σκοπεῖν οὖν, ὦ Θεαίτητε, χρὴ, τί
τις τῷ νεανίᾳ πρὸς τὸ ἐρωτώμενον ἀποκρινεῖται.
ΘΕΑΙ. Δῆλον ὅτι φήσομεν τά τε ἐν τοῖς ὕδασι καὶ
κατόπτροις εἴδωλα, ἔτι καὶ τὰ γεγραμμένα καὶ τὰ
τετυπωμένα καὶ τὰ ἄλλα, ὅσα που τοιαῦτα ἐστιν
ἕτερα. ΞΕ. Φανερὸς, ὦ Θεαίτητε, εἶ, σοφιστὴν οὐχ
ἑωρακώς. XXVIII. ΘΕΑΙ. Τί δή; ΞΕ. Δόξει σοι μύ-
ειν, ἢ παντάπασιν οὐκ ἔχειν ὄμματα. ΘΕΑΙ. Πῶς;
ΞΕ. Τὴν ἀπόκρισιν ὅταν οὕτως αὐτῷ διδῷς, ἐὰν ἐν
κατόπτροις ἢ πλάσμασι λέγῃς τι, καταγελάσεταί σου
τῶν λόγων, ὅταν ὡς βλέποντι λέγῃς αὐτῷ, προσ-
ποιούμενος οὔτε κάτοπτρα οὔτε ὕδατα γιγνώσκειν,
οὔτε τοπαράπαν ὄψιν· τὸ δ' ἐκ τῶν λόγων ἐρωτήσει
σε μόνον. ΘΕΑΙ. Ποῖον; ΞΕ. Τὸ διὰ πάντων τού-
των, ἃ πολλὰ εἰπὼν ἠξίωσας ἑνὶ προσειπεῖν ὀνό-
ματι, φθεγξάμενος εἴδωλον ἐπὶ πᾶσιν, ὡς ἓν ὄν.

λέγε οὖν καὶ ἀμύνου, μηδὲν ὑποχωρῶν τὸν ἄνδρα.
ΘΕΑΙ. Τί δῆτα, ὦ ξένε, εἴδωλον ἂν φαῖμεν εἶναι,
πλήν γε τὸ πρὸς τἀληθινὸν ἀφωμοιωμένον ἕτερον
τοιοῦτον; ΞΕ. Ἕτερον δὲ λέγεις τοιοῦτον ἀληθινόν,
ἢ ἐπὶ τίνι τὸ τοιοῦτον εἶπες; ΘΕΑΙ. Οὐδαμῶς ἀλη-
θινόν γε, ἀλλ' ἐοικὸς μήν. ΞΕ. Ἆρα τὸ ἀληθινὸν
ὄντως ὂν λέγων; ΘΕΑΙ. Οὕτω. ΞΕ. Τί δαί; τὸ μὴ
ἀληθινὸν ἆρ' ἐναντίον ἀληθοῦς; ΘΕΑΙ. Τί μήν;
ΞΕ. Οὐκ ὂν ἄρα λέγεις τὸ ἐοικός, εἴπερ αὐτό γε μὴ
ἀληθινὸν ἐρεῖς. ἀλλ' ἔστι γε μήν. ΘΕΑΙ. Πῶς;
ΞΕ. Οὐκ ὂν ἀληθῶς γε φῄς. ΘΕΑΙ. Οὐ γὰρ οὖν·
πλήν γ' εἰκὼν ὄντως. ΞΕ. Οὐκ ὂν ἄρα οὐκ ὄντως
ἐστὶν ὄντως ἣν λέγομεν εἰκόνα; ΘΕΑΙ. Κινδυνεύει
τοιαύτην τινὰ πεπλέχθαι ξυμπλοκὴν τὸ μὴ ὂν τῷ
ὄντι, καὶ μάλα ἄτοπον. ΞΕ. Πῶς γὰρ οὐκ ἄτοπον;
ὁρᾷς γοῦν ὅτι καὶ νῦν διὰ τῆς ἐπαλλάξεως ταύτης ὁ
πολυκέφαλος σοφιστὴς ἠνάγκασεν ἡμᾶς τὸ μὴ ὂν οὐχ
ἑκόντας ὁμολογεῖν εἶναί πως. ΘΕΑΙ. Ὁρῶ καὶ μά-
λα. ΞΕ. Τί δαὶ δή; τὴν τέχνην αὐτοῦ τίνα ἀφο-
ρίσαντες, ἡμῖν αὐτοῖς ξυμφωνεῖν οἷοί τε ἐσόμεθα;
ΘΕΑΙ. Πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις;
ΞΕ. Ὅταν περὶ τὸ φάντασμα αὐτὸν ἀπατᾶν φῶμεν,
καὶ τὴν τέχνην εἶναί τινα ἀπατητικὴν αὐτοῦ, τότε
πότερον ψευδῆ δοξάζειν τὴν ψυχὴν ἡμῶν φήσομεν
ὑπὸ τῆς ἐκείνου τέχνης, ἢ τί ποτ' ἐροῦμεν; ΘΕΑΙ.
Τοῦτο· τί γὰρ ἂν ἄλλο εἴποιμεν; ΞΕ. Ψευδὴς δ' αὖ
δόξα ἔσται τἀναντία τοῖς οὖσι δοξάζουσα; ἢ πῶς;
ΘΕΑΙ. Τἀναντία. ΞΕ. Λέγεις ἄρα τὰ μὴ ὄντα δο-

ξάζειν τὴν ψευδῆ δόξαν. ΘΕΑΙ. Ἀνάγκη. ΞΕ. Πότερον μὴ εἶναι τὰ μὴ ὄντα δοξάζουσαν, ἤ πως εἶναι τὰ μηδαμῶς ὄντα; ΘΕΑΙ. Εἶναί πως τὰ μὴ ὄντα δεῖ γε, εἴπερ ψεύσεταί ποτέ τίς τι, καὶ κατὰ βραχύ. ΞΕ. Τί δ'; οὐ καὶ μηδαμῶς εἶναι τὰ πάντως ὄντα δοξάζεται; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ τοῦτο δὴ ψεῦδος; ΘΕΑΙ. Καὶ τοῦτο. ΞΕ. Καὶ λόγος, οἶμαι, ψευδὴς οὕτω κατὰ ταυτὰ ταῦτα νομισθήσεται, τά τε ὄντα λέγων μὴ εἶναι καὶ τὰ μὴ ὄντα εἶναι. ΘΕΑΙ. Πῶς γὰρ ἂν ἄλλως τοιοῦτος γένοιτο; ΞΕ. Σχεδὸν οὐδαμῶς· ἀλλὰ ταῦτα ὁ σοφιστὴς οὐ φήσει· ἢ τίς μηχανὴ ξυγχωρεῖν τινα τῶν εὖ φρονούντων, ὅταν ἄφθεγκτα καὶ ἄῤῥητα καὶ ἄλογα καὶ ἀδιανόητα προδιωμολογημένα ᾖ, τὰ πρὸ τούτων ὁμολογηθέντα; μανθάνομεν, ὦ Θεαίτητε, ὃ λέγεις; ΘΕΑΙ. Πῶς γὰρ οὐ μανθάνομεν, ὅτι τἀναντία φήσει λέγειν ἡμᾶς τοῖς νῦν δή, ψευδῆ τολμήσαντας εἰπεῖν ὡς ἔστιν ἐν δόξαις τε καὶ κατὰ λόγους; τῷ γὰρ μὴ ὄντι τὸ ὂν προσάπτειν ἡμᾶς πολλάκις ἀναγκάζεσθαι, διωμολογησαμένους νῦν δή που, εἶναι τοῦτο πάντων ἀδυνατώτατον. XXIX. ΞΕ. Ὀρθῶς ἀπεμνημόνευσας· ἀλλ' ὥρα δὴ βουλεύσασθαι, τί χρὴ δρᾶν τοῦ σοφιστοῦ πέρι. τὰς γὰρ ἀντιλήψεις καὶ ἀπορίας, ἐὰν αὐτὸν διερευνῶμεν ἐν τῇ τῶν ψευδουργῶν καὶ γοήτων τέχνῃ τιθέντες, ὁρᾷς ὡς εὔποροι καὶ πολλαί. ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Σμικρὸν μέρος τοίνυν αὐτῶν διεληλύθαμεν, οὐσῶν, ὡς ἔπος εἰπεῖν, ἀπεράντων. ΘΕΑΙ. Ἀδύνατον γάρ, ὡς ἔοικεν, εἴη τὸν σοφιστὴν ἑλεῖν, εἰ

ταῦτα οὕτως ἔχει. ΞΕ. Τί οὖν; οὕτως ἀποστησόμεθα νῦν μαλακισθέντες; ΘΕΑΙ. Οὔκουν ἔγωγε φημὶ δεῖν, εἰ καὶ κατὰ σμικρὸν οἷοί τ' ἐπιλαβέσθαι πῃ τἀνδρός ἐσμέν. ΞΕ. Ἕξεις οὖν ξυγγνώμην, καὶ, καθάπερ νῦν εἶπες, ἀγαπήσεις, ἐάν πῃ καὶ κατὰ βραχὺ παρασπασώμεθα οὕτως ἰσχυροῦ λόγου. ΘΕΑΙ. Πῶς γὰρ οὐχ ἕξω; ΞΕ. Τόδε τοίνυν ἔτι μᾶλλον παραιτοῦμαί σε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Μή με οἷον πατραλοίαν ὑπολάβῃς γίγνεσθαί τινα. ΘΕΑΙ. Τί δή; ΞΕ. Τὸν τοῦ πατρὸς Παρμενίδου λόγον ἀναγκαῖον ἡμῖν ἀμυνομένοις ἔσται βασανίζειν καὶ βιάζεσθαι, τό, τε μὴ ὂν ὡς ἔστι κατά τι καὶ τὸ ὂν αὖ πάλιν ὡς οὐκ ἔστι πῃ. ΘΕΑΙ. Φαίνεται τὸ τοιοῦτον διαμαχητέον ἐν τοῖς λόγοις. ΞΕ. Πῶς γὰρ οὐ φαίνεται καὶ, τὸ λεγόμενον δὴ τοῦτο, τυφλῷ; τούτων γὰρ μήτε ἐλεγχθέντων, μήτε ὁμολογηθέντων, σχολῇ ποτέ τις οἷός τε ἔσται περὶ λόγων ψευδῶν λέγων ἢ δόξης, εἴτε εἰδώλων, εἴτε εἰκόνων, εἴτε μιμημάτων, εἴτε φαντασμάτων αὐτῶν, ἢ καὶ περὶ τεχνῶν τῶν ὅσαι περὶ ταῦτά εἰσι, μὴ καταγέλαστος εἶναι τὰ ἐναντία ἀναγκαζόμενος αὐτῷ λέγειν. ΘΕΑΙ. Ἀληθέστατα. ΞΕ. Διὰ ταῦτα μέντοι τολμητέον ἐπιτίθεσθαι τῷ πατρικῷ λόγῳ, ἢ τοπαράπαν ἐατέον, εἰ τοῦτό τις εἴργει δρᾶν ὄκνος. ΘΕΑΙ. Ἀλλ' ἡμᾶς τοῦτό γε μηδὲν μηδαμῇ εἴρξῃ. ΞΕ. Τρίτον τοίνυν ἔτι σε σμικρόν τι παραιτήσομαι. ΘΕΑΙ. Λέγε μόνον. ΞΕ. Εἶπόν που νῦν δὴ λέγων, ὡς πρὸς τὸν περὶ ταῦτ' ἔλεγχον ἀεί τε ἀπειρηκὼς ἐγὼ τυγχάνω,

καὶ δὴ καὶ τανῦν. ΘΕΑΙ. Εἶπε. ΞΕ. Φοβοῦμαι δὴ τὰ εἰρημένα, μήποτε διὰ ταῦτά σοι μανικὸς εἶναι δόξω, παρὰ πόδα μεταβαλὼν ἐμαυτὸν ἄνω καὶ κάτω· σὴν γὰρ δὴ χάριν ἐλέγχειν τὸν λόγον ἐπιθησόμεθα, ἐάνπερ ἐλέγχωμεν. ΘΕΑΙ. Ὡς τοίνυν ἔμοιγε μηδαμῇ δόξων μηδὲν πλημμελεῖν, ἂν ἐπὶ τὸν ἔλεγχον τοῦτον καὶ τὴν ἀπόδειξιν ἴῃς, θαῤῥῶν ἴθι τούτου γε ἕνεκα. XXX. ΞΕ. Φέρε δή, τίνα ἀρχήν τις ἂν ἄρξαιτο παρακινδυνευτικοῦ λόγου; δοκῶ μὲν γὰρ τήνδ', ὦ παῖ, τὴν ὁδὸν ἀναγκαιοτάτην ἡμῖν εἶναι τρέπεσθαι. ΘΕΑΙ. Ποίαν δή; ΞΕ. Τὰ δοκοῦντα νῦν ἐναργῶς ἔχειν ἐπισκέψασθαι πρῶτον, μή πη τεταραγμένοι μὲν ὦμεν περὶ ταῦτα, ῥᾳδίως δ' ἀλλήλοις ὁμολογῶμεν, ὡς εὐκρινῶς ἔχοντες. ΘΕΑΙ. Λέγε σαφέστερον ὃ λέγεις. ΞΕ. Εὐκόλως μοι δοκεῖ Παρμενίδης ἡμῖν διειλέχθαι, καὶ πᾶς ὅστις ἡμῖν πώποτε ἐπὶ κρίσιν ὥρμησε τοῦ τὰ ὄντα διορίσασθαι πόσα τε καὶ ποῖά ἐστι. ΘΕΑΙ. Πῇ; ΞΕ. Μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν· ὁ μὲν, ὡς τρία τὰ ὄντα, πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πη, τοτὲ δὲ καὶ φίλα γιγνόμενα γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων παρέχεται· δύο δὲ ἕτερος εἰπών, ὑγρὸν καὶ ξηρόν, ἢ θερμὸν καὶ ψυχρόν, ξυνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι· τὸ δὲ παρ' ἡμῖν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων, οὕτω διεξέρχεται τοῖς μύθοις. Ἰάδες δὲ καὶ Σικελικαί τινες ὕστερον μοῦσαι ξυν-

νόησαν ὅτι ξυμπλέκειν ἀσφαλέστερον ἀμφότερα καὶ λέγειν, ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθρᾳ δὲ καὶ φιλίᾳ ξυνέχεται· διαφερόμενον γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ ξυντονώτεραι τῶν μουσῶν· αἱ δὲ μαλακώτεραι, τὸ μὲν ἀεὶ ταῦτα οὕτως ἔχειν, ἐχάλασαν· ἐν μέρει δὲ τοτὲ μὲν ἓν εἶναι φασὶ τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης, τοτὲ δὲ πολλὰ καὶ πολέμιον αὐτὸ αὑτῷ διὰ νεῖκός τι. ταῦτα δὲ πάντα εἰ μὲν ἀληθῶς τις ἢ μὴ τούτων εἴρηκε, χαλεπὸν καὶ πλημμελὲς οὕτω μεγάλα κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν ἐπιτιμᾶν· ἐκεῖνο δὲ ἀνεπίφθονον ἀποφήνασθαι. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὅτι λίαν τῶν πολλῶν ἡμῶν ὑπεριδόντες ὠλιγώρησαν· οὐδὲν γὰρ φροντίσαντες εἴτ' ἐπακολουθοῦμεν αὐτοῖς λέγουσιν, εἴτε ἀπολειπόμεθα, περαίνουσι τὸ σφέτερον αὐτοὶ ἕκαστοι. ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Ὅταν τις αὐτῶν φθέγξηται λέγων, ὡς ἔστιν, ἢ γέγονεν, ἢ γίγνεται πολλά, ἢ δύο, ἢ ἕν, καὶ θερμὸν αὖ ψυχρῷ ξυγκεραννύμενον, ἄλλοθί πῃ διακρίσεις καὶ ξυγκρίσεις ὑποτιθείς, τούτων, ὦ Θεαίτητε, ἑκάστοτε σύ τι πρὸς θεῶν ξυνίης ὅ, τι λέγουσιν; ἐγὼ μὲν γὰρ ὅτε μὲν ἦν νεώτερος, τοῦτό τε τὸ νῦν ἀπορούμενον, ὁπότε τις εἴποι τὸ μὴ ὄν, ἀκριβῶς ᾤμην ξυνιέναι· νῦν δὲ ὁρᾷς ἵν' ἐσμὲν αὐτοῦ πέρι τῆς ἀπορίας. ΘΕΑΙ. Ὁρῶ. ΞΕ. Τάχα τοίνυν ἴσως οὐχ ἧττον καὶ κατὰ τὸ ὂν ταυτὸ τοῦτο πάθος εἰληφότες ἐν τῇ ψυχῇ, περὶ μὲν τοῦτο εὐπορεῖν φαμεν καὶ μανθάνειν ὁπόταν τις αὐτὸ φθέγξηται, περὶ δὲ θάτερον, οὔ, πρὸς ἀμφότερα ὁμοίως

ἔχοντες. ΘΕΑΙ. Ἴσως. ΞΕ. Καὶ περὶ τῶν ἄλλων δὴ τῶν προειρημένων ἡμῖν ταυτὸ τοῦτο εἰρήσθω. ΘΕΑΙ. Πάνυ γε. XXXI. ΞΕ. Τῶν μὲν τοίνυν πολλῶν πέρι καὶ μετὰ τοῦτο σκεψόμεθ᾽, ἂν δόξῃ· περὶ δὲ τοῦ μεγίστου τε καὶ ἀρχηγοῦ πρώτου νῦν σκεπτέον. ΘΕΑΙ. Τίνος δὴ λέγεις; ἢ δῆλον ὅτι τὸ ὂν φῂς πρῶτον δεῖν διερευνήσασθαι, τί ποθ᾽ οἱ λέγοντες αὐτὸ δηλοῦν ἡγοῦνται; ΞΕ. Κατὰ πόδα γε, ὦ Θεαίτητε, ὑπέλαβες. λέγω γὰρ δὴ ταύτην δεῖν ποιεῖσθαι τὴν μέθοδον ἡμᾶς, οἷον αὐτῶν παρόντων ἀναπυνθανομένους ὧδε· Φέρε, ὁπόσοι θερμὸν καὶ ψυχρὸν ἤ τινε δύο τοιούτω, τὰ πάντ᾽ εἶναί φατε, τί ποτε ἄρα τοῦτ᾽, ἐπ᾽ ἀμφοῖν φθέγγεσθε, λέγοντες ἄμφω καὶ ἑκάτερον εἶναι; τί τὸ εἶναι τοῦτο ὑπολάβωμεν ὑμῶν; πότερον τρίτον παρὰ τὰ δύο ἐκεῖνα, καὶ τρία τὸ πᾶν, ἀλλὰ μὴ δύο ἔτι καθ᾽ ὑμᾶς τιθῶμεν; οὐ γάρ που τοῖν γε δυοῖν καλοῦντες θάτερον ὄν, ἀμφότερα ὁμοίως εἶναι λέγετε· σχεδὸν γὰρ ἂν ἀμφοτέρως ἕν, ἀλλ᾽ οὐ δύο ἤτην. ΘΕΑΙ. Ἀληθῆ λέγεις. ΞΕ. Ἀλλ᾽ ἆρά γε τὰ ἄμφω βούλεσθε καλεῖν ὄν; ΘΕΑΙ. Ἴσως. ΞΕ. Ἀλλ᾽, ὦ φίλοι, φήσομεν, καὶ οὕτω τὰ δύο λέγοιτε ἂν σαφέστατα ἕν. ΘΕΑΙ. Ὀρθότατα εἴρηκας. ΞΕ. Ἐπειδὴ τοίνυν ἡμεῖς ἠπορήκαμεν, ὑμεῖς αὐτὰ ἡμῖν ἐμφανίζετε ἱκανῶς, τί ποτε βούλεσθε σημαίνειν ὁπόταν ὂν φθέγγησθε. δῆλον γὰρ ὡς ὑμεῖς μὲν ταῦτα πάλαι γιγνώσκετε· ἡμεῖς δὲ προτοῦ μὲν ᾠόμεθα, νῦν δ᾽ ἠπορήκαμεν. διδάσκετε οὖν πρῶτον τοῦτ᾽ αὐτὸ ἡμᾶς, ἵνα μὴ δοξάζωμεν μανθάνειν μὲν

τὰ λεγόμενα παρ' ὑμῶν, τὸ δὲ τούτου γίγνηται πᾶν τοὐναντίον. ταῦτα δὴ λέγοντές τε καὶ ἀξιοῦντες παρά τε τούτων καὶ παρὰ τῶν ἄλλων, ὅσοι πλεῖον ἑνὸς λέγουσι τὸ πᾶν εἶναι, μῶν, ὦ παῖ, τι πλημμελήσομεν; ΘΕΑΙ. Ἥκιστά γε. XXXII. ΞΕ. Τί δαί; παρὰ τῶν ἓν τὸ πᾶν λεγόντων ἆρ' οὐ πευστέον εἰς δύναμιν, τί ποτε λέγουσι τὸ ὄν; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τόδε τοίνυν ἀποκρινέσθωσαν· ἕν πού φατε μόνον εἶναι; φαμὲν γάρ, φήσουσιν. ἦ γάρ; ΘΕΑΙ. Ναί. ΞΕ. Τί δέ; ὂν καλεῖτέ τι; ΘΕΑΙ. Ναί. ΞΕ. Πότερον ὅπερ ἕν, ἐπὶ τῷ αὐτῷ προσχρώμενοι δυοῖν ὀνόμασιν; ἢ πῶς; ΘΕΑΙ. Τίς οὖν αὐτοῖς ἡ μετὰ τοῦτο, ξένε, ἀπόκρισις. ΞΕ. Δῆλον, ὦ Θεαίτητε, ὅτι τῷ ταύτην τὴν ὑπόθεσιν ὑποθεμένῳ πρὸς τὸ νῦν ἐρωτηθέν, καὶ πρὸς ἄλλο δὲ ὁτιοῦν, οὐ πάντων ῥᾷστον ἀποκρίνασθαι. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ δὲ δύο ὀνόματα ὁμολογεῖν εἶναι, μηδὲν θέμενον πλὴν ἕν, καταγέλαστόν που. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Καὶ τοπαράπαν γε ἀποδέχεσθαι τοῦ λέγοντος, ὡς ἔστιν ὄνομά τι, λόγον οὐκ ἂν ἔχον. ΘΕΑΙ. Πῇ; ΞΕ. Τιθείς τε τοὔνομα τοῦ πράγματος ἕτερον, δύο λέγει πού τινε. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἂν ταυτόν γε αὐτῷ τιθῇ τοὔνομα, ἢ μηδενὸς ὄνομα ἀναγκασθήσεται λέγειν· εἰ δέ τινος αὐτὸ φήσει, ξυμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ οὐδενὸς ὄν. ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ τὸ ἕν γε, ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο ὀνόματος αὖ τὸ ἓν ὄν. ΘΕΑΙ. Ἀνάγκη. ΞΕ. Τί δέ; τὸ ὅλον ἕτερον τοῦ ὄντος ἑνός,

ἢ ταὐτὸν φήσουσι τούτῳ; ΘΕΑΙ. Πῶς γὰρ οὐ φή-
σουσί τε καὶ φασί; ΞΕ. Εἰ τοίνυν ὅλον ἐστίν,
ὥσπερ καὶ Παρμενίδης λέγει, Πάντοθεν εὐκύκλου
σφαίρας ἐναλίγκιον ὄγκῳ, Μεσσόθεν ἰσοπαλὲς πάν-
τῃ· τὸ γὰρ οὔτε τι μεῖζον Οὔτε τι βαιότερον πελέμεν
χρεών ἐστι τῇ ἢ τῇ· τοιοῦτόν γε ὂν τὸ ὂν μέσον
τε καὶ ἔσχατα ἔχει, ταῦτα δὲ ἔχον πᾶσα ἀνάγκη
μέρη ἔχειν. ἢ πῶς; ΘΕΑΙ. Οὕτω. ΞΕ. Ἀλλὰ μὴν τό
γε μεμερισμένον πάθος μὲν τοῦ ἑνὸς ἔχειν ἐπὶ τοῖς
μέρεσι πᾶσιν, οὐδὲν ἀποκωλύει, καὶ ταύτῃ δὴ πᾶν
τε ὂν καὶ ὅλον, ἓν εἶναι. ΘΕΑΙ. Τί δ' οὔ; ΞΕ.
Τὸ δὲ πεπονθὸς ταῦτα ἆρ' οὐκ ἀδύνατον αὐτό γε
τὸ ἓν αὐτὸ εἶναι; ΘΕΑΙ. Πῶς; ΞΕ. Ἀμερὲς δήπου
δεῖ παντελῶς τό γε ἀληθῶς ἓν κατὰ τὸν ὀρθὸν λό-
γον εἰρῆσθαι. ΘΕΑΙ. Δεῖ γὰρ οὖν. ΞΕ. Τὸ δέ γε
τοιοῦτον, ἐκ πολλῶν μερῶν ὄν, οὐ ξυμφωνήσει τῷ
λόγῳ. ΘΕΑΙ. Μανθάνω. ΞΕ. Πότερον δὴ πάθος
ἔχον τὸ ὂν τοῦ ἑνὸς οὕτως ἕν τε ἔσται καὶ ὅλον,
ἢ παντάπασι μὴ λέγωμεν ὅλον εἶναι τὸ ὄν; ΘΕΑΙ.
Χαλεπὴν προβέβληκας αἵρεσιν. ΞΕ. Ἀληθέστατα
μέντοι λέγεις· πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναί πως
οὐ ταὐτὸν ὂν τῷ ἑνὶ φανεῖται, καὶ πλέονα δὴ τὰ
πάντα ἑνὸς ἔσται; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἐάν
γε τὸ ὂν μὴ ᾖ ὅλον, διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκεί-
νου πάθος, ᾖ δὲ αὐτὸ τὸ ὅλον, ἐνδεὲς τὸ ὂν ἑαυτοῦ
ξυμβαίνει. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Καὶ κατὰ τοῦ-
τον δὴ τὸν λόγον ἑαυτοῦ στερόμενον οὐκ ὂν ἔσται
τὸ ὄν. ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ ἑνός γε αὖ πλείω

τὰ πάντα γίγνεται, τοῦ τε ὄντος καὶ τοῦ ὅλου χωρὶς ἰδίαν ἑκατέρου φύσιν εἰληφότος. ΘΕΑΙ. Ναί. ΞΕ. Μὴ ὄντος δέ γε τοπαράπαν τοῦ ὅλου, ταὐτά τε ταυτὰ ὑπάρχει τῷ ὄντι, καὶ πρὸς τῷ μὴ εἶναι, μηδ᾽ ἂν γενέσθαι ποτὲ ὄν. ΘΕΑΙ. Τί δή; ΞΕ. Τὸ γενόμενον ἀεὶ γέγονεν ὅλον, ὥςτε οὔτε οὐσίαν, οὔτε γένεσιν, ὡς οὖσαν, δεῖ προςαγορεύειν τὸ ἓν ἢ τὸ ὅλον ἐν τοῖς οὖσι μὴ τιθέντα. ΘΕΑΙ. Παντάπασιν ἔοικε ταῦθ᾽ οὕτως ἔχειν. ΞΕ. Καὶ μὴν οὐδ᾽ ὁποσονοῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι· ποσόν τι γὰρ ὄν, ὁπόσον ἂν ᾖ, τοσοῦτον ὅλον ἀναγκαῖον αὐτὸ εἶναι. ΘΕΑΙ. Κομιδῆ γε. ΞΕ. Καὶ τοίνυν ἄλλας μυρίας ἀπεράντους ἀπορίας ἕκαστον εἰληφὸς φανεῖται τῷ τὸ ὂν εἴτε δύο τινὲ εἴτε ἓν μόνον εἶναι λέγοντι. ΘΕΑΙ. Δηλοῖ σχεδὸν καὶ τὰ νῦν ὑποφαίνοντα· ξυνάπτεται γὰρ ἕτερον ἐξ ἄλλου, μείζω καὶ χαλεπωτέραν φέρον περὶ τῶν ἔμπροσθεν ἀεὶ ῥηθέντων πλάνην. XXXIII. ΞΕ. Τοὺς μὲν τοίνυν διακριβολογουμένους ὄντος τε πέρι καὶ μὴ πάντας μὲν οὐ διεληλύθαμεν· ὅμως δὲ ἱκανῶς ἐχέτω· τοὺς δὲ ἄλλως λέγοντας αὖ θεατέον, ἵν᾽ ἐκ πάντων ἴδωμεν, ὅτι τὸ ὂν τοῦ μὴ ὄντος οὐδὲν εὐπορώτερον εἰπεῖν ὅ, τι ποτ᾽ ἐστί. ΘΕΑΙ. Οὐκοῦν πορεύεσθαι χρὴ καὶ ἐπὶ τούτους; ΞΕ. Καὶ μὴν ἔοικέ γε ἐν αὐτοῖς οἷον γιγαντομαχία τις εἶναι, διὰ τὴν ἀμφιςβήτησιν περὶ τῆς οὐσίας πρὸς ἀλλήλους. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἱ μὲν εἰς γῆν ἐξ οὐρανοῦ καὶ τοῦ ἀοράτου πάντα ἕλκουσι, ταῖς χερσὶν ἀτεχνῶς πέτρας καὶ δρῦς περιλαμβάνοντες·

τῶν γὰρ τοιούτων ἐφαπτόμενοι πάντων διϊσχυρίζονται τοῦτο εἶναι μόνον, ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα, ταὐτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι, τῶν δὲ ἄλλων, εἴ τί τις φησὶ μὴ σῶμα ἔχον εἶναι, καταφρονοῦντες τοπαράπαν καὶ οὐδὲν ἐθέλοντες ἄλλο ἀκούειν. ΘΕΑΙ. Ἦ δεινοὺς εἴρηκας ἄνδρας· ἤδη γὰρ καὶ ἐγὼ τούτων συχνοῖς περιέτυχον. ΞΕ. Τοιγαροῦν οἱ πρὸς αὐτοὺς ἀμφισβητοῦντες μάλα εὐλαβῶς ἄνωθεν ἐξ ἀοράτου ποθὲν ἀμύνονται, νοητὰ ἄττα καὶ ἀσώματα εἴδη βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι· τὰ δὲ ἐκείνων σώματα καὶ τὴν λεγομένην ὑπ' αὐτῶν ἀλήθειαν κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις, γένεσιν ἀντ' οὐσίας φερομένην τινὰ προσαγορεύουσιν· ἐν μέσῳ δὲ περὶ ταῦτα ἄπλετος ἀμφοτέρων μάχη τις, ὦ Θεαίτητε, ἀεὶ ξυνέστηκε. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Παρ' ἀμφοῖν τοίνυν τοῖν γενοῖν κατὰ μέρος λάβωμεν λόγον ὑπὲρ ἧς τίθενται τῆς οὐσίας. ΘΕΑΙ. Πῶς οὖν δὴ ληψόμεθα; ΞΕ. Παρὰ μὲν τῶν ἐν εἴδεσιν αὐτὴν τιθεμένων, ῥᾷον· ἡμερώτεροι γάρ· παρὰ δὲ τῶν εἰς σῶμα πάντα ἑλκόντων βίᾳ, χαλεπώτερον, ἴσως δὲ σχεδὸν ἀδύνατον· ἀλλ' ὧδέ μοι δεῖν δοκεῖ περὶ αὐτῶν δρᾶν. ΘΕΑΙ. Πῶς; ΞΕ. Μάλιστα μέν, εἴ πῃ δυνατὸν ἦν, ἔργῳ βελτίους αὐτοὺς ποιεῖν· εἰ δὲ τοῦτο μὴ ἐγχωρεῖ, λόγῳ ποιῶμεν, ὑποτιθέμενοι νομιμώτερον αὐτοὺς ἢ νῦν ἐθέλοντας ἂν ἀποκρίνασθαι· τὸ γὰρ ὁμολογηθὲν παρὰ βελτιόνων που κυριώτερον ἢ τὸ παρὰ χειρόνων· ἡμεῖς δὲ οὐ τούτων φροντίζομεν, ἀλλὰ τἀληθὲς ζη-

τοῦμεν. ΘΕΑΙ. Ὀρθότατα. XXXIV. ΞΕ. Κέλευε δὴ τοὺς βελτίους γεγονότας ἀποκρίνασθαί σοι, καὶ τὸ λεχθὲν παρ' αὐτῶν ἑρμήνευε. ΘΕΑΙ. Ταῦτ' ἔσται. ΞΕ. Λεγόντων δή, θνητὸν ζῷον εἴ φασιν εἶναί τι. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τοῦτο δὲ οὐ σῶμα ἔμψυχον ὁμολογοῦσι; ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τιθέντες τι τῶν ὄντων ψυχήν; ΘΕΑΙ. Ναί. ΞΕ. Τί δαί; ψυχὴν οὐ τὴν μὲν δικαίαν, τὴν δὲ ἄδικον φασὶν εἶναι; καὶ τὴν μὲν φρόνιμον, τὴν δὲ ἄφρονα; ΘΕΑΙ. Τί μήν; ΞΕ. Ἀλλ' οὐ δικαιοσύνης ἕξει καὶ παρουσίᾳ τοιαύτην αὐτῶν ἑκάστην γίγνεσθαι, καὶ τῶν ἐναντίων, ἐναντίαν; ΘΕΑΙ. Ναί, καὶ ταῦτα ξύμφασιν. ΞΕ. Ἀλλὰ μὴν τό γε δυνατόν τῳ παραγίγνεσθαι καὶ ἀπογίγνεσθαι, πάντως εἶναί τι φήσουσι. ΘΕΑΙ. Φασὶ μὲν οὖν. ΞΕ. Οὔσης οὖν δικαιοσύνης καὶ φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς, καὶ τῶν ἐναντίων, καὶ δὴ καὶ ψυχῆς, ἐν ᾗ ταῦτα ἐγγίγνεται, πότερον ὁρατὸν καὶ ἁπτὸν εἶναί φασί τι αὐτῶν, ἢ πάντα ἀόρατα; ΘΕΑΙ. Σχεδὸν οὐδὲν τούτων γε ὁρατόν. ΞΕ. Τί δέ; τῶν τοιούτων μῶν σῶμά τι λέγουσιν ἴσχειν; ΘΕΑΙ. Τοῦτο οὐκέτι κατὰ ταὐτὰ ἀποκρίνονται πᾶν, ἀλλὰ τὴν μὲν ψυχὴν αὐτὴν δοκεῖν σφίσι σῶμά τι κεκτῆσθαι, φρόνησιν δὲ καὶ τῶν ἄλλων ἕκαστον ὧν ἠρώτηκας, αἰσχύνονται τὸ τολμᾷν ἢ μηδὲν τῶν ὄντων αὐτὰ ὁμολογεῖν, ἢ πάντ' εἶναι σώματα διϊσχυρίζεσθαι. ΞΕ. Σαφῶς γὰρ ἡμῖν, ὦ Θεαίτητε, βελτίους γεγόνασιν οἱ ἄνδρες· ἐπεὶ τούτων οὐδ' ἂν ἓν ἐπαισχυνθεῖεν οἵ γε αὐτῶν σπαρτοί τε καὶ αὐτόχθονες,

ἀλλὰ διατείνοιντ' ἄν, πᾶν ὃ μὴ δυνατοὶ ταῖς χερσὶ ξυμπιέζειν εἰσὶν ὡς ἄρα τοῦτο οὐδὲν τοπαράπαν ἐστί. ΘΕΑΙ. Σχεδὸν οἷα διανοοῦνται λέγεις. ΞΕ. Πάλιν τοίνυν ἀνερωτῶμεν αὐτούς. εἰ γάρ τι καὶ σμικρὸν ἐθέλουσι τῶν ὄντων ξυγχωρεῖν ἀσώματον, ἐξαρκεῖ· τὸ γὰρ ἐπί τε τούτοις ἅμα καὶ ἐπ' ἐκείνοις ὅσα ἔχει σῶμα, ξυμφυὲς γεγονός, εἰς ὃ βλέποντες ἀμφότερα εἶναι λέγουσι, τοῦτο αὐτοῖς ῥητέον. τάχ' οὖν ἴσως ἂν ἀποροῖεν· εἰ δέ τι τοιοῦτον πεπόνθασι, σκόπει, προτεινομένων ἡμῶν, ἆρ' ἐθέλοιεν ἂν δέχεσθαι καὶ ὁμολογεῖν τοιόνδ' εἶναι τὸ ὄν. ΘΕΑΙ. Τὸ ποῖον δή; λέγε, καὶ τάχα εἰσόμεθα. ΞΕ. Λέγω δὴ τὸ καὶ ὁποιανοῦν τινα κεκτημένον δύναμιν εἴτε εἰς τὸ ποιεῖν ἕτερον ὁτιοῦν πεφυκός, εἴτε εἰς τὸ παθεῖν καὶ σμικρότατον ὑπὸ τοῦ φαυλοτάτου, κἂν εἰ μόνον εἰσάπαξ, πᾶν τοῦτο ὄντως εἶναι. τίθεμαι γὰρ ὅρον ὁρίζειν τὰ ὄντα, ὡς ἔστιν οὐκ ἄλλο τι πλὴν δύναμις. ΘΕΑΙ. Ἀλλ' ἐπείπερ αὐτοί γε οὐκ ἔχουσιν ἐν τῷ παρόντι τούτου βέλτιον λέγειν, δέχονται τοῦτο. ΞΕ. Καλῶς· ἴσως γὰρ εἰσύστερον ἡμῖν τε καὶ τούτοις ἕτερον ἂν φανείη. πρὸς μὲν οὖν τούτους τοῦτο ἡμῖν ἐνταῦθα μενέτω ξυνομολογηθέν. ΘΕΑΙ. Μένει. XXXV. ΞΕ. Πρὸς δὲ τοὺς ἑτέρους ἴωμεν, τοὺς τῶν εἰδῶν φίλους· σὺ δ' ἡμῖν καὶ τὰ παρὰ τούτων ἀφερμήνευε. ΘΕΑΙ. Ταῦτ' ἔσται. ΞΕ. Γένεσιν, τὴν δὲ οὐσίαν, χωρίς που διελόμενοι, λέγετε; ἦ γάρ; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ σώματι μὲν ἡμᾶς γενέσει δι' αἰσθήσεως κοινωνεῖν, διὰ λογισμοῦ δὲ

ψυχῇ, πρὸς τὴν ὄντως οὐσίαν, ἣν ἀεὶ κατὰ ταυτὰ ὡσαύτως ἔχειν φατέ, γένεσιν δὲ ἄλλοτε ἄλλως. ΘΕΑΙ. Φαμὲν γὰρ οὖν. ΞΕ. Τὸ δὲ δὴ κοινωνεῖν, ὦ πάντων ἄριστοι, τί τοῦθ᾽ ὑμᾶς ἐπ᾽ ἀμφοῖν φῶμεν λέγειν; ἆρ᾽ οὐ τὸ νῦν δὴ παρ᾽ ἡμῶν ῥηθέν; ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Πάθημα ἢ ποίημα ἐκ δυνάμεώς τινος ἀπὸ τῶν πρὸς ἄλληλα ξυνιόντων γιγνόμενον. τάχ᾽ οὖν, ὦ Θεαίτητε, αὐτῶν τὴν πρὸς ταῦτα ἀπόκρισιν σὺ μὲν οὐ κατακούεις, ἐγὼ δὲ ἴσως διὰ ξυνήθειαν. ΘΕΑΙ. Τίν᾽ οὖν δὴ λέγουσι λόγον; ΞΕ. Οὐ ξυγχωροῦσιν ἡμῖν τὸ νῦν δὴ ῥηθὲν πρὸς τοὺς γηγενεῖς οὐσίας πέρι. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ἱκανὸν ἔθεμεν ὅρον που τῶν ὄντων, ὅταν τῳ παρῇ ἡ τοῦ πάσχειν ἢ δρᾷν, καὶ πρὸς τὸ σμικρότατον, δύναμις; ΘΕΑΙ. Ναί. ΞΕ. Πρὸς δὴ ταῦτα τόδε λέγουσιν, ὅτι γενέσει μὲν μέτεστι τοῦ πάσχειν καὶ ποιεῖν δυνάμεως· πρὸς δὲ οὐσίαν τούτων οὐδετέρου τὴν δύναμιν ἁρμόττειν φασί. ΘΕΑΙ. Οὐκοῦν λέγουσί τι; ΞΕ. Πρὸς ὅ γε λεκτέον ἡμῖν, ὅτι δεόμεθα παρ᾽ αὐτῶν ἔτι πυθέσθαι σαφέστερον, εἰ προσομολογοῦσι τὴν μὲν ψυχὴν γιγνώσκειν, τὴν δ᾽ οὐσίαν γιγνώσκεσθαι. ΘΕΑΙ. Φασὶ μὴν τοῦτό γε. ΞΕ. Τί δέ; τὸ γιγνώσκειν ἢ τὸ γιγνώσκεσθαι φατὲ ποίημα ἢ πάθος ἢ ἀμφότερον; ἢ τὸ μὲν πάθημα, τὸ δὲ θάτερον; ἢ παντάπασιν οὐδέτερον οὐδετέρου τούτων μεταλαμβάνειν; ΘΕΑΙ. Δῆλον ὡς οὐδέτερον οὐδετέρου· τἀναντία γὰρ ἂν τοῖς ἔμπροσθεν λέγοιεν. ΞΕ. Μανθάνω τόδε γε, ὡς τὸ γιγνώσκειν εἴπερ ἔσται ποιεῖν τι, τὸ γιγνώ-

σκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν· τὴν οὐσίαν δὴ κατὰ τὸν λόγον τοῦτον γιγνωσκομένην ὑπὸ τῆς γνώσεως, καθ᾽ ὅσον γιγνώσκεται, κατὰ τοσοῦτον κινεῖσθαι, διὰ τὸ πάσχειν, ὃ δή φαμεν οὐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τί δαί, πρὸς Διός; ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν καὶ ψυχὴν καὶ φρόνησιν ἦ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι, μηδὲ ζῆν αὐτὸ μηδὲ φρονεῖν, ἀλλὰ σεμνὸν καὶ ἅγιον νοῦν οὐκ ἔχον ἀκίνητον ἑστὼς εἶναι; ΘΕΑΙ. Δεινὸν μέν τ᾽ ἄν, ὦ ξένε, λόγον ξυγχωροῖμεν. ΞΕ. Ἀλλὰ νοῦν μὲν ἔχειν, ζωὴν δὲ μὴ φῶμεν; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀλλὰ ταῦτα μὲν ἀμφότερα ἐνόντ᾽ αὐτῷ λέγομεν, οὐ μὴν ἐν ψυχῇ γε φήσομεν αὐτὸ ἔχειν αὐτά; ΘΕΑΙ. Καὶ τίν᾽ ἂν ἕτερον ἔχοι τρόπον; ΞΕ. Ἀλλὰ δῆτα νοῦν μὲν καὶ ζωὴν καὶ ψυχήν, ἀκίνητον μέντοι τὸ παράπαν ἔμψυχον ὂν ἑστάναι; ΘΕΑΙ. Πάντα ἔμοιγε ἄλογα ταῦτ᾽ εἶναι φαίνεται. ΞΕ. Καὶ τὸ κινούμενον δὴ καὶ κίνησιν ξυγχωρητέον ὡς ὄντα. ΘΕΑΙ. Πῶς δ᾽ οὔ; ΞΕ. Ξυμβαίνει δ᾽ οὖν, ὦ Θεαίτητε, ἀκινήτων τε ὄντων, νοῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμοῦ. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Καὶ μήν, ἐὰν αὖ φερόμενα καὶ κινούμενα πάντ᾽ εἶναι ξυγχωρῶμεν, καὶ τούτῳ τῷ λόγῳ ταὐτὸν τοῦτο ἐκ τῶν ὄντων ἐξαιρήσομεν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὸ αὐτὸ δοκεῖ σοι χωρὶς στάσεως γενέσθαι ποτ᾽ ἄν; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Τί δ᾽, ἄνευ τούτων νοῦν καθορᾷς ὄντα ἢ γενόμενον ἂν καὶ ὁπουοῦν; ΘΕΑΙ.

Ἥκιστα. ΞΕ. Καὶ μὴν πρός γε τοῦτον παντὶ λόγῳ μαχητέον, ὃς ἂν ἐπιστήμην ἢ φρόνησιν ἢ νοῦν ἀφανίζων ἰσχυρίζηται περί τινος ὁπηοῦν. ΘΕΑΙ. Σφόδρα γε. ΞΕ. Τῷ δὴ φιλοσόφῳ καὶ ταῦτα μάλιστα τιμῶντι πᾶσα, ὡς ἔοικεν, ἀνάγκη διὰ ταῦτα, μήτε τῶν ἓν ἢ καὶ τὰ πολλὰ εἴδη λεγόντων τὸ πᾶν ἑστηκὸς ἀποδέχεσθαι, τῶν δὲ αὖ πανταχῇ τὸ ὂν κινούντων μηδὲ τοπαράπαν ἀκούειν, ἀλλά, κατὰ τὴν τῶν παίδων εὐχήν, ὅσα ἀκίνητα καὶ κεκινημένα, τὸ ὄν τε καὶ τὸ πᾶν, ξυναμφότερα λέγειν. ΘΕΑΙ. Ἀληθέστατα. XXXVI. ΞΕ. Τί δὴ οὖν; ἆρ᾽ οὐκ ἐπιεικῶς ἤδη φαινόμεθα περιειληφέναι τῷ λόγῳ τὸ ὄν; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Βαβαὶ μέν τ᾽ ἂν ἄρα, ὦ Θεαίτητε, ὥς μοι δοκοῦμεν νῦν αὐτοῦ γνώσεσθαι πέρι τὴν ἀπορίαν τῆς σκέψεως. ΘΕΑΙ. Πῶς αὖ καὶ τί τοῦτ᾽ εἴρηκας; ΞΕ. Ὦ μακάριε, οὐκ ἐννοεῖς ὅτι νῦν ἐσμὲν ἐν ἀγνοίᾳ τῇ πλείστῃ περὶ αὐτοῦ, φαινόμεθα δέ τι λέγειν ἡμῖν αὐτοῖς; ΘΕΑΙ. Ἔμοιγ᾽ οὖν· ὅπῃ δ᾽ αὖ λελήθαμεν οὕτως ἔχοντες, οὐ πάνυ ξυνίημι. ΞΕ. Σκόπει δὴ σαφέστερον, εἰ ταῦτα νῦν ξυνομολογοῦντες δικαίως ἂν ἐπερωτηθείημεν ἅπερ αὐτοὶ τότε ἠρωτῶμεν τοὺς λέγοντας εἶναι τὸ πᾶν θερμὸν καὶ ψυχρόν. ΘΕΑΙ. Ποῖα, ὑπόμνησόν με. ΞΕ. Πάνυ μὲν οὖν, καὶ πειράσομαί γε δρᾷν τοῦτο ἐρωτῶν σε, καθάπερ ἐκείνους τότε, ἵνα ἅμα τι καὶ προΐωμεν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Εἶεν δή· κίνησιν καὶ στάσιν ἆρ᾽ οὐκ ἐναντιώτατα λέγεις ἀλλήλοις; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Καὶ μὴν εἶναί γε ὁμοίως φῂς ἀμφότερα

αὐτὰ καὶ ἑκάτερον. ΘΕΑΙ. Φημὶ γὰρ οὖν. ΞΕ. Ἆρα κινεῖσθαι λέγων ἀμφότερα καὶ ἑκάτερον, ὅταν εἶναι ξυγχωρῇς; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Ἀλλ' ἑστάναι σημαίνεις λέγων αὐτὰ ἀμφότερα εἶναι; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Τρίτον ἄρα τι παρὰ ταῦτα τὸ ὂν ἐν τῇ ψυχῇ τιθείς, ὡς ὑπ' ἐκείνου τήν τε στάσιν καὶ τὴν κίνησιν περιεχομένην ξυλλαβὼν καὶ ἀπιδὼν αὐτῶν πρὸς τὴν τῆς οὐσίας κοινωνίαν, οὕτως εἶναι προσεῖπας ἀμφότερα; ΘΕΑΙ. Κινδυνεύομεν ὡς ἀληθῶς τρίτον ἀπομαντεύεσθαί τι τὸ ὄν, ὅταν κίνησιν καὶ στάσιν εἶναι λέγωμεν. ΞΕ. Οὐκ ἄρα κίνησις καὶ στάσις ἐστὶ ξυναμφότερον τὸ ὄν, ἀλλ' ἕτερον δή τι τούτων. ΘΕΑΙ. Ἔοικε. ΞΕ. Κατὰ τὴν αὑτοῦ φύσιν ἄρα τὸ ὂν οὔτε ἕστηκεν, οὔτε κινεῖται. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Ποῖ χρὴ τὴν διάνοιαν ἔτι τρέπειν τὸν βουλόμενον ἐναργές τι περὶ αὐτοῦ παρ' ἑαυτῷ βεβαιώσασθαι; ΘΕΑΙ. Ποῖ γάρ; ΞΕ. Οἶμαι μὲν οὐδαμόσε ἔτι ῥᾴδιον. εἰ γάρ τι μὴ κινεῖται, πῶς οὐχ ἕστηκεν; ἢ τὸ μηδαμῶς ἑστὼς πῶς οὐκ αὖ κινεῖται; τὸ δὲ ὂν ἡμῖν νῦν ἐκτὸς τούτων ἀμφοτέρων ἀναπέφανται· ἦ δυνατὸν οὖν τοῦτο; ΘΕΑΙ. Πάντων μὲν οὖν ἀδυνατώτατον. ΞΕ. Τόδε τοίνυν μνησθῆναι δίκαιον ἐπὶ τούτοις. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὅτι τοῦ μὴ ὄντος ἐρωτηθέντες τοὔνομα ἐφ' ὅ, τι ποτὲ δεῖ φέρειν, πάσῃ ξυνειχόμεθα ἀπορίᾳ· μέμνησαι; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Μῶν οὖν ἐν ἐλάττονί τινι νῦν ἐσμὲν ἀπορίᾳ περὶ τὸ ὄν; ΘΕΑΙ. Ἐμοὶ μέν, ὦ ξένε, εἰ δυνατὸν εἰπεῖν, ἐν πλείονι φαινόμε-

θαι. ΞΕ. Τοῦτο μὲν τοίνυν ἐνταῦθα κείσθω διηπορημένον· ἐπειδὴ δὲ ἐξ ἴσου τό, τε ὂν καὶ τὸ μὴ ὂν ἀπορίας μετειλήφατον, νῦν ἐλπὶς ἤδη, καθάπερ ἂν αὐτῶν θάτερον, εἴτε ἀμυδρότερον εἴτε σαφέστερον ἀναφαίνηται, καὶ θάτερον οὕτως ἀναφαίνεσθαι· καὶ ἐὰν αὖ μηδέτερον ἰδεῖν δυνώμεθα, τὸν γοῦν λόγον ὅπηπερ ἂν οἷοί τε ὦμεν εὐπρεπέστατα διωσόμεθα οὕτως ἀμφοῖν ἅμα. ΘΕΑΙ. Καλῶς. ΞΕ. Λέγωμεν δὴ καθ' ὅντινά ποτε τρόπον πολλοῖς ὀνόμασι ταὐτὸν τοῦτο ἑκάστοτε προσαγορεύομεν. ΘΕΑΙ. Οἷον δὴ τι; παράδειγμα εἰπέ. XXXVII. ΞΕ. Λέγομεν ἄνθρωπον δήπου πόλλ' ἄττα ἐπονομάζοντες, τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ τὰ σχήματα καὶ τὰ μεγέθη καὶ κακίας καὶ ἀρετάς, ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναί φαμεν, ἀλλὰ καὶ ἀγαθὸν καὶ ἕτερα ἄπειρα, καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον, οὕτως ἓν ἕκαστον ὑποθέμενοι, πάλιν αὐτὸ πολλὰ καὶ πολλοῖς ὀνόμασι λέγομεν. ΘΕΑΙ. Ἀληθῆ λέγεις. ΞΕ. Ὅθεν γε, οἶμαι, τοῖς τε νέοις καὶ τῶν γερόντων τοῖς ὀψιμαθέσι θοίνην παρεσκευάκαμεν· εὐθὺς γὰρ ἀντιλαβέσθαι παντὶ πρόχειρον, ὡς ἀδύνατον τά τε πολλὰ ἓν καὶ τὸ ἓν πολλὰ εἶναι· καὶ δή που χαίρουσιν, οὐκ ἐῶντες ἀγαθὸν λέγειν ἄνθρωπον, ἀλλὰ τὸ μὲν ἀγαθόν, ἀγαθόν, τὸν δὲ ἄνθρωπον, ἄνθρωπον. ἐντυγχάνεις γάρ, ὦ Θεαίτητε, ὡς ἐγῷμαι, πολλάκις τὰ τοιαῦτα ἐσπουδακόσιν, ἐνίοτε πρεσβυτέροις ἀνθρώποις, καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι, καὶ δὴ

τι καὶ πάνσοφον οἰομένοις τοῦτο αὐτὸ ἀνευρηκέναι. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Ἵνα τοίνυν πρὸς ἅπαντας ἡμῖν ὁ λόγος ᾖ τοὺς πώποτε περὶ οὐσίας καὶ ὁτιοῦν διαλεχθέντας, ἔστω καὶ πρὸς τούτους καὶ πρὸς τοὺς ἄλλους, ὅσοις ἔμπροσθεν διειλέγμεθα, τὰ νῦν ὡς ἐν ἐρωτήσει λεχθησόμενα. ΘΕΑΙ. Τὰ ποῖα δή; ΞΕ. Πότερον μήτε τὴν οὐσίαν κινήσει καὶ στάσει προσάπτωμεν, μήτε ἄλλο ἄλλῳ μηδὲν μηδενί, ἀλλ' ὡς ἄμικτα ὄντα καὶ ἀδύνατα μεταλαμβάνειν ἀλλήλων, οὕτως αὐτὰ ἐν τοῖς παρ' ἡμῖν λόγοις τιθῶμεν; ἢ πάντα εἰς ταυτὸν ξυνάγωμεν, ὡς δυνατὰ ἐπικοινωνεῖν ἀλλήλοις; ἢ τὰ μέν, τὰ δὲ μή; τούτων, ὦ Θεαίτητε, τί ποτ' ἂν προαιρεῖσθαι τούτους φήσαιμεν; ΘΕΑΙ. Ἐγὼ μὲν ὑπὲρ αὐτῶν οὐδὲν ἔχω πρὸς ταῦτα ἀποκρίνασθαι. τί οὖν οὐ καθ' ἓν ἀποκρινόμενος ἐφ' ἑκάστου τὰ ξυμβαίνοντα ἐσκέψω; ΞΕ. Καλῶς λέγεις· καὶ τιθῶμέν γε αὐτοὺς λέγειν, εἰ βούλει, πρῶτον, μηδενὶ μηδὲν μηδεμίαν δύναμιν ἔχειν κοινωνίας εἰς μηδέν· οὐκοῦν κίνησίς τε καὶ στάσις οὐδαμῇ μεθέξετον οὐσίας; ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΞΕ. Τί δέ; ἔσται πότερον αὐτῶν οὐσίας μὴ προσκοινωνοῦν; ΘΕΑΙ. Οὐκ ἔσται. ΞΕ. Ταχὺ δὴ ταύτῃ γε τῇ ξυνομολογίᾳ πάντα ἀνάστατα γέγονεν, ὡς ἔοικεν, ἅμα τε τῶν τὸ πᾶν κινούντων, καὶ τῶν ὡς ἓν ἱστάντων, καὶ ὅσοι κατ' εἴδη τὰ ὄντα, κατὰ ταυτὰ ὡσαύτως ἔχοντα εἶναί φασιν ἀεί. πάντες γὰρ οὗτοι τό γε εἶναι προσάπτουσιν, οἱ μὲν ὄντως κινεῖσθαι λέγοντες, οἱ δὲ ὄντως ἑστηκότα εἶναι. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

ΞΕ. Καὶ μὴν καὶ ὅσοι τοτὲ μὲν ξυντιθέασι τὰ πάντα, τοτὲ δὲ διαιροῦσιν, εἴτε εἰς ἓν καὶ ἐξ ἑνὸς ἄπειρα, εἴτε εἰς πέρας ἔχοντα στοιχεῖα διαιρούμενοι καὶ ἐκ τούτων ξυντιθέντες, ὁμοίως μέν, ἐὰν ἐν μέρει τοῦτο τιθῶσι γιγνόμενον, ὁμοίως δὲ καί, ἐὰν ἀεί, κατὰ πάντα ταῦτα, λέγοιεν ἂν οὐδέν, εἴπερ μηδεμία ἐστὶ ξύμμιξις. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Ἔτι τοίνυν ἂν αὐτοὶ πάντων καταγελαστότατα μετίοιεν τὸν λόγον, οἱ μηδὲν ἐῶντες κοινωνίᾳ παθήματος ἑτέρου θάτερον προσαγορεύειν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τῷ τε εἶναί που περὶ πάντα ἀναγκάζονται χρῆσθαι, καὶ τῷ χωρίς, καὶ τῷ ἄλλων, καὶ τῷ καθ' αὑτὸ καὶ μυρίοις ἑτέροις, ὧν ἀκρατεῖς ὄντες εἴργεσθαι, καὶ μὴ ξυνάπτειν ἐν τοῖς λόγοις, οὐκ ἄλλων δέονται τῶν ἐξελεγχόντων, ἀλλά, τὸ λεγόμενον, οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες ἐντὸς ὑποφθεγγόμενον, ὥσπερ τὸν ἄτοπον Εὐρυκλέα, περιφέροντες ἀεὶ πορεύονται. ΘΕΑΙ. Κομιδῇ λέγεις ὅμοιόν τε καὶ ἀληθές. ΞΕ. Τί δ', ἂν πάντα ἀλλήλοις ἐῶμεν δύναμιν ἔχειν ἐπικοινωνίας; ΘΕΑΙ. τοῦτο μὲν οἷός τε κἀγὼ διαλύειν. ΞΕ. Πῶς; ΘΕΑΙ. Ὅτι κίνησίς τε αὐτὴ παντάπασιν ἵσταιτ' ἄν, καὶ στάσις αὖ πάλιν αὐτὴ κινοῖτο, εἴπερ ἐπιγιγνοίσθην ἐπ' ἀλλήλοιν. ἀλλὰ μὴν τοῦτό γέ που ταῖς μεγίσταις ἀνάγκαις ἀδύνατον, κίνησιν τε ἵστασθαι καὶ στάσιν κινεῖσθαι. ΞΕ. Πῶς γὰρ οὔ; τὸ τρίτον δὴ μόνον λοιπόν. ΘΕΑΙ. Ναί. XXXVIII. ΞΕ. Καὶ μὴν ἕν γέ τι τούτων ἀναγκαῖον, ἢ πάντα, ἢ μηδὲν· ἢ τὰ μὲν ἐθέλειν, τὰ δὲ μή, ξυμμίγνυ-

σθαι. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Καὶ μὴν τά γε δύο ἀδύνατον εὑρέθη. ΘΕΑΙ. Ναί. ΞΕ. Πᾶς ἄρα ὁ βουλόμενος ὀρθῶς ἀποκρίνεσθαι, τὸ λοιπὸν τῶν τριῶν θήσει. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Ὅτε δὴ τὰ μὲν ἐθέλει τοῦτο δρᾶν, τὰ δ' οὔ, σχεδὸν οἷον τὰ γράμματα πεπονθότ' ἂν εἴη. καὶ γὰρ ἐκείνων τὰ μὲν ἀναρμοστεῖ που πρὸς ἄλληλα, τὰ δὲ ξυναρμόττει. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τὰ δέ γε φωνήεντα, διαφερόντως τῶν ἄλλων, οἷον δεσμός, διὰ πάντων κεχώρηκεν, ὥστε ἄνευ τινὸς αὐτῶν ἀδύνατον ἁρμόττειν καὶ τῶν ἄλλων ἕτερον ἑτέρῳ. ΘΕΑΙ. Καὶ μάλα γε. ΞΕ. Πᾶς οὖν οἶδεν ὁποῖα ὁποίοις δύναται κοινωνεῖν, ἢ τέχνης δεῖ τῷ μέλλοντι δρᾷν ἱκανῶς αὐτά; ΘΕΑΙ. Τέχνης. ΞΕ. Ποίας; ΘΕΑΙ. Τῆς γραμματικῆς. ΞΕ. Τί δέ; περὶ τοὺς τῶν ὀξέων καὶ βαρέων φθόγγους ἆρ' οὐχ οὕτως; ὁ μὲν τοὺς ξυγκεραννυμένους τε καὶ μὴ τέχνην ἔχων γιγνώσκειν, μουσικός, ὁ δὲ μὴ ξυνιείς, ἄμουσος; ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ κατὰ τῶν ἄλλων δὴ τεχνῶν καὶ ἀτεχνιῶν τοιαῦτα εὑρήσομεν ἕτερα. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τί δ', ἐπειδὴ καὶ τὰ γένη πρὸς ἄλληλα κατὰ ταυτὰ μίξεως ἔχειν ὡμολογήκαμεν, ἆρ' οὐ μετ' ἐπιστήμης τινὸς ἀναγκαῖον διὰ τῶν λόγων πορεύεσθαι τὸν ὀρθῶς μέλλοντα δείξειν, ποῖα ποίοις ξυμφωνεῖ τῶν γενῶν, καὶ ποῖα ἄλληλα οὐ δέχεται; καὶ δὴ καὶ διὰ πάντων εἰ ξυνέχοντα τοιαῦτ' ἐστίν, ὥστε ξυμμίγνυσθαι δυνατὰ εἶναι; καὶ πάλιν ἐν ταῖς διαιρέσεσιν, εἰ δι' ὅλων ἕτερα τῆς διαιρέσεως αἴτια; ΘΕΑΙ. Πῶς

Τὸ δέ γε ὄν, μικτὸν ἀμφοῖν· ἐστὸν γὰρ ἄμφω που. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τρία δὴ γίγνεται ταῦτα. ΘΕΑΙ. Τί μήν; ΞΕ. Οὐκοῦν αὐτῶν ἕκαστον τοῖν μὲν δυοῖν ἕτερόν ἐστιν, αὐτὸ δ' ἑαυτῷ ταυτόν; ΘΕΑΙ. Οὕτω. ΞΕ. Τί ποτ' αὖ νῦν οὕτως εἰρήκαμεν τό τε ταυτὸν καὶ θάτερον; πότερα δύο γένη τινὲ αὐτώ, τῶν μὲν τριῶν ἄλλω, ξυμμιγνυμένω μὴν ἐκείνοις ἐξ ἀνάγκης ἀεί, καὶ περὶ πέντε, ἀλλ' οὐ περὶ τριῶν ὡς ὄντων αὐτῶν σκεπτέον, ἢ τό τε ταυτὸν τοῦτο καὶ θάτερον ἐκείνων ὥς τι προςαγορεύοντες λανθάνομεν ἡμᾶς αὐτούς; ΘΕΑΙ. Ἴσως. ΞΕ. Ἀλλ' οὔτι μὴν κίνησίς γε καὶ στάσις οὔθ' ἕτερον οὔτε ταυτόν ἐστι. ΘΕΑΙ. Πῶς; ΞΕ. Ὅ, τι περ ἂν κοινῇ προσείπωμεν κίνησιν καὶ στάσιν, τοῦτο οὐδέτερον αὐτοῖν οἷόν τε εἶναι. ΘΕΑΙ. Τί δή; ΞΕ. Κίνησίς τε στήσεται καὶ στάσις αὖ κινηθήσεται· περὶ γὰρ ἀμφότερα θάτερον ὁποτερονοῦν γιγνόμενον αὐτοῖν ἀναγκάσει μεταβάλλειν αὖ θάτερον ἐπὶ τοὐναντίον τῆς αὐτοῦ φύσεως, ἅτε μετασχὸν τοῦ ἐναντίου. ΘΕΑΙ. Κομιδῇ γε. ΞΕ. Μετέχετον μὴν ἄμφω ταυτοῦ καὶ θατέρου. ΘΕΑΙ. Ναί. ΞΕ. Μὴ τοίνυν λέγωμεν κίνησίν γ' εἶναι ταυτὸν ἢ θάτερον, μηδ' αὖ στάσιν. ΘΕΑΙ. Μὴ γάρ. ΞΕ. Ἀλλ' ἄρα τὸ ὂν καὶ τὸ ταυτὸν ὡς ἕν τι διανοητέον ἡμῖν. ΘΕΑΙ. Ἴσως. ΞΕ. Ἀλλ' εἰ τὸ ὂν καὶ τὸ ταυτὸν μηδὲν διάφορον σημαίνετον, κίνησιν αὖ πάλιν καὶ στάσιν ἀμφότερα εἶναι λέγοντες, ἀμφότερα οὕτως αὐτὰ ταυτὸν ὡς ὄντα προςεροῦμεν. ΘΕΑΙ. Ἀλλὰ

μὴν τοῦτό γε ἀδύνατον. ΞΕ. Ἀδύνατον ἄρα ταυτὸν καὶ τὸ ὂν ἓν εἶναι. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Τέταρτον δὴ πρὸς τοῖς τρισὶν εἴδεσιν εἶδος τὸ ταυτὸν τιθῶμεν. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Τί δέ; τὸ θάτερον ἆρα ἡμῖν λεκτέον πέμπτον; ἢ τοῦτο καὶ τὸ ὂν ὥς δύο ἄττα ὀνόματα ἐφ' ἑνὶ γένει διανοεῖσθαι δεῖ; ΘΕΑΙ. Τάχ' ἄν. ΞΕ. Ἀλλ' οἶμαί σε ξυγχωρεῖν, τῶν ὄντων τὰ μὲν αὐτὰ καθ' αὑτά, τὰ δὲ πρὸς ἄλλα ἀεὶ λέγεσθαι. ΘΕΑΙ. Τί δ' οὔ; ΞΕ. Τὸ δ' ἕτερον ἀεὶ πρὸς ἕτερον· ἢ γάρ; ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐκ ἄν, εἴ γε τὸ ὂν καὶ τὸ θάτερον μὴ πάμπολυ διεφερέτην· ἀλλ' εἴπερ θάτερον ἀμφοῖν μετεῖχε τοῖν εἰδοῖν, ὥσπερ τὸ ὄν, ἦν ἄν ποτέ τι καὶ τῶν ἑτέρων ἕτερον οὐ πρὸς ἕτερον· νῦν δὲ ἀτεχνῶς ἡμῖν ὅ, τι περ ἂν ἕτερον ᾖ, ξυμβέβηκεν ἐξ ἀνάγκης πρὸς ἕτερον τοῦτο αὐτό, ὅπερ ἐστιν, εἶναι. ΘΕΑΙ. Λέγεις καθάπερ ἔχει. ΞΕ. Πέμπτον δὴ τὴν θατέρου φύσιν λεκτέον ἐν τοῖς εἴδεσιν οὖσαν, ἐν οἷς προαιρούμεθα. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ διὰ πάντων γε αὐτὴν αὐτῶν φήσομεν εἶναι διεληλυθυῖαν· ἓν ἕκαστον γὰρ ἕτερον εἶναι τῶν ἄλλων, οὐ διὰ τὴν αὑτοῦ φύσιν, ἀλλὰ διὰ τὸ μετέχειν τῆς ἰδέας τῆς θατέρου. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. XLI. ΞΕ. Ὧδε δὴ λέγωμεν ἐπὶ τῶν πέντε, καθ' ἓν ἀναλαμβάνοντες. ΘΕΑΙ. Πῶς; ΞΕ. Πρῶτον μὲν κίνησιν, ὡς ἔστι παντάπασιν ἕτερον στάσεως· ἢ πῶς λέγομεν; ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐ στάσις ἄρ' ἐστι. ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Ἔστι δέ γε, διὰ τὸ μετέχειν τοῦ ὄντος. ΘΕΑΙ. Ἔστι,

ΞΕ. Αὖθις δὴ πάλιν ἡ κίνησις ἕτερον ταὐτοῦ ἐστι. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Οὐ ταὐτὸν ἄρα ἐστί. ΘΕΑΙ. Οὐ γὰρ οὖν. ΞΕ. Ἀλλὰ μὴν αὖ πῃ γ' ἦν ταὐτόν, διὰ τὸ μετέχειν αὖ πάντ' αὐτοῦ. ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Τὴν κίνησιν δὴ ταὐτόν τ' εἶναι καὶ μὴ ταὐτὸν ὁμολογητέον, καὶ οὐ δυσχεραντέον· οὐ γὰρ ὅταν εἴπωμεν αὐτὴν ταὐτὸν καὶ μὴ ταὐτόν, ὁμοίως εἰρήκαμεν· ἀλλ' ὁπόταν μὲν ταὐτόν, διὰ τὴν μέθεξιν ταὐτοῦ πρὸς αὑτὴν οὕτω λέγομεν· ὅταν δὲ μὴ ταὐτόν, διὰ τὴν κοινωνίαν αὖ θατέρου· δι' ἣν ἀποχωριζομένη ταὐτοῦ γέγονεν οὐκ ἐκεῖνο, ἀλλ' ἕτερον· ὥστε ὀρθῶς αὖ λέγεται πάλιν οὐ ταὐτόν. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν κἂν εἴ πῃ μετελάμβανεν αὐτὴ κίνησις στάσεως, οὐδὲν ἂν ἄτοπον ἦν στάσιμον αὐτὴν προσαγορεύειν. ΘΕΑΙ. Ὀρθότατά γε, εἴπερ τῶν γενῶν ξυγχωρησόμεθα τὰ μὲν ἀλλήλοις ἐθέλειν μίγνυσθαι, τὰ δὲ μή. ΞΕ. Καὶ μὴν ἐπί γε τὴν τούτων πρότερον ἀπόδειξιν, ἢ τῶν νῦν, ἀφικόμεθα, ἐλέγχοντες ὡς ἔστι κατὰ φύσιν ταύτῃ. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Λέγωμεν δὴ πάλιν· ἡ κίνησίς ἐστιν ἕτερον τοῦ ἑτέρου, καθάπερ ταὐτοῦ τε ἦν ἄλλο καὶ τῆς στάσεως; ΘΕΑΙ. Ἀναγκαῖον. ΞΕ. Οὐχ ἕτερον ἄρ' ἐστί πῃ καὶ ἕτερον, κατὰ τὸν νῦν δὴ λόγον. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Τί οὖν δὴ τὸ μετὰ τοῦτο; ἆρ' αὖ τῶν μὲν τριῶν ἕτερον αὐτὴν φήσομεν εἶναι, τοῦ δὲ τετάρτου μὴ φῶμεν, ὁμολογήσαντες αὐτὰ εἶναι πέντε, περὶ ὧν καὶ ἐν οἷς προυθέμεθα σκοπεῖν; ΘΕΑΙ. Καὶ πῶς; Ἀδύνατον

γὰρ ξυγχωρεῖν ἔλαττον τὸν ἀριθμὸν τοῦ νῦν δὴ φα-
νέντος. ΞΕ. Ἀδεῶς ἄρα τὴν κίνησιν ἕτερον εἶναι τοῦ
ὄντος διατεινόμενοι λέγωμεν. ΘΕΑΙ. Ἀδεέστατα
μὲν οὖν. ΞΕ. Οὐκοῦν δὴ σαφῶς ἡ κίνησις ὄντως
οὐκ ὄν ἐστι καὶ ὄν, ἐπείπερ τοῦ ὄντος μετέχει;
ΘΕΑΙ. Σαφέστατά γε. ΞΕ. Ἔστιν ἄρα ἐξ ἀνάγκης
τὸ μὴ ὂν ἐπί τε κινήσεως εἶναι, καὶ κατὰ πάντα τὰ
γένη· κατὰ πάντα γὰρ ἡ θατέρου φύσις, ἕτερον
ἀπεργαζομένη τοῦ ὄντος, ἕκαστον οὐκ ὂν ποιεῖ· καὶ
ξύμπαντα δὴ κατὰ ταυτὰ οὕτως οὐκ ὄντα ὀρθῶς
ἐροῦμεν, καὶ πάλιν, ὅτι μετέχει τοῦ ὄντος, εἶναί
τε καὶ ὄντα. ΘΕΑΙ. Κινδυνεύει. ΞΕ. Περὶ ἕκα-
στον ἄρα τῶν εἰδῶν πολὺ μέν ἐστι τὸ ὄν, ἄπειρον
δὲ πλήθει τὸ μὴ ὄν. ΘΕΑΙ. Ἔοικε. ΞΕ. Οὐκοῦν
καὶ τὸ ὂν αὐτὸ τῶν ἄλλων ἕτερον εἶναι λεκτέον;
ΘΕΑΙ. Ἀνάγκη. ΞΕ. Καὶ τὸ ὂν ἄρ' ἡμῖν, ὅσα-
πέρ ἐστι τὰ ἄλλα, κατὰ τοσαῦτα οὐκ ἔστιν· ἐκεῖνα
γὰρ οὐκ ὄν, ἓν μὲν αὐτό ἐστιν, ἀπέραντα δὲ τὸν
ἀριθμὸν τἆλλα οὐκ ἔστιν αὖ. ΘΕΑΙ. Σχεδὸν οὕ-
τω. ΞΕ. Οὐκοῦν δὴ καὶ ταῦτα οὐ δυσχεραντέον,
ἐπείπερ ἔχει κοινωνίαν ἀλλήλοις ἡ τῶν γενῶν φύσις;
εἰ δέ τις ταῦτα μὴ ξυγχωρεῖ, πείσας ἡμῶν τοὺς ἔμ-
προσθεν λόγους, οὕτω πειθέτω τὰ μετὰ ταῦτα.
ΘΕΑΙ. Δικαιότατα εἴρηκας. ΞΕ. Ἴδωμεν δὴ καὶ
τόδε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὁπόταν τὸ μὴ ὂν
λέγωμεν, ὡς ἔοικεν, οὐκ ἐναντίον τι λέγομεν τοῦ
ὄντος, ἀλλ' ἕτερον μόνον. ΘΕΑΙ. Πῶς; ΞΕ.
Οἷον, ὅταν εἴπωμέν τι μὴ μέγα, τότε μᾶλλόν τι

σοι φαινόμεθα τὸ σμικρὸν ἢ τὸ ἴσον δηλοῦν τῷ ῥήματι; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Οὐκ ἄρ', ἐναντίον ὅταν ἀπόφασις λέγηται σημαίνειν, ξυγχωρησόμεθα, τοσοῦτον δὲ μόνον, ὅτι τῶν ἄλλων τι μηνύει τὸ Μὴ καὶ τὸ Οὐ προτιθέμενα τῶν ἐπιόντων ὀνομάτων, μᾶλλον δὲ τῶν πραγμάτων, περὶ ἅττ' ἂν κέηται τὰ ἐπιφθεγγόμενα ὕστερον τῆς ἀποφάσεως ὀνόματα. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. XLII. ΞΕ. Τόδε δὲ διανοηθῶμεν, εἰ καὶ σοὶ ξυνδοκεῖ. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ἡ θατέρου μοι φύσις φαίνεται κατακεκερματίσθαι, καθάπερ ἐπιστήμη. ΘΕΑΙ. Πῶς; ΞΕ. Μία μέν ἐστί που καὶ ἐκείνη, τὸ δ' ἐπί τῳ γιγνόμενον μέρος αὐτῆς ἕκαστον ἀφορισθὲν ἐπωνυμίαν ἴσχει τινὰ ἰδίαν· διὸ πολλαί τέχναι τ' εἰσὶ λεγόμεναι καὶ ἐπιστῆμαι. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν καὶ τὰ τῆς θατέρου φύσεως μόρια, μιᾶς οὔσης, ταυτὸν πέπονθε τοῦτο; ΘΕΑΙ. Τάχ' ἄν· ἀλλὰ πῆ δὴ λέγωμεν. ΞΕ. Ἔστι τῷ καλῷ τι θατέρου μόριον ἀντιτιθέμενον; ΘΕΑΙ. Ἔστι. ΞΕ. Τοῦτ' οὖν ἀνώνυμον ἐροῦμεν, ἤ τιν' ἔχον ἐπωνυμίαν; ΘΕΑΙ. Ἔχον· ὃ γὰρ μὴ καλὸν ἑκάστοτε φθεγγόμεθα, τοῦτο οὐκ ἄλλου τινὸς ἕτερόν ἐστιν, ἢ τῆς τοῦ καλοῦ φύσεως. ΞΕ. Ἴθι νῦν τόδε μοι λέγε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ἄλλο τι τῶν ὄντων τινὸς ἑνὸς γένους ἀφορισθέν, καὶ πρός τι τῶν ὄντων αὖ πάλιν ἀντιτεθέν, οὕτω ξυμβέβηκεν εἶναι τὸ μὴ καλόν; ΘΕΑΙ. Οὕτω. ΞΕ. Ὄντος δὴ πρὸς ὂν ἡ ἀντίθεσις, ὡς ἔοικ', εἶναι ξυμβαίνει τὸ μὴ καλόν.

ΘΕΑΙ. Ὀρθότατα. ΞΕ. Τί οὖν; κατὰ τοῦτον τὸν λόγον, ἆρα μᾶλλον μὲν τὸ καλὸν ἡμῖν ἐστι τῶν ὄντων, ἧττον δὲ τὸ μὴ καλόν; ΘΕΑΙ. Οὐδέν. ΞΕ. Ὁμοίως ἄρα τὸ μὴ μέγα καὶ τὸ μέγα αὐτὸ εἶναι λεκτέον. ΘΕΑΙ. Ὁμοίως. ΞΕ. Οὐκοῦν καὶ τὸ μὴ δίκαιον τῷ δικαίῳ κατὰ ταυτὰ θετέον, πρὸς τὸ μηδέν τι μᾶλλον εἶναι θάτερον θατέρου; ΘΕΑΙ. Τί μήν; ΞΕ. Καὶ τἄλλα δὴ ταύτῃ λέξομεν, ἐπείπερ ἡ θατέρου φύσις ἐφάνη τῶν ὄντων οὖσα, ἐκείνης δὲ οὔσης, ἀνάγκη δὴ καὶ τὰ μόρια αὐτῆς μηδενὸς ἧττον ὄντα τιθέναι. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Οὐκοῦν, ὡς ἔοικεν, ἡ τῆς θατέρου μορίου φύσεως καὶ τῆς τοῦ ὄντος πρὸς ἄλληλα ἀντικειμένων ἀντίθεσις, οὐδὲν ἧττον, εἰ θέμις εἰπεῖν, αὐτοῦ τοῦ ὄντος οὐσία ἐστιν, οὐκ ἐναντίον ἐκείνῳ σημαίνουσα, ἀλλὰ τοσοῦτον μόνον, ἕτερον ἐκείνου. ΘΕΑΙ. Σαφέστατά γε. ΞΕ. Τίν᾽ οὖν αὐτὴν προςείπωμεν; ΘΕΑΙ. Δῆλον ὅτι τὸ μὴ ὄν, ὃ διὰ τὸν σοφιστὴν ἐζητοῦμεν, αὐτό ἐστι τοῦτο. ΞΕ. Πότερον οὖν, ὥσπερ εἶπες, ἔστιν οὐδενὸς τῶν ἄλλων οὐσίας ἐλλειπόμενον; καὶ δεῖ θαῤῥοῦντα ἤδη λέγειν ὅτι τὸ μὴ ὂν βεβαίως ἐστὶ τὴν αὐτοῦ φύσιν ἔχον, ὥσπερ τὸ μέγα ἦν μέγα, καὶ τὸ καλὸν ἦν καλόν, καὶ τὸ μὴ μέγα μὴ μέγα, καὶ τὸ μὴ καλὸν μὴ καλόν; οὕτω δὲ καὶ τὸ μὴ ὂν κατὰ ταυτὸ ἦν τε καὶ ἔστι μὴ ὄν, ἐνάριθμον τῶν πολλῶν ὄντων εἶδος ἕν; ἤ τινα ἔτι πρὸς αὐτό, ὦ Θεαίτητε, ἀπιστίαν ἔχομεν; ΘΕΑΙ. Οὐδεμίαν.

XLIII. ΞΕ. Οἶσθ᾽ οὖν ὅτι Παρμενίδῃ μακροτέρως τῆς ἀποῤῥήσεως ἀπιστήκαμεν; ΘΕΑΙ. Τί δή; ΞΕ.

Πλέον ἢ 'κεῖνος ἀπεῖπε σκοπεῖν, ἡμεῖς εἰς τὸ πρόσθεν ἔτι ζητήσαντες ἀπεδείξαμεν αὐτῷ. ΘΕΑΙ. Πῶς; ΞΕ. Ὅτι ὁ μέν πού φησιν, Οὐ γὰρ μήποτε τοῦτ' οὐδαμῇ εἶναι μὴ ὄντα, Ἀλλὰ σὺ τῆς δ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα. ΘΕΑΙ. Λέγει γὰρ οὖν οὕτω. ΞΕ. Ἡμεῖς δέ γε οὐ μόνον τὰ μὴ ὄντα ὡς ἔστιν ἀπεδείξαμεν, ἀλλὰ καὶ τὸ εἶδος, ὃ τυγχάνει ὂν τοῦ μὴ ὄντος ἀπεφηνάμεθα· τὴν γὰρ θατέρου φύσιν ἀποδείξαντες οὖσάν τε καὶ κατακεκερματισμένην ἐπὶ πάντα τὰ ὄντα πρὸς ἄλληλα, τὸ πρὸς τὸ ὂν ἕκαστον μόριον αὐτῆς ἀντιτιθέμενον, ἐτολμήσαμεν εἰπεῖν, ὡς αὐτὸ τοῦτό ἐστιν ὄντως τὸ μὴ ὄν. ΘΕΑΙ. Καὶ παντάπασί γε, ὦ ξένε, ἀληθέστατά μοι δοκοῦμεν εἰρηκέναι. ΞΕ. Μὴ τοίνυν ἡμᾶς εἴπῃ τις ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀποφαινόμενοι τολμῶμεν λέγειν ὡς ἔστιν· ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ χαίρειν πάλαι λέγομεν, εἴτ' ἔστιν εἴτε μή, λόγον ἔχον, ἢ καὶ παντάπασιν ἄλογον· ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν, ἢ πεισάτω τις ὡς οὐ καλῶς λέγομεν ἐλέγξας, ἢ, μέχρι περ ἂν ἀδυνατῇ, λεκτέον καὶ ἐκείνῳ καθάπερ καὶ ἡμεῖς λέγομεν, ὅτι ξυμμίγνυταί τε ἀλλήλοις τὰ γένη καὶ τό τε ὂν καὶ θάτερον διὰ πάντων καὶ δι' ἀλλήλων διεληλυθότε, τὸ μὲν ἕτερον, μετασχὸν τοῦ ὄντος, ἔστι μὲν διὰ ταύτην τὴν μέθεξιν, οὐ μὴν ἐκεῖνό γε οὗ μετέσχεν, ἀλλ' ἕτερον· ἕτερον δὲ τοῦ ὄντος ὂν ἔστι σαφέστατα ἐξ ἀνάγκης εἶναι μὴ ὄν· τὸ δὲ ὂν αὖ θατέρου μετειληφὸς ἕτερον τῶν ἄλλων ἂν εἴη γενῶν· ἕτερον δ' ἐκείνων

ἁπάντων ὂν οὐκ ἔστιν ἕκαστον αὐτῶν, οὐδὲ ξύμ-
παντα τὰ ἄλλα, πλὴν αὐτό. ὥστε τὸ ὂν ἀναμφισ-
βητήτως αὖ μυρία ἐπὶ μυρίοις οὐκ ἔστι, καὶ τἆλλα
δὴ καθ' ἕκαστον οὕτω, καὶ ξύμπαντα, πολλαχῇ μὲν
ἐστι, πολλαχῇ δ' οὐκ ἔστι. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Καὶ
ταύταις δὴ ταῖς ἐναντιώσεσιν εἴτε ἀπιστεῖ τις, ἐπι-
σκεπτέον αὐτῷ καὶ λεκτέον βέλτιόν τι τῶν νῦν εἰ-
ρημένων· εἴτε ὥς τι χαλεπὸν κατανενοηκὼς χαίρει,
τοτὲ μὲν ἐπὶ θάτερα, τοτὲ δ' ἐπὶ θάτερα τοὺς λό-
γους ἕλκων, οὐκ ἄξια πολλῆς σπουδῆς ἐσπούδακεν,
ὡς οἱ νῦν λόγοι φασί. τοῦτο μὲν γὰρ οὔτε τι κομψόν,
οὔτε χαλεπὸν εὑρεῖν· ἐκεῖνο δ' ἤδη καὶ χαλεπὸν ἅμα
καὶ καλόν. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὃ καὶ πρόσθεν
εἴρηται, τὸ ταῦτα ἐάσαντα, ὡς δυνατά, τοῖς λεγο-
μένοις οἷόν τ' εἶναι καθ' ἕκαστον ἐλέγχοντα ἐπακο-
λουθεῖν, ὅταν τέ τις ἕτερον ὄν πῃ ταὐτὸν εἶναι φῇ,
καὶ ὅταν ταὐτὸν ὂν ἕτερον, ἐκείνῃ καὶ κατ' ἐκεῖνο ὅ
φησι τούτων πεπονθέναι πότερον. τὸ δὲ ταὐτὸν ἕτε-
ρον ἀποφαίνειν ἀμηγέπη, καὶ τὸ θάτερον ταὐτό, καὶ
τὸ μέγα σμικρόν, καὶ τὸ ὅμοιον ἀνόμοιον, καὶ χαί-
ρειν οὕτω τἀναντία ἀεὶ προφέροντα ἐν τοῖς λόγοις,
οὔτε τις ἔλεγχος οὗτος ἀληθινός, ἄρτι τε τῶν ὄντων
τινὸς ἐφαπτομένου δῆλος νεογενὴς ὤν. ΘΕΑΙ. Κο-
μιδῇ μὲν οὖν. XLIV. ΞΕ. Καὶ γάρ, ὠγαθέ, τό γε
πᾶν ἀπὸ παντὸς ἐπιχειρεῖν ἀποχωρίζειν, ἄλλως τε οὐκ
ἐμμελές, καὶ δὴ καὶ παντάπασιν ἀμούσου τινὸς καὶ
ἀφιλοσόφου. ΘΕΑΙ. Τί δή; ΞΕ. Τελεωτάτη πάν-
των λόγων ἐστὶν ἀφάνισις τὸ διαλύειν ἕκαστον ἀπὸ

πάντων· διὰ γὰρ τὴν ἀλλήλων τῶν εἰδῶν ξυμπλοκὴν ὁ λόγος γέγονεν ἡμῖν. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Σκόπει τοίνυν ὡς ἐν καιρῷ δὴ νῦν τοῖς τοιούτοις διεμαχόμεθα, καὶ προςηναγκάζομεν ἐᾶν ἕτερον ἑτέρῳ μίγνυσθαι. ΘΕΑΙ. Πρὸς δὴ τί; ΞΕ. Πρὸς τὸ τὸν λόγον ἡμῖν τῶν ὄντων ἕν τι γενῶν εἶναι. τούτου γὰρ στερηθέντες, τὸ μὲν μέγιστον, φιλοσοφίας ἂν στερηθεῖμεν· ἔτι δ' ἐν τῷ παρόντι δεῖ λόγον ἡμᾶς διομολογήσασθαι τί ποτ' ἐστίν· εἰ δὲ ἀφῃρέθημεν αὐτὸ μηδ' εἶναι τοπαράπαν, οὐδὲν ἂν ἔτι που λέγειν οἷοί τ' ἦμεν· ἀφῃρέθημεν δ' ἄν, εἰ ξυνεχωρήσαμεν μηδεμίαν εἶναι μίξιν μηδενὶ πρὸς μηδέν. ΘΕΑΙ. Ὀρθῶς τοῦτό γε· λόγον δὲ διότι νῦν διομολογητέον οὐκ ἔμαθον. ΞΕ. Ἀλλ' ἴσως τῇδ' ἑπόμενος ῥᾷστ' ἂν μάθοις. ΘΕΑΙ. Πῇ; ΞΕ. Τὸ μὲν δὴ μὴ ὂν ἡμῖν ἕν τι τῶν ἄλλων γένος ἀνεφάνη, κατὰ πάντα τὰ ὄντα διεσπαρμένον. ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐκοῦν τὸ μετὰ τοῦτο σκεπτέον, εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται; ΘΕΑΙ. Τί δή; ΞΕ. Μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις, ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι· μιγνυμένου δέ, δόξα τε ψευδὴς γίγνεται καὶ λόγος· τὸ γὰρ τὰ μὴ ὄντα δοξάζειν, ἢ λέγειν, τοῦτ' ἐστί που τὸ ψεῦδος ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον. ΘΕΑΙ. Οὕτω. ΞΕ. Ὄντος δέ γε ψεύδους, ἔστιν ἀπάτη. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μήν, ἀπάτης οὔσης, εἰδώλων τε καὶ εἰκόνων ἤδη καὶ φαντασίας πάντα ἀνάγκη μεστὰ εἶναι. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τὸν δέ γε σοφιστὴν ἔφαμεν ἐν τούτῳ που τῷ τόπῳ κατα-

πεφευγέναι μὲν, ἐξαρνον δὲ γεγονέναι τοπαράπαν μηδ᾽ εἶναι ψεῦδος· τὸ γὰρ μὴ ὂν οὔτε διανοεῖσθαί τινα, οὔτε λέγειν· οὐσίας γὰρ οὐδὲν οὐδαμῇ τὸ μὴ ὂν μετέχειν. ΘΕΑΙ. Ἦν ταῦτα. ΞΕ. Νῦν δέ γε τοῦτο μὲν ἐφάνη μετέχον τοῦ ὄντος, ὥστε ταύτῃ μὲν ἴσως οὐκ ἂν μάχοιτο ἔτι, τάχα δ᾽ ἂν φαίη, τῶν εἰδῶν τὰ μὲν μετέχειν τοῦ μὴ ὄντος, τὰ δ᾽ οὔ, καὶ λόγον δὴ καὶ δόξαν εἶναι τῶν οὐ μετεχόντων· ὥστε τὴν εἰδωλοποιητικὴν καὶ φανταστικὴν, ἐν ᾗ φαμεν αὐτὸν εἶναι, διαμάχοιτ᾽ ἂν πάλιν ὡς παντάπασιν οὐκ ἔστιν, ἐπειδὴ δόξα καὶ λόγος οὐ κοινωνεῖ τοῦ μὴ ὄντος· ψεῦδος γὰρ τοπαράπαν οὐκ εἶναι, ταύτης μὴ ξυνισταμένης τῆς κοινωνίας. διὰ ταῦτ᾽ οὖν λόγον πρῶτον καὶ δόξαν καὶ φαντασίαν διερευνητέον ὅ, τί ποτ᾽ ἐστὶν, ἵνα φανέντων, καὶ τὴν κοινωνίαν αὐτῶν τῷ μὴ ὄντι κατίδωμεν, κατιδόντες δὲ, τὸ ψεῦδος ὂν ἀποδείξωμεν, ἀποδείξαντες δὲ, τὸν σοφιστὴν εἰς αὐτὸν ἐνδήσωμεν, εἴπερ ἔνοχός ἐστιν, ἢ καὶ ἀπολύσαντες ἐν ἄλλῳ γένει ζητῶμεν. ΘΕΑΙ. Κομιδῇ γε, ὦ ξένε, ἔοικεν ἀληθὲς εἶναι τὸ περὶ τὸν σοφιστὴν κατ᾽ ἀρχὰς λεχθὲν, ὅτι δυσθήρατον εἴη τὸ γένος. φαίνεται γὰρ οὖν προβλημάτων γέμειν, ὧν ἐπειδάν τι προβάλῃ, τοῦτο πρότερον ἀναγκαῖον διαμάχεσθαι πρὶν ἐπ᾽ αὐτὸν ἐκεῖνον ἀφικέσθαι. νῦν γὰρ μόγις μὲν τὸ μὴ ὄν, ὡς οὐκ ἔστι, προβληθὲν διεπεράσαμεν, ἕτερον δὲ προβέβληται, καὶ δεῖ δὴ ψεῦδος ὡς ἔστι καὶ περὶ λόγον καὶ περὶ δόξαν ἀποδεῖξαι, καὶ μετὰ τοῦτο ἴσως ἕτερον, καὶ ἔτ᾽ ἄλλο μετ᾽ ἐκεῖνο·

καὶ πέρας, ὡς ἔοικεν, οὐδὲν φανήσεται ποτέ. ΞΕ. Θαῤῥεῖν, ὦ Θεαίτητε, χρὴ τὸν καὶ σμικρόν τι δυνάμενον εἰς τὸ πρόσθεν ἀεὶ προϊέναι. τί γὰρ ὅ γ' ἀθυμῶν ἐν τούτοις δράσειεν ἂν ἐν ἄλλοις, ἢ μηδὲν ἐν ἐκείνοις ἀνύτων, ἢ καὶ πάλιν εἰς τοὔπισθεν ἀπωσθείς; σχολῇ που, τὸ κατὰ τὴν παροιμίαν λεγόμενον, ὅ γε τοιοῦτος ἄν ποτε ἕλοι πόλιν. νῦν δ' ἐπεί, ὦ 'γαθέ, τοῦτο ὃ λέγεις διαπεπέρανται, τό τοι μέγιστον ἡμῖν τεῖχος ᾑρημένον ἂν εἴη, τὰ δ' ἄλλα ἤδη ῥᾴω καὶ σμικρότερα. ΘΕΑΙ. Καλῶς εἶπες. XLV. ΞΕ. Λόγον δὴ πρῶτον καὶ δόξαν, καθάπερ ἐῤῥήθη, νῦν διαλάβωμεν, ἵνα ἐναργέστερον ἀπολογισώμεθα, πότερον αὐτῶν ἅπτεται τὸ μὴ ὄν, ἢ παντάπασιν ἀληθῆ μὲν ἐστιν ἀμφότερα ταῦτα, ψεῦδος δὲ οὐδέποτε οὐδέτερον. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Φέρε δή, καθάπερ ἐπὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα· φαίνεται γάρ πῃ ταύτῃ τὸ νῦν ζητούμενον. ΘΕΑΙ. Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον; ΞΕ. Εἴτε πάντα ἀλλήλοις ξυναρμόττει, εἴτε μηδέν, εἴτε τὰ μὲν ἐθέλει, τὰ δὲ μή. ΘΕΑΙ. Δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει, τὰ δ' οὔ. ΞΕ. Τὸ τοιόνδε λέγεις ἴσως· ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα καὶ δηλοῦντά τι, ξυναρμόττει, τὰ δὲ τῇ ξυνεχείᾳ μηδὲν σημαίνοντα, ἀναρμοστεῖ. ΘΕΑΙ. Πῶς τί τοῦτ' εἶπες; ΞΕ. Ὅπερ ᾠήθην ὑπολαβόντα σε προσομολογεῖν. ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ μὲν ὀνόματα, τὸ

δὲ ῥήματα κληθέν. ΘΕΑΙ. Εἰπὲ ἑκάτερον. ΞΕ. Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα, ῥῆμά που λέγομεν. ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δέ γ' ἐπ' αὖ τοῖς ἐκεῖνα πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν, ὄνομα. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων ξυνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. ΘΕΑΙ. Ταῦτ' οὐκ ἔμαθον. ΞΕ. Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις· ἐπεὶ τοῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι ξυνεχῶς ὧδε λεγόμενα ταῦτα οὐκ ἔστι λόγος. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἷον, βαδίζει, τρέχει, καθεύδει, καὶ τἄλλα ὅσα πράξεις σημαίνει ῥήματα, κἂν πάντα τις ἐφεξῆς αὔτ' εἴπη, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. ΘΕΑΙ. Πῶς γάρ; ΞΕ. Οὐκοῦν καὶ πάλιν ὅταν λέγηται, λέων, ἔλαφος, ἵππος, ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη, καὶ κατὰ ταύτην δὴ τὴν ξυνέχειαν οὐδείς πω ξυνέστη λόγος· οὐδεμίαν γὰρ οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ· τότε δὲ ἥρμοσέ τε, καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη ξυμπλοκὴ, σχεδὸν τῶν λόγων ὁ πρῶτος, εἰ καὶ σμικρότατος. ΘΕΑΙ. Πῶς ἄρ' ὧδε λέγεις; ΞΕ. Ὅταν εἴπῃ τις, ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; ΘΕΑΙ. Ἔγωγε. ΞΕ. Δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων, ἢ γιγνομένων, ἢ γεγονότων, ἢ μελλόντων, καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαί-

νει, ξυμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε καὶ αὐτὸν, ἀλλ' οὐ μόνον ὀνομάζειν, εἴπομεν, καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. ΘΕΑΙ. Ὀρθῶς. XLVI. ΞΕ. Οὕτω δὴ καθάπερ τὰ πράγματα, τὰ μὲν ἀλλήλοις ἥρμοττε, τὰ δ' οὔ, καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα, τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἔτι δὴ σμικρὸν τόδε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Λόγον ἀναγκαῖον ὅταν περ ᾖ, τινὸς εἶναι λόγον, μὴ δέ τινος ἀδύνατον. ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐκοῦν καὶ ποιόν τινα αὐτὸν εἶναι δεῖ; ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Προσέχωμεν δὴ τὸν νοῦν ἡμῖν αὐτοῖς. ΘΕΑΙ. Δεῖ γοῦν. ΞΕ. Λέξω τοίνυν σοι λόγον, ξυνθεὶς πρᾶγμα πράξει δι' ὀνόματος καὶ ῥήματος· ὅτου δ' ἂν ὁ λόγος ᾖ, σύ μοι φράζειν. ΘΕΑΙ. Ταῦτ' ἔσται κατὰ δύναμιν. ΞΕ. Θεαίτητος κάθηται· μῶν μὴ μακρὸς ὁ λόγος; ΘΕΑΙ. Οὔκ, ἀλλὰ μέτριος. ΞΕ. Σὸν ἔργον δὴ φράζειν περὶ οὗ τ' ἐστὶ καὶ ὅτου. ΘΕΑΙ. Δῆλον ὅτι περὶ ἐμοῦ τε καὶ ἐμός. ΞΕ. Τί δὲ ὅδ' αὖ; ΘΕΑΙ. Ποῖος; ΞΕ. Θεαίτητος, ᾧ νῦν ἐγὼ διαλέγομαι, πέτεται. ΘΕΑΙ. Καὶ τοῦτον οὐδ' ἂν εἷς ἄλλως εἴποι πλὴν ἐμόν τε καὶ περὶ ἐμοῦ. ΞΕ. Ποιὸν δέ γέ τινά φαμεν ἀναγκαῖον ἕκαστον εἶναι τῶν λόγων. ΘΕΑΙ. Ναί. ΞΕ. Τούτων δὴ ποιόν τινα ἑκάτερον φατέον εἶναι; ΘΕΑΙ. Τὸν μὲν ψευδῆ που, τὸν δὲ ἀληθῆ. ΞΕ. Λέγει δὲ αὐτῶν ὁ μὲν ἀληθὴς τὰ ὄντα, ὡς ἔστι περὶ σοῦ. ΘΕΑΙ. Τί μήν; ΞΕ. Ὁ δὲ δὴ ψευδὴς ἕτερα τῶν ὄν-

των. ΘΕΑΙ. Ναί. ΞΕ. Τὰ μὴ ὄντ' ἄρα ὡς ὄντα λέγει. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Ὄντων δέ γε ὄντα ἕτερα περὶ σοῦ· πολλὰ μὲν γὰρ ἔφαμεν ὄντα περὶ ἕκαστον εἶναί που, πολλὰ δὲ οὐκ ὄντα. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Ὃν ὕστερον δὴ λόγον εἴρηκα περὶ σοῦ, πρῶτον μέν, ἐξ ὧν ὡρισάμεθα τί ποτ' ἐστὶ λόγος, ἀναγκαιότατον αὐτὸν ἕνα τῶν βραχυτάτων εἶναι. ΘΕΑΙ. Νῦν δή γοῦν ταύτῃ ξυνωμολογήσαμεν. ΞΕ. Ἔπειτα δέ γε, τινός. ΘΕΑΙ. Οὕτως. ΞΕ. Εἰ δὲ μή ἐστι σός, οὐκ ἄλλου γε οὐδενός. ΘΕΑΙ. Πῶς γάρ; ΞΕ. Μηδενὸς δὲ ὤν, οὐδ' ἂν λόγος εἴη τοπαράπαν· ἀπεφήναμεν γὰρ ὅτι τῶν ἀδυνάτων ἦν, λόγον ὄντα, μηδενὸς εἶναι λόγον. ΘΕΑΙ. Ὀρθότατα. ΞΕ. Περὶ δὴ σοῦ λεγόμενα μέντοι θάτερα, ὡς τὰ αὐτά, καὶ μὴ ὄντα ὡς ὄντα, παντάπασιν, ὡς ἔοικεν, ἡ τοιαύτη ξύνθεσις ἔκ τε ῥημάτων γιγνομένη καὶ ὀνομάτων, ὄντως τε καὶ ἀληθῶς γίγνεσθαι λόγος ψευδής. ΘΕΑΙ. Ἀληθέστατα μὲν οὖν. XLVII. ΞΕ. Τί δὲ δὴ διάνοιά τε καὶ δόξα καὶ φαντασία; μῶν οὐκ ἤδη δῆλον ὅτι ταῦτα γένη ψευδῆ τε καὶ ἀληθῆ πάνθ' ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται; ΘΕΑΙ. Πῶς; ΞΕ. Ὧδ' εἴσῃ ῥᾷον, ἂν πρῶτον λάβῃς αὐτά, τί ποτ' ἐστί, καὶ τί διαφέρουσιν ἕκαστα ἀλλήλων. ΘΕΑΙ. Δίδου μόνον. ΞΕ. Οὐκοῦν διάνοια μὲν καὶ λόγος, ταυτόν, πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὑτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος, τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη διάνοια; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Τὸ δέ γ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ

θαι τὰ κατ' ἀρχὰς λεχθέντα) πᾶσαν ἔφαμεν εἶναι δύναμιν, ἥτις ἂν αἰτία γίγνηται τοῖς μὴ πρότερον οὖσιν ὕστερον γίγνεσθαι. ΘΕΑΙ. Μεμνήμεθα. ΞΕ. Ζῶα δὴ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται, καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται, σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι, πρότερον οὐκ ὄντα; ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι χρώμενοι; ΘΕΑΙ. Ποίῳ; ΞΕ. Τῷ τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης, ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης; ΘΕΑΙ. Ἐγὼ μὲν ἴσως διὰ τὴν ἡλικίαν πολλάκις ἀμφότερα μεταδοξάζω· νῦν μὴν βλέπων εἰς σὲ καὶ ὑπολαμβάνων, οἴεσθαί σε κατά γε θεὸν αὐτὰ γίγνεσθαι, ταύτῃ καὶ αὐτὸς νενόμικα. ΞΕ. Καλῶς γε, ὦ Θεαίτητε· καὶ εἰ μέν γέ σε ἡγούμεθα τῶν εἰς τὸν ἔπειτα χρόνον ἄλλως πως δοξαζόντων εἶναι, νῦν ἂν τῷ λόγῳ μετὰ πειθοῦς ἀναγκαίας ἐπεχειροῦμεν ποιεῖν ὁμολογεῖν· ἐπειδὴ δὲ σου καταμανθάνω τὴν φύσιν, ὅτι καὶ ἄνευ τῶν παρ' ἡμῶν λόγων αὐτὴ πρόσεισιν ἐφ' ἅπερ νῦν ἕλκεσθαι φῄς, ἐάσω· χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ' ἄν· ἀλλὰ θήσω τὰ μὲν φύσει λεγόμενα, ποιεῖσθαι θείᾳ τέχνῃ, τὰ δ' ἐκ τούτων ὑπ' ἀνθρώπων ξυνιστάμενα, ἀνθρωπίνῃ, καὶ κατὰ τοῦτον δὴ τὸν λόγον δύο ποιητικῆς γένη τὸ μὲν ἀνθρώπινον εἶναι, τὸ δὲ θεῖον. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τέμνε δὴ δυοῖν οὐσαιν δίχα ἑκατέραν αὐταῖν. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἷον τότε

μὲν κατὰ πλάτος τέμνων τὴν ποιητικὴν πᾶσαν, νῦν δὲ αὖ κατὰ μῆκος. ΘΕΑΙ. Τετμήσθω. ΞΕ. Τέτταρα μὴν αὐτῆς οὕτω τὰ πάντα μέρη γίγνεται, δύο μὲν τὰ πρὸς ἡμῶν, ἀνθρώπεια· δύο δ' αὖ τὰ πρὸς θεῶν, θεῖα. ΘΕΑΙ. Ναί. ΞΕ. Τὰ δέ γ' ὡς ἑτέρως αὖ διῃρημένα, μέρος μὲν ἓν ἀφ' ἑκατέρας τῆς μερίδος, αὐτοποιητικόν, τὼ δ' ὑπολοίπω σχεδὸν μάλιστ' ἂν λεγοίσθην εἰδωλοποιϊκώ, καὶ κατὰ ταῦτα δὴ πάλιν ἡ ποιητικὴ διχῆ διαιρεῖται. ΘΕΑΙ. Λέγε ὅπῃ ἑκατέρα αὖθις. L. ΞΕ. Ἡμᾶς μέν που καὶ τἆλλα ζῶα, καὶ ἐξ ὧν τὰ πεφυκότ' ἐστί, πῦρ καὶ ὕδωρ, καὶ τὰ τούτων ἀδελφὰ θεοῦ γεννήματα πάντα ἴσμεν αὐτὰ ἀπειργασμένα ἕκαστα· ἢ πῶς; ΘΕΑΙ. Οὕτω. ΞΕ. Τούτων δέ γε ἑκάστων εἴδωλα, ἀλλ' οὐκ αὐτά, παρέπεται, δαιμονίᾳ καὶ ταῦτα μηχανῇ γεγονότα. ΘΕΑΙ. Ποῖα; ΞΕ. Τά τε ἐν τοῖς ὕπνοις καὶ ὅσα μεθ' ἡμέραν φαντάσματα αὐτοφυῆ λέγεται· σκιὰ μέν, ὅταν ἐν τῷ πυρὶ σκότος ἐγγίγνηται· διπλοῦν δέ, ἡνίκ' ἂν φῶς οἰκεῖόν τε καὶ ἀλλότριον περὶ τὰ λαμπρὰ καὶ λεῖα εἰς ἓν ξυνελθὸν τῆς ἔμπροσθεν εἰωθυίας ὄψεως ἐναντίαν αἴσθησιν παρασχὸν εἶδος ἀπεργάζηται. ΘΕΑΙ. Δύο γὰρ οὖν ἐστι ταῦτα θείας ἔργα ποιήσεως, αὐτό τε καὶ τὸ παρακολουθοῦν εἴδωλον ἑκάστῳ. ΞΕ. Τί δὲ τὴν ἡμετέραν τέχνην; ἆρ' οὐκ αὐτὴν μὲν οἰκίαν οἰκοδομικῇ φήσομεν ποιεῖν, γραφικῇ δέ τιν' ἑτέραν, οἷον ὄναρ ἀνθρώπινον ἐγρηγορόσιν ἀπειργασμένην; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν καὶ τἆλλα οὕτω κατὰ δύο διττὰ ἔργα τῆς

ἡμετέρας αὖ ποιητικῆς πράξεως, τὸ μὲν αὐτό, φαμὲν, αὐτουργικὴ, τὸ δὲ εἴδωλον, εἰδωλοποιϊκή. ΘΕΑΙ. Νῦν μᾶλλον ἔμαθον, καὶ τίθημι δύο διχῇ ποιητικῆς εἴδη· θεία μὲν καὶ ἀνθρωπίνη κατὰ θάτερον τμῆμα· κατὰ δὲ θάτερον, τὸ μὲν αὐτῶν ὄν, τὸ δὲ ὁμοιωμάτων τινῶν γέννημα. LI. ΞΕ. Τῆς τοίνυν εἰδωλουργικῆς ἀναμνησθῶμεν, ὅτι τὸ μὲν εἰκαστικόν, τὸ δὲ φανταστικὸν ἔμελλεν εἶναι γένος, εἰ τὸ ψεῦδος ὄντως ὂν ψεῦδος, καὶ τῶν ὄντων ἕν τι φανείη πεφυκός. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ. Οὐκοῦν ἐφάνη τε, καὶ διὰ ταῦτα δὴ καταριθμήσομεν αὐτῷ νῦν ἀναμφισβητήτως εἴδη δύο; ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ τοίνυν φανταστικὸν αὖθις διορίζομεν δίχα. ΘΕΑΙ. Πῇ; ΞΕ. Τὸ μὲν δι' ὀργάνων γιγνόμενον, τὸ δὲ αὐτοῦ παρέχοντος ἑαυτὸν ὄργανον τοῦ ποιοῦντος τὸ φάντασμα. ΘΕΑΙ. Πῶς φῄς; ΞΕ. Ὅταν, οἶμαι, τὸ σὸν σχῆμά τις, τῷ ἑαυτοῦ χρώμενος σώματι, προσόμοιον ἢ φωνὴν φωνῇ φαίνεσθαι ποιῇ, μίμησις τοῦτο τῆς φανταστικῆς μάλιστα κέκληταί που. ΘΕΑΙ. Ναί. ΞΕ. Μιμητικὸν δὴ τοῦτο αὐτῆς προσειπόντες ἀπονειμώμεθα· τὸ δ' ἄλλο πᾶν ἀφῶμεν μαλακισθέντες, καὶ παρέντες ἑτέρῳ ξυναγαγεῖν τε εἰς ἓν καὶ πρέπουσαν ἐπωνυμίαν ἀποδοῦναί τιν' αὐτῷ. ΘΕΑΙ. Νενεμήσθω, τὸ δὲ μεθείσθω. ΞΕ. Καὶ μὴν καὶ τοῦτο ἔτι διπλοῦν, ὦ Θεαίτητε, ἄξιον ἡγεῖσθαι· δι' ἃ δέ, σκόπει. ΘΕΑΙ. Λέγε. ΞΕ. Τῶν μιμουμένων, οἱ μὲν εἰδότες ὃ μιμοῦνται, τοῦτο πράττουσιν, οἱ δ' οὐκ εἰδότες. καίτοι τίνα μείζω διαίρεσιν ἀγνωσίας

τε καὶ γνώσεως θήσομεν; ΘΕΑΙ. Οὐδεμίαν. ΞΕ. Οὐκοῦν τό γε ἄρτι λεχθὲν εἰδότων ἦν μίμημα· τὸ γὰρ σὸν σχῆμα καὶ σὲ γιγνώσκων ἄν τις μιμήσαιτο. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τί δαὶ δικαιοσύνης τὸ σχῆμα καὶ ὅλης ξυλλήβδην ἀρετῆς; ἆρ' οὐκ ἀγνοοῦντες μέν, δοξάζοντες δέ πῃ, σφόδρα ἐπιχειροῦσι πολλοὶ τὸ δοκοῦν σφίσι τοῦτο ὡς ἐνὸν αὐτοῖς προθυμεῖσθαι φαίνεσθαι ποιεῖν, ὅτι μάλιστα ἔργοις τε καὶ λόγοις μιμούμενοι; ΘΕΑΙ. Καὶ πάνυ γε πολλοί. ΞΕ. Μῶν οὖν πάντες ἀποτυγχάνουσι τοῦ δοκεῖν εἶναι δίκαιοι, μηδαμῶς ὄντες, ἢ τούτου πᾶν τοὐναντίον; ΘΕΑΙ. Πᾶν. ΞΕ. Μιμητὴν δὴ τοῦτόν γε ἕτερον ἐκείνου λεκτέον, οἶμαι, τὸν ἀγνοοῦντα τοῦ γιγνώσκοντος. ΘΕΑΙ. Ναί. LII. ΞΕ. Πόθεν οὖν ὄνομα ἑκατέρῳ τις αὐτῶν λήψεται πρέπον; ἢ δῆλον δὴ χαλεπὸν ὄν; διότι τῆς τῶν γενῶν κατ' εἴδη διαιρέσεως παλαιά τις, ὡς ἔοικεν, αἰτία τοῖς ἔμπροσθεν καὶ ἀσύννους παρῆν, ὥστε μηδ' ἐπιχειρεῖν μηδένα διαιρεῖσθαι, καθὸ δὴ τῶν ὀνομάτων ἀνάγκη μὴ σφόδρα εὐπορεῖν. ὅμως δέ, κἂν ᾖ τολμηρότερον εἰρῆσθαι, διαγνώσεως ἕνεκα τὴν μὲν μετὰ δόξης μίμησιν, δοξομιμητικὴν προσείπωμεν· τὴν δὲ μετ' ἐπιστήμης, ἱστορικήν τινα μίμησιν. ΘΕΑΙ. Ἔστω. ΞΕ. Θατέρῳ τοίνυν χρηστέον· ὁ γὰρ σοφιστὴς οὐκ ἐν τοῖς εἰδόσιν ἦν, ἀλλ' ἐν τοῖς μιμουμένοις δή. ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Τὸν δοξομιμητὴν δὴ σκοπώμεθα, ὥσπερ σίδηρον, εἴτε ὑγιὴς εἴτε διπλόην ἔχων τινά ἐστιν ἐν ἑαυτῷ. ΘΕΑΙ. Σκοπῶμεν. ΞΕ. Ἔχει τοίνυν καὶ

ἡμετέρας αὖ ποιητικῆς πράξεως, τὸ μὲν αὐτό, φα-
μέν, αὐτουργικῇ, τὸ δὲ εἴδωλον, εἰδωλοποιικῇ. ΘΕΑΙ.
Νῦν μᾶλλον ἔμαθον, καὶ τίθημι δύο διχῇ ποιητι-
κῆς εἴδη· θεία μὲν καὶ ἀνθρωπίνη κατὰ θάτερον
τμῆμα· κατὰ δὲ θάτερον, τὸ μὲν αὐτῶν ὄν, τὸ δὲ
ὁμοιωμάτων τινῶν γέννημα. LI. ΞΕ. Τῆς τοίνυν εἰδω-
λουργικῆς ἀναμνησθῶμεν, ὅτι τὸ μὲν εἰκαστικόν,
τὸ δὲ φανταστικὸν ἔμελλεν εἶναι γένος, εἰ τὸ ψεῦδος
ὄντως ὂν ψεῦδος, καὶ τῶν ὄντων ἕν τι φανείη πεφυ-
κός. ΘΕΑΙ. Ἦν γὰρ οὖν. ΞΕ. Οὐκοῦν ἐφάνη τε,
καὶ διὰ ταῦτα δὴ καταριθμήσομεν αὐτὼ νῦν ἀναμ-
φισβητήτως εἴδη δύο; ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ τοίνυν
φανταστικὸν αὖθις διορίζομεν δίχα. ΘΕΑΙ. Πῇ;
ΞΕ. Τὸ μὲν δι᾽ ὀργάνων γιγνόμενον, τὸ δὲ αὐτοῦ
παρέχοντος ἑαυτὸν ὄργανον τοῦ ποιοῦντος τὸ φάν-
τασμα. ΘΕΑΙ. Πῶς φής; ΞΕ. Ὅταν, οἶμαι, τὸ σὸν
σχῆμά τις, τῷ ἑαυτοῦ χρώμενος σώματι, προσόμοιον
ἢ φωνὴν φωνῇ φαίνεσθαι ποιῇ, μίμησις τοῦτο τῆς
φανταστικῆς μάλιστα κέκληταί που. ΘΕΑΙ. Ναί.
ΞΕ. Μιμητικὸν δὴ τοῦτο αὐτῆς προσειπόντες ἀπονει-
μώμεθα· τὸ δ᾽ ἄλλο πᾶν ἀφῶμεν μαλακισθέντες,
καὶ παρέντες ἑτέρῳ ξυναγαγεῖν τε εἰς ἓν καὶ πρέ-
πουσαν ἐπωνυμίαν ἀποδοῦναί τιν᾽ αὐτῷ. ΘΕΑΙ.
Νενεμήσθω, τὸ δὲ μεθείσθω. ΞΕ. Καὶ μὴν καὶ
τοῦτο ἔτι διπλοῦν, ὦ Θεαίτητε, ἄξιον ἡγεῖσθαι· δι᾽
ἃ δέ, σκόπει. ΘΕΑΙ. Λέγε. ΞΕ. Τῶν μιμουμένων,
οἱ μὲν εἰδότες ὃ μιμοῦνται, τοῦτο πράττουσιν, οἱ
δ᾽ οὐκ εἰδότες. καίτοι τίνα μείζω διαίρεσιν ἀγνωσίας

τε καὶ γνώσεως θήσομεν; ΘΕΑΙ. Οὐδεμίαν. ΞΕ. Οὐκοῦν τό γε ἄρτι λεχθὲν εἰδότων ἦν μίμημα· τὸ γὰρ σὸν σχῆμα καὶ σὲ γιγνώσκων ἄν τις μιμήσαιτο. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Τί δαὶ δικαιοσύνης τὸ σχῆμα καὶ ὅλης ξυλλήβδην ἀρετῆς; ἆρ' οὐκ ἀγνοοῦντες μέν, δοξάζοντες δέ πῃ, σφόδρα ἐπιχειροῦσι πολλοὶ τὸ δοκοῦν σφίσι τοῦτο ὡς ἐνὸν αὐτοῖς προθυμεῖσθαι φαίνεσθαι ποιεῖν, ὅτιμάλιστα ἔργοις τε καὶ λόγοις μιμούμενοι; ΘΕΑΙ. Καὶ πάνυ γε πολλοί. ΞΕ. Μῶν οὖν πάντες ἀποτυγχάνουσι τοῦ δοκεῖν εἶναι δίκαιοι, μηδαμῶς ὄντες, ἢ τούτου πᾶν τοὐναντίον; ΘΕΑΙ. Πᾶν. ΞΕ. Μιμητὴν δὴ τοῦτόν γε ἕτερον ἐκείνου λεκτέον, οἶμαι, τὸν ἀγνοοῦντα τοῦ γιγνώσκοντος. ΘΕΑΙ. Ναί. LII. ΞΕ. Πόθεν οὖν ὄνομα ἑκατέρῳ τις αὐτῶν λήψεται πρέπον; ἢ δῆλον δὴ χαλεπὸν ὄν; διότι τῆς τῶν γενῶν κατ' εἴδη διαιρέσεως παλαιά τις, ὡς ἔοικεν, αἰτία τοῖς ἔμπροσθεν καὶ ἀσύννους παρῆν, ὥστε μηδ' ἐπιχειρεῖν μηδένα διαιρεῖσθαι, καθὸ δὴ τῶν ὀνομάτων ἀνάγκη μὴ σφόδρα εὐπορεῖν. ὅμως δέ, κἂν ᾖ τολμηρότερον εἰρῆσθαι, διαγνώσεως ἕνεκα τὴν μὲν μετὰ δόξης μίμησιν, δοξομιμητικὴν προσείπωμεν· τὴν δὲ μετ' ἐπιστήμης, ἱστορικήν τινα μίμησιν. ΘΕΑΙ. Ἔστω. ΞΕ. Θατέρῳ τοίνυν χρηστέον· ὁ γὰρ σοφιστὴς οὐκ ἐν τοῖς εἰδόσιν ἦν, ἀλλ' ἐν τοῖς μιμουμένοις δή. ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Τὸν δοξομιμητὴν δὴ σκοπώμεθα, ὥσπερ σίδηρον, εἴτε ὑγιὴς εἴτε διπλόην ἔχων τινά ἐστιν ἐν ἑαυτῷ. ΘΕΑΙ. Σκοπῶμεν. ΞΕ. Ἔχει τοίνυν καὶ

μάλα συχνήν. ὁ μὲν γὰρ εὐήθης αὐτῶν ἐστιν, οἰόμενος εἰδέναι ταῦτα ἃ δοξάζει· τὸ δὲ θατέρου σχῆμα, διὰ τὴν ἐν τοῖς λόγοις κυλίνδησιν, ἔχει πολλὴν ὑποψίαν καὶ φόβον ὡς ἀγνοεῖ ταῦτα, ἃ πρὸς τοὺς ἄλλους ὡς εἰδὼς ἐσχημάτισται. ΘΕΑΙ. Πάνυ μὲν οὖν ἐστιν ἑκατέρου γένους ὧν εἴρηκας. ΞΕ. Οὐκοῦν τὸν μὲν ἁπλοῦν μιμητήν τινα, τὸν δέ, εἰρωνικὸν μιμητὴν θήσομεν; ΘΕΑΙ. Εἰκός γοῦν. ΞΕ. Τούτου δ' αὖ τὸ γένος ἓν ἢ δύο φῶμεν; ΘΕΑΙ. Ὅρα σύ. ΞΕ. Σκοπῶ, καί μοι διττὼ καταφαίνεσθόν τινε· τὸν μὲν δημοσίᾳ τε καὶ μακροῖς λόγοις πρὸς πλήθη δυνατὸν εἰρωνεύεσθαι καθορῶ· τὸν δὲ ἰδίᾳ τε καὶ βραχέσι λόγοις ἀναγκάζοντα τὸν προσδιαλεγόμενον ἐναντιολογεῖν αὐτὸν αὑτῷ. ΘΕΑΙ. Λέγεις ὀρθότατα. ΞΕ. Τίνα οὖν ἀποφαινώμεθα τὸν μακρολογώτερον εἶναι; πότερα πολιτικόν, ἢ δημολογικόν; ΘΕΑΙ. Δημολογικόν. ΞΕ. Τί δὲ τὸν ἕτερον ἐροῦμεν; σοφόν, ἢ σοφιστικόν; ΘΕΑΙ. Τὸ μέν που σοφὸν ἀδύνατον, ἐπείπερ οὐκ εἰδότα αὐτὸν ἔθεμεν· μιμητὴς δ' ὢν τοῦ σοφοῦ, δῆλον ὅτι παρωνύμιον αὐτοῦ τι λήψεται· καὶ σχεδὸν ἤδη μεμάθηκα ὅτι τοῦτον δεῖ προσειπεῖν ἀληθῶς αὐτὸν ἐκεῖνον τὸν παντάπασιν ὄντως σοφιστήν. ΞΕ. Οὐκοῦν ξυνδήσωμεν αὐτοῦ, καθάπερ ἔμπροσθεν, τοὔνομα, ξυμπλέξαντες ἀπὸ τελευτῆς ἐπ' ἀρχήν; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Τὸ δὴ τῆς ἐναντιοποιολογικῆς εἰρωνικοῦ μέρους τῆς δοξαστικῆς μιμητικόν, τοῦ φανταστικοῦ γένους ἀπὸ τῆς εἰδωλοποιϊκῆς, οὐ θεῖον

ἀλλ᾽ ἀνθρώπινον τῆς ποιήσεως ἀφωρισμένον ἐν λόγοις τὸ θαυματοποιικὸν μόριον, ταύτης τῆς γενεᾶς τε καὶ αἵματος ὃς ἂν φῇ τὸν ὄντως σοφιστὴν εἶναι, τἀληθέστατα, ὡς ἔοικεν, ἐρεῖ. *ΘΕΑΙ. Παντάπασι μὲν οὖν.*

ΕΥΘΥΔΗΜΟΣ.

ΚΡΙΤΩΝ. Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ διελέγου; ἦ πολὺς ὑμᾶς ὄχλος περιειστήκει, ὥστε ἔγωγε βουλόμενος ἀκούειν προσελθὼν οὐδὲν οἷός τ' ἦν ἀκοῦσαι σαφές· ὑπερκύψας μέντοι κατεῖδον, καί μοι ἔδοξεν εἶναι ξένος τις ᾧ διελέγου· τίς ἦν; ΣΩ. Ὁπότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύο ἤστην. ΚΡ. Ὃν μὲν ἐγὼ λέγω, ἐκ δεξιᾶς τρίτος ἀπὸ σοῦ καθῆστο· ἐν μέσῳ δ' ὑμῶν τὸ Ἀξιόχου μειράκιον ἦν· καὶ μάλα πολύ, ὦ Σώκρατες, ἐπιδεδωκέναι μοι ἔδοξε, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέρειν Κριτοβούλου· ἀλλ' ἐκεῖνος μὲν σκληφρός, οὗτος δὲ προφερὴς καὶ καλὸς καὶ ἀγαθὸς τὴν ὄψιν. ΣΩ. Εὐθύδημος οὗτός ἐστιν, ὦ Κρίτων, ὃν ἐρωτᾷς· ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς, ἀδελφὸς τούτου, Διονυσόδωρος· μετεῖχε δὲ καὶ οὗτος τῶν λόγων. ΚΡ. Οὐδέτερον γιγνώσκω, ὦ Σώκρατες. ΣΩ. Καινοί τινες αὖ οὗτοι, ὡς ἔοικε, σοφισταί. ΚΡ. Ποδαποὶ δέ; καὶ τίς ἡ σοφία; ΣΩ. Οὗτοι τὸ μὲν γένος, ὡς ἐγᾦμαι, ἐντεῦθέν ποθέν εἰσιν ἐκ Χίου,

ἀπῴκησαν δὲ ἐς Θουρίους· φεύγοντες δὲ ἐκεῖθεν, πόλλ' ἤδη ἔτη περὶ τούςδε τοὺς τόπους διατρίβουσιν. ὃ δὲ σὺ ἐρωτᾷς τὴν σοφίαν αὐτοῖν, θαυμάσι' ὦ Κρίτων, πάνσοφοι ἀτεχνῶς. ὡς ἔγωγε οὐδ' ᾔδη προτοῦ, ὅ, τι εἶεν οἱ παγκρατιασταί· τούτω γάρ ἐστὸν κομιδῇ παμμάχω, οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ. ἐκείνω μὲν γὰρ τῷ σώματι μόνον οἵω τε μάχεσθαι· τούτω δὲ πρῶτον μὲν τῷ σώματι δεινοτάτω ἐστὸν, καὶ μάχῃ ᾗ πάντων ἐστὶ κρατεῖν· ἐν ὅπλοις γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι, καὶ ἄλλον, ὃς ἂν διδῷ μισθὸν, οἵω τε ποιῆσαι· ἔπειτα τὴν ἐν τοῖς δικαστηρίοις μάχην κρατίστω καὶ ἀγωνίσασθαι καὶ ἄλλον διδάξαι λέγειν τε καὶ ξυγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια. προτοῦ μὲν οὖν ταῦτα δεινὼ ἤστην μόνον, νῦν δὲ τέλος ἐπιτεθείκατον παγκρατιαστικῇ τέχνῃ. ἣ γὰρ ἔτι λοιπὴ αὐτοῖν ἦν μάχη ἀργός, ταύτην νῦν ἐξειργάσθον ὥστε μηδ' ἂν ἕνα αὐτοῖς οἷόν τ' εἶναι μηδ' ἀντᾶραι· οὕτω δεινὼ γεγόνατον ἐν τοῖς λόγοις μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ ἀεὶ λεγόμενον, ὁμοίως ἐάν τε ψεῦδος, ἐάν τε ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ἐν νῷ ἔχω τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν. καὶ γάρ φατον ἐν ὀλίγῳ χρόνῳ ποιῆσαι ἂν καὶ ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν. ΚΡ. Τί δαί, ὦ Σώκρατες; οὐ φοβῇ τὴν ἡλικίαν μὴ ἤδη πρεσβύτερος ᾖς; ΣΩ. Ἥκιστά γε, ὦ Κρίτων, ἱκανὸν τεκμήριον ἔχων καὶ παραμύθιον τοῦ μὴ φοβεῖσθαι· αὐτὼ γὰρ τούτω, ὡς ἔπος εἰπεῖν, γέροντε ὄντε ἠρξάσθην ταύτης τῆς σοφίας, ἧς

ΕΥΘΥΔΗΜΟΣ.

ΚΡΙΤΩΝ. Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ διελέγου; ἦ πολὺς ὑμᾶς ὄχλος περιειστήκει, ὥστ' ἔγωγε βουλόμενος ἀκούειν προσελθὼν οὐδὲν οἷός τ' ἦν ἀκοῦσαι σαφές· ὑπερκύψας μέντοι κατεῖδον, καί μοι ἔδοξεν εἶναι ξένος τις ᾧ διελέγου· τίς ἦν; ΣΩ. Ὁπότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύο ἤστην. ΚΡ. Ὃν μὲν ἐγὼ λέγω, ἐκ δεξιᾶς τρίτος ἀπὸ σοῦ καθῆστο· ἐν μέσῳ δ' ὑμῶν τὸ Ἀξιόχου μειράκιον ἦν· καὶ μάλα πολύ, ὦ Σώκρατες, ἐπιδεδωκέναι μοι ἔδοξε, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέρειν Κριτοβούλου· ἀλλ' ἐκεῖνος μὲν σκληφρός, οὗτος δὲ προφερὴς καὶ καλὸς καὶ ἀγαθὸς τὴν ὄψιν. ΣΩ. Εὐθύδημος οὗτός ἐστιν, ὦ Κρίτων, ὃν ἐρωτᾷς· ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς, ἀδελφὸς τούτου, Διονυσόδωρος· μετεῖχε δὲ καὶ οὗτος τῶν λόγων. ΚΡ. Οὐδέτερον γιγνώσκω, ὦ Σώκρατες. ΣΩ. Καινοί τινες αὖ οὗτοι, ὡς ἔοικε, σοφισταί. ΚΡ. Ποδαποὶ δέ; καὶ τίς ἡ σοφία; ΣΩ. Οὗτοι τὸ μὲν γένος, ὡς ἐγῷμαι, ἐντεῦθέν ποθέν εἰσιν ἐκ Χίου,

ἀπῴκησαν δὲ ἐς Θουρίους· φεύγοντες δὲ ἐκεῖθεν, πόλλ' ἤδη ἔτη περὶ τούςδε τοὺς τόπους διατρίβουσιν. ὃ δὲ σὺ ἐρωτᾷς τὴν σοφίαν αὐτοῖν, θαυμάσι' ὦ Κρίτων, πάνσοφοι ἀτεχνῶς. ὡς ἔγωγε οὐδ' ᾔδη προτοῦ, ὅ, τι εἶεν οἱ παγκρατιασταί· τούτω γάρ ἐστὸν κομιδῇ παμμάχω, οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ. ἐκείνω μὲν γὰρ τῷ σώματι μόνον οἵω τε μάχεσθαι· τούτω δὲ πρῶτον μὲν τῷ σώματι δεινοτάτω ἐστὸν, καὶ μάχῃ ᾗ πάντων ἐστὶ κρατεῖν· ἐν ὅπλοις γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι, καὶ ἄλλον, ὃς ἂν διδῷ μισθὸν, οἵω τε ποιῆσαι· ἔπειτα τὴν ἐν τοῖς δικαστηρίοις μάχην κρατίστω καὶ ἀγωνίσασθαι καὶ ἄλλον διδάξαι λέγειν τε καὶ ξυγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια. προτοῦ μὲν οὖν ταῦτα δεινὼ ἤστην μόνον, νῦν δὲ τέλος ἐπιτεθείκατον παγκρατιαστικῇ τέχνῃ. ᾗ γὰρ ἔτι λοιπὴ αὐτοῖν ἦν μάχη ἀργὸς, ταύτην νῦν ἐξειργάσθον ὥςτε μηδ' ἂν ἕνα αὐτοῖς οἷόν τ' εἶναι μηδ' ἀντᾶραι· οὕτω δεινὼ γεγόνατον ἐν τοῖς λόγοις μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ ἀεὶ λεγόμενον, ὁμοίως ἐάν τε ψεῦδος, ἐάν τε ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ἐν νῷ ἔχω τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν. καὶ γάρ φατον ἐν ὀλίγῳ χρόνῳ ποιῆσαι ἂν καὶ ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν. ΚΡ. Τί δαί, ὦ Σώκρατες; οὐ φοβῇ τὴν ἡλικίαν μὴ ἤδη πρεςβύτερος ᾖς; ΣΩ. Ἥκιστά γε, ὦ Κρίτων, ἱκανὸν τεκμήριον ἔχων καὶ παραμύθιον τοῦ μὴ φοβεῖσθαι· αὐτὼ γὰρ τούτω, ὡς ἔπος εἰπεῖν, γέροντε ὄντε ἠρξάσθην ταύτης τῆς σοφίας, ἧς

ἔγωγε ἐπιθυμῶ, τῆς ἐριστικῆς· πέρυσι δὲ ἢ προπέρυσιν οὐδέπω ἤστην σοφώ. ἀλλ' ἐγὼ ἓν μόνον φοβοῦμαι, μὴ αὐτὸς ὄνειδος τοῖν ξένοιν περιάψω, ὥςπερ Κόννῳ τῷ Μητροβίου τῷ κιθαριστῇ, ὃς ἐμὲ διδάσκει ἔτι καὶ νῦν κιθαρίζειν. ὁρῶντες οὖν οἱ παῖδες οἱ ξυμφοιτηταί μου, ἐμοῦ τε καταγελῶσι καὶ τὸν Κόννον καλοῦσι γεροντοδιδάσκαλον. Μὴ οὖν καὶ τοῖν ξένοιν τις ταυτὸ τοῦτο ὀνειδίσῃ· οἱ δ' αὐτὸ τοῦτο ἴσως φοβούμενοι τάχα με οὐκ ἂν ἐθέλοιεν προςδέξασθαι. ἐγὼ δ', ὦ Κρίτων, ἐκεῖσε μὲν ἄλλους πέπεικα ξυμμαθητάς μοι φοιτᾶν πρεςβύτας, ἐνταῦθα δέ γε ἑτέρους πειράσομαι πείθειν, καὶ σύ τι που ξυμφοίτα. ἴσως δὲ δέλεαρ ἄξομεν αὐτοῖς τοὺς σοὺς υἱεῖς· ἐφιέμενοι γὰρ ἐκείνων οἶδ' ὅτι καὶ ἡμᾶς παιδεύσουσιν. ΚΡ. Ἀλλ' οὐδὲν κωλύει, ὦ Σώκρατες, ἐάν γε σοὶ δοκῇ. πρῶτον δέ μοι διήγησαι τὴν σοφίαν τοῖν ἀνδροῖν τίς ἐστιν, ἵνα εἰδῶ ὅ, τι καὶ μαθησόμεθα. II. ΣΩ. Οὐκ ἂν φθάνοις ἀκούων· ὡς οὐκ ἂν ἔχοιμί γε εἰπεῖν, ὅτι οὐ προςεῖχον τὸν νοῦν αὐτοῖν, ἀλλὰ πάνυ καὶ προςεῖχον καὶ μέμνημαι, καί σοι πειράσομαι ἐξ ἀρχῆς ἅπαντα διηγήσασθαι. κατὰ θεὸν γάρ τινα ἔτυχον καθήμενος ἐνταῦθα, οὗπερ σύ με εἶδες, ἐν τῷ ἀποδυτηρίῳ, μόνος, καὶ ἤδη ἐν νῷ εἶχον ἀναστῆναι· ἀνισταμένου δέ μου ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. πάλιν οὖν ἐκαθεζόμην, καὶ ὀλίγῳ ὕστερον εἰςέρχεσθον τούτω, ὅ, τ' Εὐθύδημος καὶ ὁ Διονυσόδωρος, καὶ ἄλλοι μαθηταὶ ἅμα πολλοί, ἐμοὶ δοκεῖ. εἰςελθόντε δὲ περιεπατείτην ἐν τῷ καταστέγῳ

δρόμω, καὶ οὔπω τούτω δύ' ἢ τρεῖς δρόμους περιε-
ληλυθότε ἤστην καὶ εἰςέρχεται Κλεινίας, ὃν σὺ φῂς
πολὺ ἐπιδεδωκέναι, ἀληθῆ λέγων· ὄπισθεν δὲ αὐτοῦ
ἐρασταὶ πάνυ πολλοί τε καὶ ἄλλοι, καὶ Κτήσιππος,
νεανίσκος τις Παιανιεὺς μάλα καλός τε κἀγαθὸς
τὴν φύσιν ὅσον μέν, ὑβριστὴς δὲ διὰ τὸ νέος εἶναι.
ἰδὼν οὖν με ὁ Κλεινίας ἀπὸ τῆς εἰςόδου μόνον κα-
θήμενον, ἄντικρυς ἰὼν παρεκαθίζετο ἐκ δεξιᾶς,
ὥςπερ καὶ σὺ φῄς. ἰδόντε δὲ αὐτὸν ὅ τε Διονυσό-
δωρος καὶ ὁ Εὐθύδημος, πρῶτον μὲν ἐπιστάντε διε-
λεγέσθην ἀλλήλοιν, ἄλλην καὶ ἄλλην ἀποβλέποντε
εἰς ἡμᾶς (καὶ γὰρ πάνυ προςεῖχον αὐτοῖν τὸν νοῦν),
ἔπειτα ἰόντε, ὁ μὲν παρὰ τὸ μειράκιον ἐκαθέζετο, ὁ
Εὐθύδημος, ὁ δὲ παρ' αὐτόν με, ἐξ ἀριστερᾶς· οἱ
δ' ἄλλοι, ὡς ἕκαστος ἐτύγχανεν. ἠσπαζόμην οὖν αὐ-
τώ, ἅτε διὰ χρόνου ἑωρακώς· μετὰ δὲ τοῦτο εἶπον
πρὸς τὸν Κλεινίαν· Ὦ Κλεινία, τώδε μέντοι τὼ ἄν-
δρε σοφώ, Εὐθύδημός τε καὶ Διονυσόδωρος, οὐ τὰ
σμικρά, ἀλλὰ τὰ μεγάλα· τὰ γὰρ περὶ τὸν πόλεμον
πάντα ἐπίστασθον, ὅσα δεῖ τὸν μέλλοντα ἀγαθὸν
στρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ τὰς ἡγεμονίας
τῶν στρατοπέδων, καὶ ὅσα ἐν ὅπλοις μάχεσθαι δι-
δακτέον· οἵω τε δὲ καὶ ποιῆσαι, δυνατὸν εἶναι αὐτὸν
αὑτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις, ἄν τις αὐτὸν ἀδι-
κῇ. III. Εἰπὼν οὖν ταῦτα κατεφρονήθην ὑπ' αὐτοῖν·
ἐγελασάτην οὖν ἄμφω βλέψαντες εἰς ἀλλήλω, καὶ ὁ
Εὐθύδημος εἶπεν· Οὔτοι ἔτι ταῦτα, ὦ Σώκρατες,
σπουδάζομεν, ἀλλὰ παρέργοις αὐτοῖς χρώμεθα. καὶ

ἐγὼ θαυμάσας εἶπον· Καλὸν ἄν που τὸ ἔργον ὑμῶν εἴη, εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχάνει ὄντα· καὶ πρὸς θεῶν εἴπετόν μοι, τί ἐστι τοῦτο τὸ καλόν. Ἀρετήν, ἔφη, ὦ Σώκρατες, οἰόμεθα οἵω τ' εἶναι παραδοῦναι κάλλιστ' ἀνθρώπων καὶ τάχιστα. Ὦ Ζεῦ, οἷον, ἦν δ' ἐγώ, λέγετον πρᾶγμα· πόθεν τοῦτο τὸ ἕρμαιον εὑρέτην; ἐγὼ δὲ περὶ ὑμῶν διενοούμην ἔτι, ὥσπερ νῦν δὴ ἔλεγον, ὡς τὸ πολὺ τοῦτο δεινοῖν ὄντοιν, ἐν ὅπλοις μάχεσθαι, καὶ ταῦτα ἔλεγον περὶ σφῷν· ὅτε γὰρ τοπρότερον ἐπεδημείτην, τοῦτο μέμνημαι σφὼ ἐπαγγελλομένω· εἰ δὲ νῦν ἀληθῶς ταύτηντὴν ἐπιστήμην ἔχετον, ἵλεω εἴητον. ἀτεχνῶς γὰρ ἔγωγε σφὼ ὥσπερ θεὼ προσαγορεύω, ξυγγνώμην δεόμενος ἔχειν μοι τῶν ἔμπροσθεν εἰρημένων. ἀλλ' ὁρᾶτον, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε, εἰ ἀληθῆ λέγετον. ὑπὸ γὰρ τοῦ μεγέθους τοῦ ἐπαγγέλματος οὐδὲν θαυμαστὸν ἀπιστεῖν. Ἀλλ' εὖ ἴσθι, ὦ Σώκρατες, ἔφατον, τοῦτο οὕτως ἔχον. Μακαρίζω ἄρ' ὑμᾶς ἔγωγε τοῦ κτήματος πολὺ μᾶλλον ἢ μέγαν βασιλέα τῆς ἀρχῆς. τοσόνδε δέ μοι εἴπετον, εἰ ἐν νῷ ἔχετον ἐπιδεικνύναι ταύτην τὴν σοφίαν, ἢ πῶς σφῷν βεβούλευται. Ἐπ' αὐτό γε τοῦτο πάρεσμεν, ὦ Σώκρατες, ὡς ἐπιδείξοντε καὶ διδάξοντε, ἐάν τις ἐθέλῃ μανθάνειν. Ἀλλ' ὅτι μὲν ἐθελήσουσιν ἅπαντες οἱ μὴ ἔχοντες, ἐγὼ ὑμῖν ἐγγυῶμαι, πρῶτος μὲν ἐγώ, ἔπειτα δὲ Κλεινίας οὑτοσί, πρὸς δ' ἡμῖν Κτήσιππός τε ὅδε καὶ οἱ ἄλλοι οὗτοι, ἦν δ' ἐγώ, δεικνὺς αὐτῷ τοὺς ἐραστὰς τοῦ Κλεινίου· οἱ δὲ ἐτύγχανον ἡμᾶς ἤδη

περιϊστάμενοι· ὁ γὰρ Κτήσιππος ἔτυχε πόῤῥω καθ-
εζόμενος τοῦ Κλεινίου, ἐμοὶ δοκεῖν· ὡς δ' ἐτύγχανεν
ὁ Εὐθύδημος ἐμοὶ διαλεγόμενος, προνενευκὼς εἰς τὸ
πρόσθεν, ἐν μέσῳ ὄντος ἡμῶν τοῦ Κλεινίου, ἐπεσκό-
τει τῷ Κτησίππῳ τῆς θέας· βουλόμενός τε οὖν θεά-
σασθαι ὁ Κτήσιππος τὰ παιδικὰ καὶ ἅμα φιλήκοος
ὤν, ἀναπηδήσας πρῶτος προςέστη ἡμῖν ἐν τῷ κατ-
αντικρύ· οὕτως οὖν καὶ οἱ ἄλλοι ἐκεῖνον ἰδόντες
περιέστησαν ἡμᾶς, οἵ τε τοῦ Κλεινίου ἐρασταὶ καὶ
οἱ τοῦ Εὐθυδήμου τε καὶ Διονυσοδώρου ἑταῖροι.
τούτους δὴ ἐγὼ δεικνὺς ἔλεγον τῷ Εὐθυδήμῳ, ὅτι
πάντες ἕτοιμοι εἶεν μανθάνειν. ὅ τε οὖν Κτήσιπ-
πος ξυνέφη μάλα προθύμως καὶ οἱ ἄλλοι, καὶ ἐκέ-
λευον αὐτὼ κοινῇ πάντες ἐπιδείξασθαι τὴν δύναμιν
τῆς σοφίας. IV. Εἶπον οὖν ἐγώ, ὦ Εὐθύδημε καὶ
Διονυσόδωρε, πάνυ μὲν οὖν παντὶ τρόπῳ καὶ τούτοις
χαρίσασθον καὶ ἐμοῦ ἕνεκα ἐπιδείξασθον. τὰ μὲν
οὖν πλεῖστα δῆλον ὅτι οὐκ ὀλίγον ἔργον ἐπιδεῖξαι
εἴη ἄν· τόδε δέ μοι εἴπετον, πότερον πεπεισμένον
ἤδη, ὡς χρὴ παρ' ὑμῶν μανθάνειν, δύναισθ' ἂν ἀγα-
θὸν ποιῆσαι ἄνδρα μόνον, ἢ καὶ ἐκεῖνον τὸν μήπω
πεπεισμένον, διὰ τὸ μὴ οἴεσθαι ὅλως τὸ πρᾶγμα
τὴν ἀρετὴν μαθητὸν εἶναι, ἢ μὴ σφὼ εἶναι αὐτῆς δι-
δασκάλω· φέρε, καὶ τὸν οὕτως ἔχοντα τῆς αὐτῆς τέχ-
νης ἔργον πεῖσαι ὡς καὶ διδακτὸν ἡ ἀρετή; καὶ οὗ-
τοι ὑμεῖς ἐστὲ παρ' ὧν ἂν κάλλιστά τις αὐτὸ μάθοι,
ἢ ἄλλως; Ταύτης μὲν οὖν, ἔφη, τῆς αὐτῆς, ὦ Σώ-
κρατες, ὁ Διονυσόδωρος. Ὑμεῖς ἄρα, ἦν δ' ἐγώ, ὦ

Διονυσόδωρε, τῶν νῦν ἀνθρώπων κάλλιστ' ἂν προ-
τρέψαιτε εἰς φιλοσοφίαν καὶ ἀρετῆς ἐπιμέλειαν;
Οἰόμεθά γε δή, ὦ Σώκρατες. Τῶν μὲν τοίνυν ἄλ-
λων τὴν ἐπίδειξιν ἡμῖν, ἔφην, εἰσαῦθις ἀπόθεσθον·
τοῦτο δ' αὐτὸ ἐπιδείξασθον· τουτονὶ τὸν νεανίσκον
πείσατον, ὡς χρὴ φιλοσοφεῖν καὶ ἀρετῆς ἐπιμελεῖ-
σθαι, καὶ χαριεῖσθον ἐμοί τε καὶ τουτοισὶ πᾶσι.
ξυμβέβηκε γάρ τι τοιοῦτον τῷ μειρακίῳ τούτῳ· ἐγώ
τε καὶ οἵδε πάντες τυγχάνομεν ἐπιθυμοῦντες ὡς βέλ-
τιστον αὐτὸν γενέσθαι. ἔστι δὲ οὗτος Ἀξιόχου μὲν
υἱός, τοῦ Ἀλκιβιάδου τοῦ παλαιοῦ, αὐτανεψιὸς δὲ
τοῦ νῦν ὄντος Ἀλκιβιάδου· ὄνομα δ' αὐτῷ Κλεινίας.
ἔστι δὲ νέος· φοβούμεθα δὴ περὶ αὐτοῦ, οἷον εἰκὸς
περὶ νέου, μή τις φθῇ ἡμᾶς ἐπ' ἄλλο τι ἐπιτήδευμα
τρέψας αὐτοῦ τὴν διάνοιαν, καὶ διαφθαρῇ. σφὼ
οὖν ἥκετον εἰς κάλλιστον. ἀλλ' εἰ μή τι διαφέρει
ὑμῖν, λάβετον πεῖραν τοῦ μειρακίου, καὶ διαλεχθῆ-
τον ἐναντίον ἡμῶν. Εἰπόντος οὖν ἐμοῦ σχεδόν τι
αὐτὰ ταῦτα, ὁ Εὐθύδημος ἅμα ἀνδρείως τε καὶ θαῤ-
ῥαλέως, Ἀλλ' οὐδὲν διαφέρει, ὦ Σώκρατες, ἔφη, ἐὰν
μόνον ἐθέλῃ ἀποκρίνασθαι ὁ νεανίσκος. Ἀλλὰ μὲν
δή, ἔφην ἐγώ, τοῦτό γε καὶ εἴθισται· θαμὰ γὰρ αὐ-
τῷ οἵδε προσιόντες πολλὰ ἐρωτῶσί τε καὶ διαλέγον-
ται, ὥςτε ἐπιεικῶς θαῤῥεῖ τὸ ἀποκρίνεσθαι. V. Τὰ
δὴ μετὰ ταῦτα, ὦ Κρίτων, πῶς ἂν καλῶς σοὶ διηγη-
σαίμην; οὐ γὰρ σμικρὸν τὸ ἔργον, δύνασθαι ἀναλα-
βεῖν διεξιόντα σοφίαν ἀμήχανον ὅσην· ὥςτ' ἔγωγε, κα-
θάπερ οἱ ποιηταί, δέομαι, ἀρχόμενος τοσῆσδε τῆς διη-

γήσεως, Μούσας τε καὶ Μνημοσύνην ἐπικαλεῖσθαι. ἤρξατο δ' οὖν ἐνθένδε ποθὲν ὁ Εὐθύδημος, ὡς ἐγῷμαι· Ὦ Κλεινία, πότεροί εἰσι τῶν ἀνθρώπων οἱ μανθάνοντες; οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; Καὶ τὸ μειράκιον, ἅτε μεγάλου ὄντος τοῦ ἐρωτήματος, ἠρυθρίασέ τε, καὶ ἀπορήσας ἐνέβλεψεν εἰς ἐμέ· καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον, Θάῤῥει, ἦν δ' ἐγώ, ὦ Κλεινία, καὶ ἀπόκριναι ἀνδρείως ὁπότερά σοι φαίνεται· ἴσως γάρ τοι ὠφελῇ τὴν μεγίστην ὠφέλειαν. καὶ ἐν τούτῳ ὁ Διονυσόδωρος προσκύψας μοι σμικρὸν πρὸς τὸ οὖς, πάνυ μειδιάσας τῷ προσώπῳ, Καὶ μήν, ἔφη, ὦ Σώκρατες, προλέγω ὅτι, ὁπότερ' ἂν ἀποκρίνηται τὸ μειράκιον, ἐξελεγχθήσεται. καὶ αὐτοῦ μεταξὺ ταῦτα λέγοντος, ὁ Κλεινίας ἔτυχεν ἀποκρινάμενος, ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ, ἀλλ' ἀπεκρίνατο ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθάνοντες. Καὶ ὁ Εὐθύδημος, Καλεῖς δέ τινας, ἔφη, διδασκάλους, ἢ οὔ; Ὡμολόγει. Οὐκοῦν τῶν μανθανόντων οἱ διδάσκαλοι, διδάσκαλοί εἰσιν; ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς διδάσκαλοι δήπου ἦσαν σοῦ καὶ τῶν ἄλλων παίδων, ὑμεῖς δέ, μαθηταί. Ξυνέφη. Ἄλλοτι οὖν, ἡνίκα ἐμανθάνετε, οὔπω ἠπίστασθε ταῦτα ἃ ἐμανθάνετε; Οὐκ ἔφη. Ἆρ' οὖν σοφοὶ ἦτε ὅτε ταῦτα οὐκ ἠπίστασθε; Οὐ δῆτα, ἦ δ' ὅς. Οὐκοῦν, εἰ μὴ σοφοί, ἀμαθεῖς; Πάνυ γε. Ὑμεῖς ἄρα μανθάνοντες ἃ οὐκ ἠπίστασθε, ἀμαθεῖς ὄντες ἐμανθάνετε. Ἐπένευσε τὸ μειράκιον. Οἱ ἀμαθεῖς ἄρα μανθάνουσιν, ὦ Κλει-

νία, ἀλλ' οὐχ οἱ σοφοί, ὡς σὺ οἴει. Ταῦτ' οὖν εἰπόντος αὐτοῦ, ὥςπερ ὑπὸ διδασκάλου χορὸς ἀποσημήναντος, ἅμα ἀνεθορύβησάν τε καὶ ἐγέλασαν οἱ ἑπόμενοι ἐκεῖνοι μετὰ τοῦ Διονυσοδώρου τε καὶ Εὐθυδήμου, καί, πρὶν ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον, ἐκδεξάμενος ὁ Διονυσόδωρος, Τί δέ, ὦ Κλεινία, ἔφη, ὁπότε ἀποστοματίζοι ὑμῖν ὁ γραμματιστής, πότεροι ἐμάνθανον τῶν παίδων τὰ ἀποστοματιζόμενα; οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; Οἱ σοφοί, ἔφη ὁ Κλεινίας. Οἱ σοφοὶ ἄρα μανθάνουσιν, ἀλλ' οὐχ οἱ ἀμαθεῖς, καὶ οὐκ ὀρθῶς ἄρτι Εὐθυδήμῳ ἀπεκρίνω.

VI. Ἐνταῦθα δὴ καὶ πάνυ γε μέγα ἐγέλασάν τε καὶ ἐθορύβησαν οἱ ἐρασταὶ τοῖν ἀνδροῖν, ἀγασθέντες τῆς σοφίας αὐτοῖν· οἱ δ' ἄλλοι ἡμεῖς ἐκπεπληγμένοι ἐσιωπῶμεν. γνοὺς δὲ ἡμᾶς ὁ Εὐθύδημος ἐκπεπληγμένους, ἵν' ἔτι μᾶλλον θαυμάζοιμεν αὐτόν, οὐκ ἀνίει τὸ μειράκιον, ἀλλ' ἠρώτα, καί, ὥςπερ οἱ ἀγαθοὶ ὀρχησταί, διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα περὶ τοῦ αὐτοῦ· καὶ ἔφη, Πότερα γὰρ οἱ μανθάνοντες μανθάνουσιν, ἃ ἐπίστανται, ἢ ἃ μὴ ἐπίστανται; Καὶ ὁ Διονυσόδωρος πάλιν σμικρὸν πρός με ψιθυρίσας, Καὶ τοῦτ', ἔφη, ὦ Σώκρατες, ἕτερον τοιοῦτον οἷον τὸ πρότερον. Ὦ Ζεῦ, ἔφην ἐγώ, ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν ἡμῖν ἐφάνη τὸ ἐρώτημα. Πάντ', ἔφη, ὦ Σώκρατες, τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα. Τοιγάρτοι, ἦν δ' ἐγώ, δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς μαθηταῖς. Ἐν δὲ τούτῳ ὁ μὲν Κλεινίας τῷ Εὐθυδήμῳ ἀπεκρίνατο, ὅτι μανθάνοιεν οἱ μανθάνοντες ἃ οὐκ ἐπίσταιν-

το· ὁ δὲ ἤρετο αὐτὸν διὰ τῶν αὐτῶν ὧνπερ τοπρότερον. Τί δέ; ἦ δ᾽ ὅς, οὐκ ἐπίστασαι σὺ γράμματα; Ναί, ἔφη. Οὐκοῦν ἅπαντα; Ὡμολόγει. Ὅταν οὖν τις ἀποστοματίζῃ ὁτιοῦν, οὐ γράμματα ἀποστοματίζει; Ὡμολόγει. Οὐκοῦν ὧν τι σὺ ἐπίστασαι, ἔφη, ἀποστοματίζει, εἴπερ πάντα ἐπίστασαι. Καὶ τοῦτο ὡμολόγει. Τί οὖν; ἦ δ᾽ ὅς, ἆρα σὺ οὐ μανθάνεις ἅττ᾽ ἂν ἀποστοματίζῃ τις, ὁ δὲ μὴ ἐπιστάμενος γράμματα, μανθάνει; Οὔκ, ἀλλ᾽, ἦ δ᾽ ὅς, μανθάνω. Οὐκοῦν ἃ ἐπίστασαι, ἦ δ᾽ ὅς, μανθάνεις, εἴπερ γε ἅπαντα τὰ γράμματά γ᾽ ἐπίστασαι. Ὡμολόγησεν. Οὐκ ἄρα ὀρθῶς ἀπεκρίνω, ἔφη. Καὶ οὔπω σφόδρα τι εἴρητο ταῦτα τῷ Εὐθυδήμῳ, καὶ ὁ Διονυσόδωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον, πάλιν ἐστοχάζετο τοῦ μειρακίου, καὶ εἶπεν, Ἐξαπατᾷ σε Εὐθύδημος, ὦ Κλεινία. εἰπὲ γάρ μοι, τὸ μανθάνειν οὐκ ἐπιστήμην ἐστὶ λαμβάνειν τούτου οὗ ἄν τις μανθάνῃ; Ὡμολόγει ὁ Κλεινίας. τὸ δ᾽ ἐπίστασθαι, ἦ δ᾽ ὅς, ἄλλο τι ἢ ἔχειν ἐπιστήμην ἤδη ἐστί; Ξυνέφη. Τὸ ἄρα μὴ ἐπίστασθαι, μήπω ἔχειν ἐπιστήμην ἐστίν. Ὡμολόγει αὐτῷ. Πότεροι οὖν εἰσὶν οἱ λαμβάνοντες ὁτιοῦν; οἱ ἔχοντες ἤδη ἢ οἳ ἂν μή; Οἳ ἂν μὴ ἔχωσιν. Οὐκοῦν ὡμολόγηκας εἶναι τούτων καὶ τοὺς μὴ ἐπισταμένους τῶν μὴ ἐχόντων; Κατένευσε. Τῶν λαμβανόντων ἄρ᾽ εἰσὶν οἱ μανθάνοντες, ἀλλ᾽ οὐ τῶν ἐχόντων. Ξυνέφη. Οἱ μὴ ἐπιστάμενοι ἄρα, ἔφη, μανθάνουσιν, ὦ Κλεινία, ἀλλ᾽ οὐχ οἱ ἐπιστάμενοι. VII. Ἔτι δὴ ἐπὶ τὸ τρίτον καταβαλῶν ὥσπερ

πάλαισμα ὥρμα ὁ Εὐθύδημος τὸν νεανίσκον· καὶ ἐγὼ γνοὺς βαπτιζόμενον τὸ μειράκιον, βουλόμενος ἀναπαῦσαι αὐτό, μὴ ἡμῖν ἀποδειλιάσειε, παραμυθούμενος εἶπον, ὦ Κλεινία, μὴ θαύμαζε εἴ σοι φαίνονται ἀήθεις οἱ λόγοι. ἴσως γὰρ οὐκ αἰσθάνῃ οἷον ποιεῖτον τὼ ξένω περὶ σέ· ποιεῖτον δὲ ταυτὸν ὅπερ οἱ ἐν τῇ τελετῇ τῶν Κορυβάντων, ὅταν τὴν θρόνωσιν ποιῶνται περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν. καὶ γὰρ ἐκεῖ χορεία τίς ἐστι καὶ παιδιά, εἰ ἄρα καὶ τετέλεσαι· καὶ νῦν τούτω οὐδὲν ἄλλο ἢ χορεύετον περὶ σέ, καὶ οἷον ὀρχεῖσθον παίζοντε, ὡς μετὰ τοῦτο τελοῦντε. νῦν οὖν νόμισον τὰ πρῶτα τῶν ἱερῶν ἀκούειν τῶν σοφιστικῶν. πρῶτον γάρ, ὥς φησι Πρόδικος, περὶ ὀνομάτων ὀρθότητος μαθεῖν δεῖ, ὃ δὴ καὶ ἐνδείκνυσθόν σοι τὼ ξένω, ὅτι οὐκ ᾔδησθα τὸ μανθάνειν ὅτι οἱ ἄνθρωποι καλοῦσι μὲν ἐπὶ τῷ τοιῷδε, ὅταν τις ἐξ ἀρχῆς μηδεμίαν ἔχων ἐπιστήμην περὶ πράγματός τινος, ἔπειτα ὕστερον αὐτοῦ λαμβάνῃ τὴν ἐπιστήμην· καλοῦσι δὲ ταυτὸ τοῦτο καὶ ἐπειδὰν ἔχων ἤδη τὴν ἐπιστήμην ταύτῃ τῇ ἐπιστήμῃ ταυτὸν τοῦτο πρᾶγμα ἐπισκοπῇ ἢ πραττόμενον ἢ λεγόμενον· μᾶλλον μὲν αὐτὸ ξυνιέναι καλοῦσιν ἢ μανθάνειν, ἔστι δ᾽ ὅτε καὶ μανθάνειν· σὲ δὲ τοῦτο, ὡς οὗτοι ἐνδείκνυνται, διαλέληθε ταυτὸ ὄνομα ἐπ᾽ ἀνθρώποις ἐναντίως ἔχουσι κείμενον, ἐπί τῷ τε εἰδότι καὶ ἐπὶ τῷ μή. παραπλήσιον δὲ τούτῳ καὶ τὸ ἐν τῷ δευτέρῳ ἐρωτήματι, ἐν ᾧ ἠρώτων σε, πότερα μανθάνουσιν οἱ ἄνθρωποι ἃ ἐπίστανται, ἢ ἃ μή. ταῦτα

δὴ τῶν μαθημάτων παιδιά ἐστι· διὸ καί φημι ἐγώ σοι τούτους προςπαίζειν. παιδιὰν δὲ λέγω διὰ ταῦτα, ὅτι εἰ καὶ πολλά τις ἢ καὶ πάντα τὰ τοιαῦτα μάθοι, τὰ μὲν πράγματα οὐδὲν ἂν μᾶλλον εἰδείη πῇ ἔχει, προςπαίζειν δὲ οἷός τ' ἂν εἴη τοῖς ἀνθρώποις, διὰ τὴν τῶν ὀνομάτων διαφορὰν ὑποσκελίζων καὶ ἀνατρέπων, ὥςπερ οἱ τὰ σκολύθρια τῶν μελλόντων καθιζήσεσθαι ὑποσπῶντες χαίρουσι καὶ γελῶσιν, ἐπειδὰν ἴδωσιν ὕπτιον ἀνατετραμμένον. ταῦτα μὲν οὖν σοι παρὰ τούτων νόμιζε παιδιὰν γεγονέναι· τὰ δὲ μετὰ ταῦτα δῆλον ὅτι τούτω γέ σοι αὐτὼ τὰ σπουδαῖα ἐνδείξεσθον, καὶ ἐγὼ ὑφηγήσομαι αὐτοῖν, ἵνα μοι ὃ ὑπέσχοντο ἀποδῶσιν. ἐφάτην γὰρ ἐπιδείξασθαι τὴν προτρεπτικὴν σοφίαν· νῦν δέ, μοι δοκεῖ, δεῖν ᾠηθήτην πρότερον παῖσαι πρὸς σέ. VIII. Ταῦτα μὲν οὖν, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε, πεπαίσθω τε ὑμῖν καὶ ἴσως ἱκανῶς ἔχει· τὸ δὲ δὴ μετὰ ταῦτα ἐπιδείξατον, προτρέποντε τὸ μειράκιον, ὅπως χρὴ σοφίας τε καὶ ἀρετῆς ἐπιμεληθῆναι. πρότερον δ' ἐγὼ σφῷν ἐνδείξομαι, οἷον αὐτὸ ὑπολαμβάνω, καὶ οἵου αὐτοῦ ἐπιθυμῶ ἀκοῦσαι. ἐὰν οὖν δόξω ὑμῖν ἰδιωτικῶς τε καὶ γελοίως αὐτὸ ποιεῖν, μή μου καταγελᾶτε· ὑπὸ προθυμίας γὰρ τοῦ ἀκοῦσαι τῆς ὑμετέρας σοφίας, τολμήσω αὐτοσχεδιάσαι ἐναντίον ὑμῶν. ἀνάσχεσθον οὖν ἀγελαστὶ ἀκούοντες αὐτοί τε καὶ οἱ μαθηταὶ ὑμῶν· σὺ δέ μοι, ὦ παῖ Ἀξιόχου, ἀπόκριναι· ἆρά γε πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν; ἢ τοῦτο μὲν ἐρώτημα, ὧν νῦν δὴ ἐφοβούμην, ἓν

τῶν καταγελάστων; ἀνόητον γὰρ δήπου καὶ τὸ ἐρωτᾶν τὰ τοιαῦτα· τίς γὰρ οὐ βούλεται ἀνθρώπων εὖ πράττειν; Οὐδεὶς ὅστις οὐκ, ἔφη ὁ Κλεινίας. Εἶεν, ἦν δ' ἐγώ. τὸ δὴ μετὰ τοῦτο ἐπειδὴ βουλόμεθα εὖ πράττειν, πῶς ἂν εὖ πράττοιμεν; ἆρ' ἂν εἰ ἡμῖν πολλὰ κἀγαθὰ εἴη; ἢ τοῦτο ἐκείνου ἔτι εὐηθέστερον; δῆλον γάρ που καὶ τοῦτο ὅτι οὕτως ἔχει. Ξυνέφη. Φέρε δή, ἀγαθὰ δὲ ποῖα ἄρα τῶν ὄντων τυγχάνει ἡμῖν ὄντα; ἢ οὐ χαλεπόν, οὐδὲ σεμνοῦ ἀνδρὸς πάνυ τι οὐδὲ τοῦτο ἔοικεν εἶναι εὑρεῖν; πᾶς γὰρ ἂν ἡμῖν εἴποι ὅτι τὸ πλουτεῖν ἀγαθόν· ἦ γάρ; Πάνυ γ', ἔφη. Οὐκοῦν καὶ τὸ ὑγιαίνειν καὶ τὸ καλὸν εἶναι καὶ τἄλλα κατὰ τὸ σῶμα ἱκανῶς παρεσκευάσθαι; Ξυνεδόκει. Ἀλλὰ μὴν εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ δῆλά ἐστιν ἀγαθὰ ὄντα. Ὡμολόγει. Τί οὖν, ἔφην, ἔτι ἡμῖν λείπεται τῶν ἀγαθῶν; τί ἄρα ἐστὶ τὸ σώφρονά τε εἶναι καὶ δίκαιον καὶ ἀνδρεῖον; πότερον πρὸς Διός, ὦ Κλεινία, ἡγῇ σύ, ἐὰν ταῦτα τιθῶμεν ὡς ἀγαθά, ὀρθῶς ἡμᾶς θήσειν, ἢ ἐὰν μή; ἴσως γὰρ ἄν τις ἡμῖν ἀμφισβητήσειε· σοὶ δὲ πῶς δοκεῖ; Ἀγαθά, ἔφη ὁ Κλεινίας. Εἶεν· ἦν δ' ἐγώ· τὴν δὲ σοφίαν ποῦ χοροῦ τάξομεν; ἐν τοῖς ἀγαθοῖς, ἢ πῶς λέγεις; Ἐν τοῖς ἀγαθοῖς. Ἐνθυμοῦ δή, μή τι παραλείπωμεν τῶν ἀγαθῶν ὅ, τι καὶ ἄξιον λόγου. Ἀλλά μοι δοκοῦμεν, ἔφη, οὐδέν, ὁ Κλεινίας. Καὶ ἐγὼ ἀναμνησθεὶς εἶπον, ὅτι ναὶ μὰ Δία κινδυνεύομέν γε τὸ μέγιστον τῶν ἀγαθῶν παραλιπεῖν. Τί τοῦτο; ἦ δ' ὅς. Τὴν εὐτυχίαν, ὦ Κλει-

νία· ὃ πάντες φασί, καὶ οἱ πάνυ φαῦλοι, μέγιστον
τῶν ἀγαθῶν εἶναι. Ἀληθῆ λέγεις, ἔφη. Καὶ ἐγὼ αὖ
πάλιν μετανοήσας εἶπον, ὅτι ὀλίγου καταγέλαστοι
ἐγενόμεθα ὑπὸ τῶν ξένων ἐγώ τε καὶ σύ, ὦ παῖ Ἀξιό-
χου. Τί δή, ἔφη, τοῦτο; Ὅτι εὐτυχίαν ἐν τοῖς ἔμ-
προσθεν θέμενοι νῦν δὴ αὖθις περὶ τοῦ αὐτοῦ
ἐλέγομεν. Τί οὖν δὴ τοῦτο; Καταγέλαστον δήπου,
ὃ πάλαι πρόκειται, τοῦτο πάλιν προτιθέναι, καὶ δὶς
ταυτὰ λέγειν. Πῶς, ἔφη, τοῦτο λέγεις; Ἡ σοφία δή-
που, ἦν δ' ἐγώ, εὐτυχία ἐστί· τοῦτο δὲ κἂν παῖς
γνοίη. Καὶ ὃς ἐθαύμασεν· οὕτως ἔτι νέος τε καὶ
εὐήθης ἐστί. κἀγὼ γνοὺς αὐτὸν θαυμάζοντα, Ἆρα
οὐκ οἶσθα, ἔφην, ὦ Κλεινία, ὅτι περὶ αὐλημάτων
εὐπραγίαν οἱ αὐληταὶ εὐτυχέστατοί εἰσι; Συνέφη.
Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ περὶ γραμμάτων γραφῆς τε
καὶ ἀναγνώσεως, οἱ γραμματισταί; Πάνυ γε. Τί δέ;
πρὸς τοὺς τῆς θαλάσσης κινδύνους μῶν οἴει εὐτυχε-
στέρους τινὰς εἶναι τῶν σοφῶν κυβερνητῶν, ὡς ἐπί-
παν εἰπεῖν; Οὐ δῆτα. Τί δέ; στρατευόμενος μετὰ
ποτέρου ἂν ἥδιον τοῦ κινδύνου τε καὶ τῆς τύχης μετ-
έχοις; μετὰ σοφοῦ στρατηγοῦ, ἢ μετὰ ἀμαθοῦς;
Μετὰ σοφοῦ. Τί δέ; ἀσθενῶν μετὰ ποτέρου ἂν
ἡδέως κινδυνεύοις; μετὰ σοφοῦ ἰατροῦ, ἢ μετὰ ἀμα-
θοῦς; Μετὰ σοφοῦ. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὅτι εὐτυχέ-
στερον ἂν οἴει πράττειν, μετὰ σοφοῦ πράττων ἢ
μετὰ ἀμαθοῦς; Συνεχώρει. Ἡ σοφία ἄρα πανταχοῦ
εὐτυχεῖν ποιεῖ τοὺς ἀνθρώπους· οὐ γὰρ δήπου ἁμαρ-
τάνοι γ' ἄν ποτέ τις σοφίᾳ, ἀλλ' ἀνάγκη ὀρθῶς

πράττειν καὶ τυγχάνειν. ἦ γὰρ ἂν οὐκέτι σοφία εἴη. Ξυνωμολογησάμεθα τελευτῶντες οὐκ οἶδ' ὅπως ἐν κεφαλαίῳ οὕτω τοῦτο ἔχειν· σοφίας παρούσης, ᾧ ἂν παρῇ, μηδὲν προσδεῖσθαι εὐτυχίας. IX. Ἐπειδὴ δὲ τοῦτο ξυνωμολογησάμεθα, πάλιν ἐπυνθανόμην αὐτοῦ τὰ πρότερον ὡμολογημένα πῶς ἂν ἡμῖν ἔχοι. ὡμολογήσαμεν γάρ, ἔφην, εἰ ἡμῖν ἀγαθὰ πολλὰ παρείη, εὐδαιμονεῖν ἂν καὶ εὖ πράττειν. Ξυνέφη. Ἆρ' οὖν εὐδαιμονοῖμεν ἂν διὰ τὰ παρόντα ἀγαθά, εἰ μηδὲν ἡμᾶς ὠφελοῖ, ἢ εἰ ὠφελοῖ; Εἰ ὠφελοῖ, ἔφη. Ἆρ' οὖν ἄν τι ὠφελοίη, εἰ εἴη μόνον ἡμῖν, χρῴμεθα δ' αὐτοῖς μή; οἷον, σιτία εἰ ἡμῖν εἴη πολλά, ἐσθίοιμεν δὲ μή, ἢ ποτόν, πίνοιμεν δὲ μή, ἔσθ' ὅ, τι ὠφελοίμεθ' ἄν; Οὐ δῆτα, ἔφη. Τί δέ; οἱ δημιουργοὶ πάντες, εἰ αὐτοῖς εἴη πάντα τὰ ἐπιτήδεια παρεσκευασμένα ἑκάστῳ εἰς τὸ ἑαυτοῦ ἔργον, χρῷντο δ' αὐτοῖς μή, ἆρ' ἂν οὗτοι εὖ πράττοιεν διὰ τὴν κτῆσιν, ὅτι κεκτημένοι εἶεν πάντα ἃ δεῖ κεκτῆσθαι τὸν δημιουργόν; οἷον τέκτων, εἰ παρεσκευασμένος εἴη τά τε ὄργανα ἅπαντα καὶ ξύλα ἱκανά, τεκταίνοιτο δὲ μή, ἔσθ' ὅ, τι ὠφελοῖτ' ἂν ὑπὸ τῆς κτήσεως; Οὐδαμῶς, ἔφη. Τί δέ; εἴ τις κεκτημένος εἴη πλοῦτόν τε καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα τὰ ἀγαθά, χρῷτο δὲ αὐτοῖς μή, ἆρ' ἂν εὐδαιμονοῖ διὰ τὴν τούτων κτῆσιν τῶν ἀγαθῶν; Οὐ δῆτα, ὦ Σώκρατες. Δεῖ ἄρα, ἔφην, ὡς ἔοικε, μὴ μόνον κεκτῆσθαι τὰ τοιαῦτα ἀγαθὰ τὸν μέλλοντα εὐδαίμονα ἔσεσθαι, ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς· ὡς οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται. Ἀληθῆ

λέγεις. Ἆρ᾽ οὖν, ὦ Κλεινία, ἤδη τοῦτο ἱκανὸν πρὸς τὸ εὐδαίμονα ποιῆσαί τινα, τό, τε κεκτῆσθαι τἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; Ἔμοιγε δοκεῖ. Πότερον, ἦν δ᾽ ἐγώ, ἐὰν ὀρθῶς χρῆταί τις, ἢ ἐὰν μή; Ἐὰν ὀρθῶς. Καλῶς γε, ἦν δ᾽ ἐγώ, λέγεις. πλέον γάρ που, οἶμαι, θάτερόν ἐστιν, ἐάν τις χρῆται ὁτῳοῦν μὴ ὀρθῶς πράγματι, ἢ ἐὰν ἐᾷ. τὸ μὲν γάρ, κακόν· τὸ δέ, οὔτε κακόν, οὔτε ἀγαθόν· ἢ οὐχ οὕτω φαμέν; Ξυνεχώρει. Τί οὖν; ἐν τῇ ἐργασίᾳ τε καὶ χρήσει τῇ περὶ τὰ ξύλα, μῶν ἄλλο τί ἐστι τὸ ἀπεργαζόμενον ὀρθῶς χρῆσθαι, ἢ ἐπιστήμη ἡ τεκτονική; Οὐ δῆτα, ἔφη. Ἀλλὰ μήν που καὶ ἐν τῇ περὶ τὰ σκεύη ἐργασίᾳ, τὸ ὀρθῶς ἐπιστήμη ἐστὶν ἡ ἀπεργαζομένη. Ξυνέφη. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, καὶ περὶ τὴν χρείαν ὧν ἐλέγομεν τοπρῶτον τῶν ἀγαθῶν, πλούτου τε καὶ ὑγιείας καὶ κάλλους, τὸ ὀρθῶς πᾶσι τοῖς τοιούτοις χρῆσθαι, ἐπιστήμη ἦν ἡγουμένη καὶ κατορθοῦσα τὴν πρᾶξιν, ἢ ἄλλο τι; Ἐπιστήμη, ἢ δ᾽ ὅς. Οὐ μόνον ἄρα εὐτυχίαν, ἀλλὰ καὶ εὐπραγίαν, ὡς ἔοικεν, ἡ ἐπιστήμη παρέχει τοῖς ἀνθρώποις ἐν πάσῃ κτήσει τε καὶ πράξει. Ὡμολόγει. Χ. Ἆρ᾽ οὖν, ὦ πρὸς Διός, ἦν δ᾽ ἐγώ, ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεώς τε καὶ σοφίας; ἆρά γε ὀνίναιτ᾽ ἂν ἄνθρωπος πολλὰ κεκτημένος καὶ πολλὰ πράττων, νοῦν μὴ ἔχων; ἢ μᾶλλον ὀλίγα, νοῦν δὲ ἔχων; ὧδε δὲ σκόπει. οὐκ, ἐλάττω πράττων, ἐλάττω ἂν ἐξαμαρτάνοι, ἐλάττω δὲ ἁμαρτάνων, ἧττον ἂν κακῶς πράττοι, ἧττον δὲ κακῶς πράττων, ἄθλιος ἧττον ἂν εἴη; Πάνυ γ᾽,

ἔφη. Πότερον οὖν ἂν μᾶλλον ἐλάττω τις πράττοι πένης ὤν, ἢ πλούσιος; Πένης, ἔφη. Πότερον δὲ ἀσθενής, ἢ ἰσχυρός; Ἀσθενής. Πότερον δὲ ἔντιμος, ἢ ἄτιμος; Ἄτιμος. Πότερον δὲ ἀνδρεῖος ὢν καὶ σώφρων ἐλάττω ἂν πράττοι ἢ δειλός; Δειλός. Οὐκοῦν καὶ ἀργὸς μᾶλλον ἢ ἐργάτης; Συνεχώρει. Καὶ βραδὺς μᾶλλον ἢ ταχύς, καὶ ἀμβλὺ ὁρῶν καὶ ἀκούων, μᾶλλον ἢ ὀξύ; Πάντα τὰ τοιαῦτα ξυνεχωροῦμεν ἀλλήλοις. Ἐν κεφαλαίῳ δ', ἔφην, ὦ Κλεινία, κινδυνεύει ξύμπαντα ἃ τοπρῶτον ἔφαμεν ἀγαθὰ εἶναι, οὐ περὶ τούτου ὁ λόγος αὐτοῖς εἶναι, ὅπως αὐτά γε καθ' αὑτὰ πέφυκεν ἀγαθὰ εἶναι, ἀλλ', ὡς ἔοικεν, ὧδ' ἔχει· ἐὰν μὲν αὐτῶν ἡγῆται ἀμαθία, μείζω κακὰ εἶναι τῶν ἐναντίων, ὅσῳ δυνατώτερα ὑπηρετεῖν τῷ ἡγουμένῳ κακῷ ὄντι· ἐὰν δὲ φρόνησίς τε καὶ σοφία, μείζω ἀγαθά· αὐτὰ δὲ καθ' αὑτὰ οὐδέτερα αὐτῶν οὐδενὸς ἄξια εἶναι. Φαίνεται, ἔφη, ὡς ἔοικεν, οὕτως ὡς σὺ λέγεις. Τί οὖν ἡμῖν ξυμβαίνει ἐκ τῶν εἰρημένων; ἄλλο τι ἢ τῶν μὲν ἄλλων οὐδὲν ὂν οὔτε ἀγαθὸν οὔτε κακόν, τούτοιν δὲ δυοῖν ὄντοιν, ἡ μὲν σοφία, ἀγαθόν, ἡ δὲ ἀμαθία, κακόν; Ὡμολόγει. IX. Ἔτι τοίνυν, ἔφην, τὸ λοιπὸν ἐπισκεψώμεθα· ἐπειδὴ εὐδαίμονες μὲν εἶναι προθυμούμεθα πάντες, ἐφάνημεν δὲ τοιοῦτοι γιγνόμενοι ἐκ τοῦ χρῆσθαί τε τοῖς πράγμασι καὶ ὀρθῶς χρῆσθαι, τὴν δὲ ὀρθότητα καὶ εὐτυχίαν ἐπιστήμη ἐστὶν ἡ παρέχουσα, δεῖ δή, ὡς ἔοικεν, ἐκ παντὸς τρόπου ἅπαντα ἄνδρα τοῦτο παρασκευάζεσθαι, ὅπως ὡς σοφώτατος ἔσται·

ἢ οὔ; Ναί, ἔφη. Καὶ παρὰ πατρός γε δήπου τοῦτο οἰόμενον δεῖν παραλαμβάνειν πολὺ μᾶλλον ἢ χρήματα, καὶ παρ' ἐπιτρόπων καὶ φίλων, τῶν τε ἄλλων καὶ τῶν φασκόντων ἐραστῶν εἶναι, καὶ ξένων καὶ πολιτῶν, δεόμενον καὶ ἱκετεύοντα σοφίας μεταδιδόναι, οὐδὲν αἰσχρόν, ὦ Κλεινία, οὐδὲ νεμεσητόν, ἕνεκα τούτου ὑπηρετεῖν καὶ δουλεύειν καὶ ἐραστῇ καὶ παντὶ ἀνθρώπῳ, ὁτιοῦν ἐθέλοντα ὑπηρετεῖν τῶν καλῶν ὑπηρετημάτων, προθυμούμενον σοφὸν γενέσθαι· ἢ οὐ δοκεῖ σοι, ἔφην ἐγώ, οὕτω; Πάνυ μὲν οὖν εὖ μοι δοκεῖς λέγειν, ἦ δ' ὅς. Εἰ ἔστι γε, ὦ Κλεινία, ἦν δ' ἐγώ, ἡ σοφία διδακτόν, ἀλλὰ μὴ ἀπὸ ταὐτομάτου παραγίγνεται τοῖς ἀνθρώποις· τοῦτο γὰρ ἡμῖν ἔτι σκεπτέον, καὶ οὔπω διωμολογημένον ἐμοί τε καὶ σοί. Ἀλλ' ἔμοιγε, ἔφη, ὦ Σώκρατες, διδακτὸν εἶναι δοκεῖ. Καὶ ἐγὼ ἡσθεὶς εἶπον, Ἦ καλῶς λέγεις, ὦ ἄριστε ἀνδρῶν, καὶ εὖ ἐποίησας ἀπαλλάξας με σκέψεως πολλῆς περὶ τούτου αὐτοῦ, πότερον διδακτὸν ἢ οὐ διδακτὸν ἡ σοφία. νῦν οὖν ἐπειδή σοι καὶ διδακτὸν δοκεῖ, καὶ μόνον τῶν ὄντων εὐδαίμονα καὶ εὐτυχῆ ποιεῖν τὸν ἄνθρωπον, ἄλλο τι ἢ φαίης ἂν ἀναγκαῖον εἶναι φιλοσοφεῖν, καὶ αὐτὸς ἐν νῷ ἔχεις αὐτὸ ποιεῖν; Πάνυ μὲν οὖν, ἔφη, ὦ Σώκρατες, ὡς οἷόν τε μάλιστα. Κἀγὼ ταῦτα ἄσμενος ἀκούσας, Τὸ μὲν ἐμόν, ἔφην, παράδειγμα, ὦ Διονυσόδωρέ τε καὶ Εὐθύδημε, οἵων ἐπιθυμῶ τῶν προτρεπτικῶν λόγων εἶναι, τοιοῦτον· ἰδιωτικὸν ἴσως καὶ μόλις διὰ μακρῶν λεγόμενον· σφῷν δὲ ὁπότερος

βούλεται, ταυτὸν τοῦτο τέχνῃ πράττων ἐπιδειξάτω ἡμῖν. εἰ δὲ μὴ τοῦτο βούλεσθον, ὅθεν ἐγὼ ἀπέλειπον, τὸ ἑξῆς ἐπιδείξατον τῷ μειρακίῳ, πότερον πᾶσαν ἐπιστήμην δεῖ αὐτὸν κτᾶσθαι, ἢ ἔστι τις μία ἣν δεῖ λαβόντα εὐδαιμονεῖν τε καὶ ἀγαθὸν ἄνδρα εἶναι, καὶ τίς αὕτη. ὥςπερ γὰρ ἔλεγον ἀρχόμενος, περὶ πολλοῦ ἡμῖν τυγχάνει ὄν, τόνδε τὸν νεανίσκον σοφόν τε καὶ ἀγαθὸν γενέσθαι. XII. Ἐγὼ μὲν οὖν ταῦτα εἶπον, ὦ Κρίτων· τῷ δὲ μετὰ τοῦτο ἐσομένῳ πάνυ σφόδρα προςεῖχον τὸν νοῦν, καὶ ἐσκόπουν, τίνα ποτὲ τρόπον ἅψοιντο τοῦ λόγου, καὶ ὁπόθεν ἄρξοιντο, παρακελευόμενοι τῷ νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν. ὁ οὖν πρεσβύτερος αὐτῶν, ὁ Διονυσόδωρος, πρότερος ἤρχετο τοῦ λόγου, καὶ ἡμεῖς πάντες ἐβλέπομεν πρὸς αὐτόν, ὡς αὐτίκα μάλα ἀκουσόμενοι θαυμασίους τινὰς λόγους· ὅπερ οὖν καὶ ξυνέβη ἡμῖν. θαυμαστὸν γάρ τινα, ὦ Κρίτων, ἀνὴρ κατῆρχε λόγον, οὗ σε ἄξιον ἀκοῦσαι, ὡς παρακελευστικὸς ὁ λόγος ἦν ἐπ' ἀρετήν· Εἰπέ μοι, ἔφη, ὦ Σώκρατές τε καὶ ὑμεῖς οἱ ἄλλοι, ὅσοι φατὲ ἐπιθυμεῖν τόνδε τὸν νεανίσκον σοφὸν γενέσθαι, πότερον παίζετε ταῦτα λέγοντες, ἢ ὡς ἀληθῶς ἐπιθυμεῖτε καὶ σπουδάζετε. Κἀγὼ διενοήθην, ὅτι ᾠηθήτην ἄρα ἡμᾶς τοπρότερον παίζειν, ἡνίκα ἐκελεύομεν διαλεχθῆναι τῷ νεανίσκῳ αὐτώ, καὶ διὰ ταῦτα προςεπαισάτην τε καὶ οὐκ ἐσπουδασάτην. ταῦτα οὖν διανοηθεὶς ἔτι μᾶλλον εἶπον, ὅτι θαυμαστῶς σπουδάζοιμεν. καὶ ὁ Διονυσόδωρος, Σκόπει μήν, ἔφη, ὦ Σώκρατες, ὅπως μὴ

ἔξαρνος ἔσῃ ἃ νῦν λέγεις. Ἔσκεμμαι, ἦν δ' ἐγώ· οὐ γάρ μήποτ' ἔξαρνος γένωμαι. Τί οὖν, ἔφη, φατέ; βούλεσθε αὐτὸν σοφὸν γενέσθαι; Πάνυ μὲν οὖν. Νῦν δέ, ἦ δ' ὅς, Κλεινίας πότερον σοφός ἐστιν, ἢ οὔ; Οὔκουν φησί γέ πω· ἔστι δέ, ἦν δ' ἐγώ, οὐκ ἀλαζών. Ὑμεῖς δέ, ἔφη, βούλεσθε γενέσθαι αὐτὸν σοφόν, ἀμαθῆ δὲ μὴ εἶναι; Ὡμολογοῦμεν. Οὐκοῦν, ὃς μὲν οὐκ ἔστι, βούλεσθε αὐτὸν γενέσθαι, ὃς δ' ἔστι νῦν, μηκέτι εἶναι. Καὶ ἐγὼ ἀκούσας ἐθορυβήθην. Ὁ δέ μου θορυβουμένου ὑπολαβών, Ἄλλοτι οὖν, ἔφη, ἐπεὶ βούλεσθε αὐτόν, ὃς νῦν ἐστι, μηκέτι εἶναι, βούλεσθε αὐτόν, ὡς ἔοικεν, ἀπολωλέναι; καίτοι πολλοῦ ἂν ἄξιοι οἱ τοιοῦτοι εἶεν φίλοι τε καὶ ἐρασταί, οἵτινες τὰ παιδικὰ περὶ παντὸς ἂν ποιήσαιντο ἐξολωλέναι. Καὶ ὁ Κτήσιππος ἀκούσας ἠγανάκτησέ τε ὑπὲρ τῶν παιδικῶν, καὶ εἶπεν, Ὦ ξένε Θούριε, εἰ μὴ ἀγροικότερον, ἔφη, ἦν εἰπεῖν, εἶπον ἄν, σοι εἰς κεφαλήν, ὅ, τι μαθών μου καὶ τῶν ἄλλων καταψεύδῃ τοιοῦτο πρᾶγμα, ὃ ἐγὼ οἶμαι οὐδ' ὅσιον εἶναι λέγειν, ὡς ἐγὼ τόνδε βουλοίμην ἂν ἐξολωλέναι. XIII. Τί δέ, ἔφη, ὦ Κτήσιππε, ὁ Εὐθύδημος, ἢ δοκεῖ σοι οἷόν τ' εἶναι ψεύδεσθαι; Νὴ Δία, ἔφη, εἰ μὴ μαίνομαί γε. Πότερον λέγοντα τὸ πρᾶγμα περὶ οὗ ἂν ὁ λόγος ᾖ, ἢ μὴ λέγοντα; Λέγοντα, ἔφη. Οὐκοῦν εἴπερ λέγει αὐτό, οὐκ ἄλλο λέγει τῶν ὄντων, ἢ ἐκεῖνο ὅπερ λέγει; Πῶς γὰρ ἂν ἄλλως; ἔφη ὁ Κτήσιππος. Ἓν μὴν κἀκεῖνό γ' ἐστὶ τῶν ὄντων, ὃ λέγει, χωρὶς τῶν ἄλλων. Πάνυ γε. Οὐκοῦν ὁ ἐκεῖνο

λέγων τὸ ὄν, ἔφη, λέγει; Ναί. Ἀλλὰ μὴν ὅ γε τὸ ὂν
λέγων, καὶ τὰ ὄντα, τἀληθῆ λέγει· ὥστε ὁ Διονυ-
σόδωρος, εἴπερ λέγει τὰ ὄντα, λέγει τἀληθῆ, καὶ
οὐδὲν κατὰ σοῦ ψεύδεται. Ναί, ἔφη. Ἀλλ' ὁ ταῦτα
λέγων, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε, οὐ τὰ ὄντα
λέγει. Καὶ ὁ Εὐθύδημος, Τὰ δὲ μὴ ὄντα, ἔφη, ἄλ-
λο τι ἢ οὐκ ἔστιν; Οὐκ ἔστιν. Ἄλλοτι οὖν οὐδαμοῦ
τά γε μὴ ὄντα ὄντα ἐστί; Οὐδαμοῦ. Ἔστιν οὖν
ὅπως περὶ ταῦτα τὰ μὴ ὄντα πράξειεν ἄν τίς τι,
ὥστ' ἐκεῖνα ποιήσειεν ἂν καὶ ὁστισοῦν τὰ μηδαμοῦ
ὄντα; Οὐκ ἔμοιγε δοκεῖ, ἔφη ὁ Κτήσιππος. Τί
οὖν; οἱ ῥήτορες ὅταν λέγωσιν ἐν τῷ δήμῳ, οὐδὲν
πράττουσι; Πράττουσι μὲν οὖν, ἦ δ' ὅς. Οὐκοῦν
εἴπερ πράττουσι, καὶ ποιοῦσι; Ναί. Τὸ λέγειν
ἄρα πράττειν τε καὶ ποιεῖν ἐστιν· Ὡμολόγησεν.
Οὐκ ἄρα τά γε μὴ ὄντ', ἔφη, λέγει οὐδείς· ποιοῖ
γὰρ ἂν ἤδη τι· σὺ δὲ ὡμολόγηκας τὰ μὴ ὄντα μὴ
οἷόν τ' εἶναι μηδένα ποιεῖν· ὥστε κατὰ τὸν σὸν λό-
γον, οὐδεὶς ψευδῆ λέγει, ἀλλ' εἴπερ λέγει Διονυσό-
δωρος, τἀληθῆ τε καὶ τὰ ὄντα λέγει. Νὴ Δία, ἔφη
ὁ Κτήσιππος, ὦ Εὐθύδημε· ἀλλὰ τὰ ὄντα μὲν τρό-
πον τινὰ λέγει, οὐ μέντοι ὥς γε ἔχει. Πῶς λέγεις,
ἔφη ὁ Διονυσόδωρος, ὦ Κτήσιππε; εἰσὶ γάρ τινες
οἳ λέγουσι τὰ πράγματα ὡς ἔχει; Εἰσὶ μέντοι, ἔφη,
οἱ καλοί τε κἀγαθοί, καὶ οἱ τἀληθῆ λέγοντες. Τί
οὖν; ἦ δ' ὅς· τἀγαθὰ οὐκ εὖ, ἔφη, ἔχει, τὰ δὲ
κακὰ κακῶς; Συνεχώρει. Τοὺς δὲ καλούς τε καὶ
ἀγαθοὺς ὁμολογεῖς λέγειν ὡς ἔχει τὰ πράγματα;

Ὁμολογῶ. Κακῶς ἄρα, ἔφη, λέγουσιν, ὦ Κτήσιππε, οἱ ἀγαθοὶ τὰ κακά, εἴπερ ὡς ἔχει λέγουσι. Ναὶ μὰ Δία, ἦ δ' ὅς, σφόδρα γε τοὺς γοῦν κακοὺς ἀνθρώπους· ὧν σύ, ἐάν μοι πείθῃ, εὐλαβήσῃ εἶναι, ἵνα μή σε οἱ ἀγαθοὶ κακῶς λέγωσιν· ὡς εὖ οἶσθ' ὅτι κακῶς λέγουσιν οἱ ἀγαθοὶ τοὺς κακούς. Ἦ καὶ τοὺς μεγάλους, ἔφη ὁ Εὐθύδημος, μεγάλως λέγουσι, καὶ τοὺς θερμοὺς θερμῶς; Μάλιστα δήπου, ἔφη ὁ Κτήσιππος· τοὺς γοῦν ψυχροὺς ψυχρῶς λέγουσί τε καί φασι διαλέγεσθαι. Σὺ μέν, ἔφη ὁ Διονυσόδωρος, λοιδορεῖ, ὦ Κτήσιππε, λοιδορεῖ. Μὰ Δί' οὐκ ἔγωγε, ἦ δ' ὅς, ὦ Διονυσόδωρε, ἐπεὶ φιλῶ σε· ἀλλὰ νουθετῶ σ' ὡς ἑταῖρον, καὶ πειρῶμαι πείθειν μηδέποτε ἐναντίον ἐμοῦ οὕτως ἀγροίκως λέγειν, ὅτι ἐγὼ τούτους βούλομαι ἐξολωλέναι οὓς περὶ πλείστου ποιοῦμαι. XIV. Ἐγὼ οὖν, ἐπειδή μοι ἐδόκουν ἀγριωτέρως πρὸς ἀλλήλους ἔχειν, προσέπαιζόν τε τῷ Κτησίππῳ καὶ εἶπον ὅτι, Ὦ Κτήσιππε, ἐμοὶ μὲν δοκεῖ χρῆναι ἡμᾶς παρὰ τῶν ξένων δέχεσθαι ἃ λέγουσιν, ἐὰν ἐθέλωσι μεταδιδόναι, καὶ μὴ ὀνόματι διαφέρεσθαι. εἰ γὰρ ἐπίστανται οὕτως ἐξολλύναι ἀνθρώπους, ὥστ' ἐκ πονηρῶν τε καὶ ἀφρόνων χρηστούς τε καὶ ἔμφρονας ποιεῖν, καὶ τοῦτο εἴτε αὐτὼ εὑρήκατον, εἴτε καὶ παρ' ἄλλου του ἐμαθέτην φθόρον τινὰ καὶ ὄλεθρον τοιοῦτον, ὥστε ἀπολέσαντες πονηρὸν ὄντα, χρηστὸν πάλιν ἀποφῆναι· εἰ τοῦτο ἐπίστασθον — δῆλον δὲ ὅτι ἐπίστασθον· ἐφάτην γοῦν τὴν τέχνην σφῶν εἶναι τὴν νεωστὶ εὑρημένην, ἀγαθοὺς ποιεῖν τοὺς ἀνθρώ-

πους ἐκ πονηρῶν — ξυγχωρήσωμεν οὖν αὐτοῖν αὐτό· ἀπολεσάντων ἡμῖν τὸ μειράκιον καὶ φρόνιμον ποιησάντων, καὶ ἅπαντάς γε ἡμᾶς τοὺς ἄλλους. εἰ δὲ ὑμεῖς οἱ νέοι φοβεῖσθε, ὥσπερ ἐν Καρί, ἐν ἐμοὶ ἔστω ὁ κίνδυνος· ὡς ἐγώ, ἐπειδὴ καὶ πρεσβύτης εἰμί, παρακινδυνεύειν ἕτοιμος, καὶ παραδίδωμι ἐμαυτὸν Διονυσοδώρῳ τούτῳ, ὥσπερ τῇ Μηδείᾳ τῇ Κόλχῳ· ἀπολλύτω με, καὶ εἰ μὲν βούλεται, ἑψέτω, εἰ δ', ὅ, τι βούλεται, τοῦτο ποιείτω· μόνον χρηστὸν ἀποφηνάτω. Καὶ ὁ Κτήσιππος, Ἐγὼ μέν, ἔφη, καὶ αὐτός, ὦ Σώκρατες, ἕτοιμός εἰμι παρέχειν ἐμαυτὸν τοῖς ξένοις, καὶ ἐὰν βούλωνται δέρειν ἔτι μᾶλλον ἢ νῦν δέρουσιν, εἴ μοι ἡ δορὰ μὴ εἰς ἀσκὸν τελευτήσει, ὥσπερ ἡ τοῦ Μαρσύου, ἀλλ' εἰς ἀρετήν. καίτοι με οἴεται Διονυσόδωρος οὑτοσὶ χαλεπαίνειν αὐτῷ· ἐγὼ δὲ οὐ χαλεπαίνω, ἀλλ' ἀντιλέγω πρὸς ταῦτα ἅ μοι δοκεῖ πρός με μὴ καλῶς λέγειν. ἀλλὰ σὺ τὸ ἀντιλέγειν, ἔφη, ὦ Διονυσόδωρε, μὴ κάλει λοιδορεῖσθαι. ἕτερον γάρ τί ἐστι τὸ λοιδορεῖσθαι. XV. Καὶ ὁ Διονυσόδωρος, Ὡς ὄντος, ἔφη, τοῦ ἀντιλέγειν, ὦ Κτήσιππε, ποιεῖ τοὺς λόγους; Πάντως δήπου, ἔφη, καὶ σφόδρα· ἢ σύ, ὦ Διονυσόδωρε, οὐκ οἴει εἶναι ἀντιλέγειν; Οὔκουν σύ γ' ἄν, ἔφη, ἀποδείξαις πώποτε ἀκούσας οὐδενὸς ἀντιλέγοντος ἑτέρου ἑτέρῳ. Ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ ἀκούωμεν νῦν, εἴ σοι ἀποδείκνυμι ἀντιλέγοντος Κτησίππου Διονυσοδώρῳ. ἦ καὶ ὑπόσχοις ἂν τούτου λόγον; Πάνυ, ἔφη. Τί οὖν, ἦ δ' ὅς, εἰσὶν ἑκάστῳ τῶν ὄντων λόγοι; Πάνυ γε. Οὐκοῦν

ὡς ἔστιν ἕκαστον, ἢ ὡς οὐκ ἔστιν; Ὡς ἔστιν. Εἰ γὰρ μέμνησαι, ἔφη, ὦ Κτήσιππε, καὶ ἄρτι ἐπεδείξαμεν μηδένα λέγοντα ὡς οὐκ ἔστι· τὸ γὰρ μὴ ὂν οὐδεὶς ἐφάνη λέγων. Τί οὖν δὴ τοῦτο; ἦ δ' ὃς ὁ Κτήσιππος· ἧττόν τι ἀντιλέγομεν ἐγώ τε καὶ σύ; Πότερον οὖν, ἦ δ' ὅς, ἀντιλέγοιμεν ἂν τὸν τοῦ αὐτοῦ πράγματος λόγον ἀμφότεροι λέγοντες, ἢ οὕτω μὲν ἂν δήπου ταὐτὰ λέγοιμεν; Ξυνεχώρει. Ἀλλ' ὅταν μηδέτερος, ἔφη, τὸν τοῦ πράγματος λόγον λέγῃ, τότε ἀντιλέγοιμεν ἄν; ἢ οὕτω γε τοπαράπαν οὐδ' ἂν μεμνημένος εἴη τοῦ πράγματος οὐδέτερος ἡμῶν; Καὶ τοῦτο ξυνωμολόγει. Ἀλλ' ἄρα, ἔφη, ὅταν ἐγὼ μὲν τὸν τοῦ πράγματος λόγον λέγω, σὺ δὲ ἄλλου τινός, ἄρα τότε ἀντιλέγομεν; ἢ ἐγὼ λέγω μὲν τὸ πρᾶγμα, σὺ δὲ οὐδὲ λέγεις τοπαράπαν; ὁ δὲ μὴ λέγων τῷ λέγοντι πῶς ἂν ἀντιλέγοι; XVI. Καὶ ὁ μὲν Κτήσιππος ἐσίγησεν· ἐγὼ δὲ θαυμάσας τὸν λόγον, Πῶς, ἔφην, ὦ Διονυσόδωρε, λέγεις; οὐ γάρ τοι ἀλλὰ τοῦτόν γε τὸν λόγον πολλῶν δὴ καὶ πολλάκις ἀκηκοὼς ἀεὶ θαυμάζω. καὶ γὰρ οἱ ἀμφὶ Πρωταγόραν σφόδρα ἐχρῶντο αὐτῷ, καὶ οἱ ἔτι παλαιότεροι· ἐμοὶ δὲ ἀεὶ θαυμαστός τις δοκεῖ εἶναι, καὶ τούς τε ἄλλους ἀνατρέπων καὶ αὐτὸς αὑτόν. οἶμαι δὲ αὐτοῦ τὴν ἀλήθειαν παρὰ σοῦ κάλλιστα πεύσεσθαι. ἄλλο τι ἢ ψευδῆ λέγειν οὐκ ἔστι; τοῦτο γὰρ δύναται ὁ λόγος· ἦ γάρ; ἀλλ' ἢ λέγοντα, τἀληθῆ λέγειν, ἢ μὴ λέγειν; Ξυνεχώρει. Πότερον οὖν ψευδῆ μὲν λέγειν οὐκ ἔστι, δοξάζειν μέντοι ἔστιν; Οὐδὲ

δοξάζειν, ἔφη. Οὐδ' ἄρα ψευδής, ἦν δ' ἐγώ, δόξα ἐστὶ τοπαράπαν. Οὐκ, ἔφη. Οὐδ' ἄρα ἀμαθία, οὐδ' ἀμαθεῖς ἄνθρωποι. ἢ οὐ τοῦτ' ἂν εἴη ἀμαθία, εἴπερ εἴη, τὸ ψεύδεσθαι τῶν πραγμάτων; Πάνυ γε, ἔφη. Ἀλλὰ τοῦτο οὐκ ἔστιν, ἦν δ' ἐγώ. Οὔκ, ἔφη. Λόγου ἕνεκα, ὦ Διονυσόδωρε, λέγεις τὸν λόγον, ἵνα δὴ ἄτοπον λέγῃς, ἢ ὡς ἀληθῶς δοκεῖ σοι οὐδεὶς εἶναι ἀμαθὴς ἀνθρώπων; Ἀλλὰ σύ, ἔφη, ἔλεγξον. Ἦ καὶ ἔστι τοῦτο κατὰ τὸν σὸν λόγον, ἐξελέγξαι, μηδενὸς ψευδομένου; Οὐκ ἔστιν, ἔφη ὁ Εὐθύδημος. Οὐδ' ἄρα ἐκέλευον, ἔφη, ἐγὼ νῦν δή, ὁ Διονυσόδωρος, ἐξελέγξαι· τὸ γὰρ μὴ ὂν πῶς ἄν τις κελεύσαι; Ὦ Εὐθύδημε, ἦν δ' ἐγώ, τὰ σοφὰ ταῦτα καὶ τὰ εὖ ἔχοντα οὐ πάνυ τι μανθάνω, ἀλλὰ παχέως πως ἐννοῶ. ἴσως μὲν οὖν φορτικώτερόν τι ἐρήσομαι, ἀλλὰ ξυγγίγνωσκε· ὅρα δέ· εἰ γὰρ μήτε ψεύδεσθαί ἐστι, μήτε ψευδῆ δοξάζειν, μήτε ἀμαθῆ εἶναι, ἄλλοτι οὐδ' ἐξαμαρτάνειν ἐστίν, ὅταν τίς τι πράττῃ; πράττοντα γὰρ οὐκ ἔστιν ἁμαρτάνειν τούτου ὃ πράττει. οὐχ οὕτω λέγετε; Πάνυ γ', ἔφη. Τοῦτό ἐστιν ἤδη, ἦν δ' ἐγώ, τὸ φορτικὸν ἐρώτημα. εἰ γὰρ μὴ ἁμαρτάνομεν μήτε πράττοντες, μήτε λέγοντες, μήτε διανοούμενοι, ὑμεῖς, ὦ πρὸς Διός, εἰ ταῦτα οὕτω ἔχει, τίνος διδάσκαλοι ἥκετε; ἢ οὐκ ἄρτι ἔφατε ἀρετὴν κάλλιστ' ἂν παραδοῦναι ἀνθρώπων τῷ ἐθέλοντι μανθάνειν; Εἶτ' ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος ὑπολαβών, οὕτως εἶ Κρόνος, ὥστε ἃ τοπρῶτον εἴπομεν, νῦν ἀναμιμνήσκῃ, καὶ εἴ τι πέρυσιν εἶπον,

γῦν ἀναμνησθήσῃ, τοῖς δ' ἐν τῷ παρόντι λεγομένοις οὐχ ἕξεις ὅ, τι χρῇ; Καὶ γάρ, ἔφην ἐγώ, χαλεποί εἰσι πάνυ εἰκότως· παρὰ σοφῶν γὰρ λέγονται. ἐπεὶ καὶ τούτῳ τῷ τελευταίῳ παγχάλεπον χρήσασθαί ἐστιν, ᾧ λέγεις. τὸ γάρ, οὐκ ἔχω ὅ, τι χρῶμαι, τί ποτε λέγεις, ὦ Διονυσόδωρε; ἢ δηλονότι ὡς οὐκ ἔχω ἐξελέγξαι αὐτόν; ἐπεὶ εἰπέ, τί σοι ἄλλο ἐννοεῖ τοῦτο τὸ ῥῆμα, τό, οὐκ ἔχω ὅ, τι χρήσωμαι τοῖς λόγοις. Ἄλλο σὺ λέγεις, ἔφη, τοῦτο τὸ πάνυ χαλεπὸν χρῆσθαι; ἐπεὶ ἀπόκριναι. Πρίν σε ἀποκρίνασθαι, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε; Οὐκ ἀποκρινεῖ; ἔφη. Ἦ καὶ δίκαιον; Δίκαιον μέντοι, ἔφη. Κατὰ τίνα λόγον; ἦν δ' ἐγώ· ἢ δηλονότι κατὰ τόνδε, ὅτι σὺ νῦν πάνσοφός τις ἡμῖν ἀφῖξαι περὶ λόγους, καὶ οἶσθα ὅτε δεῖ ἀποκρίνασθαι, καὶ ὅτε μή; καὶ νῦν οὐδ' ἂν ὁτιοῦν ἀποκρίνῃ, ἅτε γιγνώσκων ὅτι οὐ δεῖ; Λαλεῖς, ἔφη, ἀμελήσας ἀποκρίνασθαι, [καὶ ὅτε μή] ἀλλ', ὠ'γαθέ, πείθου καὶ ἀποκρίνου· ἐπειδὴ καὶ ὁμολογεῖς με σοφὸν εἶναι. XVII. Πειστέον τοι, ἦν δ' ἐγώ, καὶ ἀνάγκη, ὡς ἔοικε· σὺ γὰρ ἄρχεις. ἀλλ' ἐρώτα. Πότερον οὖν ψυχὴν ἔχοντα νοεῖ τὰ νοοῦντα, ἢ καὶ τὰ ἄψυχα; Τὰ ψυχὴν ἔχοντα. Οἶσθα οὖν τι, ἔφη, ῥῆμα ψυχὴν ἔχον; Μὰ Δί', οὐκ ἔγωγε. Τί οὖν ἄρτι ἤρου ὅ, τι μοι νοοῖ τὸ ῥῆμα; Τί ἄλλο γε, ἦν δ' ἐγώ, ἢ ἐξήμαρτον διὰ τὴν βλακείαν; ἢ οὐκ ἐξήμαρτον, ἀλλὰ καὶ τοῦτο ὀρθῶς εἶπον, εἰπὼν ὅτι νοεῖ τὰ ῥήματα; πότερα φῂς ἐξαμαρτάνειν με ἢ οὔ; εἰ γὰρ μὴ ἐξήμαρτον, οὐδὲ σὺ ἐξελέγξεις, καίπερ

σοφὸς ὤν, οὐδ᾽ ἔχεις ὅ, τι χρῇ τῷ λόγῳ· εἰ δ᾽ ἐξήμαρτον, οὐδ᾽ οὕτως ὀρθῶς λέγεις, φάσκων οὐκ εἶναι ἐξαμαρτάνειν· καὶ ταῦτα οὐ πρὸς ἀπέρυσιν ἔλεγες λέγω, ἀλλὰ ἔοικεν, ἔφην ἐγώ, ὦ Διονυσόδωρέ τε καὶ Εὐθύδημε, οὗτος μὲν ὁ λόγος ἐν ταυτῷ μένειν, καὶ ἔτι ὥσπερ τοπαλαιὸν καταβαλὼν πίπτειν· καὶ ὥστε μὴ τοῦτο πάσχειν, οὐδ᾽ ὑπὸ τῆς ὑμετέρας που τέχνης ἐξευρῆσθαι, καὶ ταῦτα οὑτωσὶ θαυμαστῆς οὔσης εἰς ἀκρίβειαν λόγων. Καὶ ὁ Κτήσιππος, Θαυμάσιά γε λέγετ᾽, ἔφη, ὦ ἄνδρες Θούριοι, εἴτε Χῖοι, εἴθ᾽ ὁπόθεν καὶ ὅπη χαίρετον ὀνομαζόμενοι· ὡς ὑμῖν οὐδὲν μέλει τοῦ παραληρεῖν. Καὶ ἐγὼ φοβηθεὶς μὴ λοιδορία γένηται, πάλιν κατεπραΰνον τὸν Κτήσιππον, καὶ εἶπον, Ὦ Κτήσιππε, καὶ νῦν δὴ ἃ πρὸς Κλεινίαν ἔλεγον, καὶ πρὸς σὲ ταυτὰ ταῦτα λέγω, ὅτι οὐ γιγνώσκεις τῶν ξένων τὴν σοφίαν, ὅτι θαυμασία ἐστίν, ἀλλ᾽ οὐκ ἐθέλετον ἡμῖν ἐπιδείξασθαι σπουδάζοντε, ἀλλὰ τὸν Πρωτέα μιμεῖσθον τὸν Αἰγύπτιον σοφιστήν, γοητεύοντε ἡμᾶς. ἡμεῖς οὖν τὸν Μενέλαον μιμώμεθα, καὶ μὴ ἀφιώμεθα τοῖν ἀνδροῖν, ἕως ἂν ἡμῖν ἐκφανῆτον ἐφ᾽ ᾧ αὐτὼ σπουδάζετον· οἶμαι γάρ τι αὐτοῖν πάγκαλον φανεῖσθαι, ἐπειδὰν ἄρξωνται σπουδάζειν· ἀλλὰ δεώμεθα καὶ παραμυθώμεθα καὶ προσευχώμεθα αὐτοῖν ἐκφανῆναι. XVIII. Ἐγὼ οὖν μοι δοκῶ καὶ αὐτὸς πάλιν ὑφηγήσεσθαι οἵω προσεύχομαι αὐτὼ φανῆναί μοι. ὅθεν γὰρ τοπρότερον ἀπέλιπον, τὸ ἑξῆς τούτοις πειράσομαι, ὅπως ἂν δύνωμαι, διελθεῖν, ἐάν πως ἐκκαλέσωμαι,

καὶ ἐλεήσαντέ με καὶ οἰκτείραντε ξυντεταμένον καὶ
σπουδάζοντα καὶ αὐτὼ σπουδάσητον. σὺ δέ, ὦ Κλει-
νία, ἔφην, ἀνάμνησόν με πόθεν τότ᾽ ἀπελίπομεν. ὡς
μὲν οὖν ἐγᾦμαι, ἐνθένδε ποθέν· φιλοσοφητέον ὡμο-
λογήσαμεν τελευτῶντες· ἦ γάρ; Ναί, ἦ δ᾽ ὅς. Ἡ δέ
γε φιλοσοφία, κτῆσις ἐπιστήμης· οὐχ οὕτως; ἔφην.
Ναί, ἔφη. Τίνα ποτ᾽ οὖν ἂν κτησάμενοι ἐπιστήμην,
ὀρθῶς κτησαίμεθα; ἆρ᾽ οὐ τοῦτο μὲν ἁπλοῦν, ὅτι
ταύτην ἥτις ἡμᾶς ὀνήσει; Πάνυ γ᾽, ἔφην. Ἆρ᾽
οὖν ἡμᾶς ἄν τι ὀνήσειεν, εἰ ἐπισταίμεθα γιγνώσκειν
περιιόντες, ὅπου τῆς γῆς χρυσίον πλεῖστον κατορώ-
ρυκται; Ἴσως, ἔφη. Ἀλλὰ τὸ πρότερον, ἦν δ᾽ ἐγώ,
τοῦτό γε ἐξηλέγξαμεν, ὅτι οὐδὲν πλέον, οὐδ᾽ εἰ ἄνευ
πραγμάτων καὶ τοῦ ὀρύττειν τὴν γῆν, τὸ πᾶν ἡμῖν
χρυσίον γένοιτο· ὥστε οὐδ᾽ εἰ τὰς πέτρας χρυσᾶς
ἐπισταίμεθα ποιεῖν, οὐδενὸς ἂν ἀξία ἡ ἐπιστήμη
εἴη. εἰ γὰρ μὴ κεχρῆσθαι ἐπιστησόμεθα τῷ χρυσίῳ,
οὐδὲν ὄφελος αὐτοῦ ἐφάνη ὄν. ἢ οὐ μέμνησαι; ἔφην
ἐγώ. Πάνυ γ᾽, ἔφη, μέμνημαι. Οὐδέ γε, ὡς ἔοικε,
τῆς ἄλλης ἐπιστήμης ὄφελος γίγνεται οὐδέν, οὔτε
χρηματιστικῆς, οὔτε ἰατρικῆς, οὔτε ἄλλης οὐδεμιᾶς,
ἥτις ποιεῖν τι ἐπίσταται, χρῆσθαι δὲ μὴ ᾧ ἂν ποιή-
σῃ· οὐχ οὕτως; Ξυνέφη. Οὐδ᾽ εἴγε εἴ τις ἐστὶν ἐπι-
στήμη ὥστε ἀθανάτους ποιεῖν, ἄνευ τοῦ ἐπίστασθαι
τῇ ἀθανασίᾳ χρῆσθαι, οὐδὲ ταύτης ἔοικεν ὄφελος
οὐδέν, εἴ τι δεῖ τοῖς πρόσθεν ὡμολογημένοις τεκμαίρε-
σθαι. Ξυνεδόκει ἡμῖν πάντα ταῦτα. XIX. Τοιαύτης
τινὸς ἄρα ἡμῖν ἐπιστήμης δεῖ, ὦ καλὲ παῖ, ἦν δ᾽ ἐγώ,

ἐν ᾗ ξυμπέπτωκεν ἅμα τό, τε ποιεῖν καὶ τὸ ἐπίστασθαι χρῆσθαι τούτῳ ὃ ἂν ποιῇ. Φαίνεται, ἔφη. Πολλοῦ ἄρα δεῖ, ὡς ἔοικεν, ἡμᾶς λυροποιοὺς δεινοὺς εἶναι, καὶ τοιαύτης τινὸς ἐπιστήμης ἐπηβόλους. ἐνταῦθα γὰρ δὴ χωρὶς μὲν ἡ ποιοῦσα τέχνη, χωρὶς δὲ ἡ χρωμένη διῄρηται, τοῦ αὐτοῦ πέρι· ἡ γὰρ λυροποιικὴ καὶ ἡ κιθαριστικὴ πολὺ διαφέρετον ἀλλήλοιν. οὐχ οὕτω; Ξυνέφη. Οὐδὲ μὴν αὐλοποιικῆς γε δηλονότι δεόμεθα· καὶ γὰρ αὕτη ἑτέρα τοιαύτη. Ξυνεδόκει. Ἀλλὰ πρὸς θεῶν, ἔφην ἐγώ, εἰ τὴν λογοποιικὴν τέχνην μάθοιμεν, ἆρά ἐστιν αὕτη ἣν ἔδει κεκτημένους ἡμᾶς εὐδαίμονας εἶναι; Οὐκ οἶμαι, ἔφη, ἐγώ, ὁ Κλεινίας ὑπολαβών. Τίνι τεκμηρίῳ, ἦν δ᾽ ἐγώ, χρῇ; Ὁρῶ, ἔφη, τινὰς λογοποιούς, οἳ τοῖς ἰδίοις λόγοις οἷς αὐτοὶ ποιοῦσιν οὐκ ἐπίστανται χρῆσθαι, ὥςπερ οἱ λυροποιοὶ ταῖς λύραις, ἀλλὰ καὶ ἐνταῦθα ἄλλοι δυνατοὶ χρῆσθαι οἷς ἐκεῖνοι εἰργάσαντο οἱ λογοποιεῖν αὐτοὶ ἀδύνατοι. δῆλον οὖν ὅτι καὶ περὶ λόγους χωρὶς ἡ τοῦ ποιεῖν τέχνη καὶ ἡ τοῦ χρῆσθαι. Ἱκανόν μοι δοκεῖς, ἔφην ἐγώ, τεκμήριον λέγειν ὅτι οὐχ αὕτη ἐστὶν ἡ τῶν λογοποιῶν τέχνη, ἣν ἂν κτησάμενός τις εὐδαίμων εἴη. καίτοι ἐγὼ ᾤμην ἐνταῦθά που φανήσεσθαι τὴν ἐπιστήμην ἣν δὴ πάλαι ζητοῦμεν. καὶ γάρ μοι οἵ τε ἄνδρες αὐτοὶ οἱ λογοποιοί, ὅταν ξυγγένωμαι αὐτοῖς, ὑπέρσοφοι, ὦ Κλεινία, δοκοῦσιν εἶναι, καὶ αὐτὴ ἡ τέχνη αὐτῶν θεσπεσία τις καὶ ὑψηλή. καὶ μέντοι οὐδὲν θαυμαστόν. ἔστι γὰρ τῆς τῶν ἐπῳδῶν τέχνης μόριον, σμι-

κρῷ τε ἐκείνης ὑποδεεστέρα. ἡ μὲν γὰρ τῶν ἐπῳδῶν,
ἐχεών τε καὶ φαλαγγίων καὶ σκορπίων καὶ τῶν ἄλ-
λων θηρίων τε καὶ νόσων κήλησίς ἐστιν· ἡ δὲ, δι-
καστῶν τε καὶ ἐκκλησιαστῶν καὶ τῶν ἄλλων ὄχλων
κήλησίς τε καὶ παραμυθία τυγχάνει οὖσα· ἤ σοι,
ἔφην ἐγὼ, ἄλλως πως δοκεῖ; Οὐκ, ἀλλ' οὕτω μοι
φαίνεται, ἔφη, ὡς σὺ λέγεις. XX. Ποῖ οὖν, ἔφην ἐγὼ,
τραποίμεθ' ἂν ἔτι; ἐπὶ ποίαν τέχνην; Ἐγὼ μὲν οὐκ
εὐπορῶ, ἔφη. Ἀλλ', ἦν δ' ἐγὼ, οἶμαι εὑρηκέναι.
Τίνα; ἔφη ὁ Κλεινίας. Ἡ στρατηγική μοι δοκεῖ,
ἔφην, τέχνη παντὸς μᾶλλον εἶναι ἣν ἄν τις κτησάμε-
νος εὐδαίμων εἴη. Οὐκ ἔμοιγε δοκεῖ. Πῶς; ἦν δ'
ἐγώ. Θηρευτική τις ἥδε γέ ἐστι τέχνη ἀνθρώπων.
Τί δὴ οὖν; ἔφην ἐγώ. Οὐδεμία, ἔφη, τῆς θηρευτι-
κῆς αὐτῆς ἐπιπλέον ἐστὶν, ἢ ὅσον θηρεῦσαι καὶ χει-
ρώσασθαι· ἐπειδὰν δὲ χειρώσωνται τοῦτο ὃ ἂν θη-
ρεύσωνται, οὐ δύνανται τούτῳ χρῆσθαι, ἀλλ' οἱ
μὲν κυνηγέται καὶ οἱ ἁλιεῖς τοῖς ὀψοποιοῖς παραδι-
δόασιν· οἱ δ' αὖ γεωμέτραι καὶ οἱ ἀστρονόμοι, καὶ
οἱ λογιστικοὶ — θηρευτικοὶ γάρ εἰσι καὶ οὗτοι· οὐ
γὰρ ποιοῦσιν τὰ διαγράμματα ἕκαστοι τούτων, ἀλλὰ
τὰ ὄντα ἀνευρίσκουσιν — ἅτε οὖν χρῆσθαι αὐτοὶ αὐ-
τοῖς οὐκ ἐπιστάμενοι, ἀλλὰ θηρεῦσαι μόνον, παρα-
διδόασι δή που τοῖς διαλεκτικοῖς καταχρῆσθαι αὐ-
τῶν τοῖς εὑρήμασιν, ὅσοι γε αὐτῶν μὴ παντάπασιν
ἀνόητοί εἰσιν. Εἶεν, ἦν δ' ἐγώ, ὦ κάλλιστε καὶ σο-
φώτατε Κλεινία· τοῦτο οὕτως ἔχει; Πάνυ μὲν οὖν,
καὶ οἵ γε στρατηγοί, ἔφη, οὕτω τὸν αὐτὸν τρόπον,

ἐπειδὰν ἢ πόλιν τινὰ θηρεύσωνται ἢ στρατόπεδον, παραδιδόασι τοῖς πολιτικοῖς ἀνδράσι· αὐτοὶ γὰρ οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευσαν· ὥσπερ, οἶμαι, οἱ ὀρτυγοθῆραι τοῖς ὀρτυγοτρόφοις παραδιδόασιν. εἰ οὖν, ἦ δ᾽ ὅς, δεόμεθα ἐκείνης τῆς τέχνης ἥτις ἄν, ὃ ἂν κτήσηται, ἢ ποιήσασα ἢ θηρευσαμένη, αὐτὴ καὶ ἐπιστήσεται χρῆσθαι, καὶ ἡ τοιαύτη ποιήσει ἡμᾶς μακαρίους, ἄλλην δή τινα, ἔφη, ζητητέον ἀντὶ τῆς στρατηγικῆς. XXI. ΚΡ. Τί λέγεις σύ, ὦ Σώκρατες; ἐκεῖνο τὸ μειράκιον τοιαῦτ᾽ ἐφθέγξατο; ΣΩ. Οὐκ οἴει, ὦ Κρίτων; ΚΡ. Μὰ Δί᾽, οὐ μέντοι· οἶμαι γὰρ αὐτὸν ἐγώ, εἰ ταῦτ᾽ εἶπεν, οὔτ᾽ Εὐθυδήμου οὔτε ἄλλου οὐδενὸς ἔτ᾽ ἀνθρώπου δεῖσθαι εἰς παιδείαν. ΣΩ. Ἀλλ᾽ ἄρα, ὦ πρὸς Διός, μὴ ὁ Κτήσιππος ἦν ὁ ταῦτ᾽ εἰπών, ἐγὼ δὲ οὐ μέμνημαι; ΚΡ. Ποῖος Κτήσιππος; ΣΩ. Ἀλλὰ μὴν τόγε εὖ οἶδα, ὅτι οὔτε ὁ Εὐθύδημος, οὔτε Διονυσόδωρος ἦν ὁ εἰπὼν ταῦτα. ἀλλ᾽, ὦ δαιμόνιε Κρίτων, μή τις τῶν κρειττόνων παρὼν αὐτὰ ἐφθέγξατο; ὅτι γὰρ ἤκουσά γε ταῦτα, εὖ οἶδα. ΚΡ. Ναὶ μὰ Δία, ὦ Σώκρατες· τῶν κρειττόνων μέντοι τις ἐμοὶ δοκεῖ, καὶ πολύ γε. ἀλλὰ μετὰ τοῦτο ἔτι τίνα ἐζητήσατε τέχνην; καὶ εὕρετε ἐκείνην, ἢ οὐχ εὕρετε, ἧς ἕνεκα ἐζητεῖτε; ΣΩ. Πόθεν, ὦ μακάριε, εὕρομεν; ἀλλ᾽ ἦμεν πάνυ γελοῖοι, ὥσπερ τὰ παιδία τὰ τοὺς κορυδοὺς διώκοντα· ἀεὶ ᾠόμεθα ἑκάστην τῶν ἐπιστημῶν αὐτίκα λήψεσθαι, αἱ δ᾽ ἀεὶ ὑπεξέφυγον. τὰς μὲν οὖν πολλὰς τί ἄν σοι λέγοιμι; ἐπὶ δὲ δὴ τὴν

βασιλικὴν ἐλθόντες τέχνην, καὶ διασκοπούμενοι αὐτήν, εἰ αὕτη εἴη ἡ τὴν εὐδαιμονίαν παρέχουσά τε καὶ ἀπεργαζομένη, ἐνταῦθα ὥσπερ εἰς λαβύρινθον ἐμπεσόντες, οἰόμενοι ἤδη ἐπὶ τέλει εἶναι, περικάμψαντες πάλιν, ὥσπερ ἐν ἀρχῇ τῆς ζητήσεως ἀνεφάνημεν ὄντες, καὶ τοῦ ἴσου δεόμενοι ὅσου περ ὅτε τὸ πρῶτον ἐζητοῦμεν. ΚΡ. Πῶς δὴ τοῦτο ὑμῖν ξυνέβη, ὦ Σώκρατες; XXII. ΣΩ. Ἐγὼ φράσω· ἔδοξε γὰρ δὴ ἡμῖν ἡ πολιτικὴ καὶ ἡ βασιλικὴ τέχνη ἡ αὐτὴ εἶναι. ΚΡ. Τί οὖν δή; ΣΩ. Ταύτῃ τῇ τέχνῃ ἥ τε στρατηγικὴ καὶ αἱ ἄλλαι παραδιδόναι ἄρχειν τῶν ἔργων ὧν αὐται δημιουργοί εἰσιν, ὡς μόνῃ ἐπισταμένῃ χρῆσθαι. σαφῶς οὖν ἐδόκει ἡμῖν αὕτη εἶναι ἣν ζητοῦμεν, καὶ ἡ αἰτία τοῦ ὀρθῶς πράττειν ἐν τῇ πόλει, καὶ ἀτεχνῶς, κατὰ τὸ Αἰσχύλου ἰαμβεῖον, μόνη ἐν τῇ πρύμνῃ καθῆσθαι τῆς πόλεως, πάντα κυβερνῶσα καὶ πάντων ἄρχουσα, καὶ πάντα χρήσιμα ποιεῖν. ΚΡ. Οὐκοῦν καλῶς ὑμῖν ἐδόκει, ὦ Σώκρατες; ΣΩ. Σὺ κρινεῖς, ὦ Κρίτων, ἐὰν βούλῃ ἀκούειν καὶ τὰ μετὰ ταῦτα ξυμβάντα ἡμῖν. αὖθις γὰρ δὴ πάλιν ἐσκοποῦμεν ὧδέ πως· φέρε, πάντων ἄρχουσα ἡ βασιλικὴ τέχνη τί ἡμῖν ἀπεργάζεται ἔργον; ἢ οὐδέν; πάντως δήπου, ἡμεῖς ἔφαμεν πρὸς ἀλλήλους. οὐ καὶ σὺ ἂν ταῦτα φαίης, ὦ Κρίτων; ΚΡ. Ἔγωγε. ΣΩ. Τί οὖν ἂν φαίης αὐτῆς ἔργον εἶναι; ὥσπερ εἰ ἐγώ σε ἐρωτῴην, πάντων ἄρχουσα ἡ ἰατρική, ὧν ἄρχει, τί ἔργον παρέχεται; οὐ τὴν ὑγίειαν φαίης; ΚΡ. Ἔγωγε. ΣΩ. Τί δέ, ἡ ὑμετέρα τέχνη ἡ γεωργία; πάντων ἄρ-

χοῦσα, ὧν ἄρχει, τί ἀπεργάζεται; οὐ τὴν τροφὴν ἂν
φαίης τὴν ἐκ τῆς γῆς παρέχειν ἡμῖν; ΚΡ. Ἔγωγε.
ΣΩ. Τί δέ; ἡ βασιλικὴ πάντων ἄρχουσα, ὧν ἄρχει,
τί ἀπεργάζεται; ἴσως οὐ πάνυ γ' εὐπορεῖς. ΚΡ.
Μὰ τὸν Δία, ὦ Σώκρατες. ΣΩ. Οὐδὲ γὰρ ἡμεῖς,
ὦ Κρίτων, ἀλλὰ τοσόνδε γε οἶσθα, ὅτι εἴπερ ἐστὶν
αὕτη, ἣν ἡμεῖς ζητοῦμεν, ὠφέλιμον αὐτὴν δεῖ εἶναι.
ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἀγαθόν γέ τι δεῖ ἡμῖν
αὐτὴν παραδιδόναι; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.
ΣΩ. Ἀγαθὸν δέ γέ που ὡμολογήσαμεν ἀλλήλοις
ἐγώ τε καὶ Κλεινίας οὐδὲν εἶναι ἄλλο ἢ ἐπιστήμην
τινά. ΚΡ. Ναί, οὕτως ἔλεγες. ΣΩ. Οὐκοῦν τὰ μὲν
ἄλλα ἔργα ἃ φαίη ἄν τις πολιτικῆς εἶναι, (πολλὰ δέ
που ταῦτ' ἂν εἴη, οἷον, πλουσίους τοὺς πολίτας
παρέχειν καὶ ἐλευθέρους καὶ ἀστασιάστους,) πάντα
ταῦτα οὔτε κακὰ οὔτε ἀγαθὰ ἐφάνη, ἔδει δὲ σο-
φοὺς ποιεῖν καὶ ἐπιστήμης μεταδιδόναι, εἴπερ ἔμελ-
λεν αὕτη εἶναι ἡ ὠφελοῦσά τε καὶ εὐδαίμονας ποι-
οῦσα. ΚΡ. Ἔστι ταῦτα. τότε γοῦν οὕτως ὑμῖν ὡμο-
λογήθη, ὡς σὺ τοὺς λόγους ἀπήγγειλας. ΣΩ. Ἆρ'
οὖν ἡ βασιλικὴ σοφοὺς ποιεῖ τοὺς ἀνθρώπους καὶ
ἀγαθούς; ΚΡ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; ΣΩ.
Ἀλλ' ἆρα πάντας καὶ πάντως ἀγαθούς; καὶ πᾶσαν
ἐπιστήμην σκυτοτομικήν τε καὶ τεκτονικὴν καὶ τὰς
ἄλλας ἁπάσας αὕτη ἡ παραδιδοῦσά ἐστιν; ΚΡ. Οὐκ
οἶμαι ἔγωγε, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ τίνα δὴ ἐπι-
στήμην; ἢ τί χρησόμεθα; τῶν μὲν γὰρ ἔργων οὐ-
δενὸς δεῖ αὐτὴν δημιουργὸν εἶναι τῶν μήτε κακῶν

μήτε ἀγαθῶν, ἐπιστήμην δὲ παραδιδόναι μηδεμίαν ἄλλην ἢ αὐτὴν ἑαυτήν. λέγωμεν δὴ οὖν, τί ποτέ ἐστιν αὕτη, ᾗ τί χρησόμεθα; βούλει φῶμεν, ὦ Κρίτων, ᾗ γ᾽ ἄλλους ἀγαθοὺς ποιήσομεν; ΚΡ. Πάνυ γε. ΣΩ. Οἳ τί ἔσονται ἡμῖν ἀγαθοί, καὶ τί χρήσιμοι; ἢ ἔτι λέγωμεν ὅτι ἄλλους ποιήσουσιν, οἱ δὲ ἄλλοι ἐκεῖνοι ἄλλους; ὅ, τι δέ ποτε ἀγαθοί εἰσιν, οὐδαμοῦ ἡμῖν φαίνονται, ἐπειδήπερ τὰ ἔργα τὰ λεγόμενα εἶναι τῆς πολιτικῆς ἀπεδοκιμάσαμεν, ἀλλ᾽ ἀτεχνῶς, τὸ λεγόμενον, ὁ Διὸς Κόρινθος γίγνεται, καί, ὅπερ ἔλεγον, τοῦ ἴσου ἡμῖν ἐνδεῖ, ἢ ἔτι πλέονος, πρὸς τὸ εἰδέναι, τίς ποτ᾽ ἐστὶν ἡ ἐπιστήμη ἐκείνη ἣ ἡμᾶς εὐδαίμονας ποιήσειε; ΚΡ. Νὴ τὸν Δία, ὦ Σώκρατες, εἰς πολλήν γε ἀπορίαν, ὡς ἔοικεν, ἀφίκεσθε. XXIII. ΣΩ. Ἔγωγε οὖν καὶ αὐτός, ὦ Κρίτων, ἐπειδὴ ἐν ταύτῃ τῇ ἀπορίᾳ ἐνεπεπτώκειν, πᾶσαν ἤδη φωνὴν ἠφίειν, δεόμενος τοῖν ξένοιν, ὥσπερ Διοσκούρω ἐπικαλούμενος, σῶσαι ἡμᾶς, ἐμέ τε καὶ τὸ μειράκιον, ἐκ τῆς τρικυμίας τοῦ λόγου, καὶ παντὶ τρόπῳ σπουδάσαι, καὶ σπουδάσαντας ἐπιδεῖξαι, τίς ποτ᾽ ἐστὶν ἡ ἐπιστήμη, ἧς τυχόντες ἂν καλῶς τὸν ἐπίλοιπον βίον διέλθοιμεν. ΚΡ. Τί οὖν; ἠθέλησέ τι ὑμῖν ἐπιδεῖξαι ὁ Εὐθύδημος; ΣΩ. Πῶς γὰρ οὔ; καὶ ἤρξατό γε, ὦ ἑταῖρε, πάνυ μεγαλοφρόνως τοῦ λόγου, ὧδε. Πότερόν δή σε, ἔφη, ὦ Σώκρατες, ταύτην τὴν ἐπιστήμην, περὶ ἣν πάλαι ἀπορεῖτε, διδάξω; ἢ ἐπιδείξω ἔχοντα; Ὦ μακάριε, ἦν δ᾽ ἐγώ, ἔστι δὲ ἐπὶ σοὶ τοῦτο; Πάνυ μὲν οὖν, ἔφη. Ἐπίδειξον τοίνυν με νὴ

Δί᾽, ἔφην ἐγώ, ἔχοντα· πολὺ γὰρ ῥᾷον ἢ μανθάνειν τηλικόνδε ἄνδρα. Φέρε δή μοι ἀπόκριναι, ἔφη· ἔστιν ὅ, τι ἐπίστασαι; Πάνυ γε, ἦν δ᾽ ἐγώ, καὶ πολλά, σμικρά γε. Ἀρκεῖ, ἔφη. ἆρ᾽ οὖν δοκεῖς οἷόν τε, τί τῶν ὄντων, τοῦτο ὃ τυγχάνει ὄν, αὐτὸ τοῦτο μὴ εἶναι; Ἀλλὰ μὰ Δί᾽ οὐκ ἔγωγε. Οὐκοῦν σὺ φῂς ἐπίστασθαί τι; Ἔγωγε. Οὐκοῦν ἐπιστήμων εἶ, εἴπερ ἐπίστασαι; Πάνυ γε, τούτου γε αὐτοῦ. Οὐδὲν διαφέρει· ἀλλ᾽ οὐκ ἀνάγκη σε ἔχει πάντα ἐπίστασθαι ἐπιστήμονά γε ὄντα; Μὰ Δί᾽, ἔφην ἐγώ, ἐπεὶ πολλὰ ἄλλ᾽ οὐκ ἐπίσταμαι. Οὐκοῦν, εἴ τι μὴ ἐπίστασαι, οὐκ ἐπιστήμων εἶ; Ἐκείνου γε, ὦ φίλε, ἦν δ᾽ ἐγώ. Ἧττον οὖν τι, ἔφη, οὐκ ἐπιστήμων εἶ; ἄρτι δὲ ἐπιστήμων ἔφησθα εἶναι· καὶ οὕτω τυγχάνεις ὢν αὐτὸς οὗτος ὃς εἶ, καὶ αὖ πάλιν οὐκ εἶ, κατὰ ταὐτὰ ἅμα. Εἶεν, ἦν δ᾽ ἐγώ, ὦ Εὐθύδημε· τὸ γὰρ λεγόμενον, καλὰ δὴ πάντ᾽ ἄγεις· πῶς οὖν ἐπίσταμαι ἐκείνην τὴν ἐπιστήμην ἣν ἐζητοῦμεν; ὡς δὴ τοῦτο ἀδύνατόν ἐστι τὸ αὐτὸ εἶναί τε καὶ μή· εἴπερ ἓν ἐπίσταμαι, ἅπαντα ἐπίσταμαι· οὐ γὰρ ἂν εἴην ἐπιστήμων τε καὶ ἀνεπιστήμων ἅμα· εἰ δὲ πάντα ἐπίσταμαι, κἀκείνην δὴ τὴν ἐπιστήμην ἔχω· ἆρα οὕτω λέγεις, καὶ τοῦτό ἐστι τὸ σοφόν; Αὐτὸς σαυτόν γε δὴ ἐξελέγχεις, ἔφη, ὦ Σώκρατες. XXIV. Τί δέ, ἦν δ᾽ ἐγώ, ὦ Εὐθύδημε, σὺ οὐ πέπονθας τοῦτο τὸ αὐτὸ πάθος; ἐγὼ γάρ τοι μετὰ σοῦ ὁτιοῦν ἂν πάσχων καὶ μετὰ Διονυσοδώρου τοῦδε, φίλης κεφαλῆς, οὐκ ἂν πάνυ ἀγανακτοίην. εἰπέ μοι, σφὼ οὐχὶ τὰ μὲν ἐπίστασθον

τῶν ὄντων, τὰ δὲ οὐκ ἐπίστασθον; Ἥκιστά γε, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος. Πῶς λέγετον; ἔφην ἐγώ· ἀλλ' οὐδὲν ἄρα ἐπίστασθον; Καὶ μάλα, ἦ δ' ὅς. Πάντ' ἄρα, ἔφην ἐγώ, ἐπίστασθον, ἐπειδήπερ καὶ ὁτιοῦν. Πάντ', ἔφη, καὶ σύ γε πρός, εἴπερ καὶ ἓν ἐπίστασαι, πάντα ἐπίστασαι. Ὦ Ζεῦ, ἔφην ἐγώ, ὡς θαυμαστὸν λέγεις· καὶ ἀγαθὸν μέγα πέφανται. μῶν καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι πάντ' ἐπίστανται, ἢ οὐδέν; Οὐ γὰρ δήπου, ἔφη, τὰ μὲν ἐπίστανται, τὰ δ' οὐκ ἐπίστανται, καὶ εἰσὶν ἅμα ἐπιστήμονές τε καὶ ἀνεπιστήμονες. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Πάντες, ἦ δ' ὅς, πάντα ἐπίστανται, εἴπερ καὶ ἕν. Ὦ πρὸς τῶν θεῶν, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε, (δῆλοι γάρ μοι ἐστὸν ἤδη ὅτι σπουδάζετον, καὶ μόλις ὑμᾶς παρεκαλεσάμην σπουδάζειν) αὐτὼ τῷ ὄντι πάντα ἐπίστασθον; οἷον τεκτονικὴν καὶ σκυτικήν; Πάνυ γ', ἔφη. Ἦ καὶ νευρορράφειν αὖ δυνατὼ ἐστόν; Καὶ νὴ Δία καττύειν, ἔφη. Ἦ καὶ τὰ τοιαῦτα, τοὺς ἀστέρας ὁπόσοι εἰσί, καὶ τὴν ἄμμον; Πάνυ γε, ἦ δ' ὅς. εἶτ' οὐκ ἂν οἴει ὁμολογῆσαι ἡμᾶς; Καὶ ὁ Κτήσιππος ὑπολαβών, Πρὸς Διός, ἔφη, Διονυσόδωρε, τεκμήριόν τί μοι τούτων ἐπιδείξατον τοιόνδε, ᾧ εἴσομαι ὅτι ἀληθῆ λέγετον. Τί ἐπιδείξω; ἔφη. Οἶσθα Εὐθύδημον ὁπόσους ὀδόντας ἔχει, καὶ ὁ Εὐθύδημος ὁπόσους σύ; Οὐκ ἐξαρκεῖ σοι, ἔφη, ἀκοῦσαι ὅτι πάντα ἐπιστάμεθα; Μηδαμῶς, ἦ δ' ὅς· ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον εἴπατον καὶ ἐπιδείξατον, ὅτι ἀληθῆ λέγετον, καὶ ἐὰν εἴπητον ὁπόσους ἑκάτερος ἔχει ὑμῶν,

καὶ φαίνησθε γνόντες, ἡμῶν ἀριθμησάντων, ἤδη πεισόμεθα ὑμῖν καὶ τἄλλα. ἡγουμένω οὖν σκώπτεσθαι, οὐκ ἠθελέτην, ἀλλ᾽ ὡμολογησάτην πάντα χρήματα ἐπίστασθαι, καθ᾽ ἓν ἕκαστον ἐρωτώμενοι ὑπὸ Κτησίππου. ὁ γὰρ Κτήσιππος πάνυ ἀπαρακαλύπτως οὐδὲν ὅ, τι οὐκ ἠρώτα τελευτῶν, καὶ τὰ αἴσχιστα, εἰ ἐπισταίσθην· τὼ δὲ ἀνδρειότατα ὁμόσε ᾔτην τοῖς ἐρωτήμασιν, ὁμολογοῦντες εἰδέναι, ὥσπερ οἱ κάπροι οἱ πρὸς τὴν πληγὴν ὁμόσε ὠθούμενοι. ὥστ᾽ ἔγωγε καὶ αὐτὸς, ὦ Κρίτων, ὑπ᾽ ἀπιστίας ἠναγκάσθην τελευτῶν ἔρεσθαι τὸν Εὐθύδημον, εἰ καὶ ὀρχεῖσθαι ἐπίσταιτο ὁ Διονυσόδωρος. Ὁ δὲ, Πάνυ, ἔφη. Οὐ δήπου, ἦν δ᾽ ἐγὼ, καὶ ἐς μαχαίρας γε κυβιστᾶν, καὶ ἐπὶ τροχοῦ δινεῖσθαι, τηλικοῦτος ὤν· ἢ οὕτω πόῤῥω σοφίας ἥκει; Οὐδὲν, ἔφη, ὅ, τι οὔ. Πότερον δὲ, ἦν δ᾽ ἐγώ, πάντα νῦν μόνον ἐπίστασθον, ἢ καὶ ἀεί; Καὶ ἀεὶ, ἔφη. Καὶ ὅτε παιδία ἤστην καὶ εὐθὺς γενόμενοι ἠπίστασθε; Πάντα, ἐφάτην ἅμα ἀμφοτέρω. Καὶ ἡμῖν μὲν ἄπιστον ἐδόκει εἶναι τὸ πρᾶγμα. Ὁ δ᾽ Εὐθύδημος, Ἀπιστεῖς, ἔφη, ὦ Σώκρατες; Πλήν γ᾽ ὅτι, ἦν δ᾽ ἐγώ, εἰκὸς ὑμᾶς ἐστι σοφοὺς εἶναι. Ἀλλ᾽ ἤν, ἔφη, ἐθελήσῃς μοι ἀποκρίνεσθαι, ἐγὼ ἐπιδείξω καὶ σὲ ταῦτα τὰ θαυμαστὰ ὁμολογοῦντα. Ἀλλὰ μὴν, ἦν δ᾽ ἐγώ, ἥδιστα ταῦτα ἐξελέγχομαι· εἰ γάρ τοι λέληθα ἐμαυτὸν σοφὸς ὤν, σὺ δὲ τοῦτο ἐπιδείξεις ὡς πάντα ἐπίσταμαι καὶ ἀεὶ, τί μεῖζον ἕρμαιον αὑτοῦ ἂν εὕροιμι ἐν παντὶ τῷ βίῳ; Ἀποκρίνου δή, ἔφη. Ὡς ἀποκρινουμένου ἐρώτα. XXV. Ἆρ᾽ οὖν, ἔφη, ὦ

Σώκρατες, ἐπιστήμων του εἶ, ἢ οὔ; Ἔγωγε. Πότερον οὖν ᾧ ἐπιστήμων εἶ, τούτῳ καὶ ἐπίστασαι; ἢ ἄλλῳ τῳ; Ὧι ἐπιστήμων· οἶμαι γάρ σε ψυχὴν λέγειν· ἢ οὐ τοῦτο λέγεις; Οὐκ αἰσχύνῃ, ἔφη, ὦ Σώκρατες, ἐρωτώμενος ἀντερωτᾶν; Εἶεν, ἦν δ' ἐγώ· ἀλλὰ πῶς ποιῶ; οὕτω γὰρ ποιήσω ὅπως ἂν σὺ κελεύῃς. (ὅταν μὴ εἰδῶ ὅ, τι ἐρωτᾷς, κελεύεις με ὅμως ἀποκρίνεσθαι, ἀλλὰ μὴ ἐπανέρεσθαι.) Ὑπολαμβάνεις γάρ δήπου τι, ἔφη, ὃ λέγω; Ἔγωγε, ἦν δ' ἐγώ. Πρὸς τοῦτο τοίνυν ἀποκρίνου, ὃ ὑπολαμβάνεις. Τί οὖν, ἔφην; ἂν σὺ μὲν ἄλλῃ ἐρωτᾷς διανοούμενος, ἐγὼ δὲ ἄλλῃ ὑπολάβω, ἔπειτα πρὸς τοῦτο ἀποκρίνωμαι, ἐξαρκεῖ σοι ἐὰν μηδὲν πρὸς ἔπος ἀποκρίνωμαι; Ἔμοιγε, ἦ δ' ὅς· οὐ μέντοι σοί γε, ὡς ἐγᾦμαι. Οὐ τοίνυν μὰ Δία ἀποκρινοῦμαι, ἦν δ' ἐγώ, πρότερον πρὶν ἂν πύθωμαι. Οὐκ ἀποκρίνῃ, ἔφη, πρὸς ἃ ἂν ἀεὶ ὑπολαμβάνῃς, ὅτι ἔχων φλυαρεῖς, καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. Κἀγὼ ἔγνων αὐτὸν ὅτι μοι χαλεπαίνοι διαστέλλοντι τὰ λεγόμενα, βουλόμενός με θηρεῦσαι, τὰ ὀνόματα περιστήσας. ἀνεμνήσθην οὖν τοῦ Κόννου, ὅτι μοι κἀκεῖνος χαλεπαίνει ἑκάστοτε, ὅταν αὐτῷ μὴ ὑπείκω· ἔπειτά μου ἧττον ἐπιμελεῖται, ὡς ἀμαθοῦς ὄντος. ἐπειδὴ οὖν διενοούμην καὶ παρὰ τοῦτον φοιτᾶν, ᾠήθην δεῖν ὑπείκειν, μή με σκαιὸν ἡγησάμενος φοιτητὴν μὴ προσδέχοιτο. εἶπον οὖν, Ἀλλ' εἰ δοκεῖ σοι, Εὐθύδημε, οὕτω ποιεῖν, ποιητέον· σὺ γὰρ πάντως που κάλλιον ἐπίστασαι διαλέγεσθαι ἢ ἐγώ, τέχνην ἔχων, ἰδιώτου ἀνθρώ-

που. ἐρώτα οὖν πάλιν ἐξ ἀρχῆς. Ἀποκρίνου δή, ἔφη, πάλιν, πότερον ἐπίστασαί τῳ ἃ ἐπίστασαι, ἢ οὔ; Ἔγωγε, ἔφην, τῇ γε ψυχῇ. Οὗτος αὖ, ἔφη, προςαποκρίνεται τοῖς ἐρωτωμένοις. οὐ γὰρ ἔγωγε ἐρωτῶ, ὅτῳ, ἀλλ' εἰ ἐπίστασαί τῳ. Πλέον αὖ, ἔφην ἐγώ, τοῦ δέοντος ἀπεκρινάμην ὑπὸ ἀπαιδευσίας· ἀλλὰ ξυγγίγνωσκέ μοι. ἀποκρινοῦμαι γὰρ ἤδη ἁπλῶς, ὅτι ἐπίσταμαί τῳ ἀεὶ ἃ ἐπίσταμαι. Πότερον, ἦ δ' ὅς, τῷ αὐτῷ τούτῳ γ' αἰεί; ἢ ἔστι μὲν ὅτε τούτῳ, ἔστι δὲ ὅτε ἑτέρῳ; Ἀεί, ὅταν ἐπίστωμαι, ἦν δ' ἐγώ, τούτῳ. Οὐκ αὖ, ἔφη, παύσῃ παραφθεγγόμενος; Ἀλλ' ὅπως μή τι ἡμᾶς σφαλεῖ τὸ ἀεὶ τοῦτο. Οὔκουν ἡμᾶς γε, ἔφη, ἀλλ' εἴπερ, σέ. ἀλλ' ἀποκρίνου· ἢ ἀεὶ τούτῳ ἐπίστασαι; Ἀεί, ἦν δ' ἐγώ· ἐπειδὴ δεῖ ἀφελεῖν τὸ Ὅταν. Οὐκοῦν ἀεὶ μὲν τούτῳ ἐπίστασαι· ἀεὶ δ' ἐπιστάμενος, πότερον τὰ μὲν τούτῳ ἐπίστασαι ᾧ ἐπίστασαι, τὰ δ' ἄλλῳ, ἢ τούτῳ πάντα; Τούτῳ, ἔφην ἐγώ, ἅπαντα, ἅ γ' ἐπίσταμαι. Τοῦτ' ἐκεῖνο, ἔφη· ἥκει τὸ αὐτὸ παράφθεγμα. Ἀλλ' ἀφαιρῶ, ἔφην ἐγώ, τό, ἅ γ' ἐπίσταμαι. Ἀλλὰ μηδὲ ἕν, ἔφη, ἀφέλῃς· οὐδὲν γάρ σου δέομαι· ἀλλά μοι ἀπόκριναι· δύναιο ἂν ἅπαντα ἐπίστασθαι, εἰ μὴ πάντα ἐπίσταιο; Τέρας γὰρ ἂν εἴη, ἦν δ' ἐγώ. Καὶ ὃς εἶπε, Προςτίθει τοίνυν ἤδη ὅ, τι βούλει· ἅπαντα γὰρ ὁμολογεῖς ἐπίστασθαι. Ἔοικα, ἔφην ἐγώ, ἐπειδήπερ γε οὐδεμίαν ἔχει δύναμιν τὸ ἃ ἐπίσταμαι, πάντα δὲ ἐπίσταμαι. Οὐκοῦν καὶ ἀεὶ ὡμολόγηκας ἐπίστασθαι τούτῳ ᾧ ἐπίστασαι, εἴτε ὅταν ἐπίστῃ, εἴτε ὅπως βούλει· ἀεὶ

γὰρ ὡμολόγηκας ἐπίστασθαι, καὶ ἅμα πάντα. δῆλον οὖν ὅτι καὶ παῖς ὢν ἠπίστω, καὶ ὅτ' ἐγίγνου, καὶ ὅτ' ἐφύου, καὶ πρὶν αὐτὸν γενέσθαι, καὶ πρὶν οὐρανὸν καὶ γῆν γενέσθαι, ἠπίστω ἅπαντα, εἴπερ ἀεὶ ἐπίστασαι· καὶ ναὶ μὰ Δία, ἔφη, αὐτὸς ἀεὶ ἐπιστήσῃ καὶ ἅπαντα, ἂν ἐγὼ βούλωμαι. Ἀλλὰ βουληθείης, ἦν δ' ἐγώ, ὦ πολυτίμητε Εὐθύδημε, εἰ δὴ τῷ ὄντι ἀληθῆ λέγεις. ἀλλ' οὔ σοι πάνυ πιστεύω ἱκανῷ εἶναι, εἰ μή σοι ξυμβουληθείη ὁ ἀδελφός σου οὑτοσὶ Διονυσόδωρος· οὕτω δὲ τάχα ἄν. XXVI. Εἴπετον δέ μοι, ἦν δ' ἐγώ. τὰ μὲν γὰρ ἄλλα οὐκ ἔχω ὑμῖν πῶς ἀμφισβητοίην, οὕτως εἰς σοφίαν τερατώδεσιν ἀνθρώποις, ὅπως οὐ πάντα ἐγὼ ἐπίσταμαι, ἐπειδήπερ ὑμεῖς φατέ· τὰ δὲ τοιάδε πῶς φῶ ἐπίστασθαι, Εὐθύδημε, ὡς ἀγαθοὶ ἄνδρες ἄδικοί εἰσιν; φέρε εἰπέ, τοῦτο ἐπίσταμαι, ἢ οὐκ ἐπίσταμαι; Ἐπίστασαι μέντοι, ἔφη. Τί; ἦν δ' ἐγώ. Ὅτι οὐκ ἄδικοί εἰσιν οἱ ἀγαθοί. Πάνυ γε, ἦν δ' ἐγώ, πάλαι· ἀλλ' οὐ τοῦτο ἐρωτῶ, ἀλλ', ὡς ἄδικοί εἰσιν οἱ ἀγαθοί, ποῦ ἐγὼ τοῦτο ἔμαθον; Οὐδαμοῦ, ἔφη ὁ Διονυσόδωρος. Οὐκ ἄρα ἐπίσταμαι, ἔφην, τοῦτο, ἐγώ. Διαφθείρεις, ἔφη, τὸν λόγον, ὁ Εὐθύδημος πρὸς τὸν Διονυσόδωρον, καὶ φανήσεται οὑτοσὶ οὐκ ἐπιστάμενος, καὶ ἐπιστήμων ἅμα ὢν καὶ ἀνεπιστήμων. Καὶ ὁ Διονυσόδωρος ἠρυθρίασεν. Ἀλλὰ σύ, ἦν δ' ἐγώ, πῶς λέγεις, ὦ Εὐθύδημε; οὐ δοκεῖ σοι ὀρθῶς ὁ ἀδελφὸς λέγειν ὁ πάντα εἰδώς; Ἀδελφὸς γάρ, ἔφη, ἐγώ εἰμι Εὐθυδήμου; ταχὺ ὑπολαβὼν ὁ Διονυσό-

δωρος; Κἀγὼ εἶπον, Ἔασον, ὦ ᾽γαθέ, ἕως ἂν Εὐθύδημός με διδάξῃ, ὡς ἐπίσταμαι τοὺς ἀγαθοὺς ἄνδρας ὅτι ἄδικοί εἰσι, καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος. Φεύγεις, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος, καὶ οὐκ ἐθέλεις ἀποκρίνεσθαι. Εἰκότως γ᾽, εἶπον ἐγώ· ἥττων γάρ εἰμι καὶ τοῦ ἑτέρου ὑμῶν, ὥστε πολλοῦ δέω μὴ οὐ δύο γε φεύγειν. πολὺ γάρ που εἰμὶ φαυλότερος τοῦ Ἡρακλέους, ὃς οὐχ οἷός τε ἦν τῇ τε ὕδρᾳ διαμάχεσθαι, σοφιστρίᾳ οὔσῃ καὶ διὰ τὴν σοφίαν ἀνιείσῃ, εἰ μίαν κεφαλὴν ἀποτμηθείη τοῦ λόγου, πολλὰς ἀντὶ τῆς μιᾶς, καὶ καρκίνῳ ἑτέρῳ τινὶ σοφιστῇ, ἐκ θαλάττης ἀφιγμένῳ, νεωστί, μοὶ δοκεῖν, καταπεπλευκότι, ὃς ἐπειδὴ αὐτὸν ἐλύπει, οὕτως ἐκ τοῦ ἐπ᾽ ἀριστερὰ λέγων καὶ δάκνων, τὸν Ἰόλεων τὸν ἀδελφιδοῦν βοηθὸν ἐπεκαλέσατο· ὁ δὲ αὐτῷ ἱκανῶς ἐβοήθησεν· ὁ δ᾽ ἐμὸς Ἰόλεως Πατροκλῆς εἰ ἔλθοι, πλέον ἂν θάτερον ποιήσειεν. Ἀπόκριναι δή, ἔφη ὁ Διονυσόδωρος, ὁπότε σοι ταῦτα ὕμνηται, πότερον ὁ Ἰόλεως τοῦ Ἡρακλέους μᾶλλον ἦν ἀδελφιδοῦς ἢ σός. Κράτιστον τοίνυν μοι, ὦ Διονυσόδωρε, ἦν δ᾽ ἐγώ, ἀποκρίνασθαί σοι· οὐ γὰρ μὴ ἀνῇς ἐρωτῶν, (σχεδόν τι ἐγὼ τοῦτ᾽ εὖ οἶδα) φθονῶν καὶ διακωλύων ἵνα μὴ διδάξῃ με Εὐθύδημος ἐκεῖνο τὸ σοφόν. XXVII. Ἀποκρίνου δή, ἔφη. Ἀποκρινοῦμαι δή, εἶπον, ὅτι τοῦ Ἡρακλέους ἦν ὁ Ἰόλεως ἀδελφιδοῦς, ἐμὸς δ᾽, ὡς ἐμοὶ δοκεῖν, οὐδ᾽ ὁπωστιοῦν· οὐ γὰρ Πατροκλῆς ἦν αὐτῷ πατήρ, ὁ ἐμὸς ἀδελφός. ἀλλὰ παραπλήσιον μὲν τοὔνομα Ἰφικλῆς, ὁ Ἡρα-

κλέους ἀδελφός. Πατροκλῆς δέ, ἦ δ' ὅς, σός; Πάνυ γ', ἔφην ἐγώ, ὁμομήτριός γε, οὐ μέντοι ὁμοπάτριος. Ἀδελφὸς ἄρα ἐστί σοι καὶ οὐκ ἀδελφός. Οὐχ ὁμοπάτριός γε, ὦ βέλτιστε, ἔφην· ἐκείνου μὲν γὰρ Χαιρέδημος ἦν πατήρ, ἐμὸς δὲ Σωφρονίσκος. πατὴρ δὲ ἦν, ἔφη, Σωφρονίσκος καὶ Χαιρέδημος; Πάνυ γ', ἔφην· ὁ μέν γε, ἐμός, ὁ δέ, ἐκείνου. Οὐκοῦν, ἦ δ' ὅς, ἕτερος ἦν Χαιρέδημος τοῦ πατρός; Τοὐμοῦ γ', ἔφην ἐγώ. Ἆρ' οὖν πατὴρ ἦν, ἕτερος ὢν πατρός; ἢ σὺ εἶ ὁ αὐτὸς τῷ λίθῳ; Δέδοικα μὲν ἔγωγ', ἔφην, μὴ φανῶ ὑπὸ σοῦ ὁ αὐτός· οὐ μέντοι μοι δοκῶ. Οὐκοῦν ἕτερος εἶ, ἔφη, τοῦ λίθου; Ἕτερος μέντοι. Ἄλλοτι οὖν ἕτερος, ἦ δ' ὅς, ὢν λίθου, οὐ λίθος εἶ; καὶ ἕτερος ὢν χρυσοῦ, οὐ χρυσὸς εἶ; Ἔστι ταῦτα. Οὐκοῦν καὶ ὁ Χαιρέδημος, ἔφη, ἕτερος ὢν πατρός, οὐκ ἂν πατὴρ εἴη. Ἔοικεν, ἦν δ' ἐγώ, οὐ πατὴρ εἶναι. Εἰ γὰρ δήπου, ἔφη, πατήρ ἐστιν ὁ Χαιρέδημος, ὑπολαβὼν ὁ Εὐθύδημος, πάλιν αὖ ὁ Σωφρονίσκος, ἕτερος ὢν πατρός, οὐ πατήρ ἐστιν· ὥστε σύ, ὦ Σώκρατες, ἀπάτωρ εἶ. Καὶ ὁ Κτήσιππος ἐκδεξάμενος, Ὁ δὲ ὑμέτερος, ἔφη, αὖ πατὴρ οὐ ταυτὰ ταῦτα πέπονθεν; ἕτερός ἐστιν τοὐμοῦ πατρός; Πολλοῦ γ', ἔφη, δεῖ, ὁ Εὐθύδημος. Ἀλλά, ἦ δ' ὅς, ὁ αὐτός; Ὁ αὐτὸς μέντοι. Οὐκ ἂν ξυμβουλοίμην· ἀλλὰ πότερον, ὦ Εὐθύδημε, ἐμὸς μόνον ἐστὶ πατήρ, ἢ καὶ τῶν ἄλλων ἀνθρώπων; Καὶ τῶν ἄλλων, ἔφη. ἢ οἴει τὸν αὐτόν, πατέρα ὄντα, οὐ πατέρα εἶναι; Ὤιμην δῆτα, ἔφη ὁ Κτήσιππος. Τί δέ; ἦ δ' ὅς, χρυσὸν ὄν-

τα, μὴ χρυσὸν εἶναι, ἢ ἄνθρωπον ὄντα, μὴ ἄνθρωπον; Μὴ γάρ, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε, τὸ λεγόμενον, οὐ λίνον λίνῳ ξυνάπτεις· δεινὸν γὰρ λέγεις πρᾶγμα, εἰ ὁ σὸς πατὴρ πάντων ἐστὶ πατήρ. Ἀλλ' ἔστιν, ἔφη. Πότερον ἀνθρώπων; ἦ δ' ὃς ὁ Κτήσιππος, ἢ καὶ ἵππων, καὶ τῶν ἄλλων πάντων ζώων; Πάντων, ἔφη. Ἦ καὶ μήτηρ, ἡ μήτηρ; Καὶ ἡ μήτηρ γε. Καὶ τῶν ἐχίνων ἄρα, ἔφη, ἡ σὴ μήτηρ μήτηρ ἐστὶ τῶν θαλαττίων. Καὶ ἡ σή γ', ἔφη. Καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν κωβιῶν καὶ κυναρίων καὶ χοιριδίων. Καὶ γὰρ σύ, ἔφη. Καὶ πρὸς ἄρα σοὶ πατήρ ἐστι καὶ κύων. Καὶ γὰρ σοί, ἔφη. Αὐτίκα δέ γε, ἦ δ' ὃς ὁ Διονυσόδωρος, ἄν μοι ἀποκρίνῃ, ὦ Κτήσιππε, ὁμολογήσεις ταῦτα. εἰπὲ γάρ μοι, ἔστι σοι κύων; Καὶ μάλα πονηρός, ἔφη ὁ Κτήσιππος. Ἔστιν οὖν αὐτῷ κυνίδια; Καὶ μάλ', ἔφη, ἕτερα τοιαῦτα. Οὐκοῦν πατήρ ἐστιν αὐτῶν ὁ κύων; Ἔγωγέ τοι εἶδον, ἔφη, αὐτὸν ὀχεύοντα τὴν κύνα. Τί οὖν; οὐ σός ἐστιν ὁ κύων; Πάνυ γε, ἔφη. Οὐκοῦν πατὴρ ὤν, σός ἐστιν, ὥστε σὸς πατὴρ γίγνεται ὁ κύων, καὶ σὺ κυναρίων ἀδελφός; Καὶ αὖθις ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος, ἵνα μὴ πρότερόν τι εἴπῃ ὁ Κτήσιππος, Καὶ ἔτι γέ μοι σμικρόν, ἔφη, ἀπόκριναι· τύπτεις τὸν κύνα τοῦτον; Καὶ ὁ Κτήσιππος γελάσας, Νὴ τοὺς θεούς, ἔφη, οὐ γὰρ δύναμαι σέ. Οὐκοῦν τὸν σαυτοῦ πατέρα, ἔφη, τύπτεις; Πολὺ μέντοι, ἔφη, δικαιότερον τὸν ὑμέτερον πατέρα τύπτοιμι, ὅ, τι μαθὼν σοφοὺς υἱεῖς οὕτως ἔφυσεν. ἀλλ' ἦ που, ὦ Εὐθύδημε, ἔφη ὁ

Κτήσιππος, πόλλ' ἀγαθὰ ἀπὸ τῆς ὑμετέρας σοφίας ταύτης ἀπολέλαυκεν ὁ πατὴρ ὁ ὑμέτερός τε καὶ ὁ τῶν κυνιδίων. XXVIII. Ἀλλ' οὐδὲν δεῖται πολλῶν ἀγαθῶν, ὦ Κτήσιππε, οὔτ' ἐκεῖνος, οὔτε σύ. Οὐδὲ σύ, ἦ δ' ὅς, ὦ Εὐθύδημε, αὐτός; Οὐδὲ ἄλλος γε οὐδεὶς ἀνθρώπων. εἰπὲ γάρ μοι, ὦ Κτήσιππε, εἰ ἀγαθὸν νομίζεις εἶναι ἀσθενοῦντι φάρμακον πιεῖν, ἢ οὐκ ἀγαθὸν εἶναί σοι δοκεῖ, ὅταν δέηται· ἢ εἰς πόλεμον ὅταν ἴῃ, ὅπλα ἔχοντα μᾶλλον ἰέναι, ἢ ἄνοπλον. Ἔμοιγε, ἔφη· καίτοι οἶμαί τι σε τῶν καλῶν ἐρεῖν. Σὺ ἄριστα εἴσῃ, ἔφη· ἀλλ' ἀποκρίνου· ἐπειδὴ γὰρ ὡμολόγεις ἀγαθὸν εἶναι, φάρμακον, ὅταν δέῃ, πίνειν ἀνθρώπῳ, ἄλλο τι τοῦτο τὸ ἀγαθὸν ὡς πλεῖστον δεῖ πίνειν, καὶ καλῶς ἐκεῖ ἕξει, ἐάν τις αὐτὸ τρίψας, ἐγκεράσῃ ἐλλεβόρου ἅμαξαν; Καὶ ὁ Κτήσιππος εἶπε, Πάνυ γε σφόδρα, ὦ Εὐθύδημε, ἐάν ᾖ γε ὁ πίνων ὅσος ἀνδριὰς ὁ ἐν Δελφοῖς. Οὐκοῦν, ἔφη, καὶ ἐν τῷ πολέμῳ ἐπειδὴ ἀγαθόν ἐστιν ὅπλα ἔχειν, ὡς πλεῖστα δεῖ ἔχειν δόρατά τε καὶ ἀσπίδας, ἐπειδή περ ἀγαθόν ἐστι; Μάλα δήπου, ἔφη ὁ Κτήσιππος· σὺ δ' οὐκ οἴει, ὦ Εὐθύδημε, ἀλλὰ μίαν καὶ ἓν δόρυ; Ἔγωγε. Ἦ καὶ τὸν Γηρυόνην ἂν, ἔφη, καὶ τὸν Βριάρεων οὕτω σὺ ὁπλίσαις; ἐγὼ δέ σ' ᾤμην σὲ δεινότερον εἶναι, ἅτε ὁπλομάχην ὄντα, καὶ τόνδε τὸν ἑταῖρον. Καὶ ὁ μὲν Εὐθύδημος ἐσίγησεν· ὁ δὲ Διονυσόδωρος πρὸς τὰ πρότερον ἀποκεκριμένα τῷ Κτησίππῳ ἤρετο, Οὐκοῦν καὶ χρυσίον, ἦ δ' ὅς, ἀγαθὸν δοκεῖ σοι εἶναι ἔχειν; Πάνυ, καὶ ταῦτά γε πολύ, ἔφη ὁ Κτήσιπ-

πος. Τί οὖν; ἀγαθὸν οὐ δοκεῖ σοι χρήματα ἀεί τ' ἔχειν καὶ πανταχοῦ; Σφόδρα, ἔφη. Οὐκοῦν καὶ τὸ χρυσίον ἀγαθὸν ὁμολογεῖς εἶναι; Ὡμολόγηκα μὲν οὖν, ἦ δ' ὅς. Οὐκοῦν ἀεὶ δεῖ αὐτὸ ἔχειν, καὶ πανταχοῦ καὶ ὡς μάλιστα ἐν ἑαυτῷ, καὶ εἴη ἂν εὐδαιμονέστατος, εἰ ἔχοι χρυσίου μὲν τρία τάλαντα ἐν τῇ γαστρί, τάλαντον δ' ἐν τῷ κρανίῳ, στατῆρα δὲ χρυσοῦ ἐν ἑκατέρῳ τῷ ὀφθαλμῷ; Φασί γε οὖν, ὦ Εὐθύδημε, ἔφη ὁ Κτήσιππος, τούτους εὐδαιμονεστάτους εἶναι Σκυθῶν καὶ ἀρίστους ἄνδρας, οἳ χρυσίον τε ἐν τοῖς κρανίοις ἔχουσι πολὺ τοῖς ἑαυτῶν, ὥςπερ σὺ νῦν δὴ ἔλεγες τὸν κύνα τὸν πατέρα· καὶ ὃ θαυμασιώτερόν γε ἔτι, ὅτι καὶ πίνουσιν ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων, καὶ ταῦτα ἐντὸς καθορῶσι, τὴν ἑαυτῶν κορυφὴν ἐν ταῖς χερσὶν ἔχοντες.

XXIX. Πότερον δὲ ὁρῶσιν, ἔφη ὁ Εὐθύδημος, καὶ Σκύθαι καὶ οἱ ἄλλοι ἄνθρωποι τὰ δυνατὰ ὁρᾷν, ἢ τὰ ἀδύνατα; Τὰ δυνατὰ δήπου. Οὐκοῦν καὶ σύ, ἔφη; Κἀγώ. ὁρᾷς οὖν τὰ ἡμέτερα ἱμάτια; Ναί. Δυνατὰ οὖν ὁρᾷν ἐστι ταῦτα; Ὑπερφυῶς, ἔφη ὁ Κτήσιππος. Τί δέ; ἦ δ' ὅς. Μηδέν· σὺ δ' ἴσως οὐκ οἴει ὁρᾷν αὐτά· οὕτως ἡδὺς εἶ· ἀλλά μοι δοκεῖς, Εὐθύδημε, οὐ καθεύδων ἐπικεκοιμῆσθαι, καί, εἰ οἷόν τε λέγοντα μηδὲν λέγειν, καὶ σὺ τοῦτο ποιεῖν. Ἦ γὰρ οὐχ οἷόν τε, ἔφη ὁ Διονυσόδωρος, σιγῶντα λέγειν; Οὐδ' ὁπωςτιοῦν, ἦ δ' ὃς ὁ Κτήσιππος. Ἆρ' οὐδὲ λέγοντα σιγᾷν; Ἔτι ἧττον, ἔφη. Ὅταν οὖν λίθους λέγῃς καὶ ξύλα καὶ σιδήρια, οὐ σιγῶντα λέγεις; Οὔκουν, εἴγε

ἐγώ, ἔφη, παρέρχομαι ἐν τοῖς χαλκείοις· ἀλλὰ φθεγγόμενα καὶ βοῶντα μέγιστον τὰ σίδηρα λέγεται ἐάν τις ἅψηται· ὥστε τοῦτο μὲν ὑπὸ σοφίας ἔλαθες οὐδὲν εἰπών. ἀλλ' ἔτι μοι τὸ ἕτερον ἐπιδείξατον, ὅπως αὖ ἐστὶ λέγοντα σιγᾶν. Καί μοι ἐδόκει ὑπεραγωνιᾶν ὁ Κτήσιππος διὰ τὰ παιδικά. Ὅταν σιγᾷς, ἔφη ὁ Εὐθύδημος, οὐ πάντα σιγᾷς; Ἔγωγε, ἦ δ' ὅς. Οὐκοῦν καὶ τὰ λέγοντα σιγᾷς, εἴπερ τῶν ἁπάντων ἐστὶ τὰ λέγοντα. Τί δέ; ἔφη ὁ Κτήσιππος, οὐ σιγᾷ πάντα; Οὐ δήπου, ἔφη ὁ Εὐθύδημος. Ἀλλ' ἆρα, ὦ βέλτιστε, λέγει τὰ πάντα; Τά γε δήπου λέγοντα. Ἀλλά, ἦ δ' ὅς, οὐ τοῦτο ἐρωτῶ, ἀλλά, τὰ πάντα σιγᾷ, ἢ λέγει; Οὐδέτερα, καὶ ἀμφότερα, ἔφη ὑφαρπάσας ὁ Διονυσόδωρος· εὖ γὰρ οἶδα ὅτι τῇ ἀποκρίσει οὐχ ἕξεις ὅ, τι χρῇ. Καὶ ὁ Κτήσιππος, ὥσπερ εἰώθει, μέγα πάνυ ἀνακαγχάσας, Ὦ Εὐθύδημε, ἔφη, ὁ ἀδελφός σου ἐξημφοτέρικε τὸν λόγον καὶ ἀπόλωλέ τε καὶ ἥττηται. Καὶ ὁ Κλεινίας πάνυ ἥσθη καὶ ἐγέλασεν, ὥστε ὁ Κτήσιππος ἐγένετο πλεῖον ἢ δεκαπλάσιος. ὁ δέ, δοκεῖ μοι, ἅτε πανοῦργος ὢν ὁ Κτήσιππος, παρ' αὐτῶν τούτων αὐτὰ ταῦτα παρηκηκόει· οὐ γάρ ἐστιν ἄλλων τοιαύτη σοφία τῶν νῦν ἀνθρώπων. XXX. Κἀγὼ εἶπον, Τί γελᾷς, ὦ Κλεινία, ἐπὶ σπουδαίοις οὕτω πράγμασι καὶ καλοῖς; Σὺ γὰρ ἤδη τι πώποτε εἶδες, ὦ Σώκρατες, καλὸν πρᾶγμα; ἔφη ὁ Διονυσόδωρος. Ἔγωγε, ἔφην, καὶ πολλά γε, ὦ Διονυσόδωρε. Ἆρα ἕτερα ὄντα τοῦ καλοῦ, ἔφη, ἢ ταὐτὰ τῷ καλῷ; Κἀγὼ ἐν παντὶ ἐγενόμην ὑπὸ ἀπορίας.

καὶ ἡγούμην δίκαια πεπονθέναι ὅτι ἔγρυξα· ὅμως δέ, ἕτερα, ἔφην, αὐτοῦ γε τοῦ καλοῦ· πάρεστι μέντοι ἑκάστῳ αὐτῶν κάλλος τι. Ἐὰν οὖν, ἔφη, παραγένηταί σοι βοῦς, βοῦς εἶ, καὶ ὅτι νῦν ἐγώ σοι πάρειμι, Διονυσόδωρος εἶ. Εὐφήμει τοῦτό γε, ἦν δ' ἐγώ. Ἀλλὰ τίνα τρόπον, ἔφη, ἑτέρου ἑτέρῳ παραγενομένου, τὸ ἕτερον ἕτερον ἂν εἴη; Ἆρα τοῦτο, ἔφην ἐγώ, ἀπορεῖς; ἤδη δὲ τοῖν ἀνδροῖν τὴν σοφίαν ἐπιχείρουν μιμεῖσθαι, ἅτε ἐπιθυμῶν αὐτῆς. Πῶς γὰρ οὐκ ἀπορῶ, ἔφη, καὶ ἐγὼ καὶ οἱ ἄλλοι ἅπαντες ἄνθρωποι ὃ μὴ ἔστι; Τί λέγεις, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε; οὐ τὸ καλὸν καλόν ἐστι, καὶ τὸ αἰσχρὸν αἰσχρόν; Ἐὰν ἔμοιγε, ἔφη, δοκῇ. Οὐκοῦν δοκεῖ; Πάνυ γε, ἔφη. Οὐκοῦν καὶ τὸ ταυτόν, ταυτόν· καὶ τὸ ἕτερον, ἕτερον. οὐ γὰρ δήπου τόγε ἕτερον, ταυτόν· ἀλλ' ἔγωγε οὐδ' ἂν παῖδα ᾤμην τοῦτο ἀπορῆσαι, ὡς οὐ τὸ ἕτερον ἕτερόν ἐστιν. Ἀλλ', ὦ Διονυσόδωρε, τοῦτο μὲν ἑκὼν παρῆκας· ἐπεὶ τὰ ἄλλα μοι δοκεῖτε ὥσπερ οἱ δημιουργοί, οἷς ἕκαστα προσήκει ἀπεργάζεσθαι, καὶ ὑμεῖς τὸ διαλέγεσθαι παγκάλως ἀπεργάζεσθαι. Οἶσθα οὖν ὅ, τι προσήκει ἑκάστοις τῶν δημιουργῶν; πρῶτον τίνα χαλκεύειν προσήκει; Οἶδα ἔγωγε ὅτι χαλκέα. Τί δὲ κεραμεύειν; Κεραμέα. Τί δὲ σφάττειν τε καὶ ἐκδέρειν, καὶ τὰ σμικρὰ κρέα κατακόψαντα ἕψειν καὶ ὀπτᾶν; Μάγειρον, ἦν δ' ἐγώ. Οὐκοῦν ἐάν τις, ἔφη, τὰ προσήκοντα πράττῃ, ὀρθῶς πράξει; Μάλιστα. Προσήκει δέ γε, ὡς φῄς, τὸν μάγειρον κατακόπτειν καὶ ἐκδέρειν. ὡμολόγησας ταῦτα, ἢ

οὔ; Ὡμολόγησα, ἔφην, ἀλλὰ ξυγγνώμην μοι ἔχε. Δῆλον τοίνυν, ἦ δ᾽ ὅς, ὅτι, ἂν τις σφάξας τὸν μάγειρον καὶ κατακόψας ἑψήσῃ καὶ ὀπτήσῃ, τὰ προσήκοντα ποιήσει, καὶ ἐὰν τὸν χαλκέα τις αὐτὸν χαλκεύῃ, καὶ τὸν κεραμέα κεραμεύῃ, καὶ οὗτος τὰ προσήκοντα πράξει· Ὦ Πόσειδον, ἦν δ᾽ ἐγώ, ἤδη κολοφῶνα ἐπιτίθης τῇ σοφίᾳ. ἆρά μοί ποτε αὕτη παραγενήσεται ὥςτε μοι οἰκεία γενέσθαι; Ἐπιγνοίης ἂν αὐτήν, ὦ Σώκρατες, ἔφη, οἰκείαν γενομένην; Ἐάν σύ γε βούλῃ, ἔφην ἐγώ, δηλονότι. XXXI. Τί δέ; ἦ δ᾽ ὅς, τὰ σαυτοῦ οἴει γιγνώσκειν; Εἰ μή τι σὺ ἄλλο λέγεις· ἀπὸ σοῦ γὰρ δεῖ ἄρχεσθαι, τελευτᾶν δ᾽ εἰς Εὐθύδημον τόνδε. Ἆρ᾽ οὖν, ἔφη, ταῦτα ἡγῇ σὰ εἶναι ὧν ἂν ἄρξῃς, καὶ ἐξῇ σοι αὐτοῖς χρῆσθαι ὅ, τι ἂν βούλῃ; οἷον, βοῦς καὶ πρόβατα, ἆρ᾽ ἂν ἡγοῖο ταῦτα σὰ εἶναι, ἅ σοι ἐξείη καὶ ἀποδόσθαι, καὶ δοῦναι, καὶ θῦσαι ὅτῳ βούλοιο θεῶν; ἃ δ᾽ ἂν μὴ οὕτως ἔχῃ, οὐ σά; Κἀγὼ (ᾔδη γὰρ ὅτι ἐξ αὐτῶν καλόν τι ἀνακύψοιτο τῶν ἐρωτημάτων, καὶ ἅμα βουλόμενος ὅτι τάχιστ᾽ ἀκοῦσαι), Πάνυ μὲν οὖν, ἔφην, οὕτως ἔχει· τὰ τοιαῦτά ἐστι μόνα ἐμά. Τί δέ; ζῶα, ἔφη, οὐ ταῦτα καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ; Ναί, ἔφην. Ὁμολογεῖς οὖν τῶν ζώων ταῦτα μόνα εἶναι σά, περὶ ἃ ἂν σοι ἐξουσία ᾖ πάντα ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐγὼ ἔλεγον; Ὁμολογῶ. Καὶ ὅς, εἰρωνικῶς πάνυ ἐπισχών, ὡς τι μέγα σκοπούμενος, Εἰπέ μοι, ἔφη, ὦ Σώκρατες, ἔστι σοι Ζεὺς πατρῷος; Καὶ ἐγὼ ὑποπτεύσας ἥξειν τὸν λόγον, ᾗπερ ἐτελεύτησεν, ἄπορόν τινα στρο-

φὴν ἔφευγόν τε καὶ ἰστρεφόμην ἤδη ὥςπερ ἐν δικτύῳ εἰλημμένος· Οὐκ ἔστιν, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε. Ταλαίπωρος ἄρα τις σύ γε ἄνθρωπος εἶ καὶ οὐδὲ Ἀθηναῖος, ᾧ μήτε θεοὶ πατρῷοί εἰσιν, μήτε ἱερά, μήτε ἄλλο μηδὲν καλὸν καὶ ἀγαθόν. Ἔα, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε, εὐφήμει τε καὶ μὴ χαλεπῶς με προδίδασκε· ἔστι γάρ ἔμοιγε καὶ βωμοὶ καὶ ἱερὰ οἰκεῖα καὶ πατρῷα, καὶ τἄλλα ὅσαπερ τοῖς ἄλλοις Ἀθηναίοις τῶν τοιούτων. Εἶτα τοῖς ἄλλοις, ἔφη, Ἀθηναίοις οὐκ ἔστι Ζεὺς ὁ πατρῷος; Οὐκ ἔστιν, ἦν δ' ἐγώ, αὕτη ἡ ἐπωνυμία Ἰώνων οὐδενί, οὐδ' ὅσοι ἐκ τῆςδε πόλεως ἀπῳκισμένοι εἰσίν, οὐδ' ἡμῖν, ἀλλὰ Ἀπόλλων πατρῷος, διὰ τὴν τοῦ Ἴωνος γένεσιν. Ζεὺς δ' ἡμῖν πατρῷος μὲν οὐ καλεῖται, ἕρκειος δὲ καὶ φράτριος, καὶ Ἀθηνᾶ φρατρία. Ἀλλ' ἀρκεῖ γε, ἔφη ὁ Διονυσόδωρος· ἔστι γάρ σοί, ὡς ἔοικεν, Ἀπόλλων τε καὶ Ζεὺς καὶ Ἀθηνᾶ. Πάνυ, ἦν δ' ἐγώ. Οὐκοῦν καὶ οὗτοι σοὶ θεοὶ ἂν εἶεν; ἔφη. Πρόγονοι, ἦν δ' ἐγώ, καὶ δεσπόται. Ἀλλ' οὖν σοί γε, ἔφη· ἢ οὐ σοὺς ὡμολόγηκας αὐτοὺς εἶναι; Ὡμολόγηκα, ἔφην· τί γὰρ πάθω; Οὐκοῦν, ἔφη, καὶ ζῶά εἰσιν οὗτοι οἱ θεοί; ὡμολόγηκας γάρ, ὅσα ψυχὴν ἔχει, ζῶα εἶναι· ἢ οὗτοι οἱ θεοὶ οὐκ ἔχουσι ψυχήν; Ἔχουσιν, ἦν δ' ἐγώ. Οὐκοῦν καὶ ζῶά εἰσιν; Ζῶα, ἔφην. Τῶν δέ γε ζώων, ἔφη, ὡμολόγηκας ταῦτ' εἶναι σά, ὅσα ἄν σοι ἐξῇ καὶ δοῦναι, καὶ ἀποδόσθαι, καὶ θῦσαι ἂν θεῷ ὅτῳ ἂν βούλῃ. Ὡμολόγηκα, ἔφην· οὐκ ἔστι γάρ μοι ἀνάδυσις, ὦ Εὐθύδημε. Ἴθι δή μοι εὐθύς, ἦ δ' ὅς,

εἰπέ, ἐπειδὴ σὸν ὁμολογεῖς εἶναι τὸν Δία καὶ τοὺς ἄλλους θεούς, ἆρα ἔξεστί σοι αὐτοὺς ἀποδόσθαι, ἢ δοῦναι, ἢ ἄλλ', ὅ, τι ἂν βούλῃ χρῆσθαι ὥςπερ τοῖς ἄλλοις ζώοις; Ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ὥςπερ πληγεὶς ὑπὸ τοῦ λόγου, ἄφωνος ἐκείμην· ὁ δὲ Κτήσιππός μοι ἰὼν ὡς βοηθήσων, Πύπαξ ὦ Ἡράκλεις, ἔφη, καλοῦ λόγου. Καὶ ὁ Διονυσόδωρος, Πότερον οὖν, ἔφη, ὁ Ἡρακλῆς πύπαξ ἐστίν, ἢ ὁ πύπαξ Ἡρακλῆς; Καὶ ὁ Κτήσιππος, Ὦ Πόσειδον, ἔφη, δεινῶν λόγων ἀφίσταμαι· ἀμάχω τὼ ἄνδρε. XXXII. Ἐνταῦθα μέντοι, ὦ φίλε Κρίτων, οὐδεὶς ὅςτις οὐ τῶν παρόντων ὑπερεπῄνεσε τὸν λόγον, καὶ τὼ ἄνδρε γελῶντε καὶ κροτοῦντε καὶ χαίροντε ὀλίγου παρετάθησαν. ἐπὶ μὲν γὰρ τοῖς ἔμπροσθεν, ἐφ' ἑκάστοις πᾶσι παγκάλως ἐθορύβουν μόνοι οἱ τοῦ Εὐθυδήμου ἐρασταί· ἐνταῦθα δὲ ὀλίγου καὶ οἱ κίονες οἱ ἐν τῷ Λυκείῳ ἐθορύβησάν τ' ἐπὶ τοῖν ἀνδροῖν καὶ ἥσθησαν. ἐγὼ μὲν οὖν καὶ αὐτὸς οὕτω διετέθην, ὥςτε ὁμολογεῖν, μηδένας πώποτε τῶν ἀνθρώπων ἰδεῖν οὕτω σοφούς, καὶ παντάπασι καταδουλωθεὶς ὑπὸ τῆς σοφίας αὐτοῖν, ἐπὶ τὸ ἐπαινεῖν τε καὶ ἐγκωμιάζειν αὐτὼ ἐτραπόμην, καὶ εἶπον, Ὦ μακάριοι σφὼ τῆς θαυμαστῆς φύσεως, οἳ τοσοῦτον πρᾶγμα οὕτω ταχὺ καὶ ἐν ὀλίγῳ χρόνῳ ἐξειργάσασθον. πολλὰ μὲν οὖν κα' ἄλλα οἱ λόγοι ὑμῶν καλὰ ἔχουσιν, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε· ἐν δὲ τοῖς καὶ τοῦτο μεγαλοπρεπέστερον, ὅτι τῶν πολλῶν ἀνθρώπων καὶ τῶν σεμνῶν δὴ καὶ δοκούντων τι εἶναι οὐδὲν ὑμῖν μέλει, ἀλλὰ

τῶν ὁμοίων ὑμῖν μόνον. ἐγὼ γὰρ εὖ οἶδα ὅτι τούτους τοὺς λόγους πάνυ μὲν ἂν ὀλίγοι ἀγαπῷεν ἄνθρωποι ὅμοιοι ὑμῖν· οἱ δ' ἄλλοι οὕτως ἀγνοοῦσιν αὐτούς, ὥστ' εὖ οἶδ' ὅτι αἰσχυνθεῖεν ἂν μᾶλλον ἐξελέγχοντες τοιούτοις λόγοις τοὺς ἄλλους, ἢ αὐτοὶ ἐξελεγχόμενοι. καὶ τόδε αὖ ἕτερον δημοτικόν τι καὶ πρᾷον ἐν τοῖς λόγοις, ὅτι, ὅταν μὴ φῆτε καλὸν εἶναι μηδὲν μήτε ἀγαθὸν πρᾶγμα, μήτε λευκόν, μηδ' ἄλλο τῶν τοιούτων μηδέν, μήτε τοπαράπαν ἑτέρων ἕτερον, ἀτεχνῶς μὲν τῷ ὄντι ξυῤῥάπτετε τὰ στόματα τῶν ἀνθρώπων, ὥσπερ καὶ φατέ· ὅτι δ' οὐ μόνον καὶ τῶν ἄλλων, ἀλλὰ δόξαιτε ἂν καὶ τὰ ὑμέτερα αὐτοί, τοῦτο πάνυ χαρίεν τέ ἐστι καὶ τὸ ἐπαχθὲς τῶν λόγων ἀφαιρεῖται. τὸ δὲ δὴ μέγιστον, ὅτι ταῦτα οὕτως ἔχει ὑμῖν καὶ τεχνικῶς ἐξεύρηται, ὥστε πάνυ ὀλίγῳ χρόνῳ ὁντινοῦν ἂν μαθεῖν ἀνθρώπων. ἔγνων γοῦν ἔγωγε καὶ τῷ Κτησίππῳ τὸν νοῦν προσέχων ὡς ταχὺ ὑμᾶς ἐκ τοῦ παραχρῆμα μιμεῖσθαι οἷός τ' ἦν. τούτου μὲν οὖν τοῦ πράγματος σφῷν τὸ σοφόν, πρὸς μὲν τὸ ταχὺ παραδιδόναι, καλόν, ἐναντίον δ' ἀνθρώπων διαλέγεσθαι οὐκ ἐπιτήδειον· ἀλλ' ἄν γέ μοι πείθησθε, εὐλαβήσεσθε μὴ πολλῶν ἐναντίον λέγειν, ἵνα μὴ ταχὺ ἐκμαθόντες ὑμῖν μὴ εἰδῶσι χάριν· ἀλλὰ μάλιστα μὲν αὐτὼ πρὸς ἀλλήλω μόνω διαλέγεσθον· εἰ δὲ μή, εἴπερ ἄλλου του ἐναντίον, ἐκείνου μόνου ὃς ἂν ὑμῖν διδῷ ἀργύριον. τὰ αὐτὰ δὲ ταῦτα, ἐὰν σωφρονῆτε, καὶ τοῖς μαθηταῖς ξυμβουλεύσετε, μηδέποτε μηδενὶ ἀνθρώπων διαλέγε-

σθαι, ἀλλ' ἢ ὑμῖν τε καὶ αὐτοῖς. τὸ γὰρ σπάνιον, ὦ Εὐθύδημε, τίμιον· τὸ δὲ ὕδωρ εὐωνότατον, ἄριστον ὄν, ὡς ἔφη Πίνδαρος. ἀλλ' ἄγετε, ἦν δ' ἐγώ, ὅπως κἀμὲ καὶ Κλεινίαν τόνδε παραδέξεσθον. XXXIII. Ταῦτα, ὦ Κρίτων, καὶ ἄλλ' ἄττα ἔτι βραχέα διαλεχθέντες ἀπῆμεν. σκόπει οὖν ὅπως ξυμφοιτήσεις παρὰ τὼ ἄνδρε· ὡς ἐκείνω φατὸν οἵω τ' εἶναι διδάξαι τὸν ἐθέλοντ' ἀργύριον διδόναι, καὶ οὔτε φύσιν οὔθ' ἡλικίαν ἐξείργειν οὐδεμίαν. ὃ δὲ καὶ σοὶ μάλιστα προσήκει ἀκοῦσαι, ὅτι οὐδὲ τὸ χρηματίζεσθαι φατὸν διακωλύειν οὐδέν, μὴ οὐ παραλαβεῖν ὁντινοῦν εὐπετῶς τὴν σφετέραν σοφίαν. ΚΡ. Καὶ μήν, ὦ Σώκρατες, φιλήκοος μὲν ἔγωγε, καὶ ἡδέως ἄν τι μάθοιμι· κινδυνεύω μέντοι κἀγὼ εἷς εἶναι τῶν οὐχ ὁμοίων Εὐθυδήμῳ, ἀλλ' ἐκείνων, ὧν δὴ καὶ σὺ ἔλεγες, τῶν ἥδιον ἂν ἐξελεγχομένων ὑπὸ τῶν τοιούτων λόγων ἢ ἐξελεγχόντων. ἀτὰρ γελοῖον μέν μοι δοκεῖ εἶναι τὸ νουθετεῖν σε, ὅμως δέ, ἅ γ' ἤκουον, ἐθέλω σοι ἀπαγγεῖλαι. τῶν ἀφ' ὑμῶν ἀπιόντων οἶσθ' ὅτι προσελθών τίς μοι περιπατοῦντι, ἀνὴρ οἰόμενος πάνυ εἶναι σοφός, τούτων τις τῶν περὶ τοὺς λόγους τοὺς εἰς τὰ δικαστήρια δεινῶν, Ὦ Κρίτων, ἔφη, οὐδὲν ἀκροᾷ τῶνδε τῶν σοφῶν; Οὐ μὰ τὸν Δία, ἦν δ' ἐγώ· οὐ γὰρ οἷός τ' ἦν προσστὰς κατακούειν ὑπὸ τοῦ ὄχλου. Καὶ μήν, ἔφη, ἄξιόν γ' ἦν ἀκοῦσαι. Τί; ἦν δ' ἐγώ. Ἵνα ἤκουσας ἀνδρῶν διαλεγομένων, οἳ νῦν σοφώτατοί εἰσι τῶν περὶ τοὺς τοιούτους λόγους. Κἀγὼ εἶπον, Τί οὖν ἐφαίνοντό σοι; Τί δὲ ἄλλο, ἢ

δ' ὅς, ἢ οἷά περ ἀεὶ ἀκούσαις τῶν τοιούτων ἀκοῦσαι ληρούντων, καὶ περὶ οὐδενὸς ἀξίων ἀναξίαν σπουδὴν ποιουμένων; οὑτωσὶ γάρ πως καὶ εἶπε τοῖς ὀνόμασι. Καὶ ἐγώ, Ἀλλὰ μέντοι, ἔφην, χαρίεν γέ τι πρᾶγμά ἐστιν ἡ φιλοσοφία. Ποῖον, ἔφη, χαρίεν, ὦ μακάριε; οὐδενὸς μὲν οὖν ἄξιον. ἀλλὰ καὶ εἰ νῦν παρεγένου, πάνυ ἄν σε οἶμαι αἰσχυνθῆναι ὑπὲρ τοῦ σεαυτοῦ ἑταίρου. οὕτως ἦν ἄτοπος, ἐθέλων ἑαυτὸν παρέχειν ἀνθρώποις, οἷς οὐδὲν μέλει ὅ, τι ἂν λέγωσι, παντὸς δὲ ῥήματος ἀντέχονται. καὶ οὗτοι, ὅπερ ἄρτι ἔλεγον, ἐν τοῖς κρατίστοις εἰσὶ τῶν νῦν. ἀλλὰ γάρ, ὦ Κρίτων, ἔφη, τὸ πρᾶγμα αὐτὸ καὶ οἱ ἄνθρωποι οἱ ἐπὶ τῷ πράγματι διατρίβοντες, πάνυ φαῦλοί εἰσι καὶ καταγέλαστοι. ἐμοὶ δέ, ὦ Σώκρατες, τὸ πρᾶγμα ἐδόκει οὐκ ὀρθῶς ψέγειν οὔθ' οὗτος, οὔτ' εἴ τις ἄλλος ψέγει. τὸ μέντοι ἐθέλειν διαλέγεσθαι τοιούτοις ἐναντίον πολλῶν ἀνθρώπων, ὀρθῶς μοι ἐδόκει μέμφεσθαι. XXXIV. ΣΩ. Ὦ Κρίτων, θαυμάσιοί εἰσιν οἱ τοιοῦτοι ἄνδρες· ἀτὰρ οὔπω οἶδα ὅ, τι μέλλω ἐρεῖν. ποτέρων ἦν ὁ προσελθών σοι καὶ μεμφόμενος τὴν φιλοσοφίαν; πότερον τῶν ἀγωνίσασθαι δεινῶν ἐν τοῖς δικαστηρίοις ῥήτωρ τις, ἢ τῶν τοὺς τοιούτους εἰςπεμπόντων, ποιητὴς τῶν λόγων, οἷς οἱ ῥήτορες ἀγωνίζονται; ΚΡ. Ἥκιστα, νὴ τὸν Δία, ῥήτωρ· οὐδὲ οἶμαι πώποτ' αὐτὸν ἐπὶ δικαστήριον ἀναβεβηκέναι, ἀλλ' ἐπαΐειν αὐτόν φασι περὶ τοῦ πράγματος, νὴ τὸν Δία, καὶ δεινὸν εἶναι, καὶ δεινοὺς λόγους ξυντιθέναι. ΣΩ. Ἤδη μανθάνω· περὶ τούτων καὶ αὐτὸς νῦν δὴ

ἔμελλον λέγειν. οὗτοι γάρ εἰσι μὲν, ὦ Κρίτων, οὓς ἔφη Πρόδικος μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ, οἴονται δ' εἶναι πάντων σοφώτατοι ἀνθρώπων, πρὸς δὲ τῷ εἶναι καὶ δοκεῖν πάνυ παρὰ πολλοῖς· ὥςτε παρὰ πᾶσιν εὐδοκιμεῖν ἐμποδὼν σφίσιν εἶναι οὐδένας ἄλλους, ἢ τοὺς περὶ φιλοσοφίαν ἀνθρώπους. ἡγοῦνται οὖν, ἐὰν τούτους εἰς δόξαν καταστήσωσιν μηδενὸς δοκεῖν ἀξίους εἶναι, ἀναμφισβητήτως ἤδη παρὰ πᾶσι τὰ νικητήρια εἰς δόξαν οἴεσθαι σοφίας πέρι. εἶναι μὲν γὰρ τῇ ἀληθείᾳ σφᾶς σοφωτάτους· ἐν δὲ τοῖς ἰδίοις λόγοις ὅταν ἀποληφθῶσιν, ὑπὸ τῶν ἀμφὶ Εὐθύδημον κολούεσθαι. σοφοὶ δὲ ἡγοῦνται εἶναι πάνυ εἰκότως· μετρίως μὲν γὰρ φιλοσοφίας ἔχειν, μετρίως δὲ πολιτικῶν, πάνυ ἐξ εἰκότος λόγου· μετέχειν γὰρ ἀμφοτέρων ὅσον ἔδει, ἐκτὸς δὲ ὄντες κινδύνων καὶ ἀγώνων καρποῦσθαι τὴν σοφίαν. ΚΡ. Τί οὖν; δοκοῦσί σοί τι, ὦ Σώκρατες, λέγειν; ΣΩ. Οὐ γάρ τοι. ΚΡ. Ἀλλ' ὅγε λόγος ἔχει τινὰ εὐπρέπειαν τῶν ἀνδρῶν. ΣΩ. Καὶ γὰρ ἔχει ὄντως, ὦ Κρίτων, εὐπρέπειαν μᾶλλον ἢ ἀλήθειαν. οὐ γὰρ ῥᾴδιον αὐτοὺς πεῖσαι ὅτι καὶ ἄνθρωποι, καὶ τἆλλα πάντα ὅσα μεταξὺ τινοῖν δυοῖν ἐστι, καὶ ἀμφοτέροιν τυγχάνει μετέχοντα, ὅσα μὲν ἐκ κακοῦ καὶ ἀγαθοῦ, τοῦ μὲν βελτίω, τοῦ δὲ χείρω γίγνεται· ὅσα δὲ ἐκ δυοῖν ἀγαθοῖν μὴ πρὸς ταυτὸν, ἀμφοῖν χείρω, πρὸς ὃ ἂν ἑκάτερον ᾖ χρηστὸν ἐκείνων ἐξ ὧν ξυνετέθη· ὅσα δὲ ἐκ δυοῖν κακοῖν ξυντεθέντα μὴ πρὸς τὸ αὐτὸ ὄντοιν ἐν τῷ μέσῳ ἐστί,

ΠΡΩΤΑΓΟΡΑΣ.

ΕΤΑΙΡΟΣ. Πόθεν, ὦ Σώκρατες, φαίνῃ; ἢ δῆλα δὴ ὅτι ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρώην ἰδόντι καλὸς μὲν ἐφαίνετο ἀνὴρ ἔτι· ἀνὴρ μέντοι, ὦ Σώκρατες, (ὥς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι) καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος. *ΣΩ.* Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν Ἀλκιβιάδης ἔχει; *ΕΤ.* Τί οὖν τανῦν; ἢ παρ' ἐκείνου φαίνῃ; καὶ πῶς πρός σε ὁ νεανίας διάκειται; *ΣΩ.* Εὖ ἔμοιγε ἔδοξεν· οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν ἡμέρᾳ· καὶ γὰρ πολλὰ ὑπὲρ ἐμοῦ εἶπε, βοηθῶν ἐμοί, καὶ οὖν ἄρτι ἀπ' ἐκείνου ἔρχομαι. ἄτοπον μέντοι τί σοι ἐθέλω εἰπεῖν· παρόντος γὰρ ἐκείνου, οὔτε προσεῖχον τὸν νοῦν, ἐπελανθανόμην τε αὐτοῦ θαμά. II. *ΕΤ.* Καὶ τί ἂν γεγονὸς εἴη περὶ σὲ κἀκεῖνον τοσοῦτον πρᾶγμα; οὐ γὰρ δή που τινι καλλίονι ἐνέτυχες ἄλλῳ ἔν γε τῇδε τῇ πόλει. *ΣΩ.* Καὶ πολύ γε. *ΕΤ.* Τί φῄς; ἀστῷ, ἢ ξένῳ;

ΣΩ. Ξένῳ. ΕΤ. Ποδαπῷ; ΣΩ. Ἀβδηρίτῃ. ΕΤ. Καὶ οὕτως καλός τις ὁ ξένος ἔδοξέ σοι εἶναι, ὥστε τοῦ Κλεινίου υἱέος καλλίων σοι φανῆναι; ΣΩ. Πῶς δ' οὐ μέλλει, ὦ μακάριε, τὸ σοφώτατον κάλλιον φαίνεσθαι; ΕΤ. Ἀλλ' ἦ σοφῷ τινι ἡμῖν, ὦ Σώκρατες, ἐντυχὼν πάρει; ΣΩ. Καὶ σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν, εἴ σοι δοκεῖ σοφώτατος εἶναι Πρωταγόρας. ΕΤ. Ὦ τί λέγεις· Πρωταγόρας ἐπιδεδήμηκε; ΣΩ. Τρίτην γε ἤδη ἡμέραν. ΕΤ. Καὶ ἄρτι ἄρα ἐκείνῳ ξυγγεγονὼς ἥκεις; ΣΩ. Πάνυ γε πολλὰ καὶ εἰπὼν καὶ ἀκούσας. III. ΕΤ. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν, εἰ μή σέ τι κωλύει, καθιζόμενος ἐνταυθοῖ, ἐξαναστήσας τὸν παῖδα τουτονί; ΣΩ. Πάνυ μὲν οὖν, καὶ χάριν γε εἴσομαι, ἐὰν ἀκούητε. ΕΤ. Καὶ μὴν καὶ ἡμεῖς σοί, ἐὰν λέγῃς. ΣΩ. Διπλῆ ἂν εἴη ἡ χάρις· ἀλλ' οὖν ἀκούετε. Τῆς παρελθούσης νυκτὸς ταυτησί, ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης ὁ Ἀπολλοδώρου υἱός, Φάσωνος δὲ ἀδελφός, τὴν θύραν τῇ βακτηρίᾳ πάνυ σφόδρα ἔκρουε, καὶ ἐπειδὴ αὐτῷ ἀνέῳξέ τις, εὐθὺς εἴσω ᾔει ἐπειγόμενος, καὶ τῇ φωνῇ μέγα λέγων, Ὦ Σώκρατες, ἔφη, ἐγρήγορας, ἢ καθεύδεις; Καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος· μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ', ἦ δ' ὅς, εἰ μὴ ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ· ἔστι δὲ τί; καὶ τοῦ ἕνεκα τηνικάδε ἀφίκου; IV. Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ' ἐμοί. Πρώην, ἔφην ἐγώ· σὺ δὲ ἄρτι πέπυσαι; Νὴ τοὺς θεούς, ἔφη, ἑσπέρας γε, καὶ ἅμα ἐπιψηλαφή-

σας τοῦ σκίμποδος, ἐκαθέζετο παρὰ τοὺς πόδας μου·
καὶ εἶπεν, Ἑσπέρας δῆτα μάλα γε ὀψὲ ἀφικόμενος
ἐξ Οἰνόης. ὁ γάρ τοι παῖς με ὁ Σάτυρος ἀπέδρα·
καὶ δῆτα μέλλων σοι φράζειν, ὅτι διωξοίμην αὐτόν,
ὑπό τινος ἄλλου ἐπελαθόμην. ἐπειδὴ δὲ ἦλθον, καὶ
δεδειπνηκότες ἦμεν, καὶ ἐμέλλομεν ἀναπαύεσθαι,
τότε μοι ὁ ἀδελφὸς λέγει ὅτι ἥκει Πρωταγόρας· καὶ
ἔτι μὲν ἐπεχείρησα εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι
λίαν πόῤῥω ἔδοξε τῶν νυκτῶν εἶναι. ἐπειδὴ δὲ τάχι-
στά με ἐκ τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν, εὐθὺς ἀναστὰς
οὕτω δεῦρο ἐπορευόμην. Καὶ ἐγὼ γιγνώσκων αὐτοῦ
τὴν ἀνδρείαν καὶ τὴν πτοίησιν, Τί οὖν σοι, ἦν δ'
ἐγώ, τοῦτο; μῶν τί σε ἀδικεῖ Πρωταγόρας; V. Καὶ ὃς
γελάσας, Νὴ τοὺς θεούς, ἔφη, ὦ Σώκρατες, ὅτι γε
μόνος ἐστὶ σοφός, ἐμὲ δὲ οὐ ποιεῖ. Ἀλλὰ ναὶ μὰ
Δία, ἔφην ἐγώ, ἂν αὐτῷ διδῷς ἀργύριον, καὶ πείθῃς
ἐκεῖνον, ποιήσει καὶ σὲ σοφόν. Εἰ γάρ, ἦ δ' ὅς, ὦ
Ζεῦ καὶ θεοί, ἐν τούτῳ εἴη· ὡς οὔτ' ἂν τῶν ἐμῶν
ἐπιλίποιμι οὐδέν, οὔτε τῶν φίλων. ἀλλ' αὐτὰ ταῦτα
καὶ νῦν ἥκω παρὰ σέ, ἵνα ὑπὲρ ἐμοῦ διαλεχθῇς αὐτῷ.
ἐγὼ γὰρ ἅμα μὲν καὶ νεώτερός εἰμι, ἅμα δὲ οὐδὲ
ἑώρακα Πρωταγόραν πώποτε, οὐδ' ἀκήκοα οὐδέν·
ἔτι γὰρ παῖς ἦ ὅτε τοπρῶτον ἐπεδήμησεν. ἀλλὰ
γάρ, ὦ Σώκρατες, πάντες τὸν ἄνδρα ἐπαινοῦσι, καὶ
φασι σοφώτατον εἶναι λέγειν. — Ἀλλὰ τί οὐ βαδίζομεν
παρ' αὐτόν, ἵνα ἔνδον καταλάβωμεν; καταλύει δ', ὡς
ἐγὼ ἤκουσα, παρὰ Καλλίᾳ τῷ Ἱππονίκου. — Ἀλλ' ἴω-
μεν. VI. Καὶ ἐγὼ εἶπον, Μήπω, ὠγαθέ, ἐκεῖσε ἴωμεν.

πρῲ γάρ ἐστιν· ἀλλὰ δεῦρο ἐξαναστῶμεν εἰς τὴν αὐλήν, καὶ περιιόντες αὐτοῦ διατρίψωμεν, ἕως ἂν φῶς γένηται· εἶτα ἴωμεν. καὶ γὰρ τὰ πολλὰ Πρωταγόρας ἔνδον διατρίβει· ὥστε θάῤῥει, καταληψόμεθα αὐτόν, ὡς τὸ εἰκός, ἔνδον. Μετὰ ταῦτα ἀναστάντες εἰς τὴν αὐλὴν περιήειμεν, καὶ ἐγὼ ἀποπειρώμενος τοῦ Ἱπποκράτους τῆς ῥώμης, διεσκόπουν αὐτὸν καὶ ἠρώτων, Εἰπέ μοι, ἔφην, ὦ Ἱππόκρατες, παρὰ Πρωταγόραν νῦν ἐπιχειρεῖς ἰέναι, ἀργύριον τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ, ὡς παρὰ τίνα ἀφιξόμενος, καὶ τίς γενησόμενος; ὥσπερ ἂν εἰ ἐπενόεις παρὰ τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν Ἱπποκράτη τὸν Κῷον, τὸν τῶν Ἀσκληπιαδῶν, ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν ἐκείνῳ, εἴ τίς σε ἤρετο, Εἰπέ μοι, μέλλεις τελεῖν, ὦ Ἱππόκρατες, Ἱπποκράτει μισθὸν ὡς τίνι ὄντι; τί ἂν ἀπεκρίνω; Εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ. Ὡς τίς γενησόμενος; Ὡς ἰατρός, ἔφη. VII. Εἰ δὲ παρὰ Πολύκλειτον τὸν Ἀργεῖον ἢ Φειδίαν τὸν Ἀθηναῖον ἐπενόεις ἀφικόμενος μισθὸν ὑπὲρ σαυτοῦ τελεῖν ἐκείνοις, εἴ τίς σε ἤρετο, τελεῖν τοῦτο τὸ ἀργύριον ὡς τίνι ὄντι ἐν νῷ ἔχεις Πολυκλείτῳ τε καὶ Φειδίᾳ; τί ἂν ἀπεκρίνω; Εἶπον ἂν ὡς ἀγαλματοποιοῖς. Ὡς τίς δὲ γενησόμενος αὐτός; Δηλονότι ἀγαλματοποιός. Εἶεν, ἦν δ' ἐγώ· παρὰ δὲ δὴ Πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ ἀργύριον ἐκείνῳ μισθὸν ἕτοιμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ, ἂν μὲν ἐξικνῆται τὰ ἡμέτερα χρήματα καὶ τούτοις πείθωμεν αὐτόν· εἰ δὲ μή, καὶ τὰ τῶν φίλων προσ-

λίσκοντες. εἰ οὖν τις ἡμᾶς περὶ ταῦτα οὕτω σφό-
δρα σπουδάζοντας ἔροιτο, Εἰπέ μοι, ὦ Σώκρατές
τε καὶ Ἱππόκρατες, ὡς τίνι ὄντι τῷ Πρωταγόρᾳ ἐν
νῷ ἔχετε χρήματα τελεῖν; τί ἂν αὐτῷ ἀποκριναίμε-
θα; τί ὄνομα ἄλλο γε λεγόμενον περὶ Πρωταγόρου
ἀκούομεν; ὥσπερ περὶ Φειδίου, ἀγαλματοποιόν, καὶ
περὶ Ὁμήρου, ποιητήν, τί τοιοῦτον περὶ Πρωταγό-
ρου ἀκούομεν; Σοφιστὴν δή τοι ὀνομάζουσί γε, ὦ
Σώκρατες, τὸν ἄνδρα εἶναι, ἔφη. Ὡς σοφιστῇ ἄρα
ἐρχόμεθα τελοῦντες τὰ χρήματα; Μάλιστα. VIII. Εἰ
οὖν καὶ τοῦτό τίς σε προσέροιτο, Αὐτὸς δὲ δὴ ὡς τίς γε-
νησόμενος ἔρχῃ παρὰ τὸν Πρωταγόραν; Καὶ ὃς εἶ-
πεν ἐρυθριάσας (ἤδη γὰρ ὑπέφαινέ τι ἡμέρας, ὥστε
καταφανῆ αὐτὸν γενέσθαι), Εἰ μέν τι τοῖς ἔμπρο-
σθεν ἔοικεν, δῆλον ὅτι σοφιστὴς γενησόμενος. Σὺ
δέ, ἦν δ' ἐγώ, πρὸς θεῶν, οὐκ ἂν αἰσχύνοιο εἰς τοὺς
Ἕλληνας αὑτὸν σοφιστὴν παρέχων; Νὴ τὸν Δία, ὦ
Σώκρατες, εἴπερ γε ἃ διανοοῦμαι χρὴ λέγειν. Ἀλλ'
ἄρα, ὦ Ἱππόκρατες, μὴ οὐ τοιαύτην ὑπολαμβάνεις
σου τὴν παρὰ Πρωταγόρου μάθησιν ἔσεσθαι, ἀλλ'
οἵα περ ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο καὶ κι-
θαριστοῦ καὶ παιδοτρίβου; τούτων γὰρ σὺ ἑκάστην
οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος, ἀλλ'
ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέ-
πει. Πάνυ μὲν οὖν μοι δοκεῖ, ἔφη, τοιαύτη μᾶλλον
εἶναι ἡ παρὰ Πρωταγόρου μάθησις. IX. Οἶσθα οὖν ὃ
μέλλεις νῦν πράττειν; ἤ σε λανθάνει; ἦν δ' ἐγώ.
Τοῦ πέρι; Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρα-

σχὼν θεραπεῦσαι ἀνδρί, ὡς φῄς, σοφιστῇ· ὅ, τι δέ ποτε ὁ σοφιστής ἐστι, θαυμάζοιμ' ἂν εἰ οἶσθα. καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδὲ ὅτῳ παραδίδως τὴν ψυχὴν οἶσθα· οὔτ' εἰ ἀγαθῷ, οὔτ' εἰ κακῷ πράγματι. Οἶμαί γ', ἔφη, εἰδέναι. Λέγε δή, τί ἡγῇ εἶναι τὸν σοφιστήν. Ἐγὼ μέν, ἦ δ' ὅς, ὥσπερ τοὔνομα λέγει, τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα. Οὐκοῦν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἔξεστι λέγειν καὶ περὶ ζωγράφων καὶ περὶ τεκτόνων, ὅτι οὗτοί εἰσιν οἱ τῶν σοφῶν ἐπιστήμονες· ἀλλ' εἴ τις ἔροιτο ἡμᾶς, τῶν τί σοφῶν εἰσιν οἱ ζωγράφοι ἐπιστήμονες, εἴποιμεν ἄν που αὐτῷ, ὅτι τῶν πρὸς τὴν ἀπεργασίαν τὴν τῶν εἰκόνων, καὶ τἆλλα οὕτως· εἰ δέ τις ἐκεῖνο ἔροιτο, ὁ δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστι; τί ἂν ἀποκρινοίμεθα αὐτῷ; ποίας ἐργασίας ἐπιστάτης; τί ἂν εἴποιμεν αὐτὸν εἶναι; Ὦ Σώκρατες, ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν λέγειν. Χ. Ἴσως ἄν, ἦν δ' ἐγώ, ἀληθῆ λέγοιμεν, οὐ μέντοι ἱκανῶς γε· ἐρωτήσεως γὰρ ἔτι ἡ ἀπόκρισις ἡμῖν δεῖται, περὶ ὅτου ὁ σοφιστὴς δεινὸν ποιεῖ λέγειν· ὥσπερ ὁ κιθαριστὴς δεινὸν δήπου ποιεῖ λέγειν περὶ οὗπερ καὶ ἐπιστήμονα, περὶ κιθαρίσεως· ἢ γάρ; Ναί. Εἶεν. ὁ δὲ δὴ σοφιστὴς περὶ τίνος δεινὸν ποιεῖ λέγειν; δηλονότι περὶ οὗπερ καὶ ἐπίσταται. Εἰκός γε. Τί δή ἐστι τοῦτο περὶ οὗ αὐτός τε ἐπιστήμων ἐστὶν ὁ σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ; Μὰ Δί', ἔφη, οὐκέτι ἔχω σοι λέγειν. XI. Καὶ ἐγὼ εἶπον μετὰ τοῦτο, Τί οὖν; οἶσθα εἰς οἷόν τινα κίνδυνον ἔρχῃ ὑποθήσων τὴν ψυχήν; ἤ, εἰ μὲν τὸ σῶμα ἐπι-

τρέπειν σε ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πολλὰ ἂν περιεσκέψω εἴτ' ἐπιτρεπτέον, εἴτε οὔ, καὶ εἰς ξυμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγῇ, τὴν ψυχήν, καὶ ἐν ᾧ πάντ' ἐστὶ τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου· περὶ δὲ τούτου, οὔτε τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω, οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενί, εἴτ' ἐπιτρεπτέον, εἴτε καὶ οὔ, τῷ ἀφικομένῳ τούτῳ τῷ ξένῳ τὴν σὴν ψυχήν; ἀλλ' ἑσπέρας ἀκούσας, ὡς φῄς, ὄρθριος ἥκων, περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ ξυμβουλὴν ποιῇ, εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ, εἴτε μή, ἕτοιμος δ' εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκὼς ὅτι πάντως ξυνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις, ὡς φῄς, οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις, τὸν δὲ σοφιστήν, ὅ, τι ποτέ ἐστι, φαίνῃ ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν; XII. Καὶ ὃς ἀκούσας, Ἔοικεν, ἔφη, ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ' οὖν, ὦ Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων, ἀφ' ὧν ψυχὴ τρέφεται; φαίνεται γὰρ ἔμοιγε τοιοῦτός τις. Τρέφεται δὲ ψυχή, ὦ Σώκρατες, τίνι; Μαθήμασι δήπου, ἦν δ' ἐγώ· καὶ ὅπως γε μή, ὦ ἑταῖρε, ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ, ἐξαπατήσῃ ἡμᾶς, ὥσπερ οἱ περὶ τὴν τοῦ σώματος τροφήν, ὁ ἔμπορός τε καὶ κάπηλος· καὶ γὰρ οὗτοί που ὧν ἄγουσιν ἀγωγίμων οὔτε αὐτοὶ

ἴσασιν ὅ, τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα, ἐπαινοῦσι δὲ πάντα πωλοῦντες, οὔτε οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν· οὕτω δὴ καὶ οἱ τὰ μαθήματα περιάγοντες κατὰ τὰς πόλεις, καὶ πωλοῦντες καὶ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι, ἐπαινοῦσι μὲν πάντα ἃ πωλοῦσι, τάχα δ' ἄν τινες, ὦ ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσιν ὅ, τι χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν· ὡς δ' αὔτως καὶ οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν. XIII. Εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί χρηστὸν καὶ πονηρόν, ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου, καὶ παρ' ἄλλου ὁτουοῦν. εἰ δὲ μή, ὅρα, ὦ μακάριε, μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς. καὶ γὰρ δὴ καὶ πολὺ μείζων κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ ἢ ἐν τῇ τῶν σιτίων. σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρὰ τοῦ καπήλου καὶ ἐμπόρου, ἔξεστιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν, καί, πρὶν δέξασθαι αὐτὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα, καταθέμενον οἴκαδε ἔξεστι ξυμβουλεύσασθαι, παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ, τι τε ἐδεστέον καὶ ποτέον, καὶ ὅ, τι μή, καὶ ὁπόσον, καὶ ὁπότε, ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας ὁ κίνδυνος· μαθήματα δὲ οὐκ ἔστιν ἐν ἄλλῳ ἀγγείῳ ἀπενεγκεῖν, ἀλλ' ἀνάγκη, καταθέντα τὴν τιμήν, τὸ μάθημα ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα καὶ μαθόντα ἀπιέναι ἢ βεβλαμμένον ἢ ὠφελημένον. XIV. Ταῦτα οὖν σκοπώμεθα καὶ μετὰ τῶν πρεσβυτέρων ἡμῶν· ἡμεῖς γὰρ ἔτι νέοι, ὥστε τοσοῦτον

πρᾶγμα διελέσθαι. νῦν μέντοι, ὥσπερ ὡρμήσαμεν, ἴωμεν, καὶ ἀκούσωμεν τοῦ ἀνδρός· ἔπειτα ἀκούσαντες καὶ ἄλλοις ἀνακοινωσώμεθα. καὶ γὰρ οὐ μόνος Πρωταγόρας αὐτόθι ἐστίν, ἀλλὰ καὶ Ἱππίας ὁ Ἠλεῖος· (οἶμαι δὲ καὶ Πρόδικον τὸν Κεῖον) καὶ ἄλλοι πολλοὶ καὶ σοφοί. Δόξαν ἡμῖν ταῦτα, ἐπορευόμεθα· ἐπειδὴ δὲ ἐν τῷ προθύρῳ ἐγενόμεθα, ἐπιστάντες περί τινος λόγου διελεγόμεθα, ὃς ἡμῖν κατὰ τὴν ὁδὸν ἐνέπεσεν. ἵν᾽ οὖν μὴ ἀτελὴς γένοιτο, ἀλλὰ διαπερανάμενοι οὕτως εἰσίοιμεν, στάντες ἐν τῷ προθύρῳ διελεγόμεθα, ἕως ξυνωμολογήσαμεν ἀλλήλοις. XV. Δοκεῖ οὖν μοι, ὁ θυρωρός, εὐνοῦχός τις, κατήκουεν ἡμῶν· κινδυνεύει δὲ διὰ τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν οἰκίαν. ἐπειδὴ γοῦν ἐκρούσαμεν τὴν θύραν, ἀνοίξας καὶ ἰδὼν ἡμᾶς, Ἔα, ἔφη, σοφισταί τινες· οὐ σχολὴ αὐτῷ· καὶ ἅμα ἀμφοῖν ταῖν χεροῖν τὴν θύραν πάνυ προθύμως ὡς οἷός τ᾽ ἦν ἐπήραξε. καὶ ἡμεῖς πάλιν ἐκρούομεν· καὶ ὃς ἐγκεκλεισμένης τῆς θύρας ἀποκρινόμενος εἶπεν, Ὦ ἄνθρωποι, ἔφη, οὐκ ἀκηκόατε ὅτι οὐ σχολὴ αὐτῷ; Ἀλλ᾽ ὦ 'γαθέ, ἔφην ἐγώ, οὔτε παρὰ Καλλίαν ἥκομεν, οὔτε σοφισταί ἐσμεν, ἀλλὰ θάῤῥει· Πρωταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν. εἰσάγγειλον οὖν. μόγις οὖν ποτε ἡμῖν ἄνθρωπος ἀνέῳξε τὴν θύραν. XVI. Ἐπειδὴ δὲ εἰσήλθομεν, κατελάβομεν Πρωταγόραν ἐν τῷ προστῴῳ περιπατοῦντα, ἑξῆς δ᾽ αὐτῷ ξυμπεριεπάτουν, ἐκ μὲν τοῦ ἐπὶ θάτερα, Καλλίας ὁ Ἱππονίκου καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ ὁμομήτριος, Πάραλος

ὁ Περικλέους, καὶ Χαρμίδης ὁ Γλαύκωνος· ἐκ δὲ τοῦ ἐπὶ θάτερα ὁ ἕτερος τοῦ Περικλέους Ξάνθιππος, καὶ Φιλιππίδης ὁ Φιλομήλου, καὶ Ἀντίμοιρος ὁ Μενδαῖος, ὅσπερ εὐδοκιμεῖ μάλιστα τῶν Πρωταγόρου μαθητῶν καὶ ἐπὶ τέχνῃ μανθάνει, ὡς σοφιστὴς ἐσόμενος. τούτων δὲ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων, ὧν τὸ μὲν πολὺ ξένοι ἐφαίνοντο, οὓς ἄγει ἐξ ἑκάστων πόλεων ὁ Πρωταγόρας, δι' ὧν διεξέρχεται, κηλῶν τῇ φωνῇ, ὥςπερ Ὀρφεύς, οἱ δὲ κατὰ τὴν φωνὴν ἕπονται κεκηλημένοι· ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ. XVII. Τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰδὼν ἥσθην, ὡς καλῶς εὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ ἔμπροσθεν εἶναι Πρωταγόρου, ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι, καὶ οἱ μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζοντο οὗτοι οἱ ἐπήκοοι ἔνθεν καὶ ἔνθεν, καὶ ἐν κύκλῳ περιϊόντες, ἀεὶ εἰς τὸ ὄπισθεν καθίσταντο κάλλιστα. τὸν δὲ μετ' εἰσενόησα, ἔφη Ὅμηρος, Ἱππίαν τὸν Ἠλεῖον, καθήμενον ἐν τῷ καταντικρὺ προστῴῳ ἐν θρόνῳ· περὶ αὐτὸν δ' ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε ὁ Ἀκουμενοῦ καὶ Φαῖδρος ὁ Μυῤῥινούσιος, καὶ Ἄνδρων ὁ Ἀνδροτίωνος, καὶ τῶν ξένων πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές. ἐφαίνοντο δὲ περὶ φύσεώς τε καὶ τῶν μετεώρων ἀστρονομικὰ ἄττα διερωτᾶν τὸν Ἱππίαν, ὁ δ' ἐν θρόνῳ καθήμενος ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα. XVIII. Καὶ μὲν δὴ καὶ Τάνταλόν γε ἐςεῖδον· ἐπεδήμει γὰρ ἄρα Πρόδικος ὁ Κεῖος, ἦν δὲ ἐν οἰκήματί τινι, ᾧ πρὸ τοῦ μὲν ὡς ταμιείῳ ἐχρῆ-

το Ἱππόνικος, νῦν δὲ ὑπὸ τοῦ πλήθους τῶν κατα-
λυόντων ὁ Καλλίας καὶ τοῦτο ἐκκενώσας ξένοις κα-
τάλυσιν πεποίηκεν. ὁ μὲν οὖν Πρόδικος ἔτι κατέκειτο,
ἐγκεκαλυμμένος ἐν κῳδίοις τισὶ καὶ στρώμασι, καὶ
μάλα πολλοῖς, ὡς ἐφαίνετο· παρεκάθηντο δὲ αὐτῷ
ἐπὶ ταῖς πλησίον κλίναις Παυσανίας τε ὁ ἐκ Κερα-
μέων, καὶ μετὰ Παυσανίου νέον ἔτι μειράκιον, ὡς
μὲν ἐγῷμαι, καλόν τε κἀγαθὸν τὴν φύσιν· τὴν δ᾽
οὖν ἰδέαν πάνυ καλός. ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ
εἶναι Ἀγάθωνα, καὶ οὐκ ἂν θαυμάζοιμι εἰ παιδικὰ
Παυσανίου τυγχάνει ὤν. τοῦτό τ᾽ ἦν τὸ μειράκιον,
καὶ τὼ Ἀδειμάντω ἀμφοτέρω, ὅ, τε Κήπιδος καὶ ὁ
Λευκολοφίδου, καὶ ἄλλοι τινὲς ἐφαίνοντο. περὶ δὲ
ὧν διελέγοντο οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν ἔξωθεν,
καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ Προδίκου· πάν-
σοφος γάρ μοι δοκεῖ ἀνὴρ εἶναι καὶ θεῖος· ἀλλὰ
διὰ τὴν βαρύτητα τῆς φωνῆς βόμβος τις ἐν τῷ οἰ-
κήματι γιγνόμενος, ἀσαφῆ ἐποίει τὰ λεγόμενα. XIX.
Καὶ ἡμεῖς μὲν ἄρτι εἰσεληλύθειμεν, κατόπιν δὲ ἡμῶν
ἐπεισῆλθον Ἀλκιβιάδης τε ὁ καλὸς (ὡς φῂς σύ, καὶ
ἐγὼ πείθομαι) καὶ Κριτίας ὁ Καλλαίσχρου. Ἡμεῖς
οὖν ὡς εἰσήλθομεν, ἔτι μικρὰ ἄττα διατρίψαντες,
καὶ ταῦτα διαθεασάμενοι, προσῇμεν πρὸς τὸν Πρω-
ταγόραν, καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, πρὸς σέ
τοι ἤλθομεν ἐγώ τε καὶ Ἱπποκράτης οὗτος. Πότε-
ρον, ἔφη, μόνῳ βουλόμενοι διαλεχθῆναι, ἢ καὶ με-
τὰ τῶν ἄλλων; Ἡμῖν μέν, ἦν δ᾽ ἐγώ, οὐδὲν διαφέ-
ρει· ἀκούσας δὲ οὗ ἕνεκα ἤλθομεν, αὐτὸς σκέψαι.

Τί οὖν δή ἐστιν, ἔφη, οὗ ἕνεκα ἥκετε; Ἱπποκράτης ὅδε ἐστὶ μὲν τῶν ἐπιχωρίων, Ἀπολλοδώρου υἱός, οἰκίας μεγάλης τε καὶ εὐδαίμονος, αὐτὸς δὲ τὴν φύσιν δοκεῖ ἐνάμιλλος εἶναι τοῖς ἡλικιώταις· ἐπιθυμεῖν δέ μοι δοκεῖ ἐλλόγιμος γενέσθαι ἐν τῇ πόλει· τοῦτο δὲ οἴεταί οἱ μάλιστα γενέσθαι εἰ σοὶ ξυγγένοιτο. ταῦτ' οὖν ἤδη σὺ σκόπει, πότερον περὶ αὐτῶν μόνος οἴει δεῖν διαλέγεσθαι πρὸς μόνους, ἢ μετ' ἄλλων. XX. Ὀρθῶς, ἔφη, προμηθῇ, ὦ Σώκρατες, ὑπὲρ ἐμοῦ· ξένον γὰρ ἄνδρα καὶ κατιόντα εἰς πόλεις μεγάλας καὶ ἐν ταύταις πείθοντα τῶν νέων τοὺς βελτίστους, ἀπολείποντας τὰς τῶν ἄλλων ξυνουσίας, καὶ οἰκείων καὶ ὀθνείων, καὶ πρεσβυτέρων καὶ νεωτέρων, ἑαυτῷ ξυνεῖναι, ὡς βελτίους ἐσομένους διὰ τὴν ἑαυτοῦ ξυνουσίαν, χρὴ εὐλαβεῖσθαι τὸν ταῦτα πράττοντα. οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι τε γίγνονται, καὶ ἄλλαι δυσμένειαί τε καὶ ἐπιβουλαί. ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς, πρόσχημα ποιεῖσθαι καὶ προκαλύπτεσθαι τοὺς μὲν ποίησιν (οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην), τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμῳδίας, τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον· ἐνίους δέ τινας ᾔσθημαι καὶ γυμναστικήν, οἷον Ἴκκος τε ὁ Ταραντῖνος, καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς ἧττον σοφιστὴς Ἡρόδικος ὁ Σηλυβριανός, τὸ δὲ ἀρχαῖον Μεγαρεύς· μουσικὴν δὲ Ἀγαθοκλῆς τε ὁ ὑμέτερος πρόσχημα ἐποιήσατο, μέγας

ὢν σοφιστὴς, καὶ Πυθοκλείδης ὁ Κεῖος, καὶ ἄλλοι πολλοί. XXI. Οὗτοι πάντες, ὥσπερ λέγω, φοβηθέντες τὸν φθόνον, ταῖς τέχναις ταύταις παραπετάσμασιν ἐχρήσαντο· ἐγὼ δὲ τούτοις ἅπασι κατὰ τοῦτο εἶναι οὐ ξυμφέρομαι. ἡγοῦμαι γὰρ αὐτοὺς οὔ τι διαπράξασθαι ὃ ἐβουλήθησαν· οὐ γὰρ λαθεῖν τῶν ἀνθρώπων τοὺς δυναμένους ἐν ταῖς πόλεσι πράττειν ὧνπερ ἕνεκα ταῦτ᾽ ἐστὶ τὰ προσχήματα· ἐπεὶ οἵ γε πολλοί, ὡς ἔπος εἰπεῖν, οὐδὲν αἰσθάνονται, ἀλλ᾽ ἅττ᾽ ἂν οὗτοι διαγγέλλωσι, ταῦτα ὑμνοῦσι. τὸ οὖν ἀποδιδράσκοντα μὴ δύνασθαι ἀποδράναι, ἀλλὰ καταφανῆ εἶναι, πολλὴ μωρία καὶ τοῦ ἐπιχειρήματος, καὶ πολὺ δυσμενεστέρους παρέχεσθαι ἀνάγκη τοὺς ἀνθρώπους. ἡγοῦνται γὰρ τὸν τοιοῦτον πρὸς τοῖς ἄλλοις καὶ πανοῦργον εἶναι. XXII. Ἐγὼ οὖν τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα, καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι, καὶ παιδεύειν ἀνθρώπους, καὶ εὐλάβειαν ταύτην οἶμαι βελτίω ἐκείνης εἶναι, τὸ ὁμολογεῖν μᾶλλον ἢ ἔξαρνον εἶναι, καὶ ἄλλας πρὸς ταύτῃ ἔσκεμμαι· ὥστε, ξὺν θεῷ εἰπεῖν, μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν σοφιστὴς εἶναι. καίτοι πολλά γε ἔτη ἤδη εἰμὶ ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ᾽ ἡλικίαν πατὴρ εἴην. ὥστε πολύ μοι ἥδιστόν ἐστιν, εἴ τι βούλεσθε, περὶ τούτων ἁπάντων ἐναντίον τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι. XXIII. Καὶ ἐγὼ (ὑπώπτευσα γὰρ βούλεσθαι αὐτὸν τῷ τε Προδίκῳ καὶ τῷ Ἱππίᾳ ἐνδείξασθαι, καὶ καλλωπίσασθαι, ὅτι ἐρασταὶ αὐτοῦ

ἀφιγμένοι εἴημεν) Τί οὖν, ἔφην ἐγώ, οὐ καὶ Πρόδικον καὶ Ἱππίαν ἐκαλέσαμεν, καὶ τοὺς μετ' αὐτῶν, ἵνα ἐπακούσωσιν ἡμῶν; Πάνυ μὲν οὖν, ἔφη ὁ Πρωταγόρας. Βούλεσθε οὖν, ὁ Καλλίας ἔφη, ξυνέδριον κατασκευάσωμεν, ἵνα καθεζόμενοι διαλέγησθε; Ἐδόκει χρῆναι. ἄσμενοι δὲ πάντες ἡμεῖς, ὡς ἀκουσόμενοι ἀνδρῶν σοφῶν, καὶ αὐτοί τε ἀντιλαβόμενοι τῶν βάθρων καὶ τῶν κλινῶν κατεσκευάζομεν παρὰ τὸν Ἱππίαν· ἐκεῖ γὰρ προϋπῆρχε τὰ βάθρα. ἐν δὲ τούτῳ Καλλίας τε καὶ Ἀλκιβιάδης ἡκέτην, ἄγοντε τὸν Πρόδικον, ἀναστήσαντες ἐκ τῆς κλίνης καὶ τοὺς μετὰ τοῦ Προδίκου. ἐπειδὴ δὲ πάντες ξυνεκαθεζόμεθα, Πρωταγόρας, Νῦν δὴ ἄν, ἔφη, λέγοις, ὦ Σώκρατες, ἐπειδὴ καὶ οἵδε πάρεισι, περὶ ὧν ὀλίγῳ πρότερον μνείαν ἐποιοῦ πρός ἐμὲ ὑπὲρ τοῦ νεανίσκου. XXIV. Καὶ ἐγὼ εἶπον ὅτι, Ἡ αὐτή μοί ἐστιν ἀρχή, ὦ Πρωταγόρα, ἥπερ ἄρτι, περὶ ὧν ἀφικόμην. Ἱπποκράτης γὰρ ὅδε τυγχάνει ὢν ἐν ἐπιθυμίᾳ τῆς σῆς ξυνουσίας· ὅ, τι οὖν αὐτῷ ἀποβήσεται, ἐάν σοι ξυνῇ, ἡδέως ἄν φησι πυθέσθαι. τοσοῦτος ὅ γε ἡμέτερος λόγος. Ὑπολαβὼν οὖν ὁ Πρωταγόρας εἶπεν, Ὦ νεανίσκε, ἔσται τοίνυν σοι, ἐὰν ἐμοὶ ξυνῇς, ᾗ ἂν ἡμέρᾳ ἐμοὶ ξυγγένῃ, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι, καὶ ἐν τῇ ὑστεραίᾳ ταυτὰ ταῦτα· καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. XXV. Καὶ ἐγὼ ἀκούσας εἶπον, Ὦ Πρωταγόρα, τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις, ἀλλὰ εἰκός· ἐπεὶ κἂν σύ, καίπερ τηλικοῦτος ὢν καὶ οὕτω σοφός, εἴ τις σε διδάξειεν ἃ μὴ τυγχάνεις ἐπι-

στάμενος, βελτίων ἂν γένοιο. ἀλλὰ μὴ οὕτως· ἀλλ' ὥσπερ ἂν εἰ αὐτίκα μάλα μεταβαλὼν τὴν ἐπιθυμίαν Ἱπποκράτης ὅδε ἐπιθυμήσειε τῆς ξυνουσίας τούτου τοῦ νεανίσκου τοῦ νῦν ἐπιδημοῦντος νεωστί, Ζευξίππου τοῦ Ἡρακλεώτου, καὶ ἀφικόμενος παρ' αὐτόν, ὥσπερ παρὰ σὲ νῦν, ἀκούσειεν αὐτοῦ ταυτὰ ταῦτα ἅπερ σοῦ, ὅτι ἑκάστης ἡμέρας ξυνὼν αὐτῷ βελτίων ἔσται, καὶ ἐπιδώσει, εἰ αὐτὸν ἐπανέροιτο, Τί δὴ φῂς βελτίω ἔσεσθαι, καὶ εἰς τί ἐπιδώσειν; εἴποι ἂν αὐτῷ Ζεύξιππος, ὅτι πρὸς γραφικήν· κἂν εἰ Ὀρθαγόρᾳ τῷ Θηβαίῳ ξυγγενόμενος, ἀκούσας ἐκείνου ταυτὰ ταῦτα ἅπερ σοῦ, ἐπανέροιτο αὐτὸν εἰς ὅ, τι βελτίων καθ' ἡμέραν ἔσται ξυγγιγνόμενος ἐκείνῳ, εἴποι ἂν ὅτι εἰς αὔλησιν· οὕτω δὲ καὶ σὺ εἰπὲ τῷ νεανίσκῳ, καὶ ἐμοὶ ὑπὲρ τούτου ἐρωτῶντι, Ἱπποκράτης ὅδε Πρωταγόρᾳ ξυγγενόμενος, ᾗ ἂν ἡμέρᾳ ξυγγένηται, βελτίων ἄπεισι γενόμενος, καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης οὕτως ἐπιδώσει· εἰς τί, ὦ Πρωταγόρα, καὶ περὶ τοῦ; XXVI. Καὶ ὁ Πρωταγόρας ἐμοῦ ταῦτα ἀκούσας, Σύ τε καλῶς, ἔφη, ἐρωτᾷς, ὦ Σώκρατες, καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. Ἱπποκράτης γὰρ παρ' ἐμὲ ἀφικόμενος, οὐ πείσεται ἅπερ ἂν ἔπαθεν ἄλλῳ τῳ ξυγγενόμενος τῶν σοφιστῶν. οἱ μὲν γὰρ ἄλλοι λωβῶνται τοὺς νέους. τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας, ἄκοντας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τὰς τέχνας, λογισμούς τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν διδάσκοντες· (καὶ ἅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψε·) παρὰ

δ' ἐμὲ ἀφικόμενος, μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει. τὸ δὲ μάθημά ἐστιν εὐβουλία περί τε τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ, καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν. XXVII. Ἆρ', ἔφην ἐγώ, ἕπομαί σου τῷ λόγῳ; δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην, καὶ ὑπισχνεῖσθαι ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας. Αὐτὸ μὲν οὖν τοῦτό ἐστιν, ἔφη, ὦ Σώκρατες, τὸ ἐπάγγελμα ὃ ἐπαγγέλλομαι. Ἦ καλόν, ἦν δ' ἐγώ, τέχνημα ἄρα κέκτησαι, εἴπερ κέκτησαι· οὐ γὰρ ἄλλο τι πρός σε εἰρήσεται ἢ ἅπερ νοῶ. ἐγὼ γὰρ τοῦτο, ὦ Πρωταγόρα, οὐκ ᾤμην διδακτὸν εἶναι· σοὶ δὲ λέγοντι οὐκ ἔχω ὅπως ἂν ἀπιστῶ. ὅθεν δὲ ἡγοῦμαι αὐτὸ οὐ διδακτὸν εἶναι, μηδ' ὑπ' ἀνθρώπων παρασκευαστὸν ἀνθρώποις, δίκαιός εἰμι εἰπεῖν. ἐγὼ γὰρ Ἀθηναίους, ὥσπερ καὶ οἱ ἄλλοι Ἕλληνες, φημὶ σοφοὺς εἶναι· ὁρῶ οὖν, ὅταν ξυλλεγῶμεν εἰς τὴν ἐκκλησίαν, ἐπειδὰν μὲν περὶ οἰκοδομίας τι δέῃ πρᾶξαι τὴν πόλιν, τοὺς οἰκοδόμους μεταπεμπομένους ξυμβούλους περὶ τῶν οἰκοδομημάτων· ὅταν δὲ περὶ ναυπηγίας, τοὺς ναυπηγούς· καὶ τἆλλα πάντα οὕτως ὅσα ἡγοῦνται μαθητά τε καὶ διδακτὰ εἶναι· ἐὰν δέ τις ἄλλος ἐπιχειρῇ αὐτοῖς ξυμβουλεύειν ὃν ἐκεῖνοι μὴ οἴονται δημιουργὸν εἶναι, κἂν πάνυ καλὸς ᾖ καὶ πλούσιος καὶ τῶν γενναίων, οὐδέν τι μᾶλλον ἀποδέχονται, ἀλλὰ καταγελῶσι καὶ θορυβοῦσιν, ἕως ἂν ἢ αὐτὸς ἀποστῇ ὁ ἐπιχειρῶν λέγειν, καταθορυβηθείς, ἢ οἱ τοξόται αὐτὸν ἀφελ-

κύσωσιν, ἢ ἐξαίρωνται, κελευόντων τῶν πρυτάνεων.
XXVIII. *Περὶ μὲν οὖν ὧν οἴονται ἐν τέχνῃ εἶναι*, οὕτω
διαπράττονται· ἐπειδὰν δέ τι περὶ τῆς πόλεως διοική-
σεως δέῃ βουλεύσασθαι, ξυμβουλεύει αὐτοῖς ἀνιστά-
μενος περὶ τούτων ὁμοίως μὲν τέκτων, ὁμοίως δὲ χαλ-
κεύς, σκυτοτόμος, ἔμπορος, ναύκληρος, πλούσιος, πένης,
γενναῖος, ἀγεννής· καὶ τούτοις οὐδεὶς τοῦτο ἐπιπλήτ-
τει, ὥςπερ τοῖς πρότερον, ὅτι οὐδαμόθεν μαθών,
οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ, ἔπειτα ξυμ-
βουλεύειν ἐπιχειρεῖ. δῆλον γὰρ ὅτι οὐχ ἡγοῦνται
διδακτὸν εἶναι. μὴ τοίνυν ὅτι τὸ κοινὸν τῆς πόλεως
οὕτως ἔχει, ἀλλὰ ἰδίᾳ ἡμῖν οἱ σοφώτατοι καὶ ἄρι-
στοι τῶν πολιτῶν ταύτην τὴν ἀρετὴν ἣν ἔχουσιν οὐχ
οἷοί τε ἄλλοις παραδιδόναι. ἐπεὶ *Περικλῆς*, ὁ του-
τωνὶ τῶν νεανίσκων πατήρ, τούτους, ἃ μὲν διδασκά-
λων εἴχετο, καλῶς καὶ εὖ ἐπαίδευεν· ἃ δὲ αὐτὸς σοφός
ἐστιν, οὔτε αὐτὸς παιδεύει, οὔτε τῳ ἄλλῳ παραδίδω-
σιν, ἀλλ' αὐτοὶ περιϊόντες νέμονται, ὥςπερ ἄφετοι,
ἐάν που αὐτόματοι περιτύχωσι τῇ ἀρετῇ. XXIX. Εἰ
δὲ βούλει, *Κλεινίαν* τὸν *Ἀλκιβιάδου* τουτουῒ νεώτε-
ρον ἀδελφὸν ἐπιτροπεύων ὁ αὐτὸς οὗτος ἀνὴρ *Περι-
κλῆς*, δεδιὼς περὶ αὐτοῦ μὴ διαφθαρῇ δὴ ὑπὸ *Ἀλ-
κιβιάδου*, ἀποσπάσας ἀπὸ τούτου, καταθέμενος ἐν
Ἀρίφρονος ἐπαίδευε, καὶ πρὶν ἓξ μῆνας γεγονέναι,
ἀπέδωκε τούτῳ, οὐκ ἔχων ὅ, τι χρήσαιτο αὐτῷ. καὶ
ἄλλους σοι παμπόλλους ἔχω λέγειν, οἳ αὐτοὶ ἀγαθοὶ
ὄντες οὐδένα πώποτε βελτίω ἐποίησαν, οὔτε τῶν
οἰκείων, οὔτε τῶν ἀλλοτρίων. ἐγὼ οὖν, ὦ *Πρωταγόρα*,

εἰς ταῦτα ἀποβλέπων, οὐχ ἡγοῦμαι διδακτὸν εἶναι τὴν ἀρετήν· ἐπειδὴ δὲ σοῦ ἀκούω ταῦτα λέγοντος, κάμπτομαι, καὶ οἶμαί τί σε λέγειν, διὰ τὸ ἡγεῖσθαί σε πολλῶν μὲν ἔμπειρον γεγονέναι, πολλὰ δὲ μεμαθηκέναι, τὰ δὲ αὐτὸν ἐξευρηκέναι. εἰ οὖν ἔχεις ἐναργέστερον ἡμῖν ἐπιδεῖξαι ὡς διδακτόν ἐστιν ἡ ἀρετή, μὴ φθονήσῃς, ἀλλ' ἐπίδειξον. Ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐ φθονήσω· ἀλλὰ πότερον ὑμῖν, ὡς πρεσβύτερος νεωτέροις, μῦθον λέγων ἐπιδείξω, ἢ λόγῳ διεξελθών; Πολλοὶ οὖν αὐτῷ ὑπέλαβον τῶν παρακαθημένων ὁποτέρως βούλοιτο οὕτω διεξιέναι. Δοκεῖ τοίνυν μοι, ἔφη, χαριέστερον εἶναι, μῦθον ὑμῖν λέγειν. XXX. Ἦν γάρ ποτε χρόνος ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον, ἐκ γῆς καὶ πυρὸς μίξαντες, καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι. Νείμαντος δέ μου, ἔφη, ἐπίσκεψαι· καὶ οὕτω πείσας, νέμει. νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε, τὰ δ' ἀσθενέστερα τάχει ἐκόσμει· τὰ δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν, ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχε, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζε· καὶ τἆλλα οὕτως ἐπανισῶν ἔνεμε. ταῦτα δὲ ἐμηχα-

νᾶτο, εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη. XXXI.
Ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε,
πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο, ἀμφιεν-
νὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν,
ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύμα-
τα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦ-
τα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑπὸ
ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι στε-
ρεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλ-
λας ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ
δένδρων καρπούς, τοῖς δὲ ῥίζας, ἔστι δ' οἷς ἔδωκεν
εἶναι τροφὴν, ζώων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλι-
γογονίαν προςῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τού-
των πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. ἅτε
δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν
καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα. XXXII.
Λοιπὸν δὴ ἔτι ἀκόσμητον αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων
γένος, καὶ ἠπόρει ὅ, τι χρήσαιτο. ἀποροῦντι δὲ
αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν,
καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα,
τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ
ἄστρωτον καὶ ἄοπλον. ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέ-
ρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς
εἰς φῶς. ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεύς, ἥντινα
σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ
Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν ξὺν πυρὶ (ἀμήχανον γὰρ
ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι),
καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. XXXIII. Τὴν μὲν

οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε· τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διΐ. τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν (πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν), εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου, καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς, δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. XXXIV. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μέν, διὰ τὴν τοῦ θεοῦ ξυγγένειαν, ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις, καὶ ἐσθῆτας, καὶ ὑποδέσεις, καὶ στρωμνάς, καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν. ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων, διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι· καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική· ἐζήτουν δὲ ἀθροίζεσθαι καὶ σώζεσθαι, κτίζοντες πόλεις. ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. XXXV. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν,

νᾶτο, εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη. XXXI. Ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑπὸ ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας, ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφήν, ζώων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προςῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα. XXXII. Λοιπὸν δὴ ἔτι ἀκόσμητον αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ, τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον. ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεύς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν ξὺν πυρὶ (ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι), καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. XXXIII. Τὴν μὲν

οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε· τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διΐ. τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν (πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν), εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου, καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς, δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕστερον, ἧπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. XXXIV. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μέν, διὰ τὴν τοῦ θεοῦ ξυγγένειαν, ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις, καὶ ἐσθῆτας, καὶ ὑποδέσεις, καὶ στρωμνάς, καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν. ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων, διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι· καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική· ἐζήτουν δὲ ἀθροίζεσθαι καὶ σώζεσθαι, κτίζοντες πόλεις. ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. XXXV. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν,

μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας ξυναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις. Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις; ἢ ἐπὶ πάντας νείμω; Ἐπὶ πάντας, ἔφη ὁ Ζεύς, καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν, ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν, κτείνειν ὡς νόσον πόλεως. XXXVI. Οὕτω δὴ, ὦ Σώκρατες, καὶ διὰ ταῦτα οἵ τε ἄλλοι καὶ Ἀθηναῖοι ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ᾖ λόγος ἢ ἄλλης τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι ξυμβουλῆς· καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων ξυμβουλεύῃ, οὐκ ἀνέχονται, ὡς σὺ φῄς, (εἰκότως, ὡς ἐγώ φημι·) ὅταν δὲ εἰς ξυμβουλὴν πολιτικῆς ἀρετῆς ἴωσιν, ἣν δεῖ διὰ δικαιοσύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης, εἰκότως ἅπαντος ἀνδρὸς ἀνέχονται, ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς, ἢ μὴ εἶναι πόλεις. αὕτη, ὦ Σώκρατες, τούτου αἰτία. XXXVII. Ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἄνθρωποι πάντα ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρετῆς, τόδε αὖ λάβε τεκμήριον. ἐν γὰρ ταῖς ἄλλαις ἀρεταῖς, ὥσπερ σὺ λέγεις, ἐάν τις φῇ ἀγαθὸς αὐλητὴς εἶναι, ἢ ἄλλην ἡντινοῦν

τέχνην ἣν μή ἐστιν, ἢ καταγελῶσιν, ἢ χαλεπαίνουσι, καὶ οἱ οἰκεῖοι προσιόντες νουθετοῦσιν ὡς μαινόμενον· ἐν δὲ δικαιοσύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐάν τινα καὶ εἰδῶσιν ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ᾽ αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι, τἀληθῆ λέγειν, ἐνταῦθα μανίαν· καί φασι πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν, ἐάν τε μή, ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιοσύνην· ὡς ἀναγκαῖον οὐδένα ὅντιν᾽ οὐχὶ ἀμωσγέπως μετέχειν αὐτῆς, ἢ μὴ εἶναι ἐν ἀνθρώποις. XXXVIII. Ὅτι μὲν οὖν πάντ᾽ ἄνδρα εἰκότως ἀποδέχονται περὶ ταύτης τῆς ἀρετῆς ξύμβουλον, διὰ τὸ ἡγεῖσθαι παντὶ μετεῖναι αὐτῆς, ταῦτα λέγω. Ὅτι δὲ αὐτὴν οὐ φύσει ἡγοῦνται εἶναι, οὐδ᾽ ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ διδακτόν τε καὶ ἐξ ἐπιμελείας παραγίγνεσθαι ᾧ ἂν παραγίγνηται, τοῦτό σοι μετὰ τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται ἀλλήλους κακὰ ἔχειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς θυμοῦται, οὐδὲ νουθετεῖ, οὐδὲ διδάσκει, οὐδὲ κολάζει τοὺς ταῦτα ἔχοντας, ἵνα μὴ τοιοῦτοι ὦσιν, ἀλλ᾽ ἐλεοῦσιν. οἷον, τοὺς αἰσχροὺς ἢ σμικροὺς ἢ ἀσθενεῖς τίς οὕτως ἀνόητος ὥστε τι τούτων ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γὰρ ἴσασιν, οἶμαι, ὅτι φύσει τε καὶ τύχῃ τοῖς ἀνθρώποις γίγνεται τὰ καλὰ καὶ τὰ ἐναντία τούτοις· ὅσα δὲ ἐξ ἐπιμελείας καὶ ἀσκήσεως καὶ διδαχῆς οἴονται γίγνεσθαι ἀγαθὰ ἀνθρώποις, ἐάν τις ταῦτα μὴ ἔχῃ, ἀλλὰ τἀναντία τούτων κακά, ἐπὶ τούτοις που οἵ τε θυμοὶ γίγνονται καὶ αἱ κο-

λάσεις καὶ αἱ νουθετήσεις· ὧν ἐστιν ἓν καὶ ἡ ἀδικία, καὶ ἡ ἀσέβεια, καὶ ξυλλήβδην πᾶν τὸ ἐναντίον τῆς πολιτικῆς ἀρετῆς. XXXIX. Ἔνθεν δὴ πᾶς παντὶ θυμοῦται, καὶ νουθετεῖ, δηλονότι ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς οὔσης. εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες, τοὺς ἀδικοῦντας τί ποτε δύναται, αὐτό σε διδάξει, ὅτι οἵ γε ἄνθρωποι ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας, πρὸς τούτῳ τὸν νοῦν ἔχων, καὶ τούτου ἕνεκα ὅτι ἠδίκησεν, ὅςτις μὴ ὥςπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν, οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται (οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη), ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος, μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα· καὶ τοιαύτην διάνοιαν ἔχων διανοεῖται παιδευτὴν εἶναι ἀρετήν· ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. XL. Ταύτην οὖν τὴν δόξαν πάντες ἔχουσιν ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ. τιμωροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄνθρωποι οὓς ἂν οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι, οἱ σοὶ πολῖται· ὥςτε κατὰ τοῦτον τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων παρασκευαστὸν εἶναι καὶ διδακτὸν ἀρετήν. ὡς μὲν οὖν εἰκότως ἀποδέχονται οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου ξυμβουλεύοντος τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν ἡγοῦνται ἀρετήν, ἀποδέδεικταί σοι, ὦ Σώκρατες, ἱκανῶς, ὥς γέ μοι φαίνεται. XLI. Ἔτι δὴ λοιπὴ ἀπορία

ἐστὶν, ἣν ἀπορεῖς, περὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν, τί δή ποτε οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ μὲν ἄλλα τοὺς αὑτῶν υἱεῖς διδάσκουσιν ἃ διδασκάλων ἔχεται, καὶ σοφοὺς ποιοῦσιν, ἣν δὲ αὐτοὶ ἀρετὴν ἀγαθοί, οὐδενὸς βελτίους ποιοῦσι. τούτου δὴ πέρι, ὦ Σώκρατες, οὐκέτι μῦθόν σοι ἐρῶ, ἀλλὰ λόγον. ὧδε γὰρ ἐννόησον· πότερόν ἐστί τι ἓν ἢ οὐκ ἔστιν, οὗ ἀναγκαῖον πάντας τοὺς πολίτας μετέχειν, εἴπερ μέλλει πόλις εἶναι; ἐν τούτῳ γὰρ αὕτη λύεται ἡ ἀπορία ἣν σὺ ἀπορεῖς, ἢ ἄλλοθι οὐδαμοῦ. εἰ μὲν γὰρ ἔστι, καὶ τοῦτό ἐστι τὸ ἕν, οὐ τεκτονικὴ οὐδὲ χαλκεία οὐδὲ κεραμεία, ἀλλὰ δικαιοσύνη καὶ σωφροσύνη καὶ τὸ ὅσιον εἶναι, καὶ ξυλλήβδην ἓν αὐτὸ προσαγορεύω εἶναι ἀνδρὸς ἀρετήν· εἰ τοῦτ' ἐστὶν οὗ δεῖ πάντας μετέχειν, καὶ μετὰ τούτου πάντ' ἄνδρα, ἐάν τι καὶ ἄλλο βούληται μανθάνειν ἢ πράττειν, οὕτω πράττειν, ἄνευ δὲ τούτου μή· ἢ τὸν μὴ μετέχοντα καὶ διδάσκειν καὶ κολάζειν, καὶ παῖδα καὶ ἄνδρα καὶ γυναῖκα, ἕωσπερ ἂν κολαζόμενος βελτίων γένηται· ὃς δ' ἂν μὴ ὑπακούῃ κολαζόμενος καὶ διδασκόμενος, ὡς ἀνίατον ὄντα τοῦτον ἐκβάλλειν ἐκ τῶν πόλεων, ἢ ἀποκτείνειν· εἰ οὕτω μὲν ἔχει, οὕτω δ' αὐτοῦ πεφυκότος, οἱ ἀγαθοὶ ἄνδρες εἰ τὰ μὲν ἄλλα διδάσκονται τοὺς υἱεῖς, τοῦτο δὲ μή, σκέψαι ὡς θαυμασίως γίγνονται οἱ ἀγαθοί. XLII. Ὅτι μὲν γὰρ διδακτὸν αὐτὸ ἡγοῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀπεδείξαμεν· διδακτοῦ δὲ ὄντος καὶ θεραπευτοῦ, τὰ μὲν ἄλλα ἄρα τοὺς υἱεῖς διδάσκονται, ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζη-

μία ἐὰν μὴ ἐπίστωνται· ἐφ᾽ ᾧ δὲ ἥ τε ζημία θάνατος αὐτῶν τοῖς παισὶ καὶ φυγαί, μὴ μαθοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετήν, καὶ πρὸς τῷ θανάτῳ χρημάτων τε δημεύσεις, καί, ὡς ἔπος εἰπεῖν, ξυλλήβδην τῶν οἴκων ἀνατροπαί, ταῦτα δ᾽ ἄρα οὐ διδάσκονται, οὐδ᾽ ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν; οἴεσθαί γε χρή, ὦ Σώκρατες, ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρις οὗπερ ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν· ἐπειδὰν θᾶττον ξυνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται, ὅπως ὡς βέλτιστος ἔσται ὁ παῖς, παρ᾽ ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν δίκαιον, τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον, καὶ, τάδε μὲν ποίει, τάδε δὲ μὴ ποίει. καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον, εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. XLIII. Μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες, πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦνται, καὶ ἐπειδὰν αὖ γράμματα μάθωσι, καὶ μέλλωσι ξυνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα, καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι, καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς

ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι. οἵ τ' αὖ κιθαρισταί, ἕτερα τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται, καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι· πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε ὦσι καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι, χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. XLIV. Ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώματα βελτίω ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ, καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν πονηρίαν τῶν σωμάτων, καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς ἄλλαις πράξεσι. καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι, μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ τούτων υἱεῖς (c) πρῳαίτατα εἰς διδασκάλων τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν, ὀψιαίτατα ἀπαλλάττονται. ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους ζῆν κατὰ παράδειγμα, ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων, ὑπογράψαντες γραμμὰς τῇ γραφίδι, οὕτω τὸ γραμματεῖον διδόασιν, καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν· ὣς δὲ καὶ ἡ πόλις νόμους

ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑ-
ρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρ-
χεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει, καὶ
ὄνομα τῇ κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολ-
λαχοῦ, ὡς εὐθυνούσης τῆς δίκης, εὐθῦναι. XLV. Το-
σαύτης οὖν τῆς ἐπιμελείας οὔσης περὶ ἀρετῆς ἰδίᾳ
καὶ δημοσίᾳ, θαυμάζεις, ὦ Σώκρατες, καὶ ἀπορεῖς
εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ θαυμάζειν,
ἀλλὰ πολὺ μᾶλλον, εἰ μὴ διδακτόν. διὰ τί οὖν τῶν
ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς φαῦλοι γίγνονται,
τοῦτο αὖ μάθε. οὐδὲν γὰρ θαυμαστόν, εἴπερ ἀληθῆ
ἐγὼ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι τούτου τοῦ πράγ-
ματος, τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, οὐδένα δεῖ
ἰδιωτεύειν. εἰ γὰρ δὴ ὃ λέγω οὕτως ἔχει (ἔχει δὲ μά-
λιστα πάντων οὕτως), ἐνθυμήθητι, ἄλλο τῶν ἐπιτη-
δευμάτων ὁτιοῦν καὶ μαθημάτων προελόμενος. XLVI.
Εἰ μὴ οἷόν τ' ἦν πόλιν εἶναι, εἰ μὴ πάντες αὐληταὶ ἦμεν,
ὁποῖός τις ἐδύνατο ἕκαστος, καὶ τοῦτο ἰδίᾳ καὶ δη-
μοσίᾳ πᾶς πάντα καὶ ἐδίδασκε, καὶ ἐπέπληττε τὸν
μὴ καλῶς αὐλοῦντα, καὶ μὴ ἐφθόνει τούτου· ὥσπερ
νῦν τῶν δικαίων καὶ τῶν νομίμων οὐδεὶς φθονεῖ,
οὐδ' ἀποκρύπτεται, ὥσπερ τῶν ἄλλων τεχνημάτων —
λυσιτελεῖ γάρ, οἶμαι, ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη
καὶ ἀρετή· διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει
καὶ διδάσκει καὶ τὰ δίκαια καὶ τὰ νόμιμα — εἰ οὖν
οὕτω καὶ ἐν αὐλήσει πᾶσαν προθυμίαν καὶ ἀφθο-
νίαν εἴχομεν ἀλλήλους διδάσκειν, οἴει ἄν τι, ἔφη,
μᾶλλον, ὦ Σώκρατες, τῶν ἀγαθῶν αὐλητῶν ἀγα-

θοὺς αὐλητὰς τοὺς υἱεῖς γενέσθαι, ἢ τῶν φαύλων; οἶμαι μὲν οὔ, ἀλλὰ ὅτου ἔτυχεν ὁ υἱὸς εὐφυέστατος γενόμενος εἰς αὔλησιν, οὗτος ἂν ἐλλόγιμος ηὐξήθη, ὅτου δὲ ἀφυής, ἀκλεής· καὶ πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη, πολλάκις δ' ἂν φαύλου ἀγαθός· ἀλλ' οὖν αὐληταί γοῦν πάντες ἦσαν ἱκανοί, ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας. XLVII. Οὕτως οἴου καὶ νῦν, ὅστις σοι ἀδικώτατος φαίνεται ἄνθρωπος τῶν ἐν νόμοις καὶ ἀνθρώποις τεθραμμένων, δίκαιον αὐτὸν εἶναι καὶ δημιουργὸν τούτου τοῦ πράγματος, εἰ δέοι αὐτὸν κρίνεσθαι πρὸς ἀνθρώπους, οἷς μήτε παιδεία ἐστί, μήτε δικαστήρια, μήτε νόμοι, μηδὲ ἀνάγκη μηδεμία, διαπαντὸς ἀναγκάζουσα ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλ' εἶεν ἄγριοί τινες, οἷοί περ οὓς πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ. ἦ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι, ἀγαπήσαις ἂν εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ, καὶ ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδε ἀνθρώπων πονηρίαν· νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες, διότι πάντες διδάσκαλοί εἰσιν ἀρετῆς, καθόσον δύνανται ἕκαστος, καὶ οὐδείς σοι φαίνεται· εἶθ' ὥσπερ ἂν εἰ ζητοῖς τίς διδάσκαλος τοῦ ἑλληνίζειν, οὐδ' ἂν εἷς φανείη, οὐδέ γ' ἄν, οἶμαι, εἰ ζητοῖς τίς ἂν ἡμῖν διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς αὐτὴν ταύτην τὴν τέχνην ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασι, καθόσον οἷός τ' ἦν ὁ πατὴρ καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες ὁμότεχνοι, τούτους ἔτι τίς

ἂν διδάξειεν, οὐ ῥᾴδιον οἶμαι εἶναι, ὦ Σώκρατες, τούτων διδάσκαλον φανῆναι· τῶν δὲ ἀπείρων παντάπασι ῥᾴδιον· οὕτω δὲ ἀρετῆς καὶ τῶν ἄλλων πάντων. XLVIII. Ἀλλὰ κἂν εἰ ὀλίγον ἐστί τις ὅστις διαφέρει ἡμῶν προβιβάσαι εἰς ἀρετήν, ἀγαπητόν· ὧν δὴ ἐγὼ οἶμαι εἷς εἶναι, καὶ διαφερόντως ἂν τῶν ἄλλων ἀνθρώπων νοῆσαί τινα πρὸς τὸ καλὸν καὶ ἀγαθὸν γενέσθαι, καὶ ἀξίως τοῦ μισθοῦ ὃν πράττομαι, καὶ ἔτι πλείονος, ὥστε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι. διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ᾽ ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀποδέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον· ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερόν, ὀμόσας, ὅσου ἂν φῇ ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κατέθηκε. Τοιοῦτόν σοι, ἔφη, ὦ Σώκρατες, ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετὴ καὶ Ἀθηναῖοι οὕτως ἡγοῦνται, καὶ ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γενέσθαι, καὶ τῶν φαύλων ἀγαθούς· ἐπεὶ καὶ οἱ Πολυκλείτου υἱεῖς, Παράλου καὶ Ξανθίππου τοῦδε ἡλικιῶται, οὐδὲν πρὸς τὸν πατέρα εἰσί, καὶ ἄλλοι ἄλλων δημιουργῶν. τῶνδε δὲ οὔπω ἄξιον τοῦτο κατηγορεῖν· ἔτι γὰρ ἐν αὐτοῖς εἰσὶν ἐλπίδες· νέοι γάρ. XLIX. Πρωταγόρας μὲν τοσαῦτα καὶ τοιαῦτα ἐπιδειξάμενος, ἀπεπαύσατο τοῦ λόγου· καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντά τι, ἐπιθυμῶν ἀκούειν· ἐπειδὴ δὲ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὡσπερεὶ

ξυναγείρας, εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη, Ὦ
παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρε-
ψάς με ὧδε ἀφικέσθαι. πολλοῦ γὰρ ποιοῦμαι ἀκη-
κοέναι ἃ ἀκήκοα Πρωταγόρου. ἐγὼ γὰρ ἐν μὲν τῷ
ἔμπροσθεν χρόνῳ ἡγούμην οὐκ εἶναι ἀνθρωπίνην
ἐπιμέλειαν, ᾗ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ
πέπεισμαι. πλὴν σμικρόν τί μοι ἐμποδών, ὃ δηλον-
ότι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ
τὰ πολλὰ ταῦτα ἐξεδίδαξε. καὶ γὰρ εἰ μέν τις περὶ
αὐτῶν τούτων ξυγγένοιτο ὁτῳοῦν τῶν δημηγόρων,
τάχ᾽ ἂν καὶ τοιούτους λόγους ἀκούσειεν ἢ Περι-
κλέους, ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δὲ ἐπαν-
έροιτό τινά τι, ὥςπερ βιβλία, οὐδὲν ἔχουσιν οὔτε
ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι, ἀλλ᾽ ἐάν τις
καὶ σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥςπερ τὰ
χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν
μὴ ἐπιλάβηταί τις, καὶ οἱ ῥήτορες οὕτω, σμικρὰ ἐρω-
τηθέντες δόλιχον κατατείνουσι τοῦ λόγου. L. Πρω-
ταγόρας δὲ ὅδε, ἱκανὸς μὲν μακροὺς λόγους καὶ κα-
λοὺς εἰπεῖν, ὡς αὐτὰ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτη-
θεὶς ἀποκρίνεσθαι κατὰ βραχύ, καὶ ἐρόμενος περι-
μεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν· ἃ ὀλί-
γοις ἐςὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα,
σμικροῦ τινος ἐνδεής εἰμι πάντ᾽ ἔχειν, εἴ μοι ἀπο-
κρίναιο τόδε· τὴν ἀρετὴν φῂς διδακτὸν εἶναι, καὶ
ἐγώ, εἴπερ ἄλλῳ τῳ ἀνθρώπων πειθοίμην ἄν, καὶ
σοὶ πείθομαι. ὃ δ᾽ ἐθαύμασά σου λέγοντος, τοῦτό
μοι ἐν τῇ ψυχῇ ἀποπλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ

Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις, καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη, καὶ σωφροσύνη, καὶ ὁσιότης, καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη ξυλλήβδην, ἀρετή. ταῦτ᾽ οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστιν ἡ δικαιοσύνη, καὶ σωφροσύνη, καὶ ὁσιότης· ἢ ταῦτ᾽ ἐστίν, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, πάντα ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος. τοῦτ᾽ ἔστιν ὃ ἔτι ἐπιποθῶ.

LI. Ἀλλὰ ῥᾴδιον τοῦτό γ᾽, ἔφη, ὦ Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος τῆς ἀρετῆς, μόρια ἐστὶν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥςπερ προσώπου τὰ μόρια, μόριά ἐστι, στόμα τε καὶ ῥίς, καὶ ὀφθαλμοί, καὶ ὦτα; ἢ ὥςπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει τὰ ἕτερα τῶν ἑτέρων, ἀλλήλων καὶ τοῦ ὅλου, ἀλλ᾽ ἢ μεγέθει καὶ σμικρότητι; Ἐκείνως μοι φαίνεται, ὦ Σώκρατες, ὥςπερ τὰ τοῦ προσώπου μόρια ἔχει πρὸς τὸ ὅλον πρόσωπον. Πότερον οὖν, ἦν δ᾽ ἐγώ, καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων, οἱ μὲν ἄλλο, οἱ δὲ ἄλλο; ἢ ἀνάγκη, ἐάνπερ τις ἓν λάβῃ, ἅπαντα ἔχειν; Οὐδαμῶς, ἔφη. ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δέ, καὶ δίκαιοι αὖ, σοφοὶ δὲ οὔ. Ἔστι γὰρ καὶ ταῦτα μόρια τῆς ἀρετῆς, ἔφην ἐγώ, σοφία τε καὶ ἀνδρεία; Πάντων μάλιστα δήπου, ἔφη· καὶ μέγιστόν γε ἡ σοφία τῶν μορίων. Ἕκαστον δὲ αὐτῶν ἐστιν, ἦν δ᾽ ἐγώ, ἄλλο, τὸ δὲ ἄλλο; Ναί. Ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει, ὥςπερ τὰ τοῦ προσώπου;

οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτή· οὐδὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον τὸ ἕτερον, οὔτε κατὰ τὴν δύναμιν, οὔτε κατὰ τὰ ἄλλα· ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστι τὸ ἕτερον οἷον τὸ ἕτερον, οὔτε αὐτὸ οὔτε ἡ δύναμις αὐτοῦ; ἢ δῆλα δὴ ὅτι οὕτως ἔχει, εἴπερ τῷ παραδείγματί γε ἔοικεν; Ἀλλ' οὕτως, ἔφη, ἔχει, ὦ Σώκρατες. LII. Καὶ ἐγὼ εἶπον, Οὐδὲν ἄρα ἐστὶ τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον ἐπιστήμη, οὐδ' οἷον δικαιοσύνη, οὐδ' οἷον ἀνδρεία, οὐδ' οἷον σωφροσύνη, οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δή, ἔφην ἐγώ, κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστιν ἕκαστον. πρῶτον μὲν τὸ τοιόνδε· ἡ δικαιοσύνη πρᾶγμά τί ἐστιν, ἢ οὐδὲν πρᾶγμα; ἐμοὶ μὲν γὰρ δοκεῖ· τί δὲ σοί; Καὶ ἐμοί, ἔφη. Τί οὖν; εἴ τις ἔροιτο ἐμέ τε καὶ σέ, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἴπετον δή μοι, τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε ἄρτι, ἡ δικαιοσύνη, αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκριναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο; τὴν αὐτὴν ἐμοί, ἢ ἄλλην; Τὴν αὐτήν, ἔφη. Ἔστιν ἄρα ἡ δικαιοσύνη τοιοῦτον οἷον δίκαιον εἶναι, φαίην ἂν ἔγωγε, ἀποκρινόμενος τῷ ἐρωτῶντι· οὐκοῦν καὶ σύ; Ναί, ἔφη. LIII. Εἰ οὖν μετὰ τοῦτο ἡμᾶς ἔροιτο, Οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι; φαῖμεν ἄν, ὡς ἐγᾦμαι. Ναί, ἦ δ' ὅς. Οὐκοῦν φατε καὶ τοῦτο πρᾶγμά τι εἶναι; φαῖμεν ἄν, ἢ οὔ; Καὶ τοῦτο ξυνέφη. Πότερον δὲ τοῦτο αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πεφυκέναι οἷον ἀνόσιον εἶναι, ἢ οἷον ὅσιον; Ἀγαν-

Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις, καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη, καὶ σωφροσύνη, καὶ ὁσιότης, καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη ξυλλήβδην, ἀρετή. ταῦτ᾽ οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἕν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστιν ἡ δικαιοσύνη, καὶ σωφροσύνη, καὶ ὁσιότης· ἢ ταῦτ᾽ ἐστίν, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, πάντα ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος. τοῦτ᾽ ἔστιν ὃ ἔτι ἐπιποθῶ. LI. Ἀλλὰ ῥᾴδιον τοῦτό γ᾽, ἔφη, ὦ Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος, τῆς ἀρετῆς, μόρια ἐστὶν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥσπερ προσώπου τὰ μόρια, μόριά ἐστι, στόμα τε καὶ ῥίς, καὶ ὀφθαλμοί, καὶ ὦτα; ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει τὰ ἕτερα τῶν ἑτέρων, ἀλλήλων καὶ τοῦ ὅλου, ἀλλ᾽ ἢ μεγέθει καὶ σμικρότητι; Ἐκείνως μοι φαίνεται, ὦ Σώκρατες, ὥσπερ τὰ τοῦ προσώπου μόρια ἔχει πρὸς τὸ ὅλον πρόσωπον. Πότερον οὖν, ἦν δ᾽ ἐγώ, καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων, οἱ μὲν ἄλλο, οἱ δὲ ἄλλο; ἢ ἀνάγκη, ἐάνπερ τις ἓν λάβῃ, ἅπαντα ἔχειν; Οὐδαμῶς, ἔφη. ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δέ, καὶ δίκαιοι αὖ, σοφοὶ δὲ οὔ. Ἔστι γὰρ καὶ ταῦτα μόρια τῆς ἀρετῆς, ἔφην ἐγώ, σοφία τε καὶ ἀνδρεία; Πάντων μάλιστα δήπου, ἔφη· καὶ μέγιστόν γε ἡ σοφία τῶν μορίων. Ἕκαστον δὲ αὐτῶν ἐστιν, ἦν δ᾽ ἐγώ, ἄλλο, τὸ δὲ ἄλλο; Ναί. Ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει, ὥσπερ τὰ τοῦ προσώπου;

οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτή· οὐδὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον τὸ ἕτερον, οὔτε κατὰ τὴν δύναμιν, οὔτε κατὰ τὰ ἄλλα· ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστι τὸ ἕτερον οἷον τὸ ἕτερον, οὔτε αὐτὸ οὔτε ἡ δύναμις αὐτοῦ; ἢ δῆλα δὴ ὅτι οὕτως ἔχει, εἴπερ τῷ παραδείγματί γε ἔοικεν; Ἀλλ' οὕτως, ἔφη, ἔχει, ὦ Σώκρατες. LII. Καὶ ἐγὼ εἶπον, Οὐδὲν ἄρα ἐστὶ τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον ἐπιστήμη, οὐδ' οἷον δικαιοσύνη, οὐδ' οἷον ἀνδρεία, οὐδ' οἷον σωφροσύνη, οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δή, ἔφην ἐγώ, κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστιν ἕκαστον. πρῶτον μὲν τὸ τοιόνδε· ἡ δικαιοσύνη πρᾶγμά τί ἐστιν, ἢ οὐδὲν πρᾶγμα; ἐμοὶ μὲν γὰρ δοκεῖ· τί δὲ σοί; Καὶ ἐμοί, ἔφη. Τί οὖν; εἴ τις ἔροιτο ἐμέ τε καὶ σέ, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἴπετον δή μοι, τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε ἄρτι, ἡ δικαιοσύνη, αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκριναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο; τὴν αὐτὴν ἐμοί, ἢ ἄλλην; Τὴν αὐτήν, ἔφη. Ἔστιν ἄρα ἡ δικαιοσύνη τοιοῦτον οἷον δίκαιον εἶναι, φαίην ἂν ἔγωγε, ἀποκρινόμενος τῷ ἐρωτῶντι· οὐκοῦν καὶ σύ; Ναί, ἔφη. LIII. Εἰ οὖν μετὰ τοῦτο ἡμᾶς ἔροιτο, Οὐκοῦν καὶ ὁσιότητά τινά φατε εἶναι; φαῖμεν ἄν, ὡς ἐγῷμαι. Ναί, ἦ δ' ὅς. Οὐκοῦν φατε καὶ τοῦτο πρᾶγμά τι εἶναι; φαῖμεν ἄν, ἢ οὔ; Καὶ τοῦτο συνέφη. Πότερον δὲ τοῦτο αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πεφυκέναι οἷον ἀνόσιον εἶναι, ἢ οἷον ὅσιον; Ἀγανα-

γανακτήσαιμ' ἂν ἔγωγ', ἔφην, τῷ ἐρωτήματι, καὶ εἴποιμ' ἄν, Εὐφήμει, ὦ ἄνθρωπε· σχολῇ μέντἂν τι ἄλλο ὅσιον εἴη, εἰ μὴ αὐτή γε ἡ ὁσιότης ὅσιον ἔσται. τί δὲ σύ; οὐχ οὕτως ἂν ἀποκρίναιο; Πάνυ μὲν οὖν, ἔφη. Εἰ οὖν μετὰ τοῦτ' εἴποι ἐρωτῶν ἡμᾶς, Πῶς οὖν ὀλίγῳ πρότερον ἐλέγετε; ἆρ' οὐκ ὀρθῶς ὑμῶν κατήκουσα; ἐδόξατέ μοι φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ ἕτερον· εἴποιμ' ἂν ἔγωγε ὅτι Τὰ μὲν ἄλλα ὀρθῶς ἤκουσας, ὅτι δὲ καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο, παρήκουσας. Πρωταγόρας γὰρ ὅδε ταῦτα ἀπεκρίνατο, ἐγὼ δὲ ἠρώτων. Εἰ οὖν εἴποι, Ἀληθῆ ὅδε λέγει, ὦ Πρωταγόρα; σὺ φῂς οὐκ εἶναι τὸ ἕτερον μόριον οἷον τὸ ἕτερον τῶν τῆς ἀρετῆς; σὸς οὗτος ὁ λόγος ἐστί; τί ἂν αὐτῷ ἀποκρίναιο; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες, ὁμολογεῖν. LIV. Τί οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθα αὐτῷ, ταῦτα ὁμολογήσαντες, ἐὰν ἡμᾶς ἐπανέρηται, Οὐκ ἄρα ἐστὶν ὁσιότης οἷον δίκαιον εἶναι πρᾶγμα, οὐδὲ δικαιοσύνη, οἷον ὅσιον, ἀλλ' οἷον μὴ ὅσιον· ἡ δ' ὁσιότης, οἷον μὴ δίκαιον, ἀλλ' ἄδικον ἄρα, τὸ δὲ ἀνόσιον; τί αὐτῷ ἀποκρινούμεθα; ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα δίκαιον· καὶ ὑπὲρ σοῦ δέ, εἴ με ἐῴης, ταὐτὰ ἂν ταῦτα ἀποκρινοίμην, ὅτι ἤτοι ταυτόν ἐστι δικαιότης ὁσιότητι, ἢ ὅτι ὁμοιότατον, καὶ μάλιστα πάντων ἥ τε δικαιοσύνη οἷον ὁσιότης, καὶ ἡ ὁσιότης, οἷον δικαιοσύνη.

ἀλλ' ὅρα εἰ διακωλύεις ἀποκρίνασθαι, ἢ καὶ σοὶ
συνδοκεῖ αὐτό. Οὐ πάνυ μοι δοκεῖ, ἔφη, ὦ Σώ-
κρατες, οὕτως ἁπλοῦν εἶναι, ὥστε συγχωρῆσαι τήν
τε δικαιοσύνην ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα δί-
καιον, ἀλλά τί μοι δοκεῖ ἐν αὐτῷ διάφορον εἶναι.
ἀλλὰ τί τοῦτο διαφέρει; ἔφη· εἰ γὰρ βούλει, ἔστω
ἡμῖν καὶ δικαιοσύνη ὅσιον, καὶ ὁσιότης δίκαιον.
LV. Μή μοι, ἦν δ' ἐγώ· οὐδὲν γὰρ δέομαι τό, Εἰ βού-
λει, τοῦτο, καί, Εἴ σοι δοκεῖ, ἐλέγχεσθαι, ἀλλ' ἐμέ
τε καὶ σέ. τὸ δ' ἐμέ τε καὶ σέ, τοῦτο λέγω, οἰό-
μενος οὕτως τὸν λόγον βέλτιστ' ἂν ἐλέγχεσθαι, εἴ
τις τὸ εἰ ἀφέλοι αὐτοῦ. Ἀλλὰ μέντοι, ἦ δ' ὅς, προσ-
έοικέ τι δικαιοσύνη ὁσιότητι· καὶ γὰρ ὁτιοῦν
ὁτῳοῦν ἁμῇ γέ πῃ προσέοικε. τὸ γὰρ λευκὸν τῷ μέ-
λανι ἔστιν ὅπῃ προσέοικε, καὶ τὸ σκληρὸν τῷ μα-
λακῷ, καὶ τἆλλα ἃ δοκεῖ ἐναντιώτατα εἶναι ἀλλή-
λοις, καὶ ἃ τότε ἔφαμεν ἄλλην δύναμιν ἔχειν, καὶ
οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτερον, τὰ τοῦ προσώ-
που μόρια, ἁμῇ γέ πῃ προσέοικε, καὶ ἔστι τὸ ἕτερον
οἷον τὸ ἕτερον. ὥστε τούτῳ γε τῷ τρόπῳ κἂν ταῦτα
ἐλέγχοις, εἰ βούλοιο, ὡς ἅπαντά ἐστιν ὅμοια ἀλλή-
λοις· ἀλλ' οὐχὶ τὰ ὅμοιόν τι ἔχοντα, ὅμοια δίκαιον κα-
λεῖν, οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα, ἀνόμοια, κἂν πάνυ
σμικρὸν ἔχῃ τὸ ἀνόμοιον ἢ τὸ ὅμοιον. LVI. Καὶ ἐγὼ
θαυμάσας, εἶπον πρὸς αὐτόν, Ἦ γὰρ οὕτω σοι τὸ
δίκαιον καὶ τὸ ὅσιον πρὸς ἄλληλα ἔχει, ὥστε ὅμοιόν
τι σμικρὸν ἔχειν ἀλλήλοις; Οὐ πάνυ, ἔφη, οὕτως·
οὐ μέντοι οὐδὲ αὖ ὡς σύ μοι δοκεῖς οἴεσθαι. Ἀλλὰ

ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία; τὸ δὲ πρότερον
αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης, σχεδόν τι
ταυτὸν ὄν. LIX. Ἴθι δή, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, μὴ
ἀποκάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα.
ἆρά τί σοι δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν ὅτι
ἀδικεῖ; Αἰσχυνοίμην ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες,
τοῦτο ὁμολογεῖν· ἐπεὶ πολλοί γέ φασι τῶν ἀνθρώ-
πων. Πότερον οὖν πρὸς ἐκείνους τὸν λόγον ποιή-
σομαι, ἔφην, ἢ πρὸς σέ; Εἰ βούλει, ἔφη, πρὸς τοῦτον
πρῶτον τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν. Ἀλλ'
οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γε ἀποκρίνῃ, εἴτ'
οὖν δοκεῖ σοι ταῦτα, εἴτε μή· τὸν γὰρ λόγον ἔγωγε
μάλιστα ἐξετάζω· ξυμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν
ἐρωτῶντα καὶ τὸν ἀποκρινόμενον ἐξετάζεσθαι. Τὸ
μὲν οὖν πρῶτον ἐκαλλωπίζετο ἡμῖν ὁ Πρωταγόρας·
τὸν γὰρ λόγον ᾐτιᾶτο δυσχερῆ εἶναι· ἔπειτα μέντοι
ξυνεχώρησεν ἀποκρίνεσθαι. LX. Ἴθι δή, ἔφην ἐγώ,
ἐξ ἀρχῆς μοι ἀπόκριναι· δοκοῦσί τινές σοι σωφρο-
νεῖν ἀδικοῦντες; Ἔστω, ἔφη. Τὸ δὲ σωφρονεῖν, λέ-
γεις εὖ φρονεῖν; Ἔφη. Τὸ δ' εὖ φρονεῖν, εὖ βου-
λεύεσθαι ὅτι ἀδικοῦσιν; Ἔστω, ἔφη. Πότερον, ἦν
δ' ἐγώ, εἰ εὖ πράττουσιν ἀδικοῦντες, ἢ εἰ κακῶς;
Εἰ εὖ. Λέγεις οὖν ἀγαθὰ ἄττα εἶναι; Λέγω. Ἆρ'
οὖν, ἦν δ' ἐγώ, ταῦτ' ἐστὶν ἀγαθά, ἅ ἐστιν ὠφέλι-
μα τοῖς ἀνθρώποις; Καὶ ναὶ μὰ Δί', ἔφη, κἂν μὴ
τοῖς ἀνθρώποις ὠφέλιμα ᾖ, ἔγωγε καλῶ ἀγαθά.
LXI. Καί μοι ἐδόκει ὁ Πρωταγόρας ἤδη τετραχύνθαι
τε καὶ ἀγωνιᾶν καὶ παρατετάχθαι πρὸς τὸ ἀποκρίνε-

σθαι. ἐπειδὴ οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα, εὐλαβούμενος, ἠρέμα ἠρόμην, Πότερον, ἦν δ' ἐγώ, λέγεις, ὦ Πρωταγόρα, ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν, ἢ ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα; καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; Οὐδαμῶς, ἔφη, ἀλλ' ἔγωγε πολλὰ οἶδ' ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστι, καὶ σιτία καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία, τὰ δέ γε, ὠφέλιμα· τὰ δὲ ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ· τὰ δὲ βουσὶ μόνον· τὰ δὲ κυσί· τὰ δέ γε τούτων μὲν οὐδενί, δένδροις δέ· τὰ δὲ τοῦ δένδρου ταῖς μὲν ῥίζαις ἀγαθά, ταῖς δὲ βλάσταις πονηρά· οἷον καὶ ἡ κόπρος πάντων τῶν φυτῶν ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη· εἰ δὲ θέλοις ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάντα ἀπόλλυσιν. ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασιν ἐστὶ πάγκακον, καὶ ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων, πλὴν ταῖς τοῦ ἀνθρώπου· ταῖς δὲ τοῦ ἀνθρώπου ἀρωγὸν καὶ τῷ ἄλλῳ σώματι.

LXII. Οὕτω δὲ ποικίλον τί ἐστι τὸ ἀγαθὸν καὶ παντοδαπόν, ὥστε καὶ ἐνταῦθα, τοῖς μὲν ἔξωθεν τοῦ σώματος ἀγαθόν ἐστι τῷ ἀνθρώπῳ, τοῖς δ' ἐντὸς ταυτὸ τοῦτο κάκιστον. καὶ διὰ τοῦτο οἱ ἰατροὶ πάντες ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ ὅτι σμικροτάτῳ, ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον τὴν δυσχέρειαν κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ τῶν ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις. Εἰπόντος οὖν ταῦτα αὐτοῦ, οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι.

Καὶ ἐγὼ εἶπον, Ὦ Πρωταγόρα, ἐγὼ τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν, εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾤου ἂν χρῆναι, εἴπερ ἔμελλές μοι διαλέγεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους· οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, ξύντεμνέ μοι τὰς ἀποκρίσεις, καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ; Μηδαμῶς, ἦν δ' ἐγώ. Ἀλλ' ὅσα δεῖ, ἔφη; Ναί, ἦν δ' ἐγώ. Πότερα οὖν ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί; LXIII. Ἀκήκοα γοῦν, ἦν δ' ἐγώ, ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν, καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως, ὥστε μηδένα σου ἐν βραχυτέροις εἰπεῖν. εἰ οὖν μέλλεις ἐμοὶ διαλέγεσθαι, τῷ ἑτέρῳ τρόπῳ χρῶ πρός με τῇ βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶνα λόγων ἀφικόμην ἀνθρώποις, καὶ εἰ τοῦτο ἐποίουν ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέ με διαλέγεσθαι, οὕτω διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην, οὐδ' ἂν ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησι. LXIV. Καὶ ἐγὼ (ἔγνων γὰρ ὅτι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσι ταῖς ἔμπροσθεν, καὶ ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀποκρινόμενος διαλέγεσθαι) ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς ξυνουσίαις,

Ἀλλά τοι, ἔφην, ὦ Πρωταγόρα, οὐδ' ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ δοκοῦντα τὴν ξυνουσίαν ἡμῖν γίγνεσθαι· ἀλλ' ἐπειδὰν σὺ βούλῃ διαλέγεσθαι, ὡς ἐγὼ δύναμαι ἕπεσθαι, τότε σοι διαλέξομαι. σὺ μὲν γάρ (ὡς λέγεται περὶ σοῦ, φῂς δὲ καὶ αὐτὸς) καὶ ἐν μακρολογίᾳ καὶ ἐν βραχυλογίᾳ οἷός τ' εἶ ξυνουσίας ποιεῖσθαι· σοφὸς γὰρ εἶ· ἐγὼ δὲ τὰ μακρὰ ταῦτα ἀδύνατος· ἐπεὶ ἐβουλόμην ἂν οἷός τ' εἶναι. ἀλλὰ σε ἐχρῆν ἡμῖν ξυγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα ξυνουσία ἐγίγνετο· νῦν δὲ, ἐπειδὴ οὐκ ἐθέλεις, καὶ ἐμοί τις ἀσχολία ἐστὶ καὶ οὐκ ἂν οἷός τ' εἴην σοι παραμεῖναι ἀποτείνοντι μακροὺς λόγους (ἐλθεῖν γάρ ποί με δεῖ), εἶμι. ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου ἤκουον. LXV. Καὶ ἅμα ταῦτα εἰπὼν ἀνιστάμην ὡς ἀπιών· καί μου ἀνισταμένου ἐπιλαμβάνεται ὁ Καλλίας τῆς χειρὸς τῇ δεξιᾷ, τῇ δ' ἀριστερᾷ ἀντελάβετο τοῦ τρίβωνος τουτουῒ καὶ εἶπεν, Οὐκ ἀφήσομέν σε, ὦ Σώκρατες. ἐὰν γὰρ σὺ ἐξέλθῃς, οὐχ ὁμοίως ἡμῖν ἔσονται οἱ διάλογοι. δέομαι οὖν σου παραμεῖναι ἡμῖν· ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ τε καὶ Πρωταγόρου διαλεγομένων. ἀλλὰ χάρισαι ἡμῖν πᾶσι. Καὶ ἐγὼ εἶπον (ἤδη δὲ ἀνεστήκειν ὡς ἐξιών·) Ὦ παῖ Ἱππονίκου, ἀεὶ μὲν ἔγωγέ σου τὴν φιλοσοφίαν ἄγαμαι, ἀτὰρ καὶ νῦν ἐπαινῶ καὶ φιλῶ· ὥςτε βουλοίμην ἂν χαρίζεσθαί σοι, εἴ μου δυνατὰ δέοιο· νῦν δ' ἐστὶν ὥςπερ ἂν εἰ δέοιό μου, Κρίσωνι τῷ Ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἕπεσθαι, ἢ τῶν δολιχοδρόμων τῳ, ἢ τῶν ἡμεροδρόμων διαθεῖν τε καὶ

ἕπεσθαι· εἴποιμι ἂν σοι ὅτι πολὺ σοῦ μᾶλλον ἐγὼ
ἐμαυτοῦ δέομαι θέουσι τούτοις ἀκολουθεῖν· ἀλλ'
οὐ γὰρ δύναμαι. ἀλλ' εἴ τι δέῃ θεάσασθαι ἐν τῷ
αὐτῷ ἐμέ τε καὶ Κρίσωνα θέοντας, τούτου δέου
ξυγκαθεῖναι. ἐγὼ μὲν γὰρ οὐ δύναμαι ταχὺ θεῖν,
οὗτος δὲ δύναται βραδέως. εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ
καὶ Πρωταγόρου ἀκούειν, τούτου δέου, ὥσπερ τὸ
πρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων καὶ αὐτὰ τὰ
ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι. εἰ δὲ μή,
τίς ὁ τρόπος ἔσται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ'
ᾤμην εἶναι τὸ ξυνεῖναί τε ἀλλήλοις διαλεγομένους,
καὶ τὸ δημηγορεῖν. LXVI. Ἀλλ' ὁρᾷς, ἔφη, ὦ Σώκρα-
τες· δίκαια δοκεῖ λέγειν Πρωταγόρας, ἀξιῶν αὑτῷ τε
ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως
ἂν αὖ σὺ βούλῃ. Ὑπολαβὼν οὖν ὁ Ἀλκιβιάδης,
Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία. Σωκράτης μὲν
γὰρ ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἱ μακρολογίας, καὶ
παραχωρεῖ Πρωταγόρᾳ· τοῦ δὲ διαλέγεσθαι οἷός τ'
εἶναι, καὶ ἐπίστασθαι λόγον τε δοῦναι καὶ δέξα-
σθαι, θαυμάζοιμ' ἂν εἴ τῳ ἀνθρώπων] [παραχω-
ρεῖ. εἰ μὲν οὖν καὶ Πρωταγόρας ὁμολογεῖ φαυλότε-
ρος εἶναι Σωκράτους διαλεχθῆναι, ἐξαρκεῖ Σωκρά-
τει· εἰ δὲ ἀντιποιεῖται, διαλεγέσθω, ἐρωτῶν τε καὶ
ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ ἐρωτήσει μακρὸν λό-
γον ἀποτείνων, ἐκκρούων τοὺς λόγους, καὶ οὐκ ἐθέ-
λων διδόναι λόγον, ἀλλ' ἀπομηκύνων, ἕως ἂν ἐπι-
λάθωνται περὶ ὅτου τὸ ἐρώτημα ἦν οἱ πολλοὶ τῶν
ἀκουόντων· ἐπεὶ Σωκράτει γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπι-

λήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν. χρὴ γὰρ ἕκαστον τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι. LXVII. Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγῷμαι, Κριτίας ἦν ὁ εἰπών, Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς Πρωταγόρου εἶναι· Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρὸς ὅ, τι ἂν ὁρμήσῃ. ἡμᾶς δὲ οὐδὲν δεῖ ξυμφιλονεικεῖν οὔτε Σωκράτει, οὔτε Πρωταγόρᾳ, ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν. Εἰπόντος δὲ αὐτοῦ ταῦτα, ὁ Πρόδικος, Καλῶς μοι, ἔφη, δοκεῖς λέγειν, ὦ Κριτία. χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον. LXVIII. Ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ ὑμᾶς ξυγχωρεῖν καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν μέν, ἐρίζειν δὲ μή· (ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι᾽ εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις) καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ ξυνουσία γίγνοιτο. ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ᾽ ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε, καὶ οὐκ ἐπαινοῖσθε· εὐδοκιμεῖν μὲν γάρ ἐστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων· ἡμεῖς τ᾽ αὖ οἱ ἀκούοντες μάλιστ᾽ ἂν οὕτως εὐφραινοίμεθα, οὐχ

ἥδοιμεθα· εὐφραίνεσθαι μὲν γάρ ἐστι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ· ἥδεσθαι δὲ ἐσθίοντά τι, ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι. LXIX. Ταῦτα οὖν εἰπόντος τοῦ Προδίκου, πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο. μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ὑμᾶς ξυγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι φύσει, οὐ νόμῳ· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει ξυγγενές ἐστιν· ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν ξυνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. LXX. Ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ξυμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ξυμβῆναι ὑμᾶς, ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν ξυμβιβαζόντων εἰς τὸ μέσον, καὶ μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ἡμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφο-

τέρους τεμεῖν. ὡς οὖν ποιήσετε καὶ πείθεσθέ μοι, ῥαβδοῦχον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθαι, ὃς ὑμῖν φυλάξει τὸ μέτριον μῆκος τῶν λόγων ἑκατέρου. Ταῦτα ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν, καὶ ἐμέ τε ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν, καὶ ἑλέσθαι ἐδέοντο ἐπιστάτην. LXXI. Εἶπον οὖν ἐγώ, ὅτι αἰσχρὸν εἴη βραβευτὴν αἱρεῖσθαι τῷ λόγῳ. εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ αἱρεθεὶς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν· εἴτε ὅμοιος, οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὅμοιος ἡμῖν ὅμοια καὶ ποιήσει· ὥστε ἐκ περιττοῦ αἱρεθήσεται. ἀλλὰ δὴ βελτίονα ἡμῶν αἱρήσεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς ἐγᾦμαι, ἀδύνατον ὑμῖν ὥστε Πρωταγόρου τοῦδε σοφώτερόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε μὲν μηδὲν βελτίω, φήσετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται, ὥσπερ φαύλῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι· ἐπεί, τό γ' ἐμόν, οὐδέν μοι διαφέρει. ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν' ὃ προθυμεῖσθε, ξυνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ βούλεται Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω, ἐγὼ δὲ ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι, ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι· ἐπειδὰν δὲ ἐγὼ ἀποκρίνωμαι, ὅπως ἂν οὗτος βούληται ἐρωτᾶν, πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ, μὴ διαφθείρειν τὴν ξυνουσίαν καὶ οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπιστάτην γενέσθαι,

ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε. LXXII. Ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δὲ ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν, καὶ, ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν λόγον κατὰ σμικρὸν ἀποκρινόμενος. Ἤρξατο οὖν ἐρωτᾶν οὑτωσί πως, Ἡγοῦμαι, ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παιδείας μέγιστον μέρος εἶναι, περὶ ἐπῶν δεινὸν εἶναι· ἔστι δὲ τοῦτο, τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα οἷόν τ᾽ εἶναι ξυνιέναι ἅ τε ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μὲν περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δὲ εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι ἄνδρα ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπόν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον. τοῦτο ἐπίστασαι τὸ ᾆσμα, ἢ πᾶν σοι διεξέλθω; LXXIII. Καὶ ἐγὼ εἶπον ὅτι, Οὐδὲν δεῖ. ἐπίσταμαί τε γὰρ καὶ πάνυ μοι τυγχάνει μεμεληκὸς τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ, ἔφην ἔγωγε, καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ καλῶς, ἦν δ᾽ ἐγώ. Ὅρα δή, ἔφη, βέλτιον. Ἀλλ᾽, ὦ ᾿γαθέ, ἔσκεμμαι ἱκανῶς. Οἶσθα οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που, Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται, καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημέ-

νον· χαλεπὸν φάτο ἐσθλὸν ἔμμεναι. ἐννοεῖς ὅτι ὁ αὐτὸς οὗτος καὶ τάδε λέγει κἀκεῖνα τὰ ἔμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτα ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεταί ἔμοιγε· καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγῃ· Ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ φαίνεται; Πῶς γὰρ ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτα ἀμφότερα λέγων, ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι, ἄνδρα ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταυτὰ λέγοντα ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε, καὶ οὔ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος. καίτοι ὁπότε τὸν ταυτὰ λέγοντα αὑτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν μέμφεται· ὥςτε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει. LXXXV. Εἰπὼν οὖν ταῦτα, πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων· καὶ ἐγὼ τὸ μὲν πρῶτον, ὡςπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ ἰλιγγίασα, εἰπόντος αὐτοῦ ταῦτα, καὶ τῶν ἄλλων ἐπιθορυβησάντων· ἔπειτα (ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ), ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγει ὁ ποιητής, τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην ἐγώ, σός μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σε, ὥςπερ ἔφη Ὅμηρος, τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα, Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί

περ Σχῶμεν. Ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ᾗ τό τε βούλεσθαι καὶ ἐπιθυμεῖν διαιρεῖς, ὡς οὐ ταυτὸν ὄν, καὶ ἃ νῦν δὴ εἶπες, πολλά τε καὶ καλά· καὶ νῦν σκόπει εἰ σοὶ ξυνδοκεῖ ὅπερ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ Σιμωνίδης. σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην· ταυτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο, νὴ Δί', ἔφη ὁ Πρόδικος. **LXXV.** Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀληθείᾳ γενέσθαι, χαλεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἦν δ' ἐγώ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, τὸ αὐτὸ ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο· οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε, τὸ Χαλεπὸν γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι. ἔστι δὲ οὐ ταυτόν, ὦ Πρωταγόρα, ὥς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι. εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς ἑαυτῷ· καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλλοι πολλοί, καθ' Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν, χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηϊδίην δ' ἔπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν, ἐκτῆσθαι. **LXXVI.** Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα, ἐπῄνεσέ με. ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρα-

τες, μεῖζον ἁμάρτημα ἔχει ἢ ὃ ἐπανορθοῖς. Καὶ ἐγὼ εἶπον, Κακὸν ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Ἀλλ' οὕτως ἔχει, ἔφη. Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἂν, ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι, ὅ ἐστι πάντων χαλεπώτατον, ὡς ἅπασι δοκεῖ ἀνθρώποις. LXXVII. Καὶ ἐγὼ εἶπον, Νὴ τὸν Δία, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις Πρόδικος ὅδε. κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου σοφία θεία τις εἶναι πάλαι, ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιοτέρα· σὺ δὲ ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνῃ, οὐχ ὥσπερ ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτουΐ· καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν ὅτι καὶ τὸ χαλεπὸν τοῦτο ἴσως οὐχ οὕτω Σιμωνίδης ὑπέλαβεν ὥσπερ σὺ ὑπολαμβάνεις· ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός με οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλον τινά, λέγω ὅτι Πρωταγόρας σοφὸς καὶ δεινός ἐστιν ἀνήρ, ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ καλῶν· τὸ γὰρ δεινόν, φησί, κακόν ἐστιν· οὐδεὶς γοῦν λέγει ἑκάστοτε, δεινοῦ πλούτου, οὐδὲ δεινῆς εἰρήνης, οὐδὲ δεινῆς ὑγιείας, ἀλλὰ δεινῆς νόσου, καὶ δεινοῦ πολέμου, καὶ δεινῆς πενίας, ὡς τοῦ δεινοῦ κακοῦ ὄντος· ἴσως οὖν καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν ἢ ἄλλο τι ὃ σὺ οὐ μανθάνεις. LXXVIII. Ἐρώμεθα οὖν Πρόδικον· (δίκαιον γὰρ

τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾷν·) Τί ἔλεγεν, ὦ Πρόδικε, τὸ χαλεπὸν Σιμωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ μέμφεται, ἦν δ' ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα, Χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶ κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει, ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἄλλο, ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ ὅτι τὰ ὀνόματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν, ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα, Προδίκου τοῦδε· ἔχεις τι πρὸς ταῦτα λέγειν; Καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε. ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ τὸ κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι, ἀλλὰ παίζειν, καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι εἰ οἷός τ' ἔσῃ τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπόν, κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι θεὸς ἂν μόνος ἔχοι τοῦτο τὸ γέρας. Οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν θεὸν φησὶ μόνον τοῦτο ἂν ἔχειν, καὶ τῷ θεῷ τοῦτο τὸ γέρας ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην ὁ Πρόδικος, καὶ οὐδαμῶς Κεῖον· ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ

σὺ λέγεις, τοῦτο περὶ ἐπῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. LXXX. Ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου ταῦτα λέγοντος, Εἰ σὺ βούλει, ἔφη, ὦ Σώκρατες. ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ καὶ οἱ ἄλλοι. Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἅ γε μοι δοκεῖ περὶ τοῦ ᾄσματος τούτου πειράσομαι ὑμῖν διεξελθεῖν. φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ ἐν Λακεδαίμονι, καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσιν, ἀλλ' ἐξαρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥςπερ οὓς Πρωταγόρας ἔλεγε τοὺς σοφιστάς, ἀλλὰ δοκῶσι τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι· ἡγούμενοι, εἰ γνωσθεῖεν ᾧ περίεισι, πάντας τοῦτο ἀσκήσειν· νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο ἐξηπατήκασι τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυνται, μιμούμενοι αὐτούς, καὶ ἱμάντας περιειλίττονται, καὶ φιλογυμναστοῦσι, καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς ξυγγενέσθαι σοφισταῖς, καὶ ἤδη ἄχθωνται λάθρα ξυγγιγνόμενοι, ξενηλασίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων, καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, ξυγγίγνονται τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους, καὶ αὐτοὶ οὐδένα ἐῶσι τῶν νέων εἰς τὰς ἄλλας πόλεις ἐξιέναι, ὥςπερ οὐδὲ Κρῆτες, ἵνα μὴ ἀπομανθάνωσιν ἃ αὐτοὶ διδάσκουσι. LXXXI. Εἰσὶ δὲ ἐν ταύταις ταῖς πό-

τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτῶν) Τί ἔλεγεν, ὦ Πρόδικε, τὸ χαλεπὸν Σιμωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ᾽ ἄρα καὶ μέμφεται, ἦν δ᾽ ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα, Χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶ κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει, ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἄλλο, ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ ὅτι τὰ ὀνόματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν, ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα, Προδίκου τοῦδε· ἔχεις τι πρὸς ταῦτα λέγειν; Καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε. ἀλλ᾽ ἐγὼ εὖ οἶδ᾽ ὅτι καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ τὸ κακόν, ἀλλ᾽ ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι, ἀλλὰ παίζειν, καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι εἰ οἷός τ᾽ ἔσῃ τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπόν, κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι θεὸς ἂν μόνος ἔχοι τοῦτο τὸ γέρας. Οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν θεόν φησι μόνον τοῦτο ἂν ἔχειν, καὶ τῷ θεῷ τοῦτο τὸ γέρας ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην ὁ Πρόδικος, καὶ οὐδαμῶς Κεῖον· ἀλλ᾽ ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ

σὺ λέγεις, τοῦτο περὶ ἐπῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκού-
σομαι. LXXX. Ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου
ταῦτα λέγοντος, Εἰ σὺ βούλει, ἔφη, ὦ Σώκρατες.
ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ καὶ
οἱ ἄλλοι. Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἅ γε μοι δοκεῖ
περὶ τοῦ ᾄσματος τούτου πειράσομαι ὑμῖν διεξελ-
θεῖν. φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη
τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ ἐν Λακεδαίμονι, καὶ
σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσιν, ἀλλ' ἐξαρνοῦνται
καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι
ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥςπερ οὓς
Πρωταγόρας ἔλεγε τοὺς σοφιστάς, ἀλλὰ δοκῶσι τῷ
μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι· ἡγούμενοι, εἰ γνω-
σθεῖεν ᾧ περίεισι, πάντας τοῦτο ἀσκήσειν· νῦν δὲ
ἀποκρυψάμενοι ἐκεῖνο ἐξηπατήκασι τοὺς ἐν ταῖς
πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυν-
ται, μιμούμενοι αὐτούς, καὶ ἱμάντας περιειλίττον-
ται, καὶ φιλογυμναστοῦσι, καὶ βραχείας ἀναβολὰς
φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων
τοὺς Λακεδαιμονίους. οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν
βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς ξυγγενέσθαι σο-
φισταῖς, καὶ ἤδη ἄχθωνται λάθρα ξυγγιγνόμενοι,
ξενηλασίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων,
καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, ξυγγίγνονται
τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους, καὶ αὐτοὶ
οὐδένα ἐῶσι τῶν νέων εἰς τὰς ἄλλας πόλεις ἐξιέναι,
ὥςπερ οὐδὲ Κρῆτες, ἵνα μὴ ἀπομανθάνωσιν ἃ αὐτοὶ
διδάσκουσι. LXXXI. Εἰσὶ δὲ ἐν ταύταις ταῖς πό-

λεσιν οὐ μόνον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες, ἀλλὰ καὶ γυναῖκες. γνοίητε δ' ἂν ὅτι ἐγὼ ταῦτα ἀληθῆ λέγω, καὶ Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται, ὧδε· εἰ γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ ξυγγενέσθαι, τὰ μὲν πολλὰ ἐν τοῖς λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον· ἔπειτα ὅπου ἂν τύχοι τῶν λεγομένων, ἐνέβαλε ῥῆμα ἄξιον λόγου βραχὺ καὶ ξυνεστραμμένον, ὥςπερ δεινὸς ἀκοντιστής, ὥςτε φαίνεσθαι τὸν προςδιαλεγόμενον παιδὸς μηδὲν βελτίω. τοῦτο οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν, πολὺ μᾶλλόν ἐστι φιλοσοφεῖν ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. LXXXII. *Τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ Πιττακὸς ὁ Μιτυληναῖος, καὶ Βίας ὁ Πριηνεύς, καὶ Σόλων ὁ ἡμέτερος, καὶ Κλεόβουλος ὁ Λίνδιος, καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο ὁ Λακεδαιμόνιος Χίλων. οὗτοι πάντες, ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων παιδείας, καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευτα ἑκάστῳ εἰρημένα. οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς γράψαντες ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, Γνῶθι σαυτόν, καί, Μηδὲν ἄγαν. Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις*

Λακωνική, καὶ δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν, τὸ, Χαλεπὸν ἐσθλὸν ἔμμεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ, ἔγνω ὅτι, εἰ καθέλοι τοῦτο τὸ ῥῆμα, ὥσπερ εὐδοκιμοῦντα ἀθλητὴν, καὶ περιγένοιτο αὐτοῦ, αὐτὸς εὐδοκιμήσειε τοῖς τότε ἀνθρώποις· εἰς τοῦτο οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα τούτῳ ἐπιβουλεύων, κολοῦσαι αὐτὸ ἅπαν τὸ ᾆσμα πεποίηκεν, ὥς μοι φαίνεται. LXXXIII. Ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ πάντες, εἰ ἄρα ἐγὼ ἀληθῆ λέγω. εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ βουλόμενος λέγειν ὅτι ἄνδρα ἀγαθὸν γενέσθαι χαλεπὸν, ἔπειτα ἐνέβαλε τὸ Μέν. τοῦτο γὰρ οὐδὲ πρὸς ἕνα λόγον φαίνεται ἐμβεβλῆσθαι, ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμα ὥσπερ ἐρίζοντα λέγειν τὸν Σιμωνίδην, λέγοντος τοῦ Πιττακοῦ ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, ἀμφισβητοῦντα εἰπεῖν, ὅτι οὔκ, ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἄνδρα ἀγαθόν ἐστιν, ὦ Πιττακέ, καὶ ὡς ἀληθῶς, οὐκ ἀληθείᾳ ἀγαθόν· οὐκ ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν, ὡς ἄρα ὄντων τινῶν, τῶν μὲν ὡς ἀληθῶς ἀγαθῶν, τῶν δὲ ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς· (εὔηθες γὰρ τοῦτό γε φανείη ἄν, καὶ οὐ Σιμωνίδου·) ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι ἐν τῷ ᾄσματι τὸ Ἀληθέως, οὑτωσί πως ὑπειπόντα τὸ τοῦ Πιττακοῦ, ὥσπερ ἂν εἰ θείημεν αὐτὸν λέγοντα τὸν Πιττακόν, καὶ Σιμωνίδην ἀποκρινόμενον· εἰπόντα, Ὦ ἄνθρωποι, χαλεπὸν ἐσθλὸν ἔμμεναι, τὸν δὲ ἀποκρινόμενον ὅτι, Ὦ Πιττακέ, οὐκ ἀληθῆ λέγεις· οὐ

γὰρ εἶναι, ἀλλὰ γενέσθαι μὲν ἐστιν ἄνδρα ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀληθέως· οὕτω φαίνεται τὸ πρὸς λόγον, τὸ *Μὲν* ἐμβεβλημένον καὶ τὸ *Ἀλαθέως* ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον, καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ ὅτι οὕτως εἴρηται. LXXXIV. *Πολλὰ* μὲν γάρ ἐστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων ἀποδεῖξαι ὡς εὖ πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμελημένως ἔχει· ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕτω διελθεῖν· ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν, καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλόν ἔλεγχός ἐστι τοῦ *Πιττακείου* ῥήματος διὰ παντὸς τοῦ ᾄσματος. λέγει γὰρ μετὰ τοῦτο ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι λόγον, ὅτι γενέσθαι μὲν ἄνδρα ἀγαθὸν χαλεπὸν ἀλαθέως· οἷόν τε μέντοι ἐπί γε χρόνον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει, καὶ εἶναι ἄνδρα ἀγαθόν, ὡς σὺ λέγεις, ὦ *Πιττακέ*, ἀδύνατον, καὶ οὐκ ἀνθρώπειον· ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, ἄνδρα δὲ οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι, ὃν ἂν ἀμήχανος ξυμφορὰ καθέλῃ. LXXXV. *Τίνα* οὖν ἀμήχανος ξυμφορὰ καθαιρεῖ ἐν πλοίου ἀρχῇ; δηλονότι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθήρηται. ὥσπερ οὖν οὐ τὸν κείμενον τις ἂν καταβάλοι, ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε καταβάλοι ἄν τις, ὥστε κείμενον ποιῆσαι, τὸν δὲ κείμενον, οὔ· οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτὲ ἀμήχανος ἂν ξυμφορὰ καθέλοι, τὸν δὲ ἀεὶ ἀμήχανον ὄντα, οὔ· καὶ τὸν κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειε, καὶ

γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσα ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταυτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι· (ὥςπερ καὶ παρ᾽ ἄλλου ποιητοῦ μαρτυρεῖται, τοῦ εἰπόντος, Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ᾽ ἐσθλός·) τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι, ἀλλ᾽ ἀεὶ εἶναι ἀνάγκη. ὥςτε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμήχανος ξυμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν εἶναι· σὺ δὲ φῄς, ὦ Πιττακέ, χαλεπὸν ἐσθλὸν ἔμμεναι, τὸ δ᾽ ἐστὶ γενέσθαι μὲν χαλεπόν, δυνατὸν δέ· ἐσθλὸν δ᾽ ἔμμεναι ἀδύνατον. LXXXVI. Πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός, κακὸς δ᾽, εἰ κακῶς. τίς οὖν εἰς γράμματα ἀγαθὴ πρᾶξίς ἐστι; καὶ τίς ἄνδρα ἀγαθὸν ποιεῖ εἰς γράμματα; δῆλον ὅτι ἡ τούτων μάθησις. τίς δὲ εὐπραγία ἀγαθὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις. κακὸς δὲ κακῶς. τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ. οὗτος γὰρ ἂν καὶ κακὸς γένοιτο. ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται, οὐκ ἄν ποτε γενοίμεθα, κακῶς πράξαντες, οὔτε ἰατροί, οὔτε τέκτονες, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων. ὅςτις δὲ μὴ ἰατρὸς ἂν γένοιτο, κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ γένοιτ᾽ ἄν ποτε καὶ κακός, ἢ ὑπὸ χρόνου, ἢ ὑπὸ πόνου, ἢ ὑπὸ νόσου, ἢ ὑπὸ ἄλλου τινὸς περιπτώματος· (αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι·) ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· (ἔστι γὰρ ἀεί·) ἀλλ᾽ εἰ μέλ-

γάρ εἶναι, ἀλλὰ γενέσθαι μὲν ἐστιν ἄνδρα ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀληθέως: οὕτω φαίνεται τὸ πρὸς λόγον, τὸ Μὲν ἐμβεβλημένον καὶ τὸ Ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον, καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ ὅτι οὕτως εἴρηται. LXXXIV. Πολλὰ μὲν γάρ ἐστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων ἀποδεῖξαι ὡς εὖ πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμελημένως ἔχει· ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕτω διελθεῖν· ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν, καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλόν ἔλεγχός ἐστι τοῦ Πιττακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος. λέγει γὰρ μετὰ τοῦτο ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι λόγον, ὅτι γενέσθαι μὲν ἄνδρα ἀγαθὸν χαλεπὸν ἀλαθέως· οἷόν τε μέντοι ἐπί γε χρόνον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει, καὶ εἶναι ἄνδρα ἀγαθόν, ὡς σὺ λέγεις, ὦ Πιττακέ, ἀδύνατον, καὶ οὐκ ἀνθρώπειον· ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, ἄνδρα δὲ οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι, ὃν ἂν ἀμήχανος ξυμφορὰ καθέλῃ. LXXXV. Τίνα οὖν ἀμήχανος ξυμφορὰ καθαιρεῖ ἐν πλοίου ἀρχῇ; δηλονότι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθῄρηται. ὥσπερ οὖν οὐ τὸν κείμενον τις ἂν καταβάλοι, ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε καταβάλοι ἄν τις, ὥστε κείμενον ποιῆσαι, τὸν δὲ κείμενον, οὔ· οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτὲ ἀμήχανος ἂν ξυμφορὰ καθέλοι, τὸν δὲ ἀεὶ ἀμήχανον ὄντα, οὔ· καὶ τὸν κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειε, καὶ

γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσα ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταὐτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι· (ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ μαρτυρεῖται, τοῦ εἰπόντος, *Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός*·) τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι, ἀλλ' ἀεὶ εἶναι ἀνάγκη. ὥστε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμήχανος ξυμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν εἶναι· σὺ δὲ φῄς, ὦ *Πιττακέ*, χαλεπὸν ἐσθλὸν ἔμμεναι, τὸ δ' ἐστὶ γενέσθαι μὲν χαλεπόν, δυνατὸν δέ· ἐσθλὸν δ' ἔμμεναι ἀδύνατον. LXXXVI. *Πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός, κακὸς δ', εἰ κακῶς.* τίς οὖν εἰς γράμματα ἀγαθὴ πρᾶξίς ἐστι; καὶ τίς ἄνδρα ἀγαθὸν ποιεῖ εἰς γράμματα; δῆλον ὅτι ἡ τούτων μάθησις. τίς δὲ εὐπραγία ἀγαθὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις. κακὸς δὲ κακῶς. τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ. οὗτος γὰρ ἂν καὶ κακὸς γένοιτο. ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται, οὐκ ἄν ποτε γενοίμεθα, κακῶς πράξαντες, οὔτε ἰατροί, οὔτε τέκτονες, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων. ὅστις δὲ μὴ ἰατρὸς ἂν γένοιτο, κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ γένοιτ' ἄν ποτε καὶ κακός, ἢ ὑπὸ χρόνου, ἢ ὑπὸ πόνου, ἢ ὑπὸ νόσου, ἢ ὑπὸ ἄλλου τινὸς περιπτώματος· (αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι·) ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· (ἔστι γὰρ ἀεί·) ἀλλ' εἰ μέλ-

λει κακὸς γενέσθαι, δεῖ αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι. ὥστε καὶ τοῦτο τοῦ ᾄσματος πρὸς τοῦτό τείνει, ὅτι εἶναι μὲν ἄνδρα ἀγαθὸν οὐχ οἷόν τε, διατελοῦντα ἀγαθόν· γενέσθαι δὲ ἀγαθὸν οἷόν τε, καὶ κακόν γε τὸν αὐτὸν τοῦτον. ἐπιπλεῖστον δὲ καὶ ἄριστοί εἰσιν οὓς ἂν οἱ θεοὶ φιλῶσι. LXXXVII. Ταῦτά τε οὖν πάντα πρὸς τὸν Πιττακὸν εἴρηται, καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλλον δηλοῖ. φησὶ γάρ· Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν διζήμενος, κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω, πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός. ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω, φησίν· οὕτω σφόδρα καὶ δι' ὅλου τοῦ ᾄσματος ἐπεξέρχεται τῷ τοῦ Πιττακοῦ ῥήματι. πάντας δὲ ἐπαίνημι, καὶ φιλέω ἑκὼν ὅςτις ἔρδῃ μηδὲν αἰσχρόν· ἀνάγκῃ δὲ οὐδὲ θεοὶ μάχονται. καὶ τοῦτ' ἔστι πρὸς τὸ αὐτὸ τοῦτο εἰρημένον. οὐ γὰρ οὕτως ἀπαίδευτος ἦν Σιμωνίδης, ὥστε τούτους φάναι ἐπαινεῖν, ὃς ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ· ὡς ὄντων τινῶν οἳ ἑκόντες κακὰ ποιοῦσιν. ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτάνειν, οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι, ἀλλ' εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες, ἄκοντες ποιοῦσι. LXXXVIII. Καὶ δὴ καὶ ὁ Σιμωνίδης, οὐχ ὃς ἂν μὴ κακὰ ποιῇ ἑκών, τούτου φησὶν ἐπαινέτης εἶναι, ἀλλὰ περὶ ἑαυτοῦ λέγει τοῦτο τὸ Ἑκών· ἡγεῖτο γὰρ ἄνδρα καλὸν κἀγαθὸν πολλάκις αὐτὸν ἐπαναγκάζειν φίλον τινὰ

γίγνεσθαι, καὶ ἐπαινέτην· οἷον, ἀνδρὶ πολλάκις ξυμβῆναι μητέρα ἢ πατέρα ἀλλόκοτον, ἢ πατρίδα, ἢ ἄλλο τι τῶν τοιούτων· τοὺς μὲν οὖν πονηρούς, ὅταν τι τοιοῦτον αὐτοῖς ξυμβῇ, ὥσπερ ἀσμένους ὁρᾷν, καὶ ψέγοντας ἐπιδεικνύναι καὶ κατηγορεῖν τὴν πονηρίαν τῶν γονέων, ἢ πατρίδος, ἵνα αὐτοῖς ἀμελοῦσιν αὐτῶν μὴ ἐγκαλῶσιν οἱ ἄνθρωποι, μηδ᾽ ὀνειδίζωσιν ὅτι ἀμελοῦσιν, ὥστε ἔτι μᾶλλον ψέγειν τε αὐτοὺς καὶ ἔχθρας ἑκουσίους πρὸς ταῖς ἀναγκαίαις προςτίθεσθαι· τοὺς δ᾽ ἀγαθοὺς ἐπικρύπτεσθαί τε καὶ ἐπαινεῖν ἀναγκάζεσθαι, καὶ, ἄν τι ὀργισθῶσι τοῖς γονεῦσιν ἢ πατρίδι ἀδικηθέντες, αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι καὶ διαλλάττεσθαι, προςαναγκάζοντας ἑαυτοὺς φιλεῖν τοὺς ἑαυτῶν καὶ ἐπαινεῖν. πολλάκις δὲ, οἶμαι, καὶ Σιμωνίδης ἡγήσατο καὶ αὐτὸς ἢ τύραννον ἢ ἄλλον τινὰ τῶν τοιούτων ἐπαινέσαι καὶ ἐγκωμιάσαι, οὐχ ἑκών, ἀλλ᾽ ἀναγκαζόμενος.

LXXXIX. Ταῦτα δὴ καὶ τῷ Πιττακῷ λέγει ὅτι, Ἐγώ, ὦ Πιττακέ, οὐ διὰ ταῦτά σε ψέγω ὅτι εἰμὶ φιλόψογος· ἐπεὶ ἔμοιγε ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ, μηδ᾽ ἄγαν ἀπάλαμνος, εἰδώς γ᾽ ὀνήσει πόλιν δίκαν ὑγιὴς ἀνήρ. οὐ μιν ἐγὼ μωμήσομαι· οὐ γάρ εἰμι φιλόμωμος. τῶν γὰρ ἠλιθίων ἄπειρα γένεθλα· ὥστ᾽ εἴ τις χαίρει ψέγων, ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος. πάντα τοι καλά, τοῖσί τ᾽ αἰσχρὰ μὴ μέμικται. Οὐ τοῦτο λέγει, ὥσπερ ἂν εἰ ἔλεγε, πάντα τοι λευκά, οἷς μέλανα μὴ μέμικται (γελοῖον γὰρ ἂν εἴη πολλαχῇ), ἀλλ᾽ ὅτι αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται, ὥστε μὴ ψέγειν.

καὶ οὐ ζητῶ, ἔφη, πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός. ἔπειθ᾽ ὑμῖν εὑρὼν ἀπαγγελέω. ὥςτε τούτου γ᾽ ἕνεκα οὐδένα ἐπαινέσομαι, ἀλλά μοι ἐξαρκεῖ ἂν ᾖ μέσος, καὶ μηδὲν κακὸν ποιῇ. ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαίνημι· καὶ τῇ φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν Μιτυληναίων, ὡς πρὸς Πιττακὸν λέγων τὸ Πάντας δὲ ἐπαίνημι καὶ φιλέω ἑκών, (ἐνταῦθα δεῖ ἐν τῷ Ἑκὼν διαλαβεῖν, λέγοντα,) ὅςτις ἕρδῃ μηδὲν αἰσχρόν· ἄκων δ᾽ ἐστὶν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. σὲ οὖν, καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ Πιττακέ, οὐκ ἄν ποτε ἔψεγον· νῦν δέ, σφόδρα γὰρ καὶ περὶ τῶν μεγίστων ψευδόμενος, δοκεῖς ἀληθῆ λέγειν, διὰ ταῦτά σε ἐγὼ ψέγω. XC. Ταῦτά μοι δοκεῖ, ὦ Πρόδικε καὶ Πρωταγόρα, ἦν δ᾽ ἐγώ, Σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ ᾆσμα. Καὶ ὁ Ἱππίας, Εὖ μέν μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, καὶ σὺ περὶ τοῦ ᾄσματος διεληλυθέναι· ἔστι μέντοι, ἔφη, καὶ ἐμοὶ λόγος περὶ αὐτοῦ εὖ ἔχων, ὃν ὑμῖν ἐπιδείξω, ἂν βούλησθε. Καὶ ὁ Ἀλκιβιάδης, Ναί, ἔφη, ὦ Ἱππία, εἰςαῦθίς γε· νῦν δὲ δίκαιόν ἐστιν ἃ ὡμολογησάτην πρὸς ἀλλήλω Πρωταγόρας καὶ Σωκράτης, Πρωταγόρας μὲν εἰ ἔτι βούλεται ἐρωτᾷν, ἀποκρίνεσθαι Σωκράτη, εἰ δὲ δὴ βούλεται Σωκράτει ἀποκρίνεσθαι, ἐρωτᾷν τὸν ἕτερον. XCI. Καὶ ἐγὼ εἶπον, Ἐπιτρέπω μὲν ἔγωγε Πρωταγόρᾳ ὁπότερον αὐτῷ ἥδιον· εἰ δὲ βούλεται, περὶ μὲν ᾀσμάτων τε καὶ ἐπῶν ἐάσωμεν· περὶ δὲ ὧν τὸ πρῶτον ἐγώ σε ἠρώτησα, ὦ Πρωταγόρα, ἡδέως ἂν

ἐπὶ τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος. καὶ γάρ δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς ξυμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων. καὶ γὰρ οὗτοι, διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν ξυνεῖναι ἐν τῷ πότῳ, μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν, ὑπὸ ἀπαιδευσίας, τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις ξύνεισιν. ὅπου δὲ καλοὶ κἀγαθοὶ ξυμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας, οὔτε ὀρχηστρίδας, οὔτε ψαλτρίας, ἀλλὰ αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας ξυνεῖναι, ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων, διὰ τῆς αὑτῶν φωνῆς λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσιν. XCII. Οὕτω δὲ καὶ αἱ τοιαίδε ξυνουσίαι ἐὰν μὲν λάβωνται ἀνδρῶν οἷοίπερ ἡμῶν οἱ πολλοί φασιν εἶναι, οὐδὲν δέονται ἀλλοτρίας φωνῆς, οὐδὲ ποιητῶν, οὓς οὔτε ἀνέρεσθαι οἷόντ' ἐστὶ περὶ ὧν λέγουσιν, ἐπαγόμενοί τε αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις, οἱ μὲν ταῦτά φασι τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα περὶ πράγματος διαλεγόμενοι ἀδυνατοῦσιν ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας ξυνουσίας ἐῶσι χαίρειν, αὐτοὶ δ' ἑαυτοῖς ξύνεισι, δι' ἑαυτῶν, ἐν τοῖς ἑαυτῶν λόγοις πεῖραν ἀλλήλων λαμβάνοντες καὶ διδόντες. τοὺς τοιούτους μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σέ, καταθεμένους τοὺς ποιητάς, αὐτοὺς δι' ἡμῶν αὐτῶν πρὸς ἀλλήλους τοὺς λόγους ποιεῖσθαι, τῆς

ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν λαμβάνοντας· κἂν μὲν βούλῃ ἔτι ἐρωτᾶν, ἕτοιμός εἰμί σοι παρέχειν ἀποκρινόμενος· ἐὰν δὲ βούλῃ, σὺ ἐμοὶ πάρασχε, περὶ ὧν μεταξὺ ἐπαυσάμεθα διεξιόντες, τούτοις τέλος ἐπιθεῖναι. XCIII. Λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτα ἄλλα, οὐδὲν ἀπεσάφει ὁ Πρωταγόρας ὁπότερα ποιήσοι. εἶπεν οὖν ὁ Ἀλκιβιάδης, πρὸς τὸν Καλλίαν βλέψας, Ὦ Καλλία, δοκεῖ σοι, ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων, εἴτε δώσει λόγον εἴτε μή, διασαφεῖν; ἐμοὶ γὰρ οὐ δοκεῖ· ἀλλ' ἤτοι διαλεγέσθω, ἢ εἰπέτω, ὅτι οὐκ ἐθέλει διαλέγεσθαι, ἵνα τούτῳ μὲν ταῦτα ξυνειδῶμεν, Σωκράτης δὲ ἄλλῳ τῳ διαλέγηται, ἢ ἄλλος ὅστις ἂν βούληται ἄλλῳ. Καὶ ὁ Πρωταγόρας αἰσχυνθείς, ὥς γέ μοι ἔδοξε, τοῦ τε Ἀλκιβιάδου ταῦτα λέγοντος, καὶ τοῦ Καλλίου δεομένου, καὶ τῶν ἄλλων σχεδόν τι τῶν παρόντων, μόγις προὐτρέπετο εἰς τὸ διαλέγεσθαι καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς ἀποκρινούμενος. XCIV. Εἶπον δὴ ἐγώ, Ὦ Πρωταγόρα, μὴ οἴου διαλέγεσθαί με σοι ἄλλο τι βουλόμενον ἤ, ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε, ταῦτα διασκέψασθαι. ἡγοῦμαι γὰρ πάνυ λέγειν τι τὸν Ὅμηρον τό, Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν· εὐπορώτεροι γάρ πως ἅπαντές ἐσμεν οἱ ἄνθρωποι πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα· μοῦνος δ' εἴπερ τε νοήσῃ, αὐτίκα περιϊὼν ζητεῖ ὅτῳ ἐπιδείξηται καὶ μεθ' ὅτου βεβαιώσηται, ἕως ἂν ἐντύχῃ. ὥσπερ καὶ ἐγὼ ἕνεκα τούτου σοι ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί, ἡγούμενός σε βέλτιστ'

ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων, περὶ ὧν εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ περὶ ἀρετῆς. τίνα γὰρ ἄλλον ἢ σέ; ὅςγε οὐ μόνον αὐτὸς οἴει καλὸς κἀγαθὸς εἶναι, ὥςπερ τινὲς ἄλλοι αὐτοὶ μὲν ἐπιεικεῖς εἰσιν, ἄλλους δὲ οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ αὐτὸς ἀγαθὸς εἶ, καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς· καὶ οὕτω πεπίστευκας σαυτῷ, ὥςτε καί, ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτομένων, σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος, εἰς πάντας τοὺς Ἕλληνας σοφιστὴν ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι. XCV. Πῶς οὖν οὐ σὲ χρὴ παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν, καὶ ἐρωτᾶν, καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὔ· καὶ νῦν δὴ ἐγὼ ἐκεῖνα ἅπερ τοπρῶτον ἠρώτων περὶ τούτων, πάλιν ἐπιθυμῶ ἐξαρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ σοῦ, τὰ δὲ ξυνδιασκέψασθαι. Ἦν δέ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα τόδε· σοφία καὶ σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ ὁσιότης, πότερον ταῦτα, πέντε ὄντα ὀνόματα, ἐπὶ ἑνὶ πράγματί ἐστιν, ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία, καὶ πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον, οὐκ ὂν οἷον τὸ ἕτερον αὐτῶν τὸ ἕτερον. ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι, ἀλλὰ ἕκαστον ἰδίῳ πράγματι τῶν ὀνομάτων τούτων ἐπικεῖσθαι· πάντα δὲ ταῦτα, μόρια εἶναι ἀρετῆς, οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρια ὅμοιά ἐστιν ἀλλήλοις, καὶ τῷ ὅλῳ, οὗ μόριά ἐστιν, ἀλλ' ὡς τὰ τοῦ προςώπου μόρια, καὶ τῷ ὅλῳ, οὗ

μόριά ἐστιν, καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστα δύναμιν ἔχοντα. ταῦτα εἰ μέν σοι ἔτι δοκεῖ ὥςπερ τότε, φάθι· εἰ δὲ ἄλλως πως, τοῦτο διόρισαι· ὡς ἔγωγε οὐδέν σοι ὑπόλογον τίθεμαι, ἐάν πη ἄλλῃ νῦν φήσῃς· οὐ γὰρ ἂν θαυμάζοιμι εἰ τότε ἀποπειρώμενός μου ταῦτα ἔλεγες. XCVI. Ἀλλ' ἐγώ σοι, ἔφη, λέγω, ὦ Σώκρατες, ὅτι ταῦτα πάντα, μόρια μέν ἐστιν ἀρετῆς, καὶ τὰ μὲν τέτταρα αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστίν, ἡ δὲ ἀνδρία πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν ὄντας, καὶ ἀνοσιωτάτους, καὶ ἀκολαστοτάτους, καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δὲ διαφερόντως. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις· πότερον τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις, ἢ ἄλλο τι; Καὶ ἴτας γε, ἔφη, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν ἀρετὴν καλόν τι φῂς εἶναι; καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη, εἰ μὴ μαίνομαί γε. XCVII. Πότερον οὖν, ἦν δ' ἐγώ, τὸ μέν τι αὐτοῦ, αἰσχρόν, τὸ δέ τι, καλόν, ἢ ὅλον καλόν; Ὅλον που καλὸν ὡς οἷόν τε μάλιστα. Οἶσθα οὖν, τίνες εἰς τὰ φρέατα κολυμβῶσι θαῤῥαλέως; Ἔγωγε ὅτι οἱ κολυμβηταί. Πότερον διότι ἐπίστανται, ἢ δι' ἄλλο τι; Ὅτι ἐπίστανται. Τίνες δὲ ἀπὸ τῶν ἵππων πολεμεῖν θαῤῥαλέοι εἰσί; πότερον οἱ ἱππικοὶ ἢ οἱ ἄφιπποι; Οἱ ἱππικοί. Τίνες δὲ πέλτας ἔχοντες; οἱ πελταστικοὶ ἢ οἱ μή; Οἱ πελταστικοί. καὶ τὰ ἄλλα

γε πάντα, εἰ τοῦτο ζητεῖς, ἔφη, οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαῤῥαλεώτεροί εἰσι, καὶ αὐτοὶ ἑαυτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν. XCVIII. Ἤδη δέ τινας ἑώρακας, ἔφην, πάντων τούτων ἀνεπιστήμονας ὄντας, θαῤῥοῦντας δὲ πρὸς ἕκαστα τούτων; Ἔγωγε, ἦ δ᾽ ὅς, καὶ λίαν γε θαῤῥοῦντας. Οὐκοῦν οἱ θαῤῥαλέοι οὗτοι καὶ ἀνδρεῖοί εἰσιν; Αἰσχρὸν μέντ᾽ ἄν, ἔφη, εἴη ἡ ἀνδρία· ἐπεὶ οὗτοί γε μαινόμενοί εἰσι. Πῶς οὖν, ἔφην ἐγώ, λέγεις τοὺς ἀνδρείους; οὐχὶ τοὺς θαῤῥαλέους εἶναι; Καὶ νῦν γ᾽, ἔφη. Οὐκοῦν οὗτοι, ἦν δ᾽ ἐγώ, οἱ οὕτω θαῤῥαλέοι ὄντες, οὐκ ἀνδρεῖοι ἀλλὰ μαινόμενοι φαίνονται; καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ θαῤῥαλεώτατοί εἰσι, θαῤῥαλεώτατοι δὲ ὄντες ἀνδρειότατοι; καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρία εἴη; XCIX. Οὐ καλῶς, ἔφη, μνημονεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε καὶ ἀπεκρινόμην σοι. ἔγωγε ἐρωτηθεὶς ὑπὸ σοῦ, εἰ οἱ ἀνδρεῖοι θαῤῥαλέοι εἰσίν, ὡμολόγησα· εἰ δὲ καὶ οἱ θαῤῥαλέοι ἀνδρεῖοι, οὐκ ἠρωτήθην. εἰ γάρ με τοῦτο ἤρου, εἶπον ἂν ὅτι οὐ πάντες. τοὺς δὲ ἀνδρείους ὡς οὐ θαῤῥαλέοι εἰσί, τὸ ἐμὸν ὁμολόγημα οὐδαμοῦ ἐπέδειξας ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς ἐπισταμένους αὐτοὺς ἑαυτῶν θαῤῥαλεωτέρους ὄντας ἀποφαίνεις καὶ μὴ ἐπισταμένων ἄλλων, καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρίαν καὶ τὴν σοφίαν ταυτὸν εἶναι. τούτῳ δὲ τῷ τρόπῳ μετιὼν καὶ τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν ἔροιό με εἰ οἱ ἰσχυροὶ δυνατοί εἰσι, φαίην

ἄν· ἔπειτα, εἰ οἱ ἐπιστάμενοι παλαίειν, δυνατώτεροί εἰσι τῶν μὴ ἐπισταμένων παλαίειν καὶ αὐτοὶ αὐτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν· φαίην ἄν. C. Ταῦτα δὲ ἐμοῦ ὁμολογήσαντος, ἐξείη ἄν σοι χρωμένῳ τοῖς αὐτοῖς τεκμηρίοις τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα ὁμολογῶ τους δυνατοὺς ἰσχυροὺς εἶναι· τοὺς μέντοι ἰσχυροὺς δυνατούς· οὐ γὰρ ταυτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστήμης γίγνεσθαι τὴν δύναμιν, καὶ ἀπὸ μανίας γε καὶ ἀπὸ θυμοῦ· ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταυτὸν εἶναι θάρσος τε καὶ ἀνδρίαν· ὥςτε ξυμβαίνειν τοὺς μὲν ἀνδρείους θαῤῥαλέους εἶναι· μὴ μέντοι τούς γε θαῤῥαλέους ἀνδρείους πάντας. θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μανίας, ὥςπερ ἡ δύναμις· ἀνδρία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. CI. Λέγεις δέ τινας, ἔφην, ὦ Πρωταγόρα, τῶν ἀνθρώπων εὖ ζῆν, τοὺς δὲ κακῶς; Ἔφη. Ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζῴη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκεῖ οὕτως βεβιωκέναι; Ἔμοιγ', ἔφη. Τὸ μὲν ἄρα ἡδέως ζῆν, ἀγαθόν, τὸ δ' ἀηδῶς, κακόν. Εἴπερ τοῖς καλοῖς γ', ἔφη, ζῴη ἡδόμενος. Τί δή, ὦ Πρωταγόρα, μὴ καὶ σύ, ὥςπερ οἱ πολλοί, ἡδέα ἄττα καλεῖς κακά, καὶ ἀνιαρὰ ἀγαθά; Ἔγωγε. Οἷον λέγεις; καθ' ὃ ἡδέα

ἐστίν, ἆρα κατὰ τοῦτο οὐκ ἀγαθά, εἰ μή τι ἀπ᾽ αὐτῶν ἀποβήσεται ἄλλο, καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡσαύτως οὕτως οὔ, καθόσον ἀνιαρά, κακά; Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστίν, ὡς τὰ ἡδέα τε ἀγαθά ἐστιν ἅπαντα, καὶ τὰ ἀνιαρὰ κακά, ἀλλά μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστερον εἶναι ἀποκρίνεσθαι, ἀλλὰ καὶ πρὸς πάντα τὸν ἄλλον βίον τὸν ἐμόν, ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά, ἔστι δ᾽ αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά, ἔστι δ᾽ ἃ ἔστι· καὶ τρίτον, ἃ οὐδέτερα, οὔτε κακὰ οὔτ᾽ ἀγαθά. CII. Ἡδέα δὲ καλεῖς, ἦν δ᾽ ἐγώ, οὐ τὰ ἡδονῆς μετέχοντα, ἢ ποιοῦντα ἡδονήν; Πάνυ γ᾽, ἔφη. Τοῦτο τοίνυν λέγω, καθόσον ἡδέα ἐστίν, εἰ οὐκ ἀγαθά, τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν. Ὥσπερ σὺ λέγεις, ἔφη, ἑκάστοτε, ὦ Σώκρατες, σκοπώμεθα αὐτό· καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα, καὶ τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν, ξυγχωρησόμεθα· εἰ δὲ μή, τότε ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ᾽ ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως, ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου. CIII. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, τῇδέ πῃ καταφανὲς ἂν ἡμῖν γένοιτο; ὥσπερ εἴ τις ἄνθρωπον σκοπῶν ἐκ τοῦ εἴδους, ἢ πρὸς ὑγίειαν, ἢ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας, εἴποι, Ἴθι δή μοι ἀποκαλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρενον ἐπίδειξον, ἵνα ἐπισκέψω-

μαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι πεθῶ πρὸς τὴν σκέψιν· θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθὸν καὶ τὸ ἡδὺ, ὡς φῄς, δέομαι τοιοῦτόν τι εἰπεῖν, Ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ τόδε τῆς διανοίας ἀποκάλυψον, πῶς ἔχεις πρὸς ἐπιστήμην· πότερον καὶ τοῦτό σοι δοκεῖ ὥςπερ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τι· οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι, οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται, ἀλλ', ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης, οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν, ἀλλ' ἄλλο τι, τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονήν, τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστήμης, ὥςπερ περὶ ἀνδραπόδου, περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ' οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ, ἢ καλόν τε εἶναι ἡ ἐπιστήμη, καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου; καὶ ἐάν περ γιγνώσκῃ τὶς τἀγαθὰ καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός, ὥςτε ἄλλ' ἄττα πράττειν ἢ ἃ ἂν ἐπιστήμη κελεύοι, ἀλλ' ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; CIV. Καὶ δοκεῖ, ἔφη, ὥςπερ σὺ λέγεις, ὦ Σώκρατες, καὶ ἅμα, εἴπερ τῳ ἄλλῳ, αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Καλῶς γε, ἔφην ἐγώ, σὺ λέγων καὶ ἀληθῆ. οἶςθα οὖν ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται, ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράτ-

τειν, ἐξὸν αὐτοῖς, ἀλλὰ ἄλλα πράττειν· καὶ ὅσους δὴ ἐγὼ ἠρόμην ὅ, τι ποτὲ αἴτιόν ἐστι τούτου, ὑπὸ ἡδονῆς φασιν ἡττωμένους ἢ λύπης, ἢ ὧν νῦν δὴ ἐγὼ ἔλεγον ὑπό τινος τούτων κρατουμένους, ταῦτα ποιεῖν τοὺς ποιοῦντας. Πολλὰ γὰρ οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλα οὐκ ὀρθῶς λέγουσιν οἱ ἄνθρωποι. Ἴθι δὴ μετ᾽ ἐμοῦ ἐπιχείρησον πείθειν τοὺς ἀνθρώπους καὶ διδάσκειν ὅ ἐστιν αὐτοῖς τοῦτο τὸ πάθος, ὅ φασιν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν διὰ ταῦτα τὰ βέλτιστα· ἐπεὶ γιγνώσκειν γε αὐτά. ἴσως γὰρ ἂν λεγόντων ἡμῶν ὅτι, Οὐκ ὀρθῶς λέγετε, ὦ ἄνθρωποι, ἀλλὰ ψεύδεσθε· ἔροιντ᾽ ἂν ἡμᾶς, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα, ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ᾽ ἐστί, καὶ τί ὑμεῖς αὐτὸ φατὲ εἶναι, εἴπατον ἡμῖν. Τί δέ, ὦ Σώκρατες, δεῖ ἡμᾶς σκοπεῖσθαι τὴν τῶν πολλῶν δόξαν ἀνθρώπων, οἳ ὅ, τι ἂν τύχωσι, τοῦτο λέγουσιν; CV. Οἶμαι, ἦν δ᾽ ἐγώ, εἶναί τι ἡμῖν τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρίας πρὸς τἄλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ᾽ ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν, ἐμὲ ἡγήσασθαι, ᾗ οἶμαι ἂν ἔγωγε κάλλιστα φανερὸν γενέσθαι, ἕπου· εἰ δὲ μὴ βούλει, εἴ σοι φίλον, ἐῶ χαίρειν. Ἀλλ᾽, ἔφη, ὀρθῶς λέγεις· καὶ πέραινε ὥσπερ ἤρξω. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἰ ἔροιντο ἡμᾶς, Τί οὖν φατὲ τοῦτο εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγομεν; εἴποιμ᾽ ἂν ἔγωγε πρὸς αὐτοὺς ὡδί· Ἀκούετε δή· πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας φράσαι. ἄλλο τι γάρ,

ὦ ἄνθρωποι, φατὲ ὑμῖν τοῦτο γίγνεσθαι ἐν τοῖσδε, οἷον, πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων κρατούμενοι, ἡδέων ὄντων, γιγνώσκοντες ὅτι πονηρά ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. CVI. Οὐκοῦν ἐροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν, Πονηρὰ δὲ αὐτὰ πῇ φατε εἶναι; πότερον ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆμα παρέχει, καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας, καὶ ἄλλα τοιαῦτα πολλὰ παρασκευάζει; ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζῃ, χαίρειν δ' ὅμως ποιεῖ; τὸ δ' ἁμαρτόντα χαίρειν τοῦ κακοῦ πρινὴ εἴη ἄν; ἆρ' οἰόμεθα ἂν αὐτούς, ὦ Πρωταγόρα, ἄλλο τι ἀποκρίνασθαι, ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς τῆς παραχρῆμα ἐργασίαν κακά ἐστιν, ἀλλὰ διὰ τὰ ὕστερον γιγνόμενα, νόσους τε καὶ τἆλλα. ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνασθαι. Οὐκοῦν νόσους ποιοῦντα, ἀνίας ποιεῖ, καὶ πενίας ποιοῦντα, ἀνίας ποιεῖ; Ὁμολογοῖεν ἄν, ὡς ἐγῷμαι. Ξυνέφη ὁ Πρωταγόρας. CVII. Οὐκοῦν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὥς φαμεν ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα, ἢ διότι εἰς ἀνίας τε ἀποτελευτᾷ καὶ ἄλλων ἡδονῶν ἀποστερεῖ; Ὁμολογοῖεν ἄν. Ξυνεδόκει ἡμῖν ἀμφοῖν. Οὐκοῦν πάλιν ἂν αὐτοὺς τὸ ἐναντίον εἰ ἐροίμεθα, Ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι, ἆρα οὐ τὰ τοιάδε λέγετε, οἷον τά τε γυμνάσια, καὶ τὰς στρατείας, καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας, τὰς

διὰ τῶν καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας, ὅτι ταῦτα ἀγαθὰ μὲν ἐστιν, ἀνιαρὰ δέ; φαῖεν ἄν. Ξυνεδόκει. Πότερον οὖν κατὰ τόδε ἀγαθὰ αὐτὰ καλεῖτε, ὅτι ἐν τῷ παραχρῆμα ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγιεῖαί τε ἀπ' αὐτῶν γίγνονται, καὶ εὐεξίαι τῶν σωμάτων, καὶ τῶν πόλεων σωτηρία, καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι; φαῖεν ἄν, ὡς ἐγῷμαι. Ξυνεδόκει. CVIII. Ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλο τι, ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ, καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν, εἰς ὃ ἀποβλέψαντες αὐτὰ ἀγαθὰ καλεῖτε, ἀλλ' ἢ ἡδονάς τε καὶ λύπας; οὐκ ἂν φαῖεν, ὡς ἐγῷμαι. Οὐδ' ἐμοὶ δοκεῖ, ἔφη ὁ Πρωταγόρας. Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε, ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς κακόν; Ξυνεδόκει. Τοῦτ' ἄρα ἡγεῖσθ' εἶναι κακόν, τὴν λύπην, καὶ ἀγαθὸν τὴν ἡδονήν· ἐπεὶ καὶ αὐτὸ τὸ χαίρειν τότε λέγετε κακὸν εἶναι, ὅταν μειζόνων ἡδονῶν ἀποστερῇ ἢ ὅσας αὐτὸ ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν. ἐπεὶ εἰ κατ' ἄλλο τι αὐτὸ τὸ χαίρειν κακὸν καλεῖτε, καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες, ἔχοιτε ἂν καὶ ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Οὐδ' ἐμοὶ δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. CIX. Ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος; τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ὅταν ἢ μείζους λύπας τῶν ἐν αὐτῷ οὐσῶν ἀπαλλάττῃ, ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρὸς ἄλλο τι τέλος ἀποβλέ-

πετε, ὅταν καλῆτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχετε ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἴ με ἀνέροισθε, ὦ ἄνθρωποι, Τίνος οὖν δή ποτε ἕνεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῆ; ξυγγιγνώσκετέ μοι, φαίην ἂν ἔγωγε· πρῶτον μὲν γὰρ οὐ ῥάδιον ἀποδεῖξαι τί ἐστί ποτε τοῦτο ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι· ἔπειτα ἐν τούτῳ εἰσὶ πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν ἀναθέσθαι ἔξεστιν, εἴ πῃ ἔχετε ἄλλο τι φάναι εἶναι τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν, ἢ τὸ κακὸν ἄλλο τι ἢ τὴν ἀνίαν. ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον ἄνευ λυπῶν; εἰ δὲ ἀρκεῖ, καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν ἢ κακόν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε. CX. Φημὶ γὰρ ὑμῖν, τούτου οὕτως ἔχοντος, γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ἄνθρωπος ὅτι κακά ἐστιν, ὅμως πράττει αὐτά, ἐξὸν μὴ πράττειν, ὑπὸ τῶν ἡδονῶν ἀγόμενος καὶ ἐκπληττόμενος· καὶ αὖθις αὖ λέγετε ὅτι γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς παραχρῆμα ἡδονάς, ὑπὸ τούτων ἡττώμενος. ὡς δὲ ταῦτα γελοῖά ἐστι, κατάδηλον ἔσται, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἅμα, ἡδεῖ τε καὶ ἀνιαρῷ, καὶ ἀγαθῷ καὶ κακῷ, ἀλλ', ἐπειδὴ δύο ἐφάνη ταῦτα, δυοῖν καὶ ὀνόμασι προσαγορεύωμεν αὐτά· πρῶτον μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτα αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ. θέμενοι δὴ οὕτω λέγωμεν, ὅτι γιγνώσκων ὁ ἄνθρωπος τὰ κακὰ

ὅτι κακά ἐστιν ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται διὰ τί, ἡττώμενος, φήσομεν. ὑπὸ τοῦ, ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δέ, ὑπὸ μὲν ἡδονῆς, οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς, τὸ ἀγαθόν· ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν, ὅτι ἡττώμενος. ὑπὸ τίνος; φήσει. τοῦ ἀγαθοῦ, φήσομεν, νὴ Δία. CXI. Ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὤν, γελάσεται, καὶ ἐρεῖ, Ἦ γελοῖον λέγετε πρᾶγμα, εἰ πράττει τις κακά, γιγνώσκων ὅτι κακά ἐστιν, οὐ δέον αὐτὰ πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει, οὐκ ἀξίων ὄντων νικᾷν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακά, ἢ ἀξίων; φήσομεν δηλονότι ἀποκρινόμενοι, ὅτι οὐκ ἀξίων ὄντων· οὐ γὰρ ἂν ἐξημάρτανεν ὅν φαμεν ἥττω εἶναι τῶν ἡδονῶν. Κατὰ τί δέ, φήσει ἴσως, ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν, ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλο τι ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ; ἢ πλείω, τὰ δὲ ἐλάττω ᾖ, οὐχ ἕξομεν εἰπεῖν ἄλλο ἢ τοῦτο; Δῆλον ἄρα, φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγεται, ἀντὶ ἐλαττόνων ἀγαθῶν μείζω κακὰ λαμβάνειν. ταῦτα μὲν οὖν οὕτω. Μεταλάβωμεν δὴ τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις, καὶ λέγωμεν, ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν, τὰ κακά, νῦν δὲ λέγωμεν τὰ ἀνιαρά, γιγνώσκων ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος ὑπὸ τῶν ἡδέων, δηλονότι ἀναξίων ὄντων νικᾷν. καὶ τίς ἄλλη ἀναξία ἡδονῇ πρὸς λύπην ἐστίν, ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα

γιγνόμενα ἀλλήλων, καὶ πλείω καὶ ἐλάττω, καὶ μᾶλλον καὶ ἧττον. CXII. Εἰ γάρ τις λέγοι ὅτι, Ἀλλὰ πολὺ διαφέρει, ὦ Σώκρατες, τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, μῶν ἄλλῳ τῳ, φαίην ἂν ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ; οὐ γάρ ἔσθ' ὅτῳ ἄλλῳ· ἀλλ', ὥσπερ ἀγαθὸς ἱστάναι ἄνθρωπος, ξυνθεὶς τὰ ἡδέα, καὶ ξυνθεὶς τὰ λυπηρά, καὶ τὸ ἐγγὺς καὶ τὸ πόῤῥω στήσας ἐν τῷ ζυγῷ, εἰπὲ πότερα πλείω ἐστίν· ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω ληπτέα· ἐὰν δὲ λυπηρὰ πρὸς λυπηρά, τὰ ἐλάττω καὶ σμικρότερα· ἐὰν δὲ ἡδέα πρὸς λυπηρά, ἐὰν μὲν τὰ ἀνιαρὰ ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν τε τὰ ἐγγὺς ὑπὸ τῶν πόῤῥω, ἐάν τε τὰ πόῤῥω ὑπὸ τῶν ἐγγύς, ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν δὲ τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, οὐ πρακτέα. μή πῃ ἄλλῃ ἔχει, φαίην, ταῦτα, ὦ ἄνθρωποι; οἶδ' ὅτι οὐκ ἂν ἔχοιεν ἄλλως λέγειν. Ξυνεδόκει καὶ ἐκείνῳ. CXIII. Ὅτε δὴ τοῦτο οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε, φήσω· φαίνεται ὑμῖν τῇ ὄψει τὰ αὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω, πόῤῥωθεν δὲ ἐλάττω, ἢ οὔ; Φήσουσι. Καὶ τὰ παχέα, καὶ τὰ πολλὰ ὡσαύτως; καὶ αἱ φωναὶ αἱ ἴσαι ἐγγύθεν μὲν μείζους, πόῤῥωθεν δὲ σμικρότεραι; Φαῖεν ἄν. Εἰ οὖν ἐν τούτῳ ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ πράττειν καὶ λαμβάνειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ πράττειν, τίς ἂν ἡμῖν σωτηρία ἐφάνη τοῦ βίου; ἆρα ἡ μετρητικὴ τέχνη, ἢ ἡ τοῦ φαινομένου δύναμις; ἢ

αὕτη μὲν ἡμᾶς ἐπλάνα, καὶ ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν ταυτὰ καὶ μεταμέλειν καὶ ἐν ταῖς πράξεσι καὶ ἐν ταῖς αἱρέσεσι τῶν μεγάλων τε καὶ σμικρῶν· ἡ δὲ μετρητικὴ ἄκυρον μὲν ἂν ἐποίησε τοῦτο τὸ φάντασμα, δηλώσασα δὲ τὸ ἀληθές, ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχήν, μένουσαν ἐπὶ τῷ ἀληθεῖ, καὶ ἔσωσεν ἂν τὸν βίον; ἆρ' ἂν ὁμολογοῖεν ἄνθρωποι πρὸς ταῦτα, ἡμᾶς τὴν μετρητικὴν σώζειν ἂν τέχνην; ἢ ἄλλην; Τὴν μετρητικήν, ὡμολόγει. CXIV. Τί δ', εἰ ἐν τῇ τοῦ περιττοῦ καὶ ἀρτίου αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου, ὁπότε τὸ πλέον ὀρθῶς ἔδει ἑλέσθαι καὶ ὁπότε τὸ ἔλαττον, ἢ αὐτὸ πρὸς ἑαυτό, ἢ τὸ ἕτερον πρὸς τὸ ἕτερον, εἴτ' ἐγγὺς εἴτε πόῤῥω εἴη· τί ἂν ἔσωζεν ἡμῖν τὸν βίον; ἆρ' ἂν οὐκ ἐπιστήμη; καὶ ἆρ' ἂν οὐ μετρητική τις; ἐπειδήπερ ὑπερβολῆς τε καὶ ἐνδείας ἐστὶν ἡ τέχνη; ἐπειδὴ δὲ περιττοῦ τε καὶ ἀρτίου, ἆρα ἄλλη τις ἢ ἀριθμητική; ὁμολογοῖεν ἂν ἡμῖν οἱ ἄνθρωποι, ἢ οὔ; Ἐδόκουν ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμολογεῖν. Εἶεν, ὦ ἄνθρωποι· ἐπειδὴ δὲ ἡδονῆς τε καὶ λύπης ἐν ὀρθῇ τῇ αἱρέσει ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα, τοῦ τε πλέονος καὶ ἐλάττονος καὶ μείζονος καὶ σμικροτέρου, καὶ πορρωτέρω καὶ ἐγγυτέρω, ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας σκέψις; Ἀλλ' ἀνάγκη. Ἐπεὶ δὲ μετρητική, ἀνάγκη δήπου τέχνη καὶ ἐπιστήμη; Ξυμφήσουσιν. CXV. Ἥτις μὲν τοίνυν τέχνη καὶ ἐπιστήμη ἐστὶν αὕτη, εἰσαῦθις σκεψόμεθα· ὅτι

δὲ ἐπιστήμη ἐστὶ, τοσοῦτον ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἥν ἐμὲ δεῖ καὶ Πρωταγόραν ἀποδεῖξαι, περὶ ὧν ἤρεσθ' ἡμᾶς. ἤρεσθε δέ, εἰ μέμνησθε, ἡνίκα ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μηδὲν εἶναι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ, καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου· ἐπειδὴ δὲ ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτο ἤρεσθε ἡμᾶς, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστί, καὶ τί ὑμεῖς αὐτό φατε εἶναι, εἴπετε ἡμῖν. CXVI. Εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν εἴπομεν ὅτι ἀμαθία, κατεγελᾶτε ἂν ἡμῶν· νῦν δέ, ἂν ἡμῶν καταγελᾶτε, καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατε ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας, (ταῦτα δέ ἐστιν ἀγαθά τε καὶ κακά) καὶ οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ εἰς τὸ πρόσθεν ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς· ἡ δὲ ἐξαμαρτανομένη πρᾶξις ἄνευ ἐπιστήμης, ἴστε που καὶ αὐτοί, ὅτι ἀμαθίᾳ πράττεται· ὥστε τοῦτ' ἐστὶ τὸ ἡδονῆς ἥττω εἶναι, ἀμαθία ἡ μεγίστη· ἧς Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι καὶ Πρόδικος καὶ Ἱππίας· ὑμεῖς δὲ διὰ τὸ οἴεσθαι ἄλλο τι ἢ ἀμαθίαν εἶναι, οὔτε αὐτοὶ οὔτε τοὺς ὑμετέρους παῖδας παρὰ τοὺς τούτων διδασκάλους τούσδε τοὺς σοφιστὰς πέμπετε, ὡς οὐ διδακτοῦ ὄντος, ἀλλὰ κηδόμενοι τοῦ ἀργυρίου, καὶ οὐ διδόντες τούτοις, κακῶς πράττετε καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

CXVII. *Ταῦτα μὲν τοῖς πολλοῖς ἀποκεκριμένοι ἂν ἦμεν. ὑμᾶς δὲ δὴ μετὰ Πρωταγόρου ἐρωτῶ, Ἱππία τε καὶ Πρόδικε (κοινὸς γὰρ δὴ ἔστω ὑμῖν ὁ λόγος), πότερον δοκῶ ὑμῖν ἀληθῆ λέγειν, ἢ ψεύδεσθαι. Ὑπερφυῶς ἐδόκει ἅπασιν ἀληθῆ εἶναι τὰ εἰρημένα. Ὁμολογεῖτε ἄρα, ἦν δ' ἐγώ, τὸ μὲν ἡδὺ ἀγαθὸν εἶναι, τὸ δὲ ἀνιαρὸν κακόν. τὴν δὲ Προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων παραιτοῦμαι. εἴτε γὰρ ἡδὺ εἴτε τερπνὸν λέγεις εἴτε χαρτόν, εἴτε ὁπόθεν καὶ ὅπως χαίρεις τὰ τοιαῦτα ὀνομάζων, ὦ βέλτιστε Πρόδικε, τοῦτό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι.* CXVIII. *Γελάσας οὖν ὁ Πρόδικος ξυνωμολόγησε καὶ οἱ ἄλλοι. Τί δὲ δή, ὦ ἄνδρες, ἔφην ἐγώ, τὸ τοιόνδε; αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί [καὶ ὠφέλιμοι]; καὶ τὸ καλὸν ἔργον, ἀγαθόν τε καὶ ὠφέλιμον; Ξυνεδόκει. Εἰ ἄρα, ἔφην ἐγώ, τὸ ἡδὺ ἀγαθόν ἐστιν, οὐδεὶς οὔτε εἰδὼς οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι, ἢ ἃ ἐποίει, καὶ δυνατά, ἔπειτα ποιεῖ ταῦτα, ἐξὸν τὰ βελτίω· οὐδὲ τὸ ἥττω εἶναι αὑτοῦ ἄλλο τι τοῦτ' ἐστὶν ἢ ἀμαθία, οὐδὲ κρείττω ἑαυτοῦ ἄλλο τι ἢ σοφία. Ξυνεδόκει πᾶσι. Τί δὲ δή; ἀμαθίαν ἄρα τὸ τοιόνδε λέγετε, τὸ ψευδῆ ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πραγμάτων τῶν πολλοῦ ἀξίων; Καὶ τοῦτο πᾶσι ξυνεδόκει. Ἄλλο τι οὖν, ἔφην ἐγώ, ἐπί γε τὰ κακὰ οὐδεὶς ἑκὼν ἔρχεται, οὐδὲ ἐπὶ ἃ οἴεται κακὰ εἶναι; οὐδ' ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει, ἐπὶ ἃ οἴεται κακὰ εἶναι, ἐθέλειν ἰέναι, ἀντὶ τῶν ἀγαθῶν, ὅταν τε ἀναγκασθῇ δυοῖν*

κακοῖν τὸ ἕτερον αἱρεῖσθαι, οὐδεὶς τὸ μεῖζον αἱρή-
σεται, ἐξὸν τὸ ἔλαττον; Ἅπαντα ταῦτα ξυνεδόκει
ἅπασιν ἡμῖν. CXIX. Τί οὖν, ἔφην ἐγώ, καλεῖτε δέος
καὶ φόβον; καὶ ἆρα ὅπερ ἐγὼ πρὸς σὲ λέγω, ὦ Πρό-
δικε, προσδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴτε φό-
βον εἴτε δέος καλεῖτε; Ἐδόκει Πρωταγόρᾳ μὲν καὶ
Ἱππίᾳ δέος τε καὶ φόβος εἶναι τοῦτο, Προδίκῳ δὲ
δέος, φόβος δ' οὔ. Ἀλλ' οὐδέν, ἔφην ἐγώ, Πρόδικε,
διαφέρει, ἀλλὰ τόδε, εἰ ἀληθῆ τὰ ἔμπροσθέν ἐστιν.
ἆρά τις ἀνθρώπων ἐθελήσει ἐπὶ ταῦτα ἰέναι ἃ δέ-
δοικεν, ἐξὸν ἐπὶ ἃ μή, ἢ ἀδύνατον ἐκ τῶν ὡμολο-
γημένων; ἃ γὰρ δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι
κακὰ εἶναι, ἃ δὲ ἡγεῖται κακά, οὐδένα οὔτε ἰέναι
ἐπὶ ταῦτα, οὔτε λαμβάνειν ἑκόντα. Ἐδόκει καὶ
ταῦτα πᾶσιν. CXX. Οὕτω δὴ τούτων ὑποκειμένων,
ἦν δ' ἐγώ, Πρόδικέ τε καὶ Ἱππία, ἀπολογείσθω ἡμῖν
Πρωταγόρας ὅδε ἃ τοπρῶτον ἀπεκρίνατο, πῶς ὀρθῶς
ἔχει, μὴ ἃ τοπρῶτον παντάπασι· τότε μὲν γὰρ δή,
πέντε ὄντων μορίων τῆς ἀρετῆς, οὐδὲν ἔφη εἶναι τὸ
ἕτερον οἷον τὸ ἕτερον, ἰδίαν δὲ αὐτοῦ ἕκαστον ἔχειν
δύναμιν· ἀλλ' οὐ ταῦτα λέγω, ἀλλ' ὃ τὸ ὕστερον
εἶπε. τὸ γὰρ ὕστερον ἔφη τὰ μὲν τέτταρα ἐπιεικῶς
παραπλήσια ἀλλήλοις εἶναι, τὸ δὲ ἓν πάνυ διαφέρειν
τῶν ἄλλων, τὴν ἀνδρίαν· γνώσεσθαι δέ μ' ἔφη τε-
κμηρίῳ τῷδε· εὑρήσεις γάρ, ὦ Σώκρατες, ἀνθρώπους
ἀνοσιωτάτους μὲν ὄντας καὶ ἀδικωτάτους καὶ ἀκο-
λαστοτάτους καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δέ·
ᾧ γνώσῃ ὅτι πολὺ διαφέρει ἡ ἀνδρία τῶν ἄλλων μο-

ρίων τῆς ἀρετῆς. καὶ ἐγὼ εὐθὺς τότε πάνυ ἐθαύμασα τὴν ἀπόκρισιν, καὶ ἔτι μᾶλλον, ἐπειδὴ ταῦτα μεθ' ὑμῶν διεξῆλθον· ἠρόμην δ' οὖν τοῦτον εἰ τοὺς ἀνδρείους λέγει θαῤῥαλέους· ὁ δέ, Καὶ ἴτας γ', ἔφη. CXXI. Μέμνησαι, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, ταῦτα ἀποκρινόμενος; Ὡμολόγει. Ἴθι δή, ἔφην ἐγώ, εἰπὲ ἡμῖν, ἐπὶ τί λέγεις ἴτας εἶναι τοὺς ἀνδρείους· ἢ ἐφ' ἅπερ οἱ δειλοί; Οὐκ ἔφη. Οὐκοῦν ἐφ' ἕτερα; Ναί, ἦ δ' ὅς. Πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά; Λέγεται δή, ὦ Σώκρατες, οὕτως ὑπὸ τῶν ἀνθρώπων. Ἀληθῆ, ἔφην ἐγώ, λέγεις. ἀλλ' οὐ τοῦτο ἐρωτῶ· ἀλλὰ σὺ ἐπὶ τί φῂς ἴτας εἶναι τοὺς ἀνδρείους; ἆρ' ἐπὶ τὰ δεινά, ἡγουμένους δεινὰ εἶναι, ἢ ἐπὶ τὰ μή; Ἀλλὰ τοῦτό γ', ἔφη, ἐν οἷς σὺ ἔλεγες τοῖς λόγοις ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον. Καὶ τοῦτο, ἔφην ἐγώ, ἀληθὲς λέγεις· ὥστ', εἰ τοῦτο ὀρθῶς ἀπεδείχθη, ἐπὶ μὲν ἃ δεινὰ ἡγεῖται εἶναι, οὐδεὶς ἔρχεται· ἐπειδὴ τὸ ἥττω εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα. Ὡμολόγει. Ἀλλὰ μὴν ἐπὶ ἅ γε θαῤῥοῦσι πάντες αὖ ἔρχονται, καὶ δειλοὶ καὶ ἀνδρεῖοι, καὶ ταύτῃ γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἵ δειλοί τε καὶ οἱ ἀνδρεῖοι. CXXII. Ἀλλὰ μέντοι, ἔφη, ὦ Σώκρατες, πᾶν γε τοὐναντίον ἐστὶν ἐπὶ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀνδρεῖοι· αὐτίκα εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ οὐκ ἐθέλουσι. Πότερον, ἔφην ἐγώ, καλὸν ὂν ἰέναι, ἢ αἰσχρόν; Καλόν, ἔφη. Οὐκοῦν εἴπερ καλόν, καὶ ἀγαθὸν ὡμολογήσαμεν ἐν τοῖς ἔμπροσθεν· τὰς γὰρ κα-

λὰς πράξεις ἁπάσας, ἀγαθὰς ὡμολογήσαμεν· Ἀληθῆ λέγεις, καὶ ἀεὶ ἔμοιγε δοκεῖ οὕτως. Ὀρθῶς γε, ἔφην ἐγώ. ἀλλὰ ποτέρους φῂς εἰς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν ὂν καὶ ἀγαθόν; Τοὺς δειλούς, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, εἴπερ καλὸν καὶ ἀγαθὸν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ' οὖν γιγνώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ τοῦτο ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμολογίας. CXXIII. Τί δ' ὁ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. Οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται, ὅταν φοβῶνται, οὐδὲ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ἀληθῆ, ἔφη. Εἰ δὲ μὴ αἰσχρά, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλά, καὶ ἀγαθά; Ναί. Οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς καὶ οἱ μαινόμενοι τοὐναντίον αἰσχρούς τε φόβους φοβοῦνται, καὶ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ὡμολόγει. Θαῤῥοῦσι δὲ τὰ αἰσχρὰ καὶ κακὰ δι' ἄλλο τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕτως ἔχει, ἔφη. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰσιν οἱ δειλοί, δειλίαν ἢ ἀνδρίαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δὲ οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες; Καὶ πάνυ γ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν; Ὡμολόγει. Δι' ὃ δὲ δειλοί εἰσι, δειλία ὡμολογεῖτο παρὰ σοῦ; Ξυνέφη. Οὐκοῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία, δειλία ἂν εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἐναντίον ἀνδρία δειλίᾳ; Ἔφη. Οὐκοῦν ἡ

τῶν δεινῶν καὶ μὴ δεινῶν σοφία ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστί; Καὶ ἐνταῦθα ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία, δειλία; Πάνυ μόγις ἐνταῦθα ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀνδρία ἐστίν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ; CXXIV. Οὐκέτι ἐνταῦθα οὔτ' ἐπινεῦσαι ἠθέλησεν, ἐσίγα τε. Καὶ ἐγὼ εἶπον, Τί δή, ὦ Πρωταγόρα, οὔτε σὺ φῂς ἃ ἐρωτῶ, οὔτε ἀπόφῃς; Αὐτός, ἔφη, πέρανον. Ἕν γ', ἔφην ἐγώ, μόνον ἐρόμενος ἔτι σέ, εἴ σοι ὥσπερ τοπρῶτον ἔτι δοκοῦσιν εἶναί τινες ἄνθρωποι ἀμαθέστατοι μέν, ἀνδρειότατοι δέ. Φιλονεικεῖν μοι ἔτι δοκεῖς, ὦ Σώκρατες, τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον· χαριοῦμαι οὖν σοι, καὶ λέγω ὅτι ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ εἶναι. Οὔτοι, ἦν δ' ἐγώ, ἄλλου ἕνεκα ἐρωτῶ πάντα ταῦτα, ἢ σκέψασθαι βουλόμενος πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς, καὶ τί ποτ' ἐστὶν αὐτό, ἡ ἀρετή. οἶδα γὰρ ὅτι, τούτου φανεροῦ γενομένου, μάλιστα ἂν κατάδηλον γένοιτο ἐκεῖνο, περὶ οὗ ἐγώ τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν, ἐγὼ μὲν λέγων ὡς οὐ διδακτὸν ἀρετή, σὺ δ', ὡς διδακτόν. CXXV. Καί μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων, ὥσπερ ἄνθρωπος, κατηγορεῖν τε καὶ καταγελᾶν, καί, εἰ φωνὴν λάβοι, εἰπεῖν ἂν ὅτι, Ἄτοποί γ' ἐστέ, ὦ Σώκρατές τε καὶ Πρωταγόρα· σὺ μὲν λέγων, ὅτι οὐ διδακτόν ἐστιν ἡ ἀρετή, ἐν τοῖς ἔμπροσθεν, νῦν σεαυτῷ τἀναντία σπεύδεις, ἐπιχειρῶν ἀποδεῖξαι, ὡς πάντα χρήματά ἐστιν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη, καὶ ἡ σωφροσύνη, καὶ

λὰς πράξεις ἁπάσας, ἀγαθὰς ὡμολογήσαμεν· Ἀληθῆ λέγεις, καὶ ἀεὶ ἔμοιγε δοκεῖ οὕτως. Ὀρθῶς γε, ἔφην ἐγώ. ἀλλὰ ποτέρους φῂς εἰς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν ὂν καὶ ἀγαθόν; Τοὺς δειλούς, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, εἴπερ καλὸν καὶ ἀγαθόν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ' οὖν γιγνώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ τοῦτο ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμολογίας. CXXIII. Τί δ' ὁ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. Οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται, ὅταν φοβῶνται, οὐδὲ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ἀληθῆ, ἔφη. Εἰ δὲ μὴ αἰσχρά, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλά, καὶ ἀγαθά; Ναί. Οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς καὶ οἱ μαινόμενοι τοὐναντίον αἰσχρούς τε φόβους φοβοῦνται, καὶ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν; Ὡμολόγει. Θαῤῥοῦσι δὲ τὰ αἰσχρὰ καὶ κακὰ δι' ἄλλο τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕτως ἔχει, ἔφη. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰσιν οἱ δειλοί, δειλίαν ἢ ἀνδρίαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δὲ οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες; Καὶ πάνυ γ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν; Ὡμολόγει. Δι' ὃ δὲ δειλοί εἰσι, δειλία ὡμολογεῖτο παρὰ σοῦ; Ξυνέφη. Οὐκοῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία, δειλία ἂν εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἐναντίον ἀνδρία δειλίᾳ; Ἔφη. Οὐκοῦν ἡ

τῶν δεινῶν καὶ μὴ δεινῶν σοφία ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστί; Καὶ ἐνταῦθα ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία, δειλία; Πάνυ μόγις ἐνταῦθα ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀνδρία ἐστὶν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ; CXXIV. Οὐκέτι ἐνταῦθα οὔτ᾽ ἐπινεῦσαι ἠθέλησεν, ἐσίγα τε. Καὶ ἐγὼ εἶπον, Τί δή, ὦ Πρωταγόρα, οὔτε σὺ φῂς ἃ ἐρωτῶ, οὔτε ἀπόφῃς; Αὐτός, ἔφη, πέρανον. Ἕν γ᾽, ἔφην ἐγώ, μόνον ἐρόμενος ἔτι σέ, εἴ σοι ὥσπερ τοπρῶτον ἔτι δοκοῦσιν εἶναί τινες ἄνθρωποι ἀμαθέστατοι μέν, ἀνδρειότατοι δέ. Φιλονεικεῖν μοι ἔτι δοκεῖς, ὦ Σώκρατες, τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον· χαριοῦμαι οὖν σοι, καὶ λέγω ὅτι ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ εἶναι. Οὔτοι, ἦν δ᾽ ἐγώ, ἄλλου ἕνεκα ἐρωτῶ πάντα ταῦτα, ἢ σκέψασθαι βουλόμενος πῶς ποτ᾽ ἔχει τὰ περὶ τῆς ἀρετῆς, καὶ τί ποτ᾽ ἐστὶν αὐτό, ἡ ἀρετή. οἶδα γὰρ ὅτι, τούτου φανεροῦ γενομένου, μάλιστα ἂν κατάδηλον γένοιτο ἐκεῖνο, περὶ οὗ ἐγώ τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν, ἐγὼ μὲν λέγων ὡς οὐ διδακτὸν ἀρετή, σὺ δ᾽, ὡς διδακτόν. CXXV. Καί μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων, ὥσπερ ἄνθρωπος, κατηγορεῖν τε καὶ καταγελᾶν, καί, εἰ φωνὴν λάβοι, εἰπεῖν ἂν ὅτι, Ἄτοποί γ᾽ ἐστέ, ὦ Σώκρατές τε καὶ Πρωταγόρα· σὺ μὲν λέγων, ὅτι οὐ διδακτόν ἐστιν ἡ ἀρετή, ἐν τοῖς ἔμπροσθεν, νῦν σεαυτῷ τἀναντία σπεύδεις, ἐπιχειρῶν ἀποδεῖξαι, ὡς πάντα χρήματά ἐστιν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη, καὶ ἡ σωφροσύνη, καὶ

ἡ ἀνδρία· ᾧ τρόπῳ μάλιστ' ἂν διδακτὸν φανείη ἡ ἀρετή. εἰ μὲν γὰρ ἄλλο τι ἦν ἢ ἐπιστήμη ἡ ἀρετή, ὥσπερ Πρωταγόρας ἐπεχείρει λέγειν, σαφῶς οὐκ ἂν ἦν διδακτόν· νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὄν, ὡς σὺ σπεύδεις, ὦ Σώκρατες, θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν· Πρωταγόρας δ' αὖ διδακτὸν ὂν τότε ὑποθέμενος, νῦν τοὐναντίον ἔοικε σπεύδοντι, ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτὸ ἢ ἐπιστήμην· καὶ οὕτως ἂν ἥκιστα εἴη διδακτόν. CXXVI. Ἐγὼ οὖν, ὦ Πρωταγόρα, πάντα ταῦτα καθορῶν ἄνω κάτω ταραττόμενα δεινῶς πᾶσαν προθυμίαν ἔχω καταφανῆ αὐτὰ γενέσθαι, καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς, ἐξελθεῖν καὶ ἐπὶ τὴν ἀρετὴν ὅ, τι ἐστί, καὶ πάλιν ἐπισκέψασθαι περὶ αὐτοῦ, εἴτε διδακτὸν εἴτε μὴ διδακτόν· μὴ πολλάκις ἡμᾶς ὁ Ἐπιμηθεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξαπατήσας, ὥσπερ καὶ ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν, ὡς φὴς σύ. ἤρεσεν οὖν μοι καὶ ἐν τῷ μύθῳ ὁ Προμηθεὺς μᾶλλον τοῦ Ἐπιμηθέως, ᾧ χρώμενος ἐγὼ καὶ προμηθούμενος ὑπὲρ τοῦ βίου τοῦ ἐμαυτοῦ παντός, πάντα ταῦτα πραγματεύομαι· καί, εἰ σὺ ἐθέλοις, ὅπερ καὶ κατ' ἀρχὰς ἔλεγον, μετὰ σοῦ ἂν ἥδιστα ταῦτα ξυνδιασκοποίην. Καὶ ὁ Πρωταγόρας, Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, ἐπαινῶ σου τὴν προθυμίαν καὶ τὴν διέξοδον τῶν λόγων· καὶ γὰρ οὔτε τἄλλα οἶμαι κακὸς εἶναι ἄνθρωπος, φθονερός τε ἥκιστ' ἂν ἀνθρώπων. ἐπεὶ καὶ περὶ σοῦ πρὸς πολλοὺς δὴ εἴρηκα, ὅτι ὧν ἐντυγχάνω, πολὺ μάλιστα ἄγαμαι σέ, τῶν μὴν τηλικούτων

καὶ πάνυ· καὶ λέγω γε ὅτι οὐκ ἂν θαυμάζοιμι εἰ τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ. καὶ περὶ τούτων δὲ εἰςαῦθις, ὅταν βούλῃ, διέξιμεν· νῦν δ᾽ ὥρα ἤδη καὶ ἐπ᾽ ἄλλο τι τρέπεσθαι. Ἀλλ᾽, ἦν δ᾽ ἐγώ, οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ. καὶ γὰρ ἐμοὶ οἶπερ ἔφην ἰέναι πάλαι ὥρα, ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα. Ταῦτ᾽ εἰπόντες καὶ ἀκούσαντες ἀπῆμεν.

Ι Π Π Ι Α Σ.

ΕΥΔΙΚΟΣ. Σὺ δὲ δὴ τί σιγᾷς, ὦ Σώκρατες, Ἱππίου τοσαῦτα ἐπιδειξαμένου, καὶ οὐχὶ ἢ ξυνεπαινεῖς τι τῶν εἰρημένων, ἢ καὶ ἐλέγχεις, εἴ τι σοὶ μὴ καλῶς δοκεῖ εἰρηκέναι; ἄλλως τε ἐπειδὴ καὶ αὐτοὶ λελείμμεθα, οἳ μάλιστ᾽ ἂν ἀντιποιησαίμεθα μετεῖναι ἡμῖν τῆς ἐν φιλοσοφίᾳ διατριβῆς. ΣΩ. Καὶ μήν, ὦ Εὔδικε, ἔστι γ᾽ ἃ ἡδέως ἂν πυθοίμην Ἱππίου ὧν νῦν δὴ ἔλεγε περὶ Ὁμήρου· καὶ γὰρ τοῦ σοῦ πατρὸς Ἀπημάντου ἤκουον, ὅτι ἡ Ἰλιὰς κάλλιον εἴη ποίημα τῷ Ὁμήρῳ ἢ ἡ Ὀδύσσεια, τοσούτῳ δὲ κάλλιον, ὅσῳ ἀμείνων Ἀχιλλεὺς Ὀδυσσέως εἴη. ἑκάτερον γὰρ τῶν ποιημάτων, τὸ μὲν εἰς Ὀδυσσέα ἔφη πεποιῆσθαι, τὸ δ᾽ εἰς Ἀχιλλέα. περὶ ἐκείνου οὖν ἡδέως ἂν εἰ βουλομένῳ ἐστὶν Ἱππίᾳ, ἀναπυθοίμην, ὅπως αὐτῷ δοκεῖ περὶ τοῖν ἀνδροῖν τούτοιν, πότερον ἀμείνω φησὶν εἶναι, ἐπειδὴ καὶ ἄλλα πολλὰ καὶ παντοδαπὰ ἡμῖν ἐπιδέδεικται, καὶ περὶ ποιητῶν τε ἄλλων καὶ περὶ Ὁμήρου. II. ΕΥ. Ἀλλὰ δῆλον ὅτι οὐ

φθονήσει Ἱππίας, ἐάν τι αὐτὸν ἐρωτᾷς, ἀποκρίνεσθαι. ἢ γάρ, ὦ Ἱππία, ἐάν τι ἐρωτᾷ σε Σωκράτης, ἀποκρινῇ; ἢ πῶς ποιήσεις; ΙΠ. Καὶ γὰρ ἂν δεινὰ ποιοίην, ὦ Εὔδικε, εἰ Ὀλυμπίαζε μὲν εἰς τὴν τῶν Ἑλλήνων πανήγυριν, ὅταν τὰ Ὀλύμπια ᾖ, ἀεὶ ἐπανιὼν οἴκοθεν ἐξ Ἤλιδος, εἰς τὸ ἱερὸν παρέχω ἐμαυτὸν καὶ λέγοντα ὅ, τι ἂν τις βούληται ὧν ἄν μοι εἰς ἐπίδειξιν παρεσκευασμένον ᾖ, καὶ ἀποκρινόμενον τῷ βουλομένῳ ὅ, τι ἄν τις ἐρωτᾷ, νῦν δὲ τὴν Σωκράτους ἐρώτησιν φύγοιμι. ΣΩ. Μακάριόν γε, ὦ Ἱππία, πάθος πέπονθας, εἰ ἑκάστης Ὀλυμπιάδος οὕτως εὔελπις ὢν περὶ τῆς ψυχῆς εἰς σοφίαν, ἀφικνῇ εἰς τὸ ἱερόν, καὶ θαυμάσαιμ' ἂν εἴ τις τῶν περὶ τὸ σῶμα ἀθλητῶν οὕτως ἀφόβως τε καὶ πυκτευτικῶς ἔχων τῷ σώματι ἔρχεται αὐτόσε ἀγωνιούμενος, ὥσπερ σὺ φῂς τῇ διανοίᾳ. ΙΠ. Εἰκότως, ὦ Σώκρατες, ἐγὼ τοῦτο πέπονθα. ἐξ οὗ γὰρ ἤργμαι Ὀλυμπιάσιν ἀγωνίζεσθαι, οὐδενὶ πώποτε κρείττονι εἰς οὐδὲν ἐμαυτοῦ ἐνέτυχον. III. ΣΩ. Καλόν γε λέγεις, ὦ Ἱππία, καὶ τῇ Ἠλείων πόλει τῆς σοφίας ἀνάθημα τὴν δόξαν εἶναι τὴν σήν, καὶ τοῖς γονεῦσι τοῖς σοῖς. ἀτὰρ τί δὴ λέγεις ἡμῖν περὶ τοῦ Ἀχιλλέως τε καὶ τοῦ Ὀδυσσέως; πότερον ἀμείνω καὶ κατὰ τί φῂς εἶναι; ἡνίκα μὲν γὰρ πολλοὶ ἔνδον ἦμεν, καὶ σὺ τὴν ἐπίδειξιν ἐποιοῦ, ἀπελείφθην σοῦ τῶν λεγομένων· ὤκνουν γὰρ ἐπανέρεσθαι, διότι ὄχλος τε πολὺς ἔνδον ἦν, καὶ μή σοι ἐμποδὼν εἴην ἐρωτῶν τῇ ἐπιδείξει. νυνὶ δὲ ἐπειδὴ ἐλάττους τε ἐσμὲν καὶ Εὔδικος

ὅδε κελεύει ἐρέσθαι, εἰπέ τε καὶ δίδαξον ἡμᾶς σαφῶς, τί ἔλεγες περὶ τούτοιν τοῖν ἀνδροῖν, πῶς διέκρινες αὐτούς. ΙΠ. Ἀλλ' ἐγώ σοι, ὦ Σώκρατες, ἐθέλω ἔτι σαφέστερον ἢ τότε διελθεῖν ἃ λέγω καὶ περὶ τούτων καὶ περὶ ἄλλων. φημὶ γὰρ Ὅμηρον πεποιηκέναι ἄριστον μὲν ἄνδρα Ἀχιλλέα τῶν εἰς Τροίαν ἀφικομένων, σοφώτατον δὲ Νέστορα, πολυτροπώτατον δὲ Ὀδυσσέα. ΣΩ. Βαβαί, ὦ Ἱππία, ἆρ' ἄν τί μοι χαρίσαιο τοιόνδε, μή μου καταγελᾶν ἐὰν μόλις μανθάνω τὰ λεγόμενα καὶ πολλάκις ἀνερωτῶ· ἀλλά μοι πειρῶ πράως τε καὶ εὐκόλως ἀποκρίνεσθαι. ΙΠ. Αἰσχρὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες, εἰ ἄλλους μὲν αὐτὰ ταῦτα παιδεύω καὶ ἀξιῶ διὰ ταῦτα χρήματα λαμβάνειν, αὐτὸς δὲ ὑπὸ σοῦ ἐρωτώμενος, μὴ ξυγγνώμην τ' ἔχοιμι, καὶ πράως ἀποκρινοίμην. IV. ΣΩ. Πάνυ καλῶς λέγεις. ἐγὼ γάρ τοι ἡνίκα μὲν ἄριστον τὸν Ἀχιλλέα ἔφησθα πεποιῆσθαι, ἐδόκουν σου μανθάνειν ὅ, τι ἔλεγες, καὶ ἡνίκα τὸν Νέστορα σοφώτατον· ἐπειδὴ δὲ τὸν Ὀδυσσέα εἶπες ὅτι πεποιηκὼς εἴη ὁ ποιητὴς πολυτροπώτατον, τοῦτο δ', ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι, παντάπασιν οὐκ οἶδ' ὅ, τι λέγεις· καί μοι εἰπέ, ἄν τι ἐνθένδε μᾶλλον μάθω· ὁ Ἀχιλλεὺς οὐ πολύτροπος τῷ Ὁμήρῳ πεποίηται; ΙΠ. Ἥκιστά γε, ὦ Σώκρατες, ἀλλ' ἁπλούστατος· ἐπεὶ καὶ ἐν λιταῖς ἡνίκα πρὸς ἀλλήλους ποιεῖ αὐτοὺς διαλεγομένους, λέγει αὐτῷ ὁ Ἀχιλλεὺς πρὸς τὸν Ὀδυσσέα,

Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,

Ὥσπερ δὴ φρονέω τε, καὶ ὡς τελέεσθαι ὀΐω.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς γ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐρέω, ὡς καὶ τετελεσμένον ἔσται.

Ἐν τούτοις δηλοῖ τοῖς ἔπεσι τὸν τρόπον ἑκατέρου τοῦ ἀνδρός, ὡς ὁ μὲν Ἀχιλλεὺς εἴη ἀληθής τε καὶ ἁπλοῦς, ὁ δὲ Ὀδυσσεὺς πολύτροπός τε καὶ ψευδής· ποιεῖ γὰρ τὸν Ἀχιλλέα εἰς τὸν Ὀδυσσέα λέγοντα ταῦτα τὰ ἔπη. ΣΩ. Νῦν δή, ὦ Ἱππία, κινδυνεύω μανθάνειν ὃ λέγεις· τὸν πολύτροπον ψευδῆ λέγεις, ὥς γε φαίνεται. ΙΠ. Μάλιστα, ὦ Σώκρατες· τοιοῦτον γὰρ πεποίηκε τὸν Ὀδυσσέα Ὅμηρος πολλαχοῦ καὶ ἐν Ἰλιάδι καὶ ἐν Ὀδυσσείᾳ. ΣΩ. Ἐδόκει ἄρα, ὡς ἔοικεν, Ὁμήρῳ ἕτερος μὲν εἶναι ἀνὴρ ἀληθής, ἕτερος δὲ ψευδής, ἀλλ' οὐχ ὁ αὐτός. ΙΠ. Πῶς γὰρ οὐ μέλλει, ὦ Σώκρατες; ΣΩ. Ἦ καὶ σοὶ δοκεῖ αὐτῷ, ὦ Ἱππία; ΙΠ. Πάντων μάλιστα. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ μή. V. ΣΩ. Τὸν μὲν Ὅμηρον τοίνυν ἐάσωμεν, ἐπειδὴ καὶ ἀδύνατον ἐπανέρεσθαι, τί ποτε νοῶν ταῦτα ἐποίησε τὰ ἔπη· σὺ δ' ἐπειδὴ φαίνῃ ἀναδεχόμενος τὴν αἰτίαν καὶ σοὶ ξυνδοκεῖ ταῦτα ἅπερ φῂς Ὅμηρον λέγειν, ἀπόκριναι κοινῇ ὑπὲρ Ὁμήρου τε καὶ σαυτοῦ. ΙΠ. Ἔσται ταῦτα· ἀλλ' ἐρώτα ἔμβραχυ ὅ, τι βούλει. ΣΩ. Τοὺς ψευδεῖς λέγεις οἷον ἀδυνάτους τι ποιεῖν, ὥσπερ τοὺς κάμνοντας, ἢ δυνατούς τι ποιεῖν; ΙΠ. Δυνατοὺς ἔγωγε, καὶ μάλα σφόδρα, ἄλλα τε πολλὰ καὶ ἐξαπατᾶν ἀνθρώπους. ΣΩ. Δυνατοὶ μὲν δή, ὡς ἔοικεν, εἰσὶ κατὰ τὸν σὸν

ὅδε κελεύει ἐρέσθαι, εἰπέ τε καὶ δίδαξον ἡμᾶς σαφῶς, τί ἔλεγες περὶ τούτοιν τοῖν ἀνδροῖν, πῶς διακρίνεις αὐτούς. ΙΠ. Ἀλλ᾽ ἐγώ σοι, ὦ Σώκρατες, ἐθέλω ἔτι σαφέστερον ἢ τότε διελθεῖν ἃ λέγω καὶ περὶ τούτων καὶ περὶ ἄλλων. φημὶ γὰρ Ὅμηρον πεποιηκέναι ἄριστον μὲν ἄνδρα Ἀχιλλέα τῶν εἰς Τροίαν ἀφικομένων, σοφώτατον δὲ Νέστορα, πολυτροπώτατον δὲ Ὀδυσσέα. ΣΩ. Βαβαί, ὦ Ἱππία, ἆρ᾽ ἄν τί μοι χαρίσαιο τοιόνδε, μή μου καταγελᾶν ἐὰν μόλις μανθάνω τὰ λεγόμενα καὶ πολλάκις ἀνερωτῶ· ἀλλά μοι πειρῶ πράως τε καὶ εὐκόλως ἀποκρίνεσθαι. ΙΠ. Αἰσχρὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες, εἰ ἄλλους μὲν αὐτὰ ταῦτα παιδεύω καὶ ἀξιῶ διὰ ταῦτα χρήματα λαμβάνειν, αὐτὸς δὲ ὑπὸ σοῦ ἐρωτώμενος, μὴ ξυγγνώμην τ᾽ ἔχοιμι, καὶ πράως ἀποκρινοίμην. IV. ΣΩ. Πάνυ καλῶς λέγεις. ἐγὼ γάρ τοι ἡνίκα μὲν ἄριστον τὸν Ἀχιλλέα ἔφησθα πεποιῆσθαι, ἐδόκουν σου μανθάνειν ὅ, τι ἔλεγες, καὶ ἡνίκα τὸν Νέστορα σοφώτατον· ἐπειδὴ δὲ τὸν Ὀδυσσέα εἶπες ὅτι πεποιηκὼς εἴη ὁ ποιητὴς πολυτροπώτατον, τοῦτο δ᾽, ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι, παντάπασιν οὐκ οἶδ᾽ ὅ, τι λέγεις· καί μοι εἰπέ, ἄν τι ἐνθένδε μᾶλλον μάθω· ὁ Ἀχιλλεὺς οὐ πολύτροπος τῷ Ὁμήρῳ πεποίηται; ΙΠ. Ἥκιστά γε, ὦ Σώκρατες, ἀλλ᾽ ἁπλούστατος· ἐπεὶ καὶ ἐν λιταῖς ἡνίκα πρὸς ἀλλήλους ποιεῖ αὐτοὺς διαλεγομένους, λέγει αὐτῷ ὁ Ἀχιλλεὺς πρὸς τὸν Ὀδυσσέα,

Διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,

Ὥσπερ δὴ φρονέω τε, καὶ ὡς τελέεσθαι ὀΐω.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλησιν,
Ὅς γ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐρέω, ὡς καὶ τετελεσμένον ἔσται.

Ἐν τούτοις δηλοῖ τοῖς ἔπεσι τὸν τρόπον ἑκατέρου τοῦ ἀνδρός, ὡς ὁ μὲν Ἀχιλλεὺς εἴη ἀληθής τε καὶ ἁπλοῦς, ὁ δὲ Ὀδυσσεὺς πολύτροπός τε καὶ ψευδής· ποιεῖ γὰρ τὸν Ἀχιλλέα εἰς τὸν Ὀδυσσέα λέγοντα ταῦτα τὰ ἔπη. ΣΩ. Νῦν δή, ὦ Ἱππία, κινδυνεύω μανθάνειν ὃ λέγεις· τὸν πολύτροπον ψευδῆ λέγεις, ὥς γε φαίνεται. ΙΠ. Μάλιστα, ὦ Σώκρατες· τοιοῦτον γὰρ πεποίηκε τὸν Ὀδυσσέα Ὅμηρος πολλαχοῦ καὶ ἐν Ἰλιάδι καὶ ἐν Ὀδυσσείᾳ. ΣΩ. Ἐδόκει ἄρα, ὡς ἔοικεν, Ὁμήρῳ ἕτερος μὲν εἶναι ἀνὴρ ἀληθής, ἕτερος δὲ ψευδής, ἀλλ᾽ οὐχ ὁ αὐτός. ΙΠ. Πῶς γὰρ οὐ μέλλει, ὦ Σώκρατες; ΣΩ. Ἦ καὶ σοὶ δοκεῖ αὐτῷ, ὦ Ἱππία; ΙΠ. Πάντων μάλιστα. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ μή. V. ΣΩ. Τὸν μὲν Ὅμηρον τοίνυν ἐάσωμεν, ἐπειδὴ καὶ ἀδύνατον ἐπανέρεσθαι, τί ποτε νοῶν ταῦτα ἐποίησε τὰ ἔπη· σὺ δ᾽ ἐπειδὴ φαίνῃ ἀναδεχόμενος τὴν αἰτίαν καὶ σοὶ ξυνδοκεῖ ταῦτα ἅπερ φῂς Ὅμηρον λέγειν, ἀπόκριναι κοινῇ ὑπὲρ Ὁμήρου τε καὶ σαυτοῦ. ΙΠ. Ἔσται ταῦτα· ἀλλ᾽ ἐρώτα ἔμβραχυ ὅ, τι βούλει. ΣΩ. Τοὺς ψευδεῖς λέγεις οἷον ἀδυνάτους τι ποιεῖν, ὥσπερ τοὺς κάμνοντας, ἢ δυνατούς τι ποιεῖν; ΙΠ. Δυνατοὺς ἔγωγε, καὶ μάλα σφόδρα, ἄλλα τε πολλὰ καὶ ἐξαπατᾶν ἀνθρώπους. ΣΩ. Δυνατοὶ μὲν δή, ὡς ἔοικεν, εἰσὶ κατὰ τὸν σὸν

λόγων καὶ πολύτροποι. ἢ γάρ; ΙΠ. Ναί. ΣΩ. Πολύτροποι δ' εἰσὶ καὶ ἀπατεῶνες ὑπὸ ἠλιθιότητος καὶ ἀφροσύνης, ἢ ὑπὸ πανουργίας καὶ φρονήσεώς τινος; ΙΠ. Ὑπὸ πανουργίας πάντων μάλιστα καὶ φρονήσεως. ΣΩ. Φρόνιμοι μὲν ἄρα εἰσίν, ὡς ἔοικε. ΙΠ. Ναὶ μὰ Δία, λίαν γε. ΣΩ. Φρόνιμοι δὲ ὄντες οὐκ ἐπίστανται ὅ, τι ποιοῦσιν, ἢ ἐπίστανται; ΙΠ. Καὶ μάλα καὶ σφόδρα ἐπίστανται· διὰ τοῦτο καὶ κακουργοῦσι. ΣΩ. Ἐπιστάμενοι δὲ ταῦτα ἃ ἐπίστανται, πότερον ἀμαθεῖς εἰσὶν ἢ σοφοί; ΙΠ. Σοφοὶ μὲν οὖν αὐτά γε ταῦτα ἐξαπατᾷν. VI. ΣΩ. Ἔχε δή, ἀναμνησθῶμεν τί ἐστιν ὃ λέγεις. τοὺς ψευδεῖς φῂς εἶναι δυνατοὺς καὶ φρονίμους καὶ ἐπιστήμονας καὶ σοφούς, εἰς ἅπερ ψευδεῖς; ΙΠ. Φημὶ γὰρ οὖν. ΣΩ. Ἄλλους δὲ τοὺς ἀληθεῖς τε καὶ ψευδεῖς, καὶ ἐναντιωτάτους ἀλλήλοις; ΙΠ. Λέγω ταῦτα. ΣΩ. Φέρε δή· τῶν μὲν δυνατῶν τινὲς καὶ σοφῶν, ὡς ἔοικεν, εἰσὶν οἱ ψευδεῖς, κατὰ τὸν σὸν λόγον. ΙΠ. Μάλιστά γε. ΣΩ. Ὅταν δὴ λέγῃς δυνατοὺς καὶ σοφοὺς εἶναι τοὺς ψευδεῖς εἰς αὐτὰ ταῦτα, πότερον λέγεις δυνατοὺς εἶναι ψεύδεσθαι ἐὰν βούλωνται, ἢ ἀδυνάτους εἰς ταῦτα ἅπερ ψεύδονται; ΙΠ. Δυνατοὺς ἔγωγε. ΣΩ. Ὡς ἐν κεφαλαίῳ ἄρα εἰρῆσθαι, οἱ ψευδεῖς εἰσὶ σοφοί τε καὶ δυνατοὶ ψεύδεσθαι. ΙΠ. Ναί. ΣΩ. Ἀδύνατος ἄρα ψεύδεσθαι ἀνὴρ καὶ ἀμαθὴς οὐκ ἂν εἴη ψευδής; ΙΠ. Ἔχει οὕτω. ΣΩ. Δυνατὸς δ' ἐστὶν ἕκαστος ἄρα, ὃς ἂν ποιῇ τότε ὃ ἂν βούληται, ὅταν βούληται, οὐχ ὑπὸ νόσου, λέγω,

ἐξειργασμένος, οὐδὲ τῶν τοιούτων, ἀλλὰ ὥσπερ σὺ δυνατὸς εἶ γράψαι τοὐμὸν ὄνομα, ὅταν βούλῃ, οὕτω λέγω· ἆρ᾽ οὐχ ὃς ἂν οὕτως ἔχοι, καλεῖς σὺ δυνατόν; *ΙΠ.* Ναί. VII. *ΣΩ.* Λέγε δή μοι, ὦ Ἱππία, οὐ σὺ μέντοι ἔμπειρος εἶ λογισμῶν καὶ λογιστικῆς; *ΙΠ.* Πάντων μάλιστα, ὦ Σώκρατες. *ΣΩ.* Οὐκοῦν εἰ καί τίς σε ἔροιτο, τὰ τρὶς ἑπτακόσια ὁπόσος ἐστὶν ἀριθμός, εἰ βούλοιο, πάντων τάχιστα καὶ μάλιστα ἂν εἴπῃς τἀληθῆ περὶ τούτου; *ΙΠ.* Πάνυ γε. *ΣΩ.* Ἆρα ὅτι δυνατώτατός τε εἶ καὶ σοφώτατος κατὰ ταῦτα; *ΙΠ.* Ναί. *ΣΩ.* Πότερον οὖν σοφώτατός τε εἶ καὶ δυνατώτατος μόνον, ἢ καὶ ἄριστος ταῦτα ἅπερ δυνατώτατός τε καὶ σοφώτατος, τὰ λογιστικά; *ΙΠ.* Καὶ ἄριστος δήπου, ὦ Σώκρατες. *ΣΩ.* Τὰ μὲν δὴ ἀληθῆ σὺ ἂν δυνατώτατα εἴποις περὶ τούτων· ἦ γάρ; *ΙΠ.* Οἶμαι ἔγωγε. *ΣΩ.* Τί δέ; τὰ ψευδῆ περὶ τῶν αὐτῶν τούτων; καί μοι, ὥσπερ τὰ πρότερα, γενναίως καὶ μεγαλοπρεπῶς ἀπόκριναι, ὦ Ἱππία. εἴ τίς σε ἔροιτο, τὰ τρὶς ἑπτακόσια πόσα ἐστί, πότερον σὺ ἂν μάλιστα ψεύδοιο, καὶ ἀεὶ κατὰ ταυτὰ ψευδῆ λέγοις περὶ τούτων, βουλόμενος ψεύδεσθαι καὶ μηδέποτε ἀληθῆ ἀποκρίνεσθαι, ἢ ὁ ἀμαθὴς εἰς λογισμοὺς δύναιτ᾽ ἂν σου μᾶλλον ψεύδεσθαι βουλομένου; ἢ ὁ μὲν ἀμαθὴς πολλάκις ἂν βουλόμενος ψευδῆ λέγειν, τἀληθῆ ἂν εἴποι ἄκων, εἰ τύχοι, διὰ τὸ μὴ εἰδέναι, σὺ δὲ ὁ σοφός, εἴπερ βούλοιο ψεύδεσθαι, ἀεὶ ἂν κατὰ τὰ αὐτὰ ψεύδοιο; *ΙΠ.* Ναί· οὕτως ἔχει ὡς σὺ λέγεις. *ΣΩ.* Ὁ ψευδὴς οὖν πό-

τερα περὶ μὲν τἆλλα ψευδής ἐστιν, οὐ μέντοι περὶ ἀριθμόν; οὐδὲ ἀριθμῶν ἂν ψεύσαιτο; ΙΠ. Καὶ ναὶ μὰ Δία περὶ ἀριθμόν. VIII. ΣΩ. Θῶμεν ἄρα καὶ τοῦτο, ὦ Ἱππία, περὶ λογισμόν τε καὶ ἀριθμὸν εἶναί τινα ἄνθρωπον ψευδῆ; ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ἂν εἴη οὗτος; οὐχὶ δεῖ ὑπάρχειν αὐτῷ, εἴπερ μέλλει ψευδὴς ἔσεσθαι, ὡς σὺ ἄρτι ὡμολόγεις, δυνατὸν εἶναι ψεύδεσθαι; ὁ γὰρ ἀδύνατος ψεύδεσθαι, εἰ μέμνησαι, ὑπὸ σοῦ ἐλέγετο ὅτι οὐκ ἄν ποτε ψευδὴς γένοιτο. ΙΠ. Ἀλλὰ μέμνημαι, καὶ ἐλέχθη οὕτως. ΣΩ. Οὐκοῦν ἄρτι ἐφάνης σὺ δυνατώτατος ὢν ψεύδεσθαι περὶ λογισμόν; ΙΠ. Ναί, ἐλέχθη γέ τοι καὶ τοῦτο. ΣΩ. Ἆρ' οὖν καὶ δυνατώτατος εἶ ἀληθῆ λέγειν περὶ λογισμῶν; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ὁ αὐτὸς ψευδῆ καὶ ἀληθῆ λέγειν περὶ λογισμῶν δυνατώτατος; οὗτος δ' ἐστὶν ὁ ἀγαθὸς περὶ τούτων, ὁ λογιστικός; ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ψευδὴς περὶ λογισμῶν γίγνεται, ὦ Ἱππία, ἄλλος, ἢ ὁ ἀγαθός; ὁ αὐτὸς γὰρ καὶ δυνατός· οὗτος δὲ καὶ ἀληθής. ΙΠ. Φαίνεται. ΣΩ. Ὁρᾷς οὖν ὅτι ὁ αὐτὸς ψευδής τε καὶ ἀληθὴς περὶ τούτων, καὶ οὐδὲν ἀμείνων ὁ ἀληθὴς τοῦ ψευδοῦς; ὁ αὐτὸς γάρ δή που ἐστὶ καὶ οὐκ ἐναντιότητα ἔχει, ὥσπερ σὺ ᾤου ἄρτι. ΙΠ. Οὐ φαίνεται ἐνταῦθά γε. ΣΩ. Βούλει οὖν σκεψώμεθα καὶ ἄλλοθι; ΙΠ. Εἰ ἄλλως γε σὺ βούλει. IX. ΣΩ. Οὐκοῦν καὶ γεωμετρίας ἔμπειρος εἶ; ΙΠ. Ἔγωγε. ΣΩ. Τί οὖν; οὐ καὶ ἐν γεωμετρίᾳ οὕτως ἔχει; ὁ αὐτὸς δυνατώτατος ψεύδεσθαι καὶ ἀληθῆ λέγειν περὶ τῶν

διαγραμμάτων, ὁ γεωμετρικός; ΙΠ. Ναί. ΣΩ. Περὶ ταῦτα οὖν ἀγαθὸς ἄλλος τις, ἢ οὗτος; ΙΠ. Οὐκ ἄλλος. ΣΩ. Οὐκοῦν ὁ ἀγαθὸς καὶ σοφὸς γεωμέτρης δυνατώτατός γε ἀμφότερα; καὶ εἴπερ τις ἄλλος ψευδὴς περὶ διαγράμματα, οὗτος ἂν εἴη, ὁ ἀγαθός· οὗτος γὰρ δυνατός· ὁ δὲ κακὸς ἀδύνατος ἦν ψεύδεσθαι· ὥστε οὐκ ἂν γένοιτο ψευδὴς ὁ μὴ δυνάμενος ψεύδεσθαι, ὡς ὡμολόγηται. ΙΠ. Ἔστι ταῦτα. ΣΩ. Ἔτι τοίνυν καὶ τὸν τρίτον ἐπισκεψώμεθα, τὸν ἀστρονόμον, ἧς αὖ σὺ τέχνης ἔτι μᾶλλον ἐπιστήμων οἴει εἶναι, ἢ τῶν ἔμπροσθεν. ἦ γάρ, ὦ Ἱππία; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ἐν ἀστρονομίᾳ ταὐτὰ ταῦτά ἐστιν. ΙΠ. Εἰκός γε, ὦ Σώκρατες. ΣΩ. Καὶ ἐν ἀστρονομίᾳ ἄρα εἴπερ τις καὶ ἄλλος ψευδής, ὁ ἀγαθὸς ἀστρονόμος ψευδὴς ἔσται, ὁ δυνατὸς ψεύδεσθαι· οὐ γὰρ ὅγε ἀδύνατος· ἀμαθὴς γάρ. ΙΠ. Φαίνεται οὕτως. ΣΩ. Ὁ αὐτὸς ἄρα καὶ ἐν ἀστρονομίᾳ ἀληθής τε καὶ ψευδὴς ἔσται. ΙΠ. Ἔοικεν. X. ΣΩ. Ἴθι δή, ὦ Ἱππία, ἀνέδην οὑτωσὶ ἐπίσκεψαι κατὰ πασῶν τῶν ἐπιστημῶν, εἴπου ἔστιν ἄλλως ἔχον ἢ οὕτως. πάντως δὲ πλείστας τέχνας πάντων σοφώτατος εἶ ἀνθρώπων, ὡς ἐγώ ποτέ σου ἤκουον μεγαλαυχουμένου, πολλὴν σοφίαν καὶ ζηλωτὴν σαυτοῦ διεξιόντος ἐν ἀγορᾷ ἐπὶ ταῖς τραπέζαις. ἔφησθα δὲ ἀφικέσθαι ποτὲ εἰς Ὀλυμπίαν, ἃ εἶχες περὶ τὸ σῶμα ἅπαντα, σαυτοῦ ἔργα ἔχων, πρῶτον μέν, δακτύλιον (ἐντεῦθεν γὰρ ἤρχου), ὃν εἶχες, σαυτοῦ ἔχειν ἔργον, ὡς ἐπιστάμενος δακτυλίους γλύφειν, καὶ ἄλλην σφραγῖ-

τερα περὶ μὲν τἄλλα ψευδής ἐστιν, οὐ μέντοι περὶ ἀριθμόν; οὐδὲ ἀριθμῶν ἂν ψεύσαιτο; ΙΠ. Καὶ ναὶ μὰ Δία περὶ ἀριθμόν. VIII. ΣΩ. Θῶμεν ἄρα καὶ τοῦτο, ὦ Ἱππία, περὶ λογισμόν τε καὶ ἀριθμὸν εἶναί τινα ἄνθρωπον ψευδῆ; ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ἂν εἴη οὗτος; οὐχὶ δεῖ ὑπάρχειν αὐτῷ, εἴπερ μέλλει ψευδὴς ἔσεσθαι, ὡς σὺ ἄρτι ὡμολόγεις, δυνατὸν εἶναι ψεύδεσθαι; ὁ γὰρ ἀδύνατος ψεύδεσθαι, εἰ μέμνησαι, ὑπὸ σοῦ ἐλέγετο ὅτι οὐκ ἄν ποτε ψευδὴς γένοιτο. ΙΠ. Ἀλλὰ μέμνημαι, καὶ ἐλέχθη οὕτως. ΣΩ. Οὐκοῦν ἄρτι ἐφάνης σὺ δυνατώτατος ὢν ψεύδεσθαι περὶ λογισμόν; ΙΠ. Ναί, ἐλέχθη γέ τοι καὶ τοῦτο. ΣΩ. Ἆρ' οὖν καὶ δυνατώτατος εἶ ἀληθῆ λέγειν περὶ λογισμῶν; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ὁ αὐτὸς ψευδῆ καὶ ἀληθῆ λέγειν περὶ λογισμῶν δυνατώτατος; οὗτος δ' ἐστὶν ὁ ἀγαθὸς περὶ τούτων, ὁ λογιστικός; ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ψευδὴς περὶ λογισμῶν γίγνεται, ὦ Ἱππία, ἄλλος, ἢ ὁ ἀγαθός; ὁ αὐτὸς γὰρ καὶ δυνατός· οὗτος δὲ καὶ ἀληθής. ΙΠ. Φαίνεται. ΣΩ. Ὁρᾷς οὖν ὅτι ὁ αὐτὸς ψευδής τε καὶ ἀληθὴς περὶ τούτων, καὶ οὐδὲν ἀμείνων ὁ ἀληθὴς τοῦ ψευδοῦς; ὁ αὐτὸς γάρ δή που ἐστὶ καὶ οὐκ ἐναντιότητα ἔχει, ὥςπερ σὺ ᾤου ἄρτι. ΙΠ. Οὐ φαίνεται ἐνταῦθά γε. ΣΩ. Βούλει οὖν σκεψώμεθα καὶ ἄλλοθι; ΙΠ. Εἰ ἄλλως γε σὺ βούλει. IX. ΣΩ. Οὐκοῦν καὶ γεωμετρίας ἔμπειρος εἶ; ΙΠ. Ἔγωγε. ΣΩ. Τί οὖν; οὐ καὶ ἐν γεωμετρίᾳ οὕτως ἔχει; ὁ αὐτὸς δυνατώτατος ψεύδεσθαι καὶ ἀληθῆ λέγειν περὶ τῶν

διαγραμμάτων, ὁ γεωμετρικός; ΙΠ. Ναί. ΣΩ. Περὶ ταῦτα οὖν ἀγαθὸς ἄλλος τις, ἢ οὗτος; ΙΠ. Οὐκ ἄλλος. ΣΩ. Οὐκοῦν ὁ ἀγαθὸς καὶ σοφὸς γεωμέτρης δυνατώτατός γε ἀμφότερα; καὶ εἴπερ τις ἄλλος ψευδὴς περὶ διαγράμματα, οὗτος ἂν εἴη, ὁ ἀγαθός· οὗτος γὰρ δυνατός· ὁ δὲ κακὸς ἀδύνατος ἦν ψεύδεσθαι· ὥστε οὐκ ἂν γένοιτο ψευδὴς ὁ μὴ δυνάμενος ψεύδεσθαι, ὡς ὡμολόγηται. ΙΠ. Ἔστι ταῦτα. ΣΩ. Ἔτι τοίνυν καὶ τὸν τρίτον ἐπισκεψώμεθα, τὸν ἀστρονόμον, ἧς αὖ σὺ τέχνης ἔτι μᾶλλον ἐπιστήμων οἴει εἶναι, ἢ τῶν ἔμπροσθεν. ἦ γάρ, ὦ Ἱππία; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ἐν ἀστρονομίᾳ ταυτὰ ταῦτά ἐστιν. ΙΠ. Εἰκός γε, ὦ Σώκρατες. ΣΩ. Καὶ ἐν ἀστρονομίᾳ ἄρα εἴπερ τις καὶ ἄλλος ψευδής, ὁ ἀγαθὸς ἀστρονόμος ψευδὴς ἔσται, ὁ δυνατὸς ψεύδεσθαι: οὐ γὰρ ὅγε ἀδύνατος· ἀμαθὴς γάρ. ΙΠ. Φαίνεται οὕτως. ΣΩ. Ὁ αὐτὸς ἄρα καὶ ἐν ἀστρονομίᾳ ἀληθής τε καὶ ψευδὴς ἔσται. ΙΠ. Ἔοικεν. X. ΣΩ. Ἴθι δή, ὦ Ἱππία, ἀνέδην ουτωσὶ ἐπίσκεψαι κατὰ πασῶν τῶν ἐπιστημῶν, εἴπου ἔστιν ἄλλως ἔχον ἢ οὕτως. πάντως δὲ πλείστας τέχνας πάντων σοφώτατος εἶ ἀνθρώπων, ὡς ἐγώ ποτέ σου ἤκουον μεγαλαυχουμένου, πολλὴν σοφίαν καὶ ζηλωτὴν σαυτοῦ διεξιόντος ἐν ἀγορᾷ ἐπὶ ταῖς τραπέζαις. ἔφησθα δὲ ἀφικέσθαι ποτὲ εἰς Ὀλυμπίαν, ἃ εἶχες περὶ τὸ σῶμα ἅπαντα, σαυτοῦ ἔργα ἔχων, πρῶτον μέν, δακτύλιον (ἐντεῦθεν γὰρ ἤρχου), ὃν εἶχες, σαυτοῦ ἔχειν ἔργον, ὡς ἐπιστάμενος δακτυλίους γλύφειν, καὶ ἄλλην σφραγῖ-

δα, σὸν ἔργον, καὶ στλεγγίδα, καὶ λήκυθον, ἃ αὐτὸς εἰργάσω· ἔπειτα ὑποδήματα, ἃ εἶχες, ἔφησθα αὐτὸς σκυτοτομῆσαι, καὶ τὸ ἱμάτιον ὑφῆναι καὶ τὸν χιτωνίσκον· καὶ (ὅ γε πᾶσιν ἔδοξεν ἀτοπώτατον καὶ σοφίας πλείστης ἐπίδειγμα) ἔτι δὲ τὴν ζώνην ἔφησθα τοῦ χιτωνίσκου ἣν εἶχες, εἶναι μὲν οἷαι αἱ Περσικαὶ τῶν πολυτελῶν, ταύτην δὲ αὐτὸς πλέξαι. πρὸς δὲ τούτοις ποιήματα ἔχων ἐλθεῖν, καὶ ἔπη καὶ τραγῳδίας, καὶ διθυράμβους, καὶ καταλογάδην πολλοὺς λόγους καὶ παντοδαποὺς ξυγκειμένους· καὶ περὶ τῶν τεχνῶν δὴ ὧν ἄρτι ἐγὼ ἔλεγον ἐπιστήμων ἀφικέσθαι διαφερόντως τῶν ἄλλων, καὶ περὶ ῥυθμῶν καὶ ἁρμονιῶν καὶ γραμμάτων ὀρθότητος· καὶ ἄλλα ἔτι πρὸς τούτοις πάνυ πολλά, ὡς ἐγὼ δοκῶ μνημονεύειν· καίτοι τό γε μνημονικὸν ἐπελαθόμην σου, ὡς ἔοικε, τέχνημα, ἐν ᾧ σὺ οἴει λαμπρότατος εἶναι· οἶμαι δὲ καὶ ἄλλα πάμπολλα ἐπιλελῆσθαι. XI. Ἀλλ' ὅπερ ἐγὼ λέγω, καὶ εἰς τὰς σαυτοῦ βλέψας τέχνας, (ἱκαναὶ δέ,) καὶ εἰς τὰς τῶν ἄλλων, εἰπέ μοι ἐάν που εὕρῃς ἐκ τῶν ὡμολογημένων ἐμοί τε καὶ σοί, ὅπου ἐστὶν ὁ μὲν ἀληθής, ὁ δὲ ψευδής, χωρίς, καὶ οὐχ ὁ αὐτός; ἐν ᾗ τινι βούλει σοφίᾳ τοῦτο σκέψαι, ἢ πανουργίᾳ, ἢ ὁτιοῦν χαίρεις ὀνομάζειν; ἀλλ' οὐχ εὑρήσεις, ὦ ἑταῖρε· οὐ γάρ ἐστιν· ἐπεὶ σὺ εἰπέ. *ΙΠ.* Ἀλλ' οὐκ ἔχω, ὦ Σώκρατες, νῦν γε οὕτω. *ΣΩ.* Οὐδέ γε ἕξεις, ὡς ἐγὼ οἶμαι. εἰ δ' ἐγὼ ἀληθῆ λέγω, μέμνησαι ὃ ἡμῖν ξυμβαίνει ἐκ τοῦ λόγου, ὦ Ἱππία. *ΙΠ.* Οὐ πάνυ τι ἐννοῶ, ὦ Σώκρατες, ὃ λέγεις. *ΣΩ.* Νυνὶ

γὰρ ἴσως οὐ χρῇ τῷ μνημονικῷ τεχνήματι· δῆλον γὰρ ὅτι οὐκ οἴει δεῖν· ἀλλ' ἐγώ σε ὑπομνήσω. οἶσθα ὅτι τὸν μὲν Ἀχιλλέα ἔφησθα ἀληθῆ εἶναι, τὸν δὲ Ὀδυσσέα ψευδῆ καὶ πολύτροπον; ΙΠ. Ναί. ΣΩ. Νῦν οὖν αἰσθάνῃ ὅτι ἀναπέφανται ὁ αὐτὸς ὢν ψευδής τε καὶ ἀληθής; ὥστε εἰ ψευδὴς ὁ Ὀδυσσεὺς ἦν, καὶ ἀληθὴς γίγνεται, καὶ εἰ ἀληθὴς ὁ Ἀχιλλεύς, καὶ ψευδής, καὶ οὐ διάφοροι ἀλλήλων οἱ ἄνδρες οὐδ' ἐναντίοι, ἀλλ' ὅμοιοι. ΙΠ. Ὦ Σώκρατες, ἀεὶ σύ τινας τοιούτους πλέκεις λόγους, καὶ ἀπολαμβάνων ὃ ἂν ᾖ δυσχερέστατον τοῦ λόγου, τούτου ἔχῃ κατὰ σμικρὸν ἐφαπτόμενος, καὶ οὐχ ὅλῳ ἀγωνίζῃ τῷ πράγματι, περὶ ὅτου ἂν ὁ λόγος ᾖ· ἐπεὶ καὶ νῦν, ἐὰν βούλῃ, ἐπὶ πολλῶν τεκμηρίων ἀποδείξω σοι ἱκανῷ λόγῳ, Ὅμηρον Ἀχιλλέα πεποιηκέναι ἀμείνω Ὀδυσσέως καὶ ἀψευδῆ, τὸν δὲ δολερόν τε καὶ πολλὰ ψευδόμενον καὶ χείρω Ἀχιλλέως. εἰ δὲ βούλει σὺ αὖ, ἀντιπαράβαλλε λόγον παρὰ λόγον, ὡς ὁ ἕτερος ἀμείνων ἐστί, καὶ μᾶλλον εἴσονται οὗτοι, ὁπότερος ἄμεινον λέγει.

XII. ΣΩ. Ὦ Ἱππία, ἐγώ τοι οὐκ ἀμφισβητῶ, μὴ οὐχὶ σε εἶναι σοφώτερον ἢ ἐμέ, ἀλλ' ἀεὶ εἴωθα, ἐπειδάν τις λέγῃ τι, προσέχειν τὸν νοῦν· ἄλλως τε καὶ ἐπειδάν μοι δοκῇ σοφὸς εἶναι ὁ λέγων, καὶ ἐπιθυμῶν μαθεῖν ὅ, τι λέγει, διαπυνθάνομαι καὶ ἐπανασκοπῶ καὶ ξυμβιβάζω τὰ λεγόμενα, ἵνα μάθω· ἐὰν δὲ φαῦλος δοκῇ μοι εἶναι ὁ λέγων, οὔτε ἐπανερωτῶ, οὔτε μοι μέλει περὶ ὧν λέγει. καὶ γνώσῃ τούτῳ, οὓς ἂν ἐγὼ ἡγῶμαι σοφοὺς εἶναι· εὑρήσεις γάρ με λιπαρῆ ὄντα

περὶ τὰ λεγόμενα ὑπὸ τούτου καὶ πυνθανόμενον παρ᾽ αὐτοῦ, ἵνα μαθών τι ὠφεληθῶ. ἐπεὶ καὶ νῦν ἐννενόηκά σου λέγοντος ὅτι ἐν τοῖς ἔπεσιν, οἷς σὺ ἄρτι ἔλεγες ἐνδεικνύμενος τὸν Ἀχιλλέα εἰς τὸν Ὀδυσσέα λέγειν, ὡς ἀλαζόνα ὄντα, ἄτοπόν μοι δοκεῖ εἶναι εἰ σὺ ἀληθῆ λέγεις· ὅτι ὁ μὲν Ὀδυσσεὺς οὐδαμοῦ φαίνεται ψευσάμενος, ὁ πολύτροπος, ὁ δὲ Ἀχιλλεὺς πολύτροπός τις φαίνεται κατὰ τὸν σὸν λόγον· ψεύδεται γοῦν. προειπὼν γὰρ ταῦτα τὰ ἔπη, ἅπερ καὶ σὺ εἶπες ἄρτι,

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλα δὲ εἴπῃ,

ὀλίγον ὕστερον λέγει ὡς οὔτ᾽ ἂν ἀναπεισθείη ὑπὸ τοῦ Ὀδυσσέως τε καὶ τοῦ Ἀγαμέμνονος, οὔτε μένοι τοπαράπαν ἐν τῇ Τροίᾳ, ἀλλ᾽

Αὔριον ἱρὰ Διῒ ῥέξας, φησί, καὶ πᾶσι θεοῖσι,
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
Ὄψεαι, αἴκ᾽ ἐθέλῃσθα, καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
Ἦρι μάλ᾽ Ἑλλήσποντον ἐπ᾽ ἰχθυόεντα πλεούσας
Νῆας ἐμάς, ἐν δ᾽ ἄνδρας ἐρεσσέμεναι μεμαῶτας.
Εἰ δέ κεν εὐπλοΐην δώῃ κλυτὸς Ἐννοσίγαιος,
Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.

Ἔτι δὲ πρότερον τούτων πρὸς τὸν Ἀγαμέμνονα λοιδορούμενος εἶπε,

Νῦν δ᾽ εἶμι Φθίηνδ᾽, ἐπειὴ πολὺ λώϊόν ἐστιν
Οἴκαδ᾽ ἴμεν σὺν νηυσὶ κορωνίσιν· οὐδέ σ᾽ ὀΐω
Ἐνθάδ᾽, ἄτιμος ἐών, ἄφενος καὶ πλοῦτον ἀφύξειν.

Ταῦτα εἰπών, τοτὲ μὲν ἐναντίον τῆς στρατιᾶς πάσης,

ποτὲ δὲ πρὸς τοὺς ἑαυτοῦ ἑταίρους, οὐδαμοῦ φαίνεται οὔτε παρασκευασάμενος, οὔτ' ἐπιχειρήσας καθέλκειν τὰς ναῦς, ὡς ἀποπλευσούμενος οἴκαδε, ἀλλὰ πάνυ γενναίως ὀλιγωρῶν τοῦ τἀληθῆ λέγειν. ἐγὼ μὲν οὖν, ὦ Ἱππία, καὶ ἐξ ἀρχῆς σε ἠρόμην, ἀπορῶν ὁπότερος τούτοιν τοῖν ἀνδροῖν ἀμείνων πεποίηται τῷ ποιητῇ, καὶ ἡγούμενος ἀμφοτέρω ἀρίστω εἶναι καὶ δύσκριτον ὁπότερος ἀμείνων εἴη, καὶ περὶ ψεύδους καὶ ἀληθείας καὶ τῆς ἄλλης ἀρετῆς· ἀμφοτέρω γὰρ καὶ κατὰ τοῦτο παραπλησίω ἐστόν. XIII. ΙΠ. Οὐ γὰρ καλῶς σκοπεῖς, ὦ Σώκρατες. ἃ μὲν γὰρ ὁ Ἀχιλλεὺς ψεύδεται, οὐκ ἐξ ἐπιβουλῆς φαίνεται ψευδόμενος, ἀλλ' ἄκων, διὰ τὴν ξυμφορὰν τὴν τοῦ στρατοπέδου ἀναγκασθεὶς καταμεῖναι καὶ βοηθῆσαι· ἃ δὲ ὁ Ὀδυσσεὺς, ἑκών τε καὶ ἐξ ἐπιβουλῆς. ΣΩ. Ἐξαπατᾷς με, ὦ φίλτατε Ἱππία, καὶ αὐτὸς τὸν Ὀδυσσέα μιμῇ. ΙΠ. Οὐδαμῶς, ὦ Σώκρατες. λέγεις δὴ τί καὶ πρὸς τί; ΣΩ. Ὅτι οὐκ ἐξ ἐπιβουλῆς φῂς τὸν Ἀχιλλέα ψεύδεσθαι, ὃς ἦν οὕτω γόης καὶ ἐπίβουλος πρὸς τὴν ἀλαζονείαν (ὡς πεποίηκεν Ὅμηρος) ὥςτε καὶ τοῦ Ὀδυσσέως τοσοῦτον φαίνεται φρονεῖν πλέον, πρὸς τὸ ῥᾳδίως λανθάνειν αὐτὸν ἀλαζονευόμενος, ὥςτε ἐναντίον αὐτοῦ αὐτὸς ἑαυτῷ ἐτόλμα ἐναντία λέγειν, καὶ ἐλάνθανε τὸν Ὀδυσσέα. οὐδὲν γοῦν φαίνεται εἰπὼν πρὸς αὐτὸν ὡς μὴ αἰσθανόμενος αὐτοῦ ψευδομένου ὁ Ὀδυσσεύς. ΙΠ. Ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; ΣΩ. Οὐκ οἶσθα ὅτι λέγων, [ὕστερον ἢ ὡς πρὸς τὸν Ὀδυσσέα ἔφη] ἅμα τῇ ἠοῖ ἀποπλευσεῖσθαι, πρὸς τὸν Αἴαν-

τα δὲ οὐκ αὖ φησὶν ἀποπλευσεῖσθαι, ἀλλὰ ἄλλα λέγει. ΙΠ. Ποῦ δή; ΣΩ. Ἐν οἷς λέγει,

Οὐ γὰρ πρὶν πολέμοιο μεθήσομαι αἱματόεντος,
Πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι,
Κτείνοντ' Ἀργείους, κατά τε σμῆξαι πυρὶ νῆας.
Ἀμφὶ δέ μιν τῇ 'μῇ κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.

XIV. Σὺ δὴ οὖν, ὦ Ἱππία, πότερον οὕτως ἐπιλήσμονα οἴει εἶναι τὸν τῆς Θέτιδός τε καὶ ὑπὸ τοῦ σοφωτάτου Χείρωνος πεπαιδευμένον, ὥςτε ὀλίγον πρότερον λοιδοροῦντα τοὺς ἀλαζόνας τῇ ἐσχάτῃ λοιδορίᾳ, αὐτὸν παραχρῆμα πρὸς μὲν τὸν Ὀδυσσέα φάναι ἀποπλευσεῖσθαι, πρὸς δὲ τὸν Αἴαντα, μενεῖν, ἀλλ' οὐκ ἐπιβουλεύοντά τε καὶ ἡγούμενον ἀρχαῖον εἶναι τὸν Ὀδυσσέα, καὶ αὐτοῦ αὐτῷ τούτῳ τῷ τεχνάζειν τε καὶ ψεύδεσθαι περιέσεσθαι; ΙΠ. Οὔκουν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀλλὰ καὶ αὐτὰ ταῦτα ὑπὸ εὐηθίας ἀναπεισθεὶς πρὸς τὸν Αἴαντα ἄλλα εἶπεν ἢ πρὸς τὸν Ὀδυσσέα· ὁ δὲ Ὀδυσσεὺς ἅ τε ἀληθῆ λέγει, ἐπιβουλεύσας ἀεὶ λέγει, καὶ ὅσα ψεύδεται, ὡςαύτως. ΣΩ. Ἀμείνων ἄρ' ἐστίν, ὡς ἔοικεν, ὁ Ὀδυσσεὺς Ἀχιλλέως. ΙΠ. Ἥκιστά γε δήπου, ὦ Σώκρατες. ΣΩ. Τί δέ; οὐκ ἄρτι ἐφάνησαν οἱ ἑκόντες ψευδόμενοι βελτίους ἢ οἱ ἄκοντες; ΙΠ. Καὶ πῶς ἄν, ὦ Σώκρατες, οἱ ἑκόντες ἀδικοῦντες, καὶ ἑκόντες ἐπιβουλεύσαντες καὶ κακὰ ἐργασάμενοι, βελτίους ἂν εἶεν τῶν ἀκόντων; οἷς πολλὴ δοκεῖ ξυγγνώμη εἶναι, ἐὰν μὴ εἰδώς τις ἀδι-

κήσῃ, ἢ ψεύσηται, ἢ ἄλλο τι κακὸν ποιήσῃ· καὶ οἱ νόμοι δήπου πολὺ χαλεπώτεροί εἰσι τοῖς ἑκοῦσι κακὰ ἐργαζομένοις καὶ ψευδομένοις, ἢ τοῖς ἄκουσιν. XV. ΣΩ. Ὁρᾷς, ὦ Ἱππία, ὅτι ἐγὼ ἀληθῆ λέγω, λέγων ὡς λιπαρής εἰμι πρὸς τὰς ἐρωτήσεις τῶν σοφῶν, καὶ κινδυνεύω ἓν μόνον ἔχειν τοῦτο ἀγαθὸν, τἄλλα ἔχων πάνυ γε φαῦλα. τῶν μὲν γὰρ πραγμάτων ᾗ ἔχει ἔσφαλμαι, καὶ οὐκ οἶδ᾽ ὅπῃ ἐστί· τεκμήριον δέ μοι τούτου ἱκανὸν, ὅτι, ἐπειδὰν ξυγγένωμαί τῳ ὑμῶν τῶν εὐδοκιμούντων ἐπὶ σοφίᾳ, καὶ οἷς οἱ Ἕλληνες πάντες μάρτυρές εἰσι τῆς σοφίας, φαίνομαι οὐδὲν εἰδώς· οὐδὲν γάρ μοι δοκεῖ τῶν αὐτῶν καὶ ὑμῖν, ὡς ἔπος εἰπεῖν. καίτοι τί μεῖζον ἀμαθίας τεκμήριον, ἢ ἐπειδάν τις σοφοῖς ἀνδράσι διαφέρηται; ἓν δὲ τοῦτο θαυμάσιον ἔχω ἀγαθὸν, ὅ με σώζει· οὐ γὰρ αἰσχύνομαι μανθάνων, ἀλλὰ πυνθάνομαι καὶ ἐρωτῶ, καὶ χάριν πολλὴν ἔχω τῷ ἀποκρινομένῳ, καὶ οὐδένα πώποτε ἀπεστέρησα χάριτος. οὐ γὰρ πώποτε ἔξαρνος ἐγενόμην μαθών τι, ἐμαυτοῦ ποιούμενος τὸ μάθημα εἶναι ὡς εὕρημα, ἀλλ᾽ ἐγκωμιάζω τὸν διδάξαντά με ὡς σοφὸν ὄντα, ἀποφαίνων ἃ ἔμαθον παρ᾽ αὐτοῦ. καὶ δὴ καὶ νῦν, ἃ σὺ λέγεις, οὐχ ὁμολογῶ σοι, ἀλλὰ διαφέρομαι πάνυ σφόδρα, καὶ τοῦτ᾽ εὖ οἶδα ὅτι δι᾽ ἐμὲ γίγνεται, ὅτι τοιοῦτός εἰμι οἷός πέρ εἰμι, ἵνα μηδὲν ἐμαυτὸν μεῖζον εἴπω. ἐμοὶ γὰρ φαίνεται, ὦ Ἱππία, πᾶν τοὐναντίον ἢ ὃ σὺ λέγεις· οἱ βλάπτοντες τοὺς ἀνθρώπους καὶ ἀδικοῦντες καὶ ψευδόμενοι καὶ ἐξαπατῶντες καὶ ἁμαρτάνοντες ἑκόντες, ἀλλὰ μὴ

τα δὲ οὐκ αὖ φησὶν ἀποπλευσεῖσθαι, ἀλλὰ ἄλλα λέγει. ΙΠ. Ποῦ δή; ΣΩ. Ἐν οἷς λέγει,

Οὐ γὰρ πρὶν πολέμοιο μεθήσομαι αἱματόεντος,
Πρίν γ᾽ υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι,
Κτείνοντ᾽ Ἀργείους, κατά τε σμῆξαι πυρὶ νῆας.
Ἀμφὶ δέ μιν τῇ ᾽μῇ κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.

XIV. Σὺ δὴ οὖν, ὦ Ἱππία, πότερον οὕτως ἐπιλήσμονα οἴει εἶναι τὸν τῆς Θέτιδός τε καὶ ὑπὸ τοῦ σοφωτάτου Χείρωνος πεπαιδευμένον, ὥστε ὀλίγον πρότερον λοιδοροῦντα τοὺς ἀλαζόνας τῇ ἐσχάτῃ λοιδορίᾳ, αὐτὸν παραχρῆμα πρὸς μὲν τὸν Ὀδυσσέα φάναι ἀποπλευσεῖσθαι, πρὸς δὲ τὸν Αἴαντα, μενεῖν, ἀλλ᾽ οὐκ ἐπιβουλεύοντά τε καὶ ἡγούμενον ἀρχαῖον εἶναι τὸν Ὀδυσσέα, καὶ αὐτοῦ αὐτῷ τούτῳ τῷ τεχνάζειν τε καὶ ψεύδεσθαι περιέσεσθαι; ΙΠ. Οὔκουν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀλλὰ καὶ αὐτὰ ταῦτα ὑπὸ εὐηθίας ἀναπεισθεὶς πρὸς τὸν Αἴαντα ἄλλα εἶπεν ἢ πρὸς τὸν Ὀδυσσέα· ὁ δὲ Ὀδυσσεὺς ἅ τε ἀληθῆ λέγει, ἐπιβουλεύσας ἀεὶ λέγει, καὶ ὅσα ψεύδεται, ὡσαύτως. ΣΩ. Ἀμείνων ἄρ᾽ ἐστίν, ὡς ἔοικεν, ὁ Ὀδυσσεὺς Ἀχιλλέως. ΙΠ. Ἥκιστά γε δήπου, ὦ Σώκρατες. ΣΩ. Τί δέ; οὐκ ἄρτι ἐφάνησαν οἱ ἑκόντες ψευδόμενοι βελτίους ἢ οἱ ἄκοντες; ΙΠ. Καὶ πῶς ἄν, ὦ Σώκρατες, οἱ ἑκόντες ἀδικοῦντες, καὶ ἑκόντες ἐπιβουλεύσαντες καὶ κακὰ ἐργασάμενοι, βελτίους ἂν εἶεν τῶν ἀκόντων; οἷς πολλὴ δοκεῖ ξυγγνώμη εἶναι, ἐὰν μὴ εἰδώς τις ἀδι-

κήσῃ, ἢ ψεύσηται, ἢ ἄλλο τι κακὸν ποιήσῃ. καὶ οἱ νόμοι δήπου πολὺ χαλεπώτεροί εἰσι τοῖς ἑκοῦσι κακὰ ἐργαζομένοις καὶ ψευδομένοις, ἢ τοῖς ἄκουσιν. XV. ΣΩ. Ὁρᾷς, ὦ Ἱππία, ὅτι ἐγὼ ἀληθῆ λέγω, λέγων ὡς λιπαρής εἰμι πρὸς τὰς ἐρωτήσεις τῶν σοφῶν, καὶ κινδυνεύω ἓν μόνον ἔχειν τοῦτο ἀγαθόν, τἆλλα ἔχων πάνυ γε φαῦλα. τῶν μὲν γὰρ πραγμάτων ᾗ ἔχει ἔσφαλμαι, καὶ οὐκ οἶδ᾽ ὅπῃ ἐστί· τεκμήριον δέ μοι τούτου ἱκανόν, ὅτι, ἐπειδὰν ξυγγένωμαί τῳ ὑμῶν τῶν εὐδοκιμούντων ἐπὶ σοφίᾳ, καὶ οἷς οἱ Ἕλληνες πάντες μάρτυρές εἰσι τῆς σοφίας, φαίνομαι οὐδὲν εἰδώς· οὐδὲν γάρ μοι δοκεῖ τῶν αὐτῶν καὶ ὑμῖν, ὡς ἔπος εἰπεῖν. καίτοι τί μεῖζον ἀμαθίας τεκμήριον, ἢ ἐπειδάν τις σοφοῖς ἀνδράσι διαφέρηται; ἓν δὲ τοῦτο θαυμάσιον ἔχω ἀγαθόν, ὅ με σώζει· οὐ γὰρ αἰσχύνομαι μανθάνων, ἀλλὰ πυνθάνομαι καὶ ἐρωτῶ, καὶ χάριν πολλὴν ἔχω τῷ ἀποκρινομένῳ, καὶ οὐδένα πώποτε ἀπεστέρησα χάριτος. οὐ γὰρ πώποτε ἔξαρνος ἐγενόμην μαθών τι, ἐμαυτοῦ ποιούμενος τὸ μάθημα εἶναι ὡς εὕρημα, ἀλλ᾽ ἐγκωμιάζω τὸν διδάξαντά με ὡς σοφὸν ὄντα, ἀποφαίνων ἃ ἔμαθον παρ᾽ αὐτοῦ. καὶ δὴ καὶ νῦν, ἃ σὺ λέγεις, οὐχ ὁμολογῶ σοι, ἀλλὰ διαφέρομαι πάνυ σφόδρα, καὶ τοῦτ᾽ εὖ οἶδα ὅτι δι᾽ ἐμὲ γίγνεται, ὅτι τοιοῦτός εἰμι οἷός πέρ εἰμι, ἵνα μηδὲν ἐμαυτὸν μεῖζον εἴπω. ἐμοὶ γὰρ φαίνεται, ὦ Ἱππία, πᾶν τοὐναντίον ἢ ὃ σὺ λέγεις· οἱ βλάπτοντες τοὺς ἀνθρώπους καὶ ἀδικοῦντες καὶ ψευδόμενοι καὶ ἐξαπατῶντες καὶ ἁμαρτάνοντες ἑκόντες, ἀλλὰ μὴ

ἄκοντες, βελτίους εἶναι ἢ οἱ ἄκοντες· ἐνίοτε μέντοι καὶ τοὐναντίον δοκεῖ μοι τούτων, καὶ πλανῶμαι περὶ ταῦτα, δηλονότι διὰ τὸ μὴ εἰδέναι. νυνὶ δὲ ἐν τῷ παρόντι μοι ὥσπερ καταβολὴ περιελήλυθεν, καὶ δοκοῦσί μοι οἱ ἑκόντες ἐξαμαρτάνοντες περί τι βελτίους εἶναι τῶν ἀκόντων· αἰτιῶμαι δὲ τοῦ νῦν παρόντος παθήματος τοὺς ἔμπροσθεν λόγους αἰτίους εἶναι, ὥστε φαίνεσθαι νῦν ἐν τῷ παρόντι τοὺς ἄκοντας τούτων ἕκαστα ποιοῦντας πονηροτέρους ἢ τοὺς ἑκόντας. σὺ οὖν χάρισαι, καὶ μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου· πολὺ γάρ τοι μεῖζόν με ἀγαθὸν ἐργάσῃ, ἀμαθίας παύσας τὴν ψυχὴν, ἢ νόσου τὸ σῶμα. μακρὸν μὲν οὖν λόγον εἰ ἐθέλεις, προλέγω σοι ὅτι οὐκ ἄν με ἰάσαιο· (οὐ γὰρ ἂν ἀκολουθήσαιμι·) ὥσπερ δὲ ἄρτι εἰ θέλεις μοι ἀποκρίνεσθαι, πάνυ ὀνήσεις· οἶμαι δὲ οὐδ' αὐτὸν σὲ βλαβήσεσθαι. δικαίως δ' ἂν καὶ σὲ παρακαλοίην, ὦ παῖ Ἀπημάντου· σὺ γάρ με ἐπῆρας Ἱππίᾳ διαλέγεσθαι· καὶ νῦν, ἐὰν μή μοι ἐθέλῃ Ἱππίας ἀποκρίνεσθαι, δέου αὐτοῦ περὶ ἐμοῦ. ΕΥ. Ἀλλ', ὦ Σώκρατες, οἶμαι οὐδὲν δεήσεσθαι Ἱππίαν τῆς ἡμετέρας δεήσεως· οὐ γάρ τοιαῦτα αὐτῷ ἐστι τὰ προειρημένα, ἀλλ' ὅτι οὐδενὸς ἂν φύγοι ἀνδρὸς ἐρώτησιν. ἦ γάρ, ὦ Ἱππία, οὐ ταῦτα ἦν ἃ ἔλεγες; ΙΠ. Ἔγωγε. ἀλλὰ Σωκράτης, ὦ Εὔδικε, ἀεὶ ταράττει ἐν τοῖς λόγοις καὶ ἔοικεν ὥσπερ κακουργοῦντι. ΣΩ. Ὦ βέλτιστε Ἱππία, οὔτι ἑκών γε ταῦτα ποιῶ (σοφὸς γὰρ ἂν ἦν καὶ δεινὸς κατὰ τὸν σὸν λόγον) ἀλλὰ ἄκων· ὥστε μοι ξυγγνώ-

μην ἔχε· φὴς γὰρ αὖ δεῖν, ὃς ἂν κακουργῇ ἄκων, ξυγγνώμην ἔχειν. ΕΥ. Καὶ μηδαμῶς γε, ὦ Ἱππία, ἄλλως ποίει, ἀλλὰ καὶ ἡμῶν ἕνεκα καὶ τῶν προειρημένων σοι λόγων ἀποκρίνου ἃ ἄν σε ἐρωτᾷ Σωκράτης. ΙΠ. Ἀλλ' ἀποκρινοῦμαι, σοῦ γε δεομένου· ἀλλ' ἐρώτα ὅ,τι βούλει. XVI. ΣΩ. Καὶ μὴν σφόδρα γε ἐπιθυμῶ, ὦ Ἱππία, διασκέψασθαι τὸ νῦν δὴ λεγόμενον, πότεροι ποτὲ ἀμείνους, οἱ ἑκόντες ἢ οἱ ἄκοντες ἁμαρτάνοντες· οἶμαι οὖν ἐπὶ τὴν σκέψιν ὀρθότατ' ἂν ὧδε ἐλθεῖν· ἀλλ' ἀπόκριναι. καλεῖς τινὰ δρομέα ἀγαθόν; ΙΠ. Ἔγωγε. ΣΩ. Καὶ κακόν; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ἀγαθὸς μὲν ὁ εὖ θέων, κακὸς δ' ὁ κακῶς; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ὁ βραδέως θέων κακῶς θεῖ, ὁ δὲ ταχέως, εὖ; ΙΠ. Ναί. ΣΩ. Ἐν δρόμῳ μὲν ἄρα καὶ τῷ θεῖν τάχος μὲν ἀγαθόν, βραδυτὴς δὲ κακόν; ΙΠ. Ἀλλὰ τί μέλλει; ΣΩ. Πότερος οὖν ἀμείνων δρομεύς; ὁ ἑκὼν βραδέως θέων, ἢ ὁ ἄκων; ΙΠ. Ὁ ἑκών. ΣΩ. Ἆρ' οὖν οὐ ποιεῖν τι ἐστὶ τὸ θεῖν; ΙΠ. Ποιεῖν μὲν οὖν. ΣΩ. Εἰ δὲ ποιεῖν, οὐ καὶ ἐργάζεσθαί τι; ΙΠ. Ναί. ΣΩ. Ὁ κακῶς ἄρα θέων, κακὸν καὶ αἰσχρὸν ἐν δρόμῳ τοῦτο ἐργάζεται; ΙΠ. Κακόν· πῶς γὰρ οὔ; ΣΩ. Κακῶς δὲ θεῖ ὁ βραδέως θέων; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ὁ μὲν ἀγαθὸς δρομεὺς ἑκὼν τὸ κακὸν τοῦτο ἐργάζεται καὶ τὸ αἰσχρόν, ὁ δὲ κακὸς ἄκων; ΙΠ. Ἔοικέ γε. ΣΩ. Ἐν δρόμῳ μὲν ἄρα πονηρότερος ὁ ἄκων κακὰ ἐργαζόμενος ἢ ὁ ἑκών. ΙΠ. Ἐν δρόμῳ γε. ΣΩ. Τί δ' ἐν πάλῃ; πότερος παλαιστὴς ἀμείνων, ὁ ἑκὼν

πίπτων, ἢ ὁ ἄκων; ΙΠ. Ὁ ἑκὼν ἔοικε. ΣΩ. Πονηρότερον δὲ καὶ αἴσχιον ἐν πάλῃ τὸ πίπτειν, ἢ τὸ καταβάλλειν; ΙΠ. Τὸ πίπτειν. ΣΩ. Καὶ ἐν πάλῃ ἄρα ὁ ἑκὼν τὰ πονηρὰ καὶ αἰσχρὰ ἐργαζόμενος, βελτίων παλαιστὴς ἢ ὁ ἄκων. ΙΠ. Ἔοικε. ΣΩ. Τί δὲ ἐν τῇ ἄλλῃ πάσῃ τῇ τοῦ σώματος χρείᾳ; οὐχ ὁ βελτίων τὸ σῶμα δύναται ἀμφότερα ἐργάζεσθαι, καὶ τὰ ἰσχυρὰ καὶ τὰ ἀσθενῆ, καὶ τὰ αἰσχρὰ καὶ τὰ καλά; ὥστε ὅταν κατὰ τὸ σῶμα πονηρὰ ἐργάζηται, ἑκὼν ἐργάζεται ὁ βελτίων τὸ σῶμα, ὁ δὲ πονηρότερος, ἄκων. ΙΠ. Ἔοικε καὶ κατὰ τὴν ἰσχὺν οὕτως ἔχειν. ΣΩ. Τί δὲ κατ' εὐσχημοσύνην, ὦ Ἱππία; οὐ τοῦ βελτίονος σώματος ἐστὶν ἑκόντος τὰ αἰσχρὰ καὶ πονηρὰ σχήματα σχηματίζειν, τοῦ δὲ πονηροτέρου, ἄκοντος; ἢ πῶς σοι δοκεῖ; ΙΠ. Οὕτω. ΣΩ. Καὶ ἀσχημοσύνη ἄρα ἡ μὲν ἑκούσιος πρὸς ἀρετῆς ἐστίν, ἡ δὲ ἀκούσιος, πρὸς πονηρίας σώματος. ΙΠ. Φαίνεται. ΣΩ. Τί δὲ φωνῆς πέρι λέγεις; ποτέραν φῂς εἶναι βελτίω, τὴν ἑκουσίως ἀπᾴδουσαν, ἢ τὴν ἀκουσίως; ΙΠ. Τὴν ἑκουσίως. ΣΩ. Μοχθηροτέραν δὲ τὴν ἀκουσίως; ΙΠ. Ναί. ΣΩ. Δέξαιο δ' ἂν πότερον τἀγαθὰ κεκτῆσθαι ἢ τὰ κακά; ΙΠ. Τἀγαθά. ΣΩ. Πότερον οὖν ἂν δέξαιο πόδας κεκτῆσθαι ἑκουσίως χωλαίνοντας ἢ ἀκουσίως; ΙΠ. Ἑκουσίως. ΣΩ. Χωλεία δὲ ποδῶν οὐχὶ πονηρία καὶ ἀσχημοσύνη ἐστί; ΙΠ. Ναί. ΣΩ. Τί δέ; ἀμβλυωπία οὐ πονηρία ὀφθαλμῶν; ΙΠ. Ναί. ΣΩ. Ποτέρους οὖν ἂν βούλοιο ὀφθαλμοὺς κεκτῆσθαι καὶ ποτέροις ξυνεῖναι; οἷς

ἑκὼν ἄν τις ἀμβλυώττοι καὶ παρορῴη, ἢ οἷς ἄκων; ΙΠ. Οἷς ἑκών. ΣΩ. Βελτίω ἄρα ἥγησαι τῶν σαυτοῦ τὰ ἑκουσίως πονηρὰ ἐργαζόμενα, ἢ τὰ ἀκουσίως. ΙΠ. Τὰ γοῦν τοιαῦτα. ΣΩ. Οὐκοῦν πάντα, οἷον καὶ ὦτα καὶ ῥῖνας καὶ στόμα καὶ πάσας τὰς αἰσθήσεις εἷς λόγος ξυνέχει, τὰς μὲν ἀκόντως κακὰ ἐργαζομένας ἀκτήτους εἶναι, ὡς πονηρὰς οὔσας, τὰς δὲ ἑκουσίως, κτητάς, ὡς ἀγαθὰς οὔσας. ΙΠ. Ἔμοιγε δοκεῖ. ΣΩ. Τί δέ; ὀργάνων ποτέρων βελτίων ἡ κοινωνία; οἷς ἑκών τις κακὰ ἐργάζεται, ἢ οἷς ἄκων; οἷον, πηδάλιον, ᾧ ἄκων κακῶς τις κυβερνήσει, βέλτιον ἢ ᾧ ἑκών; ΙΠ. Ὧι ἑκών. ΣΩ. Οὐ καὶ τόξον ὡσαύτως, καὶ λύρα, καὶ αὐλοί, καὶ τἆλλα ξύμπαντα; ΙΠ. Ἀληθῆ λέγεις. XVII. ΣΩ. Τί δέ; ψυχὴν κεκτῆσθαι ἵππου, ᾗ ἑκών τις κακῶς ἱππεύσει, ἄμεινον ἢ ᾗ ἄκων; ΙΠ. Ἧι ἑκών. ΣΩ. Ἀμείνων ἄρα ἐστί. ΙΠ. Ναί. ΣΩ. Τῇ ἀμείνονι ἄρα ψυχῇ ἵππου τὰ τῆς ψυχῆς ἔργα ταύτης τὰ πονηρὰ ἑκουσίως ἂν ποιοῖ, τῇ δὲ πονηροτέρᾳ ἀκουσίως; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ κυνὸς καὶ τῶν ἄλλων ζώων πάντων; ΙΠ. Ναί. ΣΩ. Τί δὲ δή; ἀνθρώπου ψυχὴν κεκτῆσθαι τοξότου ἄμεινόν ἐστιν, ἥτις ἑκουσίως ἁμαρτάνει τοῦ σκοποῦ, ἢ ἥτις ἀκουσίως; ΙΠ. Ἥτις ἑκουσίως. ΣΩ. Οὐκοῦν αὕτη ἀμείνων εἰς τοξικήν ἐστι; ΙΠ. Ναί. ΣΩ. Καὶ ψυχὴ ἄρα ἀκουσίως ἁμαρτάνουσα πονηροτέρα ἢ ἑκουσίως. ΙΠ. Ἐν τοξικῇ γε. ΣΩ. Τί δ' ἐν ἰατρικῇ; οὐχὶ ἡ ἑκοῦσα κακὰ ἐργαζομένη περὶ τὰ σώματα ἰατρικωτέρα; ΙΠ. Ναί. ΣΩ.

Ἀμείνων ἄρα αὕτη ἐν ταύτῃ τῇ τέχνῃ τῆς μὴ ἰατρικῆς. ΙΠ. Ἀμείνων. ΣΩ. Τί δέ; ἡ κιθαριστικωτέρα, καὶ ἡ αὐλητικωτέρα, καὶ τἄλλα πάντα τὰ κατὰ τὰς τέχνας τε καὶ τὰς ἐπιστήμας οὐχὶ ἡ ἀμείνων ἑκοῦσα τὰ κακὰ ἐργάζεται καὶ τὰ αἰσχρὰ καὶ ἐξαμαρτάνει; ἡ δὲ πονηροτέρα ἄκουσα; ΙΠ. Φαίνεται. ΣΩ. Ἀλλὰ μὴν που τάς γε τῶν δούλων ψυχὰς κεκτῆσθαι δεξαίμεθ᾽ ἂν μᾶλλον τὰς ἑκουσίως ἢ τὰς ἀκουσίως ἁμαρτανούσας τε καὶ κακουργούσας, ὡς ἀμείνους οὔσας εἰς ταῦτα. ΙΠ. Ναί. ΣΩ. Τί δέ; τὴν ἡμετέραν αὐτῶν οὐ βουλοίμεθ᾽ ἂν ὡς βελτίστην κεκτῆσθαι; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν βελτίων ἔσται ἐὰν ἑκοῦσα κακουργῇ τε καὶ ἐξαμαρτάνῃ, ἢ ἐὰν ἄκουσα; ΙΠ. Δεινὸν μέντ᾽ ἂν εἴη, ὦ Σώκρατες, εἰ οἱ ἑκόντες ἀδικοῦντες βελτίους ἔσονται ἢ οἱ ἄκοντες. ΣΩ. Ἀλλὰ μὴν φαίνεταί γε ἐκ τῶν εἰρημένων. ΙΠ. Οὔκουν ἔμοιγε. XVIII. ΣΩ. Ἐγὼ δ᾽ ᾤμην, ὦ Ἱππία, καὶ σοὶ φανῆναι. πάλιν δ᾽ ἀπόκριναι· ἡ δικαιοσύνη οὐχὶ δύναμίς τίς ἐστιν ἢ ἐπιστήμη, ἢ ἀμφότερα; ἢ οὐκ ἀνάγκη ἕν γέ τι τούτων εἶναι τὴν δικαιοσύνην; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν, εἰ μὲν δύναμίς ἐστι τῆς ψυχῆς ἡ δικαιοσύνη, ἡ δυνατωτέρα ψυχὴ δικαιοτέρα ἐστί; βελτίων γάρ πού ἡμῖν ἐφάνη, ὦ ἄριστε, ἡ τοιαύτη. ΙΠ. Ἐφάνη γάρ. ΣΩ. Τί δ᾽ εἰ ἐπιστήμη; οὐχ ἡ σοφωτέρα ψυχὴ δικαιοτέρα, ἡ δὲ ἀμαθεστέρα, ἀδικωτέρα; τί δ᾽ εἰ ἀμφότερα; οὐχ ἡ ἀμφοτέρας ἔχουσα, ἐπιστήμην καὶ δύναμιν, δικαιοτέρα; [ἡ δὲ ἀμαθεστέρα ἀδικωτέρα;] οὐχ οὕτως ἀνάγκη ἔχειν;

ΙΠ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἡ δυνατωτέρα καὶ σοφωτέρα αὕτη ἀμείνων οὖσα ἐφάνη καὶ ἀμφότερα μᾶλλον δυναμένη ποιεῖν, καὶ τὰ καλὰ καὶ τὰ αἰσχρά, περὶ πᾶσαν ἐργασίαν; ΙΠ. Ναί. ΣΩ. Ὅταν ἄρα τὰ αἰσχρὰ ἐργάζηται, ἑκοῦσα ἐργάζεται διὰ δύναμιν καὶ τέχνην· ταῦτα δὲ δικαιοσύνης φαίνεται, ἤτοι ἀμφότερα, ἢ τὸ ἕτερον. ΙΠ. Ἔοικε. ΣΩ. Καὶ τὸ μέν γε ἀδικεῖν, κακὰ ποιεῖν ἐστί, τὸ δὲ μὴ ἀδικεῖν, καλά; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ἡ δυνατωτέρα καὶ ἀμείνων ψυχή, ὅταν περ ἀδικῇ, ἑκοῦσα ἀδικήσει· ἡ δὲ πονηρὰ ἄκουσα; ΙΠ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἀγαθὸς ἀνήρ, ὁ τὴν ἀγαθὴν ψυχὴν ἔχων, κακὸς δὲ ὁ τὴν κακήν; ΙΠ. Ναί. ΣΩ. Ἀγαθοῦ μὲν ἄρα ἀνδρός ἐστιν, ἑκόντα ἀδικεῖν, κακοῦ δέ, ἄκοντα, εἴπερ ὁ ἀγαθὸς ἀγαθὴν ψυχὴν ἔχει. ΙΠ. Ἀλλὰ μὴν ἔχει γε. ΣΩ. Ὁ ἄρα ἑκὼν ἁμαρτάνων καὶ αἰσχρὰ καὶ ἄδικα ποιῶν, ὦ Ἱππία, εἴπερ τις ἐστὶν οὗτος, οὐκ ἂν ἄλλος εἴη ἢ ὁ ἀγαθός. ΙΠ. Οὐκ ἔχω ὅπως σοὶ ξυγχωρήσω, ὦ Σώκρατες, ταῦτα. ΣΩ. Οὐδὲ γὰρ ἐγὼ ἐμοί, ὦ Ἱππία, ἀλλ' ἀναγκαῖον οὕτω φαίνεσθαι νῦν γε ἡμῖν ἐκ τοῦ λόγου. ὅπερ μέντοι πάλαι ἔλεγον, ἐγὼ περὶ ταῦτα ἄνω καὶ κάτω πλανῶμαι καὶ οὐδέποτε ταυτά μοι δοκεῖ· καὶ ἐμὲ μὲν οὐδὲν θαυμαστὸν πλανᾶσθαι, οὐδὲ ἄλλον ἰδιώτην· εἰ δὲ καὶ ὑμεῖς πλανήσεσθε, οἱ σοφοί, τοῦτο ἤδη καὶ ἡμῖν δεινόν, εἰ μηδὲ παρ' ὑμᾶς ἀφικόμενοι παυσόμεθα τῆς πλάνης.

ΚΡΑΤΥΛΟΣ.

I. ΕΡΜΟΓΕΝΗΣ. Βούλει οὖν καὶ Σωκράτει τῷδε ἀνακοινώσωμεν τὸν λόγον; ΚΡ. Εἴ σοι δοκεῖ. ΕΡΜ. Κρατύλος φησὶν ὅδε, ὦ Σώκρατες, ὀνόματος ὀρθότητα εἶναι ἑκάστῳ τῶν ὄντων φύσει πεφυκυῖαν, καὶ οὐ τοῦτο εἶναι ὄνομα, ὅ, τι ἄν τινες, ξυνθέμενοι καλεῖν, καλῶσι, τῆς αὑτῶν φωνῆς μόριον ἐπιφθεγγόμενοι, ἀλλὰ ὀρθότητά τινα τῶν ὀνομάτων πεφυκέναι καὶ Ἕλλησι καὶ βαρβάροις τὴν αὐτὴν ἅπασιν. ἐρωτῶ οὖν αὐτὸν ἐγώ, εἰ αὐτῷ Κρατύλος τῇ ἀληθείᾳ ὄνομά ἐστιν ἢ οὔ· ὁ δὲ ὁμολογεῖ αὐτῷ γε τοῦτο ὄνομα εἶναι. Τί δαὶ Σωκράτει; ἔφην ἐγώ. Σωκράτης, ἦ δ᾽ ὅς. Οὐκοῦν καὶ τοῖς ἄλλοις ἀνθρώποις πᾶσιν, ὅπερ καλοῦμεν ὄνομα ἕκαστον, τοῦτ᾽ ἔστιν ἑκάστῳ ὄνομα; Ὁ δὲ, Οὔκουν σοί γε, ἦ δ᾽ ὅς, ὄνομα Ἑρμογένης, οὐδὲ ἂν πάντες καλῶσιν ἄνθρωποι. Καὶ ἐμοῦ ἐρωτῶντος καὶ προθυμουμένου εἰδέναι ὅ, τι ποτὲ λέγει, οὔτε ἀποσαφεῖ οὐδὲν εἰρωνεύεταί τε πρός με, προσποιούμενός τι αὐτὸς ἐν ἑαυτῷ διανοεῖσθαι, ὡς εἰδὼς περὶ αὐτοῦ, ὃ εἰ βούλοιτο σαφῶς εἰπεῖν, ποιήσειεν

ἂν καὶ ἐμὲ ὁμολογεῖν καὶ λέγειν, ἅπερ αὐτὸς λέγει. εἰ οὖν πη ἔχεις ξυμβαλεῖν τὴν Κρατύλου μαντείαν, ἡδέως ἂν ἀκούσαιμι. μᾶλλον δέ, αὐτῷ σοὶ ὅπη δοκεῖ ἔχειν περὶ ὀνομάτων ὀρθότητος, ἔτι ἂν ἥδιον πυθοίμην, εἴ σοι βουλομένῳ ἐστίν. ΣΩ. Ὦ παῖ Ἱππονίκου Ἑρμόγενες, παλαιὰ παροιμία, ὅτι χαλεπὰ τὰ καλά ἐστιν ὅπῃ ἔχει μαθεῖν· καὶ δὴ καὶ τὸ περὶ τῶν ὀνομάτων οὐ σμικρὸν τυγχάνει ὂν μάθημα. εἰ μὲν οὖν ἐγὼ ἤδη ἠκηκόειν παρὰ Προδίκου τὴν πεντηκοντάδραχμον ἐπίδειξιν, ἣν ἀκούσαντι ὑπάρχει περὶ τοῦτο πεπαιδεῦσθαι, ὥς φησιν ἐκεῖνος, οὐδὲν ἂν ἐκώλυέ σε αὐτίκα μάλα εἰδέναι τὴν ἀλήθειαν περὶ ὀνομάτων ὀρθότητος· νῦν δὲ οὐκ ἀκήκοα, ἀλλὰ τὴν δραχμιαίαν· οὔκουν οἶδα πῇ ποτε τὸ ἀληθὲς ἔχει περὶ τῶν τοιούτων. συζητεῖν μέντοι ἕτοιμός εἰμι καὶ σοὶ καὶ Κρατύλῳ κοινῇ. ὅτι δὲ οὔ φησί σοι Ἑρμογένει ὄνομα εἶναι τῇ ἀληθείᾳ, ὥσπερ ὑποπτεύω αὐτὸν σκώπτειν. οἴεται γὰρ ἴσως σε χρημάτων ἐφιέμενον κτήσεως ἀποτυγχάνειν ἑκάστοτε. ἀλλ', ὃ νῦν δὴ ἔλεγον, εἰδέναι μὲν τὰ τοιαῦτα χαλεπόν· εἰς τὸ κοινὸν δὲ καταθέντας χρὴ σκοπεῖν, εἴτε ὡς σὺ λέγεις ἔχει, εἴτε ὡς Κρατύλος. II. ΕΡΜ. Καὶ μὴν ἔγωγε, ὦ Σώκρατες, πολλάκις δὴ καὶ τούτῳ διαλεχθεὶς καὶ ἄλλοις πολλοῖς, οὐ δύναμαι πεισθῆναι ὡς ἄλλη τις ἐστὶν ὀρθότης ὀνόματος, ἢ ξυνθήκη καὶ ὁμολογία. ἐμοὶ γὰρ δοκεῖ, ὅ, τι ἄν τίς τῳ θῆται ὄνομα, τοῦτο εἶναι καὶ τὸ ὀρθόν· καὶ ἂν αὖθίς γε ἕτερον μεταθῆται, ἐκεῖνο δὲ μηκέτι καλῇ, οὐδὲν ἧττον τοὔτ' εἶναι ὀρθὸν

τὸ μετατεθὲν τοῦ πρότερον κειμένου, ὥςπερ τοῖς οἰκέταις ἡμεῖς μετατιθέμεθα. οὐ γὰρ φύσει ἑκάστῳ πεφυκέναι ὄνομα οὐδὲν οὐδενί, ἀλλὰ νόμῳ καὶ ἔθει τῶν ἐθισάντων τε καὶ καλούντων. εἰ δέ πῃ ἄλλῃ ἔχει, ἕτοιμος ἔγωγε καὶ μανθάνειν καὶ ἀκούειν, οὐ μόνον παρὰ Κρατύλου, ἀλλὰ καὶ παρ' ἄλλου ὁτουοῦν. ΣΩ. Ἴσως μέντοι τι λέγεις, ὦ Ἑρμόγενες· σκεψώμεθα δέ. ὃ ἄν τις θῇ καλεῖν ἕκαστον, τοῦτ' ἔστιν ἑκάστῳ ὄνομα; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Καὶ ἂν ἰδιώτης καλῇ καὶ ἂν πόλις; ΕΡΜ. Φημί. ΣΩ. Τί οὖν; ἂν ἐγὼ καλῶ ὁτιοῦν τῶν ὄντων, οἷον, ὃ νῦν καλοῦμεν ἄνθρωπον, ἐὰν ἐγὼ τοῦτο ἵππον προςαγορεύω, ὃ δὲ νῦν ἵππον, ἄνθρωπον, ἔσται δημοσίᾳ μὲν ὄνομα ἄνθρωπος τῷ αὐτῷ, ἰδίᾳ δὲ ἵππος; καὶ ἰδίᾳ μὲν αὖ ἄνθρωπος, δημοσίᾳ δὲ ἵππος; οὕτω λέγεις; ΕΡΜ. Ἔμοιγε δοκεῖ. III. ΣΩ. Φέρε δή μοι τόδε εἰπέ· καλεῖς τι ἀληθῆ λέγειν καὶ ψευδῆ; ΕΡΜ. Ἔγωγε. ΣΩ. Οὐκοῦν εἴη ἂν λόγος ἀληθής, ὁ δὲ ψευδής; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν οὗτος ὃς ἂν τὰ ὄντα λέγῃ ὡς ἔστιν, ἀληθής, ὃς δ' ἄν, ὡς οὐκ ἔστι, ψευδής; ΕΡΜ. Ναί· τί γὰρ ἂν ἄλλο τις φαίη; ΣΩ. Ἔστιν ἄρα τοῦτο, λόγῳ λέγειν τὰ ὄντα τε καὶ μή; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὁ λόγος δ' ἐστὶν ὁ ἀληθὴς πότερον ὅλος μὲν ἀληθής, τὰ μόρια δ' αὐτοῦ οὐκ ἀληθῆ; ΕΡΜ. Οὔκ, ἀλλὰ καὶ τὰ μόρια. ΣΩ. Πότερον δὲ τὰ μὲν μεγάλα μόρια ἀληθῆ, τὰ δὲ σμικρὰ οὔ; ἢ πάντα; ΕΡΜ. Πάντα, οἶμαι ἔγωγε. ΣΩ. Ἔστιν οὖν ὅ, τι λέγεις λόγου σμικρότερον μόριον ἄλλο ἢ

ὄνομα; ΕΡΜ. Οὐκ, ἀλλὰ τοῦτο σμικρότατον. ΣΩ. Καὶ τὸ ὄνομα ἄρα τὸ τοῦ ἀληθοῦς λόγου λέγεται. ΕΡΜ. Ναί. ΣΩ. Ἀληθές γε, ὡς φῄς. ΕΡΜ. Ναί. ΣΩ. Τὸ δὲ τοῦ ψευδοῦς μόριον οὐ ψεῦδος; ΕΡΜ. Φημί. ΣΩ. Ἔστιν ἄρα ὄνομα ψευδὲς καὶ ἀληθὲς λέγειν, εἴπερ καὶ λόγον; ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Ὃ ἂν ἄρα ἕκαστος φῇ τῳ ὄνομα εἶναι, τοῦτό ἐστιν ἑκάστῳ ὄνομα; ΕΡΜ. Ναί. ΣΩ. Ἦ καί, ὁπόσα ἄν τις φῇ ἑκάστῳ ὀνόματα εἶναι, τοσαῦτα ἔσται, καὶ τότε, ὁπόταν φῇ; ΕΡΜ. Οὐ γὰρ ἔχω ἔγωγε, ὦ Σώκρατες, ὀνόματος ἄλλην ὀρθότητα, ἢ ταύτην, ἐμοὶ μὲν ἕτερον εἶναι καλεῖν ἑκάστῳ ὄνομα, ὃ ἐγὼ ἐθέμην, σοὶ δὲ ἕτερον, ὃ ἂν σύ. οὕτω δὲ καὶ ταῖς πόλεσιν ὁρῶ ἰδίᾳ ἑκάσταις ἐπὶ τοῖς αὐτοῖς κείμενα ὀνόματα, καὶ Ἕλλησι παρὰ τοὺς ἄλλους Ἕλληνας, καὶ Ἕλλησι παρὰ βαρβάρους. IV. ΣΩ. Φέρε δὴ ἴδωμεν, ὦ Ἑρμόγενες, πότερον καὶ τὰ ὄντα οὕτως ἔχειν σοι φαίνεται, ἰδίᾳ αὐτῶν ἡ οὐσία εἶναι ἑκάστῳ, ὥσπερ Πρωταγόρας ἔλεγε, λέγων πάντων χρημάτων μέτρον εἶναι ἄνθρωπον, ὡς ἄρα οἷα μὲν ἂν ἐμοὶ φαίνηται τὰ πράγματα εἶναι, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δ' ἂν σοί, τοιαῦτα δ' αὖ σοί· ἢ ἔχειν δοκεῖ σοι αὐτὰ αὐτῶν τινα βεβαιότητα τῆς οὐσίας; ΕΡΜ. Ἤδη ποτὲ ἔγωγε, ὦ Σώκρατες, ἀπορῶν, καὶ ἐνταῦθα ἐξηνέχθην, εἰς ἅπερ Πρωταγόρας λέγει· οὐ πάνυ τι μέντοι μοι δοκεῖ οὕτως ἔχειν. ΣΩ. Τί δαί; ἐς τόδε ἤδη ἐξηνέχθης, ὥστε μὴ πάνυ σοι δοκεῖν εἶναί τινα ἄνθρωπον πονηρόν; ΕΡΜ. Οὐ μὰ τὸν Δία, ἀλλὰ πολλά-

κις δὴ αὐτὸ πέπονθα, ὥςτε μοι δοκεῖν πάνυ πονηροὺς εἶναί τινας ἀνθρώπους, καὶ μάλα συχνούς. ΣΩ. Τί δέ; πάνυ χρηστοὶ οὔπω σοι ἔδοξαν εἶναι ἄνθρωποι; ΕΡΜ. Καὶ μάλα ὀλίγοι. ΣΩ. Ἔδοξαν δ' οὖν; ΕΡΜ. Ἔμοιγε. ΣΩ. Πῶς οὖν τοῦτο τίθεσαι; ἆρ' ὧδε; τοὺς μὲν πάνυ χρηστοὺς πάνυ φρονίμους, τοὺς δὲ πάνυ πονηροὺς πάνυ ἄφρονας; ΕΡΜ. Ἔμοιγε δοκεῖ οὕτως. ΣΩ. Οἷόν τε οὖν ἐστιν, εἰ Πρωταγόρας ἀληθῆ ἔλεγε, καὶ ἔστιν αὕτη ἡ ἀλήθεια, τὸ οἷα ἂν δοκῇ ἑκάστῳ, τοιαῦτα καὶ εἶναι, τοὺς μὲν ἡμῶν φρονίμους εἶναι, τοὺς δὲ ἄφρονας; ΕΡΜ. Οὐ δῆτα. ΣΩ. Καὶ ταῦτά γε, ὡς ἐγῷμαι, σοὶ πάνυ δοκεῖ, φρονήσεως οὔσης καὶ ἀφροσύνης, μὴ πάνυ δυνατὸν εἶναι Πρωταγόραν ἀληθῆ λέγειν· οὐδὲ γὰρ ἄν που τῇ ἀληθείᾳ ὁ ἕτερος τοῦ ἑτέρου φρονιμώτερος εἴη, εἴπερ, ἃ ἂν ἑκάστῳ δοκῇ, ἑκάστῳ ἀληθῆ ἔσται. ΕΡΜ. Ἔστι ταῦτα. V. ΣΩ. Ἀλλὰ μὴν οὐδὲ κατ' Εὐθύδημόν γε, οἶμαι, σοὶ δοκεῖ, πᾶσι πάντα ὁμοίως εἶναι ἅμα καὶ ἀεί· οὐδὲ γὰρ ἂν οὕτως εἶεν οἱ μὲν χρηστοί, οἱ δὲ πονηροί, εἰ ὁμοίως ἅπασι καὶ ἀεὶ ἀρετή τε καὶ κακία εἴη. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν, εἰ μήτε πᾶσι πάντα ἐστὶν ὁμοίως ἅμα καὶ ἀεί, μήτε ἑκάστῳ ἰδίᾳ ἕκαστον τῶν ὄντων ἐστί, δῆλον δὴ ὅτι αὐτὰ αὑτῶν οὐσίαν ἔχοντά τινα βέβαιόν ἐστι τὰ πράγματα, οὐ πρὸς ἡμᾶς ὄντα οὐδὲ ὑφ' ἡμῶν ἑλκόμενα ἄνω καὶ κάτω τῷ ἡμετέρῳ φαντάσματι, ἀλλὰ καὶ καθ' αὑτά, πρὸς τὴν αὑτῶν οὐσίαν ἔχοντα, ᾗπερ πέφυκε; ΕΡΜ. Δοκεῖ μοι, ὦ Σώκρατες, οὕτως ἔχειν.

ΣΩ. Πότερον οὖν αὐτὰ μὲν ἂν εἴη οὕτω πεφυκότα, αἱ δὲ πράξεις αὐτῶν οὐ κατὰ τὸν αὐτὸν τρόπον, ἢ καὶ αὗται ἕν τι εἶδος τῶν ὄντων εἰσὶν αἱ πράξεις; ΕΡΜ. Πάνυ γε καὶ αὗται. ΣΩ. Κατὰ τὴν αὐτῶν ἄρα φύσιν καὶ αἱ πράξεις πράττονται, οὐ κατὰ τὴν ἡμετέραν δόξαν· οἷον, ἐάν τι ἐπιχειρήσωμεν ἡμεῖς τῶν ὄντων τέμνειν, πότερον ἡμῖν τμητέον ἕκαστον ὡς ἂν ἡμεῖς βουλώμεθα, καὶ ᾧ ἂν βουληθῶμεν; ἢ, ἐὰν μὲν κατὰ τὴν φύσιν βουληθῶμεν ἕκαστον τέμνειν τοῦ τέμνειν τε καὶ τέμνεσθαι, καὶ ᾧ πέφυκε, τεμοῦμέν τε καὶ πλέον τι ἡμῖν ἔσται, καὶ ὀρθῶς πράξομεν τοῦτο· ἐὰν δὲ παρὰ φύσιν, ἐξαμαρτησόμεθά τε καὶ οὐδὲν πράξομεν; ΕΡΜ. Ἔμοιγε δοκεῖ οὕτως. ΣΩ. Οὐκοῦν καὶ ἐὰν κάειν τι ἐπιχειρήσωμεν, οὐ κατὰ πᾶσαν δόξαν δεῖ κάειν, ἀλλὰ κατὰ τὴν ὀρθήν; αὕτη δ' ἐστίν, ᾗ ἐπεφύκει ἕκαστον κάεσθαί τε καὶ κάειν, καὶ ᾧ ἐπεφύκει. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ τἆλλα οὕτως; ΕΡΜ. Πάνυ γε. VI. ΣΩ. Ἆρ' οὖν οὐ καὶ τὸ λέγειν μία τίς ἐστι τῶν πράξεων; ΕΡΜ. Ναί. ΣΩ. Πότερον οὖν, ᾗ ἄν τῳ δοκῇ λεκτέον εἶναι, ταύτῃ λέγων ὀρθῶς λέξει, ἢ, ἐὰν μέν, ᾗ πέφυκε τὰ πράγματα λέγειν τε καὶ λέγεσθαι καὶ ᾧ, ταύτῃ καὶ τούτῳ λέγῃ, πλέον τέ τι ποιήσει καὶ ἐρεῖ· ἐὰν δὲ μή, ἐξαμαρτήσεταί τε καὶ οὐδὲν ποιήσει; ΕΡΜ. Οὕτω μοι δοκεῖ, ὡς λέγεις. ΣΩ. Οὐκοῦν τοῦ λέγειν μόριον τὸ ὀνομάζειν; ὀνομάζοντες γάρ που λέγουσι τοὺς λόγους. ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ τὸ ὀνομάζειν πρᾶξίς τίς ἐστιν, εἴπερ καὶ τὸ λέγειν πρᾶξίς

τις ἦν περὶ τὰ πράγματα; ΕΡΜ. Ναί. ΣΩ. Αἱ δὲ πράξεις ἐφάνησαν ἡμῖν οὐ πρὸς ἡμᾶς οὖσαι, ἀλλ' αὐτῶν τινα ἰδίαν φύσιν ἔχουσαι; ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ ὀνομαστέον, ᾗ πέφυκε τὰ πράγματα ὀνομάζειν τε καὶ ὀνομάζεσθαι, καὶ ᾧ, ἀλλ' οὐχ ᾗ ἂν ἡμεῖς βουληθῶμεν, εἴπερ τι τοῖς ἔμπροσθεν μέλλει ὁμολογούμενον εἶναι; καὶ οὕτω μὲν ἂν πλέον τι ποιοῖμεν καὶ ὀνομάζοιμεν, ἄλλως δὲ οὔ; ΕΡΜ. Φαίνεταί μοι. VII. ΣΩ. Φέρε δή, ὃ ἔδει τέμνειν, ἔδει τῳ, φαμέν, τέμνειν; ΕΡΜ. Ναί. ΣΩ. Καὶ ὃ ἔδει κερκίζειν, ἔδει τῳ κερκίζειν, καὶ ὃ ἔδει τρυπᾶν, ἔδει τῳ τρυπᾶν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ ὃ ἔδει δὴ ὀνομάζειν, ἔδει τῳ ὀνομάζειν; ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Τί δὲ ἦν ἐκεῖνο, ᾧ ἔδει τρυπᾶν; ΕΡΜ. Τρύπανον. ΣΩ. Τί δὲ ᾧ κερκίζειν; ΕΡΜ. Κερκίς. ΣΩ. Τί δὲ ᾧ ὀνομάζειν; ΕΡΜ. Ὄνομα. ΣΩ. Εὖ λέγεις. ὄργανον ἄρα τι ἐστὶ καὶ τὸ ὄνομα. ΕΡΜ. Πάνυ γε. ΣΩ. Εἰ οὖν ἐγὼ ἐροίμην, τί ἦν ὄργανον ἡ κερκίς, οὐχ ᾧ κερκίζομεν; ΕΡΜ. Ναί. ΣΩ. Κερκίζοντες δὲ τί δρῶμεν; οὐ τὴν κρόκην καὶ τοὺς στήμονας ξυγκεχυμένους διακρίνομεν; ΕΡΜ. Ναί. ΣΩ. Οὐκοῦν καὶ περὶ τρυπάνου ἕξεις οὕτως εἰπεῖν καὶ περὶ τῶν ἄλλων; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἔχεις δὴ καὶ περὶ ὀνόματος οὕτως εἰπεῖν; ὀργάνῳ ὄντι τῷ ὀνόματι ὀνομάζοντες τί ποιοῦμεν; ΕΡΜ. Οὐκ ἔχω λέγειν. ΣΩ. Ἆρ' οὐ διδάσκομέν τι ἀλλήλους, καὶ τὰ πράγματα διακρίνομεν ᾗ ἔχει; ΕΡΜ. Πάνυ γε. VIII. ΣΩ. Ὄνομα ἄρα διδασκαλικόν τί ἐστιν ὄργανον καὶ διακριτικὸν τῆς

οὐσίας, ὥσπερ κερκὶς ὑφάσματος. ΕΡΜ. Ναί.
ΣΩ. Ὑφαντικὸν δέ γε ἡ κερκίς; ΕΡΜ. Πῶς δ' οὔ;
ΣΩ. Ὑφαντικὸς μὲν ἄρα κερκίδι καλῶς χρήσεται·
καλῶς δ' ἐστὶν ὑφαντικῶς· διδασκαλικὸς δὲ ὀνόματι
καλῶς· καλῶς δ' ἐστὶ διδασκαλικῶς. ΕΡΜ. Ναί.
ΣΩ. Τῷ τίνος οὖν ἔργῳ ὁ ὑφάντης καλῶς χρήσεται,
ὅταν τῇ κερκίδι χρῆται; ΕΡΜ. Τῷ τοῦ τέκτονος.
ΣΩ. Πᾶς δὲ τέκτων ἐστίν, ἢ ὁ τὴν τέχνην ἔχων;
ΕΡΜ. Ὁ τὴν τέχνην. ΣΩ. Τῷ τίνος δὲ ἔργῳ ὁ τρυ-
πητὴς καλῶς χρήσεται, ὅταν τῷ τρυπάνῳ χρῆται;
ΕΡΜ. Τῷ τοῦ χαλκέως. ΣΩ. Ἆρ' οὖν πᾶς χαλκεύς,
ἢ ὁ τὴν τέχνην ἔχων; ΕΡΜ. Ὁ τὴν τέχνην ἔχων.
ΣΩ. Εἶεν. τῷ δὲ τίνος ἔργῳ ὁ διδασκαλικὸς χρήσε-
ται, ὅταν τῷ ὀνόματι χρῆται; ΕΡΜ. Οὐδὲ τοῦτ'
ἔχω. ΣΩ. Οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, τίς παραδίδωσιν
ἡμῖν τὰ ὀνόματα οἷς χρώμεθα; ΕΡΜ. Οὐ δῆτα. ΣΩ.
Ἆρ' οὐχὶ ὁ νόμος δοκεῖ σοι εἶναι ὁ παραδιδοὺς αὐτά;
ΕΡΜ. Ἔοικε. ΣΩ. Νομοθέτου ἄρα ἔργῳ χρήσεται
ὁ διδασκαλικός, ὅταν ὀνόματι χρῆται. ΕΡΜ. Δο-
κεῖ μοι. ΣΩ. Νομοθέτης δέ σοι δοκεῖ πᾶς εἶναι
ἀνήρ, ἢ ὁ τὴν τέχνην ἔχων; ΕΡΜ. Ὁ τὴν τέχνην.
ΣΩ. Οὐκ ἄρα παντὸς ἀνδρός, ὦ Ἑρμόγενες, ὄνο-
μα θέσθαι ἐστίν, ἀλλά τινος ὀνοματουργοῦ. οὗτος
δ' ἐστίν, ὡς ἔοικεν, ὁ νομοθέτης, ὃς δὴ τῶν δημι-
ουργῶν σπανιώτατος ἐν ἀνθρώποις γίγνεται. ΕΡΜ.
Ἔοικεν. IX. ΣΩ. Ἴθι δή, ἐπίσκεψαι ποῖ βλέπων ὁ
ὀνοματοθέτης τὰ ὀνόματα τίθεται· ἐκ τῶν ἔμπροσθεν
δὲ ἀνάσκεψαι· ποῖ βλέπων ὁ τέκτων, τὴν κερκίδα

ποιεῖ; ἆρ᾽ οὐ πρὸς τοιοῦτόν τι, ὃ ἐπεφύκει κερκίζειν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τί δαί; ἂν καταγῇ αὐτῷ ἡ κερκὶς ποιοῦντι, πότερον πάλιν ποιήσει ἄλλην, πρὸς τὴν κατεαγυῖαν βλέπων, ἢ πρὸς ἐκεῖνο τὸ εἶδος πρὸς ὅπερ καὶ ἣν κατέαξεν ἐποίει; ΕΡΜ. Πρὸς ἐκεῖνο, ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν ἐκεῖνο δικαιότατ᾽ ἂν αὐτὸ ὅπερ ἐστὶ κερκὶς καλέσαιμεν; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν ἐπειδὰν δέῃ λεπτῷ ἱματίῳ, ἢ παχεῖ, ἢ λινῷ, ἢ ἐρεῷ, ἢ ὁποιῳοῦν τινι κερκίδα ποιεῖν, πάσας μὲν δεῖ τὸ τῆς κερκίδος ἔχειν εἶδος, οἵα δ᾽ ἑκάστῳ καλλίστη ἐπεφύκει, ταύτην ἀποδιδόναι τὴν φύσιν εἰς τὸ ἔργον ἕκαστον; ΕΡΜ. Ναί. ΣΩ. Καὶ περὶ τῶν ἄλλων δὴ ὀργάνων ὁ αὐτὸς τρόπος· τὸ φύσει ἑκάστῳ πεφυκὸς ὄργανον ἐξευρόντα, δεῖ ἀποδοῦναι εἰς ἐκεῖνο, ἐξ οὗ ἂν ποιῇ τὸ ἔργον, οὐχ οἷον ἂν αὐτὸς βουληθῇ, ἀλλ᾽ οἷον ἐπεφύκει· τὸ φύσει γὰρ ἑκάστῳ, ὡς ἔοικε, τρύπανον πεφυκὸς εἰς τὸν σίδηρον δεῖ ἐπίστασθαι τιθέναι. ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ τὴν φύσει κερκίδα ἑκάστῳ πεφυκυῖαν, εἰς τὸ ξύλον. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Φύσει γὰρ ἦν ἑκάστῳ εἴδει ὑφάσματος, ὡς ἔοικεν, ἑκάστη κερκίς, καὶ τὰ ἄλλα οὕτως. ΕΡΜ. Ναί. ΣΩ. Ἆρ᾽ οὖν, ὦ βέλτιστε, καὶ τὸ ἑκάστῳ φύσει πεφυκὸς ὄνομα τὸν νομοθέτην ἐκεῖνον εἰς τοὺς φθόγγους καὶ τὰς συλλαβὰς δεῖ ἐπίστασθαι τιθέναι, καὶ βλέποντα πρὸς αὐτὸ ἐκεῖνο οὗ ἐστιν ὄνομα, πάντα τὰ ὀνόματα ποιεῖν τε καὶ τίθεσθαι, εἰ μέλλει κύριος εἶναι ὀνομάτων θέτης. εἰ δὲ μὴ εἰς τὰς αὐτὰς συλλαβὰς ἕκαστος

ὀνοματοθέτης τίθησιν, οὐδὲν δεῖ τοῦτο ἀγνοεῖν. οὐδὲ γὰρ εἰς τὸν αὐτὸν σίδηρον ἅπας χαλκεὺς τίθησι, τοῦ αὐτοῦ ἕνεκα ποιῶν τὸ αὐτὸ ὄργανον· ἀλλ' ὅμως, ἕως ἂν τὴν αὐτὴν ἰδέαν ἀποδιδῷ, ἐάν τε ἐν ἄλλῳ σιδήρῳ, ὁμοίως ὀρθῶς ἔχει τὸ ὄργανον, ἐάν τε ἐνθάδε, ἐάν τε ἐν βαρβάροις τις ποιῇ. ἢ γάρ; ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν οὕτως ἀξιώσεις καὶ τὸν ὀνοματοθέτην τόν τε ἐνθάδε καὶ τὸν ἐν τοῖς βαρβάροις, ἕως ἂν τὸ τοῦ ὀνόματος εἶδος ἀποδιδῷ τὸ προσῆκον ἑκάστῳ ἐν ὁποιαισοῦν συλλαβαῖς, οὐδὲν χείρω ὀνοματοθέτην εἶναι τὸν ἐνθάδε ἢ τὸν ὁπουοῦν ἄλλοθι; ΕΡΜ. Πάνυ γε. X. ΣΩ. Τίς οὖν ὁ γνωσόμενος, εἰ τὸ προσῆκον εἶδος κερκίδος ἐν ὁποιῳοῦν ξύλῳ κεῖται, ὁ ποιήσας, ὁ τέκτων, ἢ ὁ χρησόμενος, ὁ ὑφάντης; ΕΡΜ. Εἰκὸς μὲν μᾶλλον, ὦ Σώκρατες, τὸν χρησόμενον. ΣΩ. Τίς οὖν ὁ τῷ τοῦ λυροποιοῦ ἔργῳ χρησόμενος; ἆρ' οὐχ οὗτος [ὃς] ἐπίσταιτο ἂν ἐργαζομένῳ κάλλιστα ἐπιστατεῖν, καὶ εἰργασμένον γνοίη ἂν εἴτ' εὖ εἴργασται, εἴτε μή; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τίς δή; ΕΡΜ. Ὁ κιθαριστής. ΣΩ. Τίς δὲ ὁ τὸ τοῦ ναυπηγοῦ; ΕΡΜ. Κυβερνήτης. ΣΩ. Τίς δὲ τῷ τοῦ ὀνοματοθέτου ἔργῳ ἐπιστατήσειέ τ' ἂν κάλλιστα καὶ εἰργασμένον κρίνειε καὶ ἐνθάδε καὶ ἐν τοῖς βαρβάροις; ἆρ' οὐχ ὅσπερ χρήσεται; ΕΡΜ. Ναί. ΣΩ. Ἆρ' οὖν οὐχ ὁ ἐρωτᾶν ἐπιστάμενος οὗτός ἐστιν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὁ δὲ αὐτὸς καὶ ἀποκρίνεσθαι; ΕΡΜ. Ναί. ΣΩ. Τὸν δὲ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον ἄλλο τι σὺ καλεῖς ἢ διαλεκτικόν; ΕΡΜ. Οὐκ, ἀλλὰ τοῦ-

το. ΣΩ. Τέκτονος μὲν ἄρα ἔργον ἐστὶ ποιῆσαι πηδάλιον, ἐπιστατοῦντος κυβερνήτου, εἰ μέλλει καλὸν εἶναι τὸ πηδάλιον. ΕΡΜ. Φαίνεται. ΣΩ. Ὀνοματοθέτου δέ γε, ὡς ἔοικεν, ὄνομα, ἐπιστάτην ἔχοντος διαλεκτικὸν ἄνδρα, εἰ μέλλει καλῶς ὀνόματα θήσεσθαι. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Κινδυνεύει ἄρα, ὦ Ἑρμόγενες, εἶναι οὐ φαῦλον, ὡς σὺ οἴει, ἡ τοῦ ὀνόματος θέσις, οὐδὲ φαύλων ἀνδρῶν, οὐδὲ τῶν ἐπιτυχόντων, καὶ Κρατύλος ἀληθῆ λέγει, λέγων φύσει τὰ ὀνόματα εἶναι τοῖς πράγμασι, καὶ οὐ πάντα δημιουργὸν ὀνομάτων εἶναι, ἀλλὰ μόνον ἐκεῖνον τὸν ἀποβλέποντα εἰς τὸ τῇ φύσει ὄνομα ὂν ἑκάστῳ, καὶ δυνάμενον αὐτοῦ τὸ γε εἶδος τιθέναι εἴς τε τὰ γράμματα καὶ τὰς συλλαβάς. ΕΡΜ. Οὐκ ἔχω, ὦ Σώκρατες, ὅπως χρὴ πρὸς ἃ λέγεις ἐναντιοῦσθαι· ἴσως μέντοι οὐ ῥᾴδιόν ἐστιν οὕτως ἐξαίφνης πεισθῆναι, ἀλλὰ δοκῶ μοι ὧδε ἂν μᾶλλον πεισθήσεσθαί σοι, εἴ μοι δείξειας, ἥν τινα φῂς εἶναι τὴν φύσει ὀρθότητα ὀνόματος. ΣΩ. Ἐγὼ μὲν, ὦ μακάριε Ἑρμόγενες, οὐδεμίαν λέγω, ἀλλ᾽ ἐπελάθου γε ὧν ὀλίγον πρότερον ἔλεγον, ὅτι οὐκ εἰδείην, ἀλλὰ σκεψοίμην μετὰ σοῦ. νῦν δὲ σκοπουμένοις ἡμῖν, ἐμοί τε καὶ σοί, τοσοῦτον μὲν ἤδη φαίνεται παρὰ τὰ πρότερα, φύσει τέ τινα ὀρθότητα ἔχον εἶναι τὸ ὄνομα, καὶ οὐ παντὸς ἀνδρὸς ἐπίστασθαι καλῶς αὐτὸ πράγματι ὁτῳοῦν θέσθαι· ἢ οὔ; ΕΡΜ. Πάνυ γε. XI. ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο χρὴ ζητεῖν, εἴπερ ἐπιθυμεῖς εἰδέναι ἥτις ποτ᾽ αὖ ἐστιν αὐτοῦ ἡ ὀρθότης. ΕΡΜ. Ἀλλὰ μὴν ἐπιθυμῶ γε εἰ-

θέναι. ΣΩ. Σκόπει τοίνυν. ΕΡΜ. Πῶς οὖν χρὴ σκοπεῖν; ΣΩ. Ὀρθοτάτη μὲν τῆς σκέψεως, ὦ ἑταῖρε, μετὰ τῶν ἐπισταμένων, χρήματα ἐκείνοις τελοῦντα καὶ χάριτας κατατιθέμενον. εἰσὶ δὲ οὗτοι οἱ σοφισταί, οἷσπερ καὶ ὁ ἀδελφός σου Καλλίας πολλὰ τελέσας χρήματα σοφὸς δοκεῖ εἶναι. ἐπειδὴ δὲ οὐκ ἐγκρατὴς εἶ τῶν πατρῴων, λιπαρεῖν χρὴ τὸν ἀδελφὸν καὶ δεῖσθαι αὐτοῦ, διδάξαι σε τὴν ὀρθότητα περὶ τῶν τοιούτων, ἣν ἔμαθε παρὰ τοῦ Πρωταγόρου. ΕΡΜ. Ἄτοπος μέντ' ἂν εἴη μου, ὦ Σώκρατες, ἡ δέησις, εἰ τὴν μὲν ἀλήθειαν τὴν Πρωταγόρου ὅλως οὐκ ἀποδέχομαι, τὰ δὲ τῇ τοιαύτῃ ἀληθείᾳ ῥηθέντα ἀγαπῴην, ὥς του ἄξια. ΣΩ. Ἀλλ' εἰ μὴ αὖ σὲ ταῦτα ἀρέσκει, παρ' Ὁμήρου χρὴ μανθάνειν, καὶ παρὰ τῶν ἄλλων ποιητῶν. ΕΡΜ. Καὶ τί λέγει, ὦ Σώκρατες, Ὅμηρος περὶ ὀνομάτων ὀρθότητος, καὶ ποῦ; ΣΩ. Πολλαχοῦ, μέγιστα δὲ καὶ κάλλιστα, ἐν οἷς διορίζει ἐπὶ τοῖς αὐτοῖς, ἅ τε οἱ ἄνθρωποι ὀνόματα καλοῦσι καὶ οἱ θεοί. ἢ οὐκ οἴει αὐτὸν μέγα τι καὶ θαυμαστὸν λέγειν ἐν τούτοις περὶ ὀνομάτων ὀρθότητος; δῆλον γὰρ δὴ ὅτι οἵ γε θεοὶ αὐτὰ καλοῦσι πρὸς ὀρθότητα, ἅπερ ἐστὶ φύσει ὀνόματα· ἢ σὺ οὐκ οἴει; ΕΡΜ. Εὖ οἶδα μὲν οὖν ἔγωγε, εἴπερ καλοῦσιν, ὅτι ὀρθῶς καλοῦσιν. ἀλλὰ ποῖα ταῦτα λέγεις; ΣΩ. Οὐκ οἶσθα, ὅτι περὶ τοῦ ποταμοῦ τοῦ ἐν τῇ Τροίᾳ, ὃς ἐμονομάχει τῷ Ἡφαίστῳ, Ὃν Ξάνθον, φησί, καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον. ΕΡΜ. Ἔγωγε. ΣΩ. Τί οὖν δή; οὐκ οἴει τοῦτο σεμνόν τι εἶναι, γνῶναι,

ὅπη ποτὲ ὀρθῶς ἔχει ἐκεῖνον τὸν ποταμὸν Ξάνθον καλεῖν μᾶλλον ἢ Σκάμανδρον; εἰ δὲ βούλει, περὶ τῆς ὄρνιθος, ἥν λέγει ὅτι Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν, φαῦλον ἡγῇ τὸ μάθημα, ὅσῳ ὀρθότερόν ἐστι καλεῖσθαι χαλκὶς κυμίνδιος τῷ αὐτῷ ὀρνέῳ; ἢ τὴν Βατίειάν τε καὶ Μυρίνην, καὶ ἄλλα πολλὰ καὶ τούτου τοῦ ποιητοῦ καὶ ἄλλων; ἀλλὰ ταῦτα μὲν ἴσως μείζω ἐστὶν ἢ κατ' ἐμὲ καὶ σὲ ἐξευρεῖν· ὁ δὲ Σκαμάνδριός τε καὶ ὁ Ἀστυάναξ ἀνθρωπινώτερον διασκέψασθαι, ὡς ἐμοὶ δοκεῖ, καὶ ῥᾷον, ἅ φησιν ὀνόματα εἶναι τῷ τοῦ Ἕκτορος υἱεῖ, τίνα ποτὲ λέγει τὴν ὀρθότητα αὐτῶν. οἶσθα γὰρ δή που ταῦτα τὰ ἔπη, ἐν οἷς ἔνεστιν ἃ ἐγὼ λέγω. ΕΡΜ. Πάνυ γε. ΣΩ. Πότερον οὖν οἴει Ὅμηρον ὀρθότερον ἡγεῖσθαι τῶν ὀνομάτων κεῖσθαι τῷ παιδί, τὸν Ἀστυάνακτα, ἢ τὸν Σκαμάνδριον; ΕΡΜ. Οὐκ ἔχω λέγειν.

XII. ΣΩ. Ὧδε δὴ σκόπει· εἴ τις ἔροιτό σε, πότερον οἴει ὀρθότερον καλεῖν τὰ ὀνόματα τοὺς φρονιμωτέρους, ἢ τοὺς ἀφρονεστέρους; ΕΡΜ. Δῆλον δὴ ὅτι τοὺς φρονιμωτέρους φαίην ἄν. ΣΩ. Πότερον οὖν αἱ γυναῖκες ἐν ταῖς πόλεσι φρονιμώτεραί σοι δοκοῦσιν εἶναι ἢ οἱ ἄνδρες, ὡς τὸ ὅλον εἰπεῖν γένος; ΕΡΜ. Οἱ ἄνδρες. ΣΩ. Οὐκοῦν οἶσθα, ὅτι Ὅμηρος τὸ παιδίον τὸ τοῦ Ἕκτορος ὑπὸ τῶν Τρώων φησὶ καλεῖσθαι Ἀστυάνακτα, Σκαμάνδριον δὲ δηλονότι ὑπὸ τῶν γυναικῶν, ἐπειδὴ οἵγε ἄνδρες αὐτὸν Ἀστυάνακτα ἐκάλουν; ΕΡΜ. Ἔοικέ γε. ΣΩ. Οὐκοῦν καὶ Ὅμηρος τοὺς Τρῶας σοφωτέρους ἡγεῖτο ἢ τὰς γυναῖκας αὐτῶν;

ΕΡΜ. Οἶμαι ἔγωγε. *ΣΩ.* Τὸν Ἀστυάνακτα ἄρα ὀρθότερον ᾤετο κεῖσθαι τῷ παιδί, ἢ τὸν Σκαμάνδριον. *ΕΡΜ.* Φαίνεται. *ΣΩ.* Σκοπῶμεν δή, διὰ τί ποτε. ἢ αὐτὸς ἡμῖν κάλλιστα ὑφηγεῖται τὸ διότι· φησὶ γάρ, Οἷος γάρ σφιν ἔρυτο πόλιν καὶ τείχεα μακρά. Διὰ ταῦτα δή, ὡς ἔοικεν, ὀρθῶς ἔχει καλεῖν τὸν τοῦ σωτῆρος υἱὸν Ἀστυάνακτα τούτου, ὃ ἔσωζεν ὁ πατὴρ αὐτοῦ, ὥς φησιν Ὅμηρος. *ΕΡΜ.* Φαίνεταί μοι. *ΣΩ.* Τί δή ποτε; οὐ γάρ πω οὐδ᾽ αὐτὸς ἔγωγε μανθάνω, ὦ Ἑρμόγενες· σὺ δὲ μανθάνεις; *ΕΡΜ.* Μὰ Δί᾽ οὐκ ἔγωγε. *ΣΩ.* Ἀλλ᾽ ἄρα, ὠγαθέ, καὶ τῷ Ἕκτορι αὐτὸς ἔθετο τὸ ὄνομα Ὅμηρος. *ΕΡΜ.* Τί δή; *ΣΩ.* Ὅτι μοι δοκεῖ καὶ τοῦτο παραπλήσιόν τι εἶναι τῷ Ἀστυάνακτι, καὶ ἔοικεν Ἑλληνικοῖς ταῦτα τὰ ὀνόματα· ὁ γὰρ Ἄναξ καὶ ὁ Ἕκτωρ σχεδόν τι ταὐτὸν σημαίνει, βασιλικὰ ἀμφότερα εἶναι τὰ ὀνόματα. οὗ γὰρ ἄν τις ἄναξ ᾖ, καὶ ἕκτωρ δήπου ἐστὶ τούτου· δῆλον γὰρ ὅτι κρατεῖ τε αὐτοῦ καὶ κέκτηται καὶ ἔχει αὐτό· ἢ οὐδέν σοι δοκῶ λέγειν, ἀλλὰ λανθάνω καὶ ἐμαυτὸν οἰόμενός τινος ὥσπερ ἴχνους ἐφάπτεσθαι τῆς Ὁμήρου δόξης περὶ ὀνομάτων ὀρθότητος; *ΕΡΜ.* Μὰ Δί᾽ οὐ σύ γε, ὡς ἐμοὶ δοκεῖς, ἀλλ᾽ ἴσως του ἐφάπτῃ. XIII. *ΣΩ.* Δίκαιόν γέ τοί ἐστιν, ὡς ἐμοὶ φαίνεται, τὸν λέοντος ἔκγονον λέοντα καλεῖν, καὶ τὸν ἵππου ἔκγονον ἵππον· οὔτι λέγω, ἐὰν ὥσπερ τέρας γένηται ἐξ ἵππου ἄλλο τι ἢ ἵππος, ἀλλ᾽ ὃ ἂν ᾖ τοῦ γένους ἔκγονον τὴν φύσιν, τοῦτο λέγω· ἐὰν βοὸς ἔκγονον φύσει ἵππος παρὰ φύσιν τέκῃ [μόσχον],

ὅπῃ ποτὲ ὀρθῶς ἔχει ἐκεῖνον τὸν ποταμὸν Ξάνθον καλεῖν μᾶλλον ἢ Σκάμανδρον; εἰ δὲ βούλει, περὶ τῆς ὄρνιθος, ἣν λέγει ὅτι Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν, φαῦλον ἡγῇ τὸ μάθημα, ὅσῳ ὀρθότερόν ἐστι καλεῖσθαι χαλκὶς κυμίνδιος τῷ αὐτῷ ὀρνέῳ; ἢ τὴν Βατίειάν τε καὶ Μυρίνην, καὶ ἄλλα πολλὰ καὶ τούτου τοῦ ποιητοῦ καὶ ἄλλων; ἀλλὰ ταῦτα μὲν ἴσως μείζω ἐστὶν ἢ κατ' ἐμὲ καὶ σὲ ἐξευρεῖν· ὁ δὲ Σκαμάνδριός τε καὶ ὁ Ἀστυάναξ ἀνθρωπινώτερον διασκέψασθαι, ὡς ἐμοὶ δοκεῖ, καὶ ῥᾷον, ἅ φησιν ὀνόματα εἶναι τῷ τοῦ Ἕκτορος υἱεῖ, τίνα ποτὲ λέγει τὴν ὀρθότητα αὐτῶν. οἶσθα γὰρ δή που ταῦτα τὰ ἔπη, ἐν οἷς ἔνεστιν ἃ ἐγὼ λέγω. ΕΡΜ. Πάνυ γε. ΣΩ. Πότερον οὖν οἴει Ὅμηρον ὀρθότερον ἡγεῖσθαι τῶν ὀνομάτων κεῖσθαι τῷ παιδί, τὸν Ἀστυάνακτα, ἢ τὸν Σκαμάνδριον; ΕΡΜ. Οὐκ ἔχω λέγειν. XII. ΣΩ. Ὧδε δὴ σκόπει· εἴ τις ἔροιτό σε, πότερον οἴει ὀρθότερον καλεῖν τὰ ὀνόματα τοὺς φρονιμωτέρους, ἢ τοὺς ἀφρονεστέρους; ΕΡΜ. Δῆλον δὴ ὅτι τοὺς φρονιμωτέρους φαίην ἄν. ΣΩ. Πότερον οὖν αἱ γυναῖκες ἐν ταῖς πόλεσι φρονιμώτεραί σοι δοκοῦσιν εἶναι ἢ οἱ ἄνδρες, ὡς τὸ ὅλον εἰπεῖν γένος; ΕΡΜ. Οἱ ἄνδρες. ΣΩ. Οὐκοῦν οἶσθα, ὅτι Ὅμηρος τὸ παιδίον τὸ τοῦ Ἕκτορος ὑπὸ τῶν Τρώων φησὶ καλεῖσθαι Ἀστυάνακτα, Σκαμάνδριον δὲ δηλονότι ὑπὸ τῶν γυναικῶν, ἐπειδὴ οἵ γε ἄνδρες αὐτὸν Ἀστυάνακτα ἐκάλουν; ΕΡΜ. Ἔοικέ γε. ΣΩ. Οὐκοῦν καὶ Ὅμηρος τοὺς Τρῶας σοφωτέρους ἡγεῖτο ἢ τὰς γυναῖκας αὐτῶν;

ΕΡΜ. Οἶμαι ἔγωγε. ΣΩ. Τὸν Ἀστυάνακτα ἄρα ὀρθότερον ᾤετο κεῖσθαι τῷ παιδὶ, ἢ τὸν Σκαμάνδριον. ΕΡΜ. Φαίνεται. ΣΩ. Σκοπῶμεν δὴ, διά τί ποτε. ἢ αὐτὸς ἡμῖν κάλλιστα ὑφηγεῖται τὸ διότι· φησὶ γὰρ, Οἶος γάρ σφιν ἔρυτο πόλιν καὶ τείχεα μακρά. Διὰ ταῦτα δὴ, ὡς ἔοικεν, ὀρθῶς ἔχει καλεῖν τὸν τοῦ σωτῆρος υἱὸν Ἀστυάνακτα τούτου, ὃ ἔσωζεν ὁ πατὴρ αὐτοῦ, ὥς φησιν Ὅμηρος. ΕΡΜ. Φαίνεταί μοι. ΣΩ. Τί δή ποτε; οὐ γάρ πω οὐδ' αὐτὸς ἔγωγε μανθάνω, ὦ Ἑρμόγενες· σὺ δὲ μανθάνεις; ΕΡΜ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. Ἀλλ' ἄρα, ὦ 'γαθὲ, καὶ τῷ Ἕκτορι αὐτὸς ἔθετο τὸ ὄνομα Ὅμηρος. ΕΡΜ. Τί δή; ΣΩ. Ὅτι μοι δοκεῖ καὶ τοῦτο παραπλήσιόν τι εἶναι τῷ Ἀστυάνακτι, καὶ ἔοικεν Ἑλληνικοῖς ταῦτα τὰ ὀνόματα· ὁ γὰρ Ἄναξ καὶ ὁ Ἕκτωρ σχεδόν τι ταυτὸν σημαίνει, βασιλικὰ ἀμφότερα εἶναι τὰ ὀνόματα. οὗ γὰρ ἄν τις ἄναξ ᾖ, καὶ ἕκτωρ δήπου ἐστὶ τούτου· δῆλον γὰρ ὅτι κρατεῖ τε αὐτοῦ καὶ κέκτηται καὶ ἔχει αὐτό. ἢ οὐδέν σοι δοκῶ λέγειν, ἀλλὰ λανθάνω καὶ ἐμαυτὸν οἰόμενός τινος ὥσπερ ἴχνους ἐφάπτεσθαι τῆς Ὁμήρου δόξης περὶ ὀνομάτων ὀρθότητος; ΕΡΜ. Μὰ Δί' οὐ σύ γε, ὡς ἐμοὶ δοκεῖς, ἀλλὰ ἴσως του ἐφάπτῃ. XIII. ΣΩ. Δίκαιόν γέ τοί ἐστιν, ὡς ἐμοὶ φαίνεται, τὸν λέοντος ἔκγονον λέοντα καλεῖν, καὶ τὸν ἵππου ἔκγονον ἵππον· οὔτι λέγω, ἐὰν ὥσπερ τέρας γένηται ἐξ ἵππου ἄλλο τι ἢ ἵππος, ἀλλὰ ὃ ἂν ᾖ τοῦ γένους ἔκγονον τὴν φύσιν, τοῦτο λέγω· ἐὰν βοὸς ἔκγονον φύσει ἵππος παρὰ φύσιν τέκῃ [μόσχον],

οὐ πῶλον κλητέον, ἀλλὰ μόσχον· οὐδ' ἂν ἐξ ἀνθρώπου, οἶμαι, μὴ τὸ ἀνθρώπου ἔκγονον γένηται, ἄλλο δέ, τὸ ἔκγονον ἄνθρωπος κλητέον· καὶ τὰ δένδρα ὡσαύτως, καὶ τὰ ἄλλα ἅπαντα. ἢ οὐ ξυνδοκεῖ; ΕΡΜ. Ξυνδοκεῖ. ΣΩ. Καλῶς λέγεις· φύλαττε γάρ με, μή πη παρακρούσωμαί σε. κατὰ γὰρ τὸν αὐτὸν λόγον κἂν ἐκ βασιλέως γίγνηταί τι ἔκγονον, βασιλεὺς κλητέος· εἰ δὲ ἐν ἑτέραις συλλαβαῖς ἢ ἐν ἑτέραις τὸ αὐτὸ σημαίνει, οὐδὲν πρᾶγμα, οὐδ' εἰ πρόσκειταί τι γράμμα οὐδ' εἰ ἀφῄρηται, οὐδὲν οὐδὲ τοῦτο, ἕως ἂν ἐγκρατὴς ᾖ ἡ οὐσία τοῦ πράγματος, δηλουμένη ἐν τῷ ὀνόματι. ΕΡΜ. Πῶς τοῦτο λέγεις; ΣΩ. Οὐδὲν ποικίλον, ἀλλ' ὥσπερ τῶν στοιχείων οἶσθα ὅτι ὀνόματα λέγομεν, ἀλλ' οὐκ αὐτὰ τὰ στοιχεῖα, πλὴν τεττάρων, τοῦ ε, καὶ τοῦ υ, καὶ τοῦ ο, καὶ τοῦ ω· τοῖς δ' ἄλλοις φωνήεσί τε καὶ ἀφώνοις οἶσθα ὅτι περιτιθέντες ἄλλα γράμματα, λέγομεν, ὀνόματα ποιοῦντες· ἀλλ' ἕως ἂν αὐτοῦ δηλουμένην τὴν δύναμιν ἐντιθῶμεν, ὀρθῶς ἔχει ἐκεῖνο τὸ ὄνομα καλεῖν, ὃ αὐτὸ ἡμῖν δηλώσει· οἷον τὸ βῆτα· ὁρᾷς ὅτι τοῦ η, καὶ τοῦ τ, καὶ τοῦ α, προστεθέντων οὐδὲν ἐλύπησεν, ὥστε μὴ οὐχὶ τὴν ἐκείνου τοῦ στοιχείου φύσιν δηλῶσαι ὅλῳ τῷ ὀνόματι, οὗ ἐβούλετο ὁ ὀνοματοθέτης· οὕτως ἠπιστήθη καλῶς θέσθαι τοῖς γράμμασι τὰ ὀνόματα. ΕΡΜ. Ἀληθῆ μοι δοκεῖς λέγειν. ΣΩ. Οὐκοῦν καὶ περὶ βασιλέως ὁ αὐτὸς λόγος· ἔσται γάρ ποτ' ἐκ βασιλέως βασιλεύς, καὶ ἐξ ἀγαθοῦ ἀγαθός, καὶ ἐκ καλοῦ καλός, καὶ τἆλλα πάντα οὕτως, ἐξ

ἑκάστου γένους ἕτερον τοιοῦτον ἔκγονον, ἐὰν μὴ τέρας γίγνηται· κλητέον δὴ ταυτὰ ὀνόματα· ποικίλλειν δὲ ἔξεστι ταῖς συλλαβαῖς, ὥςτε δόξαι ἂν τῷ ἰδιωτικῶς ἔχοντι ἕτερα εἶναι ἀλλήλων τὰ αὐτὰ ὄντα· ὥςπερ ἡμῖν τὰ τῶν ἰατρῶν φάρμακα, χρώμασιν ἢ ὀσμαῖς πεποικιλμένα, ἄλλα φαίνεται, τὰ αὐτὰ ὄντα, τῷ δέ γε ἰατρῷ, ἅτε τὴν δύναμιν τῶν φαρμάκων σκοπουμένῳ, τὰ αὐτὰ φαίνεται, καὶ οὐκ ἐκπλήττεται ὑπὸ τῶν προςόντων· οὕτω δὲ ἴσως καὶ ὁ ἐπιστάμενος περὶ ὀνομάτων τὴν δύναμιν αὐτῶν σκοπεῖ, καὶ οὐκ ἐκπλήττεται, εἴ τι πρόςκειται γράμμα ἢ μετάκειται ἢ ἀφῄρηται, ἢ καὶ ἐν ἄλλοις παντάπασι γράμμασιν ἐστὶν ἡ τοῦ ὀνόματος δύναμις. ὥςπερ, ὃ νῦν δὴ ἐλέγομεν, Ἀστυάναξ τε καὶ Ἕκτωρ, οὐδὲν τῶν αὐτῶν γραμμάτων ἔχει πλὴν τοῦ τ, ἀλλ' ὅμως ταυτὸν σημαίνει. καὶ Ἀρχέπολίς γε τῶν μὲν γραμμάτων τί ἐπικοινωνεῖ; δηλοῖ δὲ ὅμως τὸ αὐτό. καὶ ἄλλα πολλά ἐστιν, ἃ οὐδὲν ἄλλ' ἢ βασιλέα σημαίνει, καὶ ἄλλα γε αὖ στρατηγόν, οἷον Ἆγις, καὶ Πολέμαρχος, καὶ Εὐπόλεμος· καὶ ἰατρικά γε ἕτερα, Ἰατροκλῆς, καὶ Ἀκεσίμβροτος· καὶ ἕτερα ἂν ἴσως συχνὰ εὕροιμεν, ταῖς μὲν συλλαβαῖς καὶ τοῖς γράμμασι διαφανοῦντα, τῇ δὲ δυνάμει ταυτὸν φθεγγόμενα. φαίνεται οὕτως ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Τοῖς μὲν δὴ κατὰ φύσιν γιγνομένοις τὰ αὐτὰ ἀποδοτέον ὀνόματα. ΕΡΜ. Πάνυ γε. XIV. ΣΩ. Τί δαὶ τοῖς παρὰ φύσιν, οἳ ἂν ἐν τέρατος εἴδει γένωνται, οἷον, ὅταν ἐξ ἀνδρὸς ἀγαθοῦ καὶ θεοσεβοῦς ἀσεβὴς

γένηται, ἆρ' οὐχ, ὥσπερ ἐν τοῖς ἔμπροσθεν, κἂν ἐκ ἵππος βοὸς ἔκγονον τέκῃ, οὐ τοῦ τεκόντος δήπου ἔδει τὴν ἐπωνυμίαν ἔχειν, ἀλλὰ τοῦ γένους οὗ εἴη; ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ τῷ ἐκ τοῦ εὐσεβοῦς ἄρα γενομένῳ ἀσεβεῖ τὸ τοῦ γένους ὄνομα ἀποδοτέον. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐ Θεόφιλον, ὡς ἔοικεν, οὐδὲ Μνησίθεον, οὐδὲ τῶν τοιούτων οὐδέν, ἀλλ' ὅ, τι τἀναντία τούτοις σημαίνει, ἐάν περ τῆς ὀρθότητος τυγχάνῃ τὰ ὀνόματα. ΕΡΜ. Παντός γε μᾶλλον, ὦ Σώκρατες. ΣΩ. Ὥσπερ γε καὶ ὁ Ὀρέστης, ὦ Ἑρμόγενες, κινδυνεύει ὀρθῶς ἔχειν· εἴτε τις τύχη ἔθετο αὐτῷ τὸ ὄνομα, εἴτε καὶ ποιητής τις, τὸ θηριῶδες τῆς φύσεως καὶ τὸ ἄγριον αὐτοῦ καὶ τὸ ὀρεινὸν ἐνδεικνύμενος τῷ ὀνόματι. ΕΡΜ. Φαίνεται οὕτως, ὦ Σώκρατες. ΣΩ. Ἔοικε δέ γε καὶ τῷ πατρὶ αὐτοῦ κατὰ φύσιν τὸ ὄνομα εἶναι. ΕΡΜ. Φαίνεται. ΣΩ. Κινδυνεύει γὰρ τοιοῦτός τις εἶναι ὁ Ἀγαμέμνων, οἷος, ἃ ἂν δόξειεν αὐτῷ, διαπονεῖσθαι καὶ καρτερεῖν, τέλος ἐπιθεὶς τοῖς δόξασι δι' ἀρετήν. σημεῖον δ' αὐτοῦ τῆς καρτερίας ἡ ἐν Τροίᾳ μονὴ μετὰ τόσου πλήθους. ὅτι οὖν ἀγαστὸς κατὰ τὴν ἐπιμονὴν οὗτος ὁ ἀνήρ, ἐνσημαίνει τὸ ὄνομα ὁ Ἀγαμέμνων. Ἴσως δὲ καὶ ὁ Ἀτρεὺς ὀρθῶς ἔχει. ὅ τε γὰρ τοῦ Χρυσίππου αὐτῷ φόνος, καὶ ἃ πρὸς τὸν Θυέστην ὡς ὠμὰ διεπράττετο, πάντα ταῦτα ζημιώδη καὶ ἀτηρὰ πρὸς ἀρετήν. ἡ οὖν τοῦ ὀνόματος ἐπωνυμία σμικρὸν παρακλίνει καὶ ἐπικεκάλυπται, ὥστε μὴ πᾶσι δηλοῦν τὴν φύσιν τοῦ ἀνδρός· τοῖς δ' ἐπαΐουσι περὶ ὀνομάτων ἱκανῶς

δηλοῖ ὃ βούλεται ὁ Ἀτρεύς. καὶ γὰρ κατὰ τὸ ἀτηρές, καὶ κατὰ τὸ ἄτρεστον, καὶ κατὰ τὸ ἀτηρόν, πανταχῇ ὀρθῶς αὐτῷ τὸ ὄνομα κεῖται. δοκεῖ δέ μοι καὶ τῷ Πέλοπι τὸ ὄνομα ἐμμέτρως κεῖσθαι· σημαίνει γὰρ τοῦτο τὸ ὄνομα τὸν τὰ ἐγγὺς δρῶντα, ἄξιον εἶναι ταύτης τῆς ἐπωνυμίας. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἷόν που καὶ κατ' ἐκείνου λέγεται τοῦ ἀνδρός, ἐν τῷ τοῦ Μυρτίλου φόνῳ, οὐδὲν οἷου τε γενέσθαι προνοηθῆναι οὐδὲ προϊδεῖν τῶν πόῤῥω τῶν εἰς τὸ πᾶν γένος, ὅσης αὐτῷ δυστυχίας ἐνεπίμπλατο, τὸ ἐγγὺς μόνον ὁρῶν καὶ τὸ παραχρῆμα (τοῦτο δ' ἐστὶ πέλας), ἡνίκα προεθυμεῖτο λαβεῖν παντὶ τρόπῳ τὸν τῆς Ἱπποδαμείας γάμον. Τῷ δὲ Ταντάλῳ καὶ πᾶς ἂν ἡγήσαιτο τοὔνομα ὀρθῶς καὶ κατὰ φύσιν τεθῆναι, εἰ ἀληθῆ τὰ περὶ αὐτοῦ λεγόμενα. ΕΡΜ. Τὰ ποῖα ταῦτα; ΣΩ. Ἅ τέ που ἔτι ζῶντι δυστυχήματα ἐγένετο πολλὰ καὶ δεινά, ὧν καὶ τέλος, ἡ πατρὶς αὐτοῦ ὅλη ἀνετράπετο, καὶ τελευτήσαντι ἐν ᾅδου ἡ ὑπὲρ τῆς κεφαλῆς τοῦ λίθου ταντάλεια θαυμαστῶς ὡς σύμφωνος τῷ ὀνόματι· καὶ ἀτεχνῶς ἔοικεν, ὥσπερ ἂν εἴ τις βουλόμενος ταλάντατον ὀνομάσαι, ἀποκρυπτόμενος ὀνομάσειε καὶ εἴποι ἀντ' ἐκείνου Τάνταλον, τοιοῦτόν τι καὶ τοῦτο τὸ ὄνομα ἔοικεν ἐκπορίσαι ἡ τύχη τῆς φήμης. Φαίνεται δὲ καὶ τῷ πατρὶ αὐτοῦ λεγομένῳ τῷ Διῒ παγκάλως τὸ ὄνομα κεῖσθαι. ἔστι δὲ οὐ ῥᾴδιον κατανοῆσαι. ἀτεχνῶς γάρ ἐστιν οἷον λόγος τὸ τοῦ Διὸς ὄνομα· διελόντες δὲ αὐτὸ διχῇ, οἱ μὲν τῷ ἑτέρῳ μέρει, οἱ δὲ τῷ ἑτέρῳ χρώμεθα· οἱ μὲν γὰρ

Ζῆνα, οἱ δὲ Δία καλοῦσι· ξυντιθέμενα δὲ ταῦτα εἰς ἓν δηλοῖ τὴν φύσιν τοῦ θεοῦ, ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἵῳ τε εἶναι ἀπεργάζεσθαι. οὐ γάρ ἐστιν ἡμῖν καὶ τοῖς ἄλλοις πᾶσιν ὅστις ἐστὶν αἴτιος μᾶλλον τοῦ ζῆν, ἢ ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων. ξυμβαίνει οὖν ὀρθῶς ὀνομάζεσθαι οὗτος ὁ θεὸς εἶναι, δι' ὃν ζῆν ἀεὶ πᾶσι τοῖς ζῶσιν ὑπάρχει· διείληπται δὲ δίχα, ὥσπερ λέγω, ἓν ὂν τὸ ὄνομα, τῷ Διῒ καὶ Ζηνί. τοῦτον δὲ Κρόνου υἱὸν εἶναι, ὑβριστικὸν μὲν ἄν τινι δόξειεν εἶναι ἀκούσαντι ἐξαίφνης· εὔλογον δέ, μεγάλης τινὸς διανοίας ἔκγονον εἶναι τὸν Δία. κόρον γὰρ σημαίνει, οὐ παῖδα, ἀλλὰ τὸ καθαρὸν αὐτοῦ καὶ ἀκήρατον τοῦ νοῦ. ἔστι δὲ οὗτος Οὐρανοῦ υἱός, ὡς λόγος. ἡ δὲ αὖ ἐς τὸ ἄνω ὄψις καλῶς ἔχει τοῦτο τὸ ὄνομα καλεῖσθαι, οὐρανία, ὁρῶσα τὰ ἄνω· ὅθεν δὴ καί φασιν, ὦ Ἑρμόγενες, τὸν καθαρὸν νοῦν παραγίγνεσθαι οἱ μετεωρολόγοι, καὶ τῷ οὐρανῷ ὀρθῶς τὸ ὄνομα κεῖσθαι. XV. Εἰ δ' ἐμεμνήμην τὴν Ἡσιόδου γενεαλογίαν, τίνας ἔτι τοὺς ἀνωτέρω προγόνους λέγει τούτων, οὐκ ἂν ἐπαυόμην διεξιών, ὡς ὀρθῶς αὐτοῖς τὰ ὀνόματα κεῖται, ἕως ἀπεπειράθην τῆς σοφίας ταυτησί, εἴ τι ποιήσει, εἰ ἄρα ἀπερεῖ, ἢ οὔ, ἣ ἐμοὶ ἐξαίφνης νῦν οὑτωσὶ προσπέπτωκεν ἄρτι, οὐκ οἶδ' ὁπόθεν. ΕΡΜ. Καὶ μὲν δή, ὦ Σώκρατες, ἀτεχνῶς γέ μοι δοκεῖς ὥσπερ οἱ ἐνθουσιῶντες ἐξαίφνης χρησμῳδεῖν. ΣΩ. Καὶ αἰτιῶμαί γε, ὦ Ἑρμόγενες, μάλιστα αὐτὴν ἀπὸ Εὐθύφρονος τοῦ Προσπαλτίου προσπεπτωκέναι μοι. ἕωθεν γὰρ πολλὰ αὐτῷ ξυνῆν καὶ

παρεῖχον τὰ ὦτα. κινδυνεύει οὖν ἐνθουσιῶν οὐ μό-
νον τὰ ὦτά μου ἐμπλῆσαι τῆς δαιμονίας σοφίας, ἀλλὰ
καὶ τῆς ψυχῆς ἐπειλῆφθαι. δοκεῖ οὖν μοι χρῆναι
οὑτωσὶν ἡμᾶς ποιῆσαι, τὸ μὲν τήμερον εἶναι χρή-
σασθαι αὐτῇ, καὶ τὰ λοιπὰ περὶ τῶν ὀνομάτων ἐπι-
σκέψασθαι· αὔριον δ', ἂν καὶ ὑμῖν ξυνδοκῇ, ἀπο-
διοπομπησόμεθά τε αὐτὴν καὶ καθαρούμεθα, ἐξευ-
ρόντες ὅστις τὰ τοιαῦτα δεινὸς καθαίρειν, εἴτε τῶν
ἱερέων τις, εἴτε τῶν σοφιστῶν. ΕΡΜ. Ἀλλ' ἐγὼ μὲν
ξυγχωρῶ· πάνυ γὰρ ἡδέως τὰ ἐπίλοιπα περὶ τῶν
ὀνομάτων ἀκούσαιμι. ΣΩ. Ἀλλὰ χρὴ οὕτω ποιεῖν.
πόθεν οὖν βούλει ἀρξώμεθα διασκοποῦντες, ἐπειδή-
περ εἰς τύπον τινὰ ἐμβεβήκαμεν, ἵνα εἰδῶμεν, εἰ ἄρα
ἡμῖν ἐπιμαρτυρήσει αὐτὰ τὰ ὀνόματα μὴ πάνυ ἀπὸ
τοῦ αὐτομάτου οὕτως ἕκαστα κεῖσθαι, ἀλλ' ἔχειν
τινὰ ὀρθότητα; τὰ μὲν οὖν τῶν ἡρώων καὶ ἀνθρώ-
πων λεγόμενα ὀνόματα ἴσως ἂν ἡμᾶς ἐξαπατήσειεν.
πολλὰ μὲν γὰρ αὐτῶν κεῖται κατὰ προγόνων ἐπωνυ-
μίας, οὐδὲν προσῆκον ἐνίοις, ὥσπερ κατ' ἀρχὰς ἐλέ-
γομεν· πολλὰ δὲ ὥσπερ εὐχόμενοι τίθενται, οἷον
Εὐτυχίδην, καὶ Σωσίαν καὶ Θεόφιλον, καὶ ἄλλα πολ-
λά. τὰ μὲν οὖν τοιαῦτα δοκεῖ μοι χρῆναι ἐᾶν· εἰκὸς
δὲ μάλιστα ἡμᾶς εὑρεῖν τὰ ὀρθῶς κείμενα περὶ τὰ
ἀεὶ ὄντα καὶ πεφυκότα· ἐσπουδάσθαι γὰρ ἐνταῦθα
μάλιστα πρέπει τὴν θέσιν τῶν ὀνομάτων. ἴσως δ'
ἔνια αὐτῶν καὶ ὑπὸ θειοτέρας δυνάμεως ἢ τῆς τῶν
ἀνθρώπων ἐτέθη. ΕΡΜ. Δοκεῖς μοι καλῶς λέγειν, ὦ
Σώκρατες. XVI. ΣΩ. Ἆρ' οὖν οὐ δίκαιον ἀπὸ τῶν θεῶν

ἄρχεσθαι σκοπουμένους, πῇ ποτε αὐτὸ τοῦτο τὸ ὄνομα οἱ θεοὶ ὀρθῶς ἐκλήθησαν; ΕΡΜ. Εἰκός γε. ΣΩ. Τοιόνδε τοίνυν ἔγωγε ὑποπτεύω· φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα τούτους μόνους θεοὺς ἡγεῖσθαι, οὕσπερ νῦν πολλοὶ τῶν βαρβάρων, ἥλιον καὶ σελήνην καὶ γῆν καὶ ἄστρα καὶ οὐρανόν· ἅτε γοῦν αὐτὰ ὁρῶντες πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα, ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν, θεοὺς αὐτοὺς ἐπονομάσαι· ὕστερον δὲ κατανοοῦντες τοὺς ἄλλους πάντας ἤδη τούτῳ τῷ ὀνόματι προσαγορεύειν. ἔοικέ τι ὃ λέγω τῷ ἀληθεῖ, ἢ οὐδέν; ΕΡΜ. Πάνυ μὲν οὖν ἔοικε. ΣΩ. Τί οὖν ἂν μετὰ τοῦτο σκοποῖμεν; ΕΡΜ. Δῆλον δὴ ὅτι δαίμονάς τε καὶ ἥρωας καὶ ἀνθρώπους. ΣΩ. Δαίμονας; καὶ ὡς ἀληθῶς, ὦ Ἑρμόγενες, τί ἄν ποτε νοοῖ τὸ ὄνομα οἱ δαίμονες; σκέψαι, ἄν τί σοι δόξω εἰπεῖν. ΕΡΜ. Λέγε μόνον. ΣΩ. Οἶσθα οὖν τίνας φησὶν Ἡσίοδος εἶναι τοὺς δαίμονας; ΕΡΜ. Οὐκ ἐννοῶ. ΣΩ. Οὐδὲ ὅτι χρυσοῦν γένος τὸ πρῶτον φησὶ γενέσθαι τῶν ἀνθρώπων; ΕΡΜ. Οἶδα τοῦτό γε. ΣΩ. Λέγει τοίνυν περὶ αὐτοῦ· Αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ μοῖρ᾽ ἐκάλυψεν, Οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται, Ἐσθλοί, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων. ΕΡΜ. Τί οὖν δή; ΣΩ. Ὅτι οἶμαι ἐγὼ λέγειν αὐτὸν τὸ χρυσοῦν γένος οὐκ ἐκ χρυσοῦ πεφυκός, ἀλλ᾽ ἀγαθόν τε καὶ καλόν. τεκμήριον δέ μοί ἐστιν, ὅτι καὶ ἡμᾶς φησὶ σιδηροῦν εἶναι γένος. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν καὶ τῶν

νῦν, οἴει ἂν φάναι αὐτόν, εἴ τις ἀγαθός ἐστιν, ἐκείνου
τοῦ χρυσοῦ γένους εἶναι; ΕΡΜ. Εἰκός γε. ΣΩ. Οἱ
δ' ἀγαθοὶ ἄλλο τι ἢ φρόνιμοι; ΕΡΜ. Φρόνιμοι.
ΣΩ. Τοῦτο τοίνυν παντὸς μᾶλλον λέγει, ὡς ἐμοὶ
δοκεῖ, τοὺς δαίμονας· ὅτι φρόνιμοι καὶ δαήμονες ἦσαν,
δαίμονας αὐτοὺς ὠνόμασε. καὶ ἔν γε τῇ ἀρχαίᾳ τῇ ἡμε-
τέρᾳ φωνῇ αὐτὸ ξυμβαίνει τὸ ὄνομα. λέγει οὖν κα-
λῶς καὶ οὗτος καὶ ἄλλοι ποιηταὶ πολλοί, ὅσοι λέ-
γουσιν ὡς, ἐπειδάν τις ἀγαθὸς ὢν τελευτήσῃ, μεγά-
λην μοῖραν καὶ τιμὴν ἔχει, καὶ γίγνεται δαίμων, κα-
τὰ τὴν τῆς φρονήσεως ἐπωνυμίαν. ταύτῃ οὖν τίθε-
μαι καὶ ἐγώ, τὸν δαήμονα πάντ' ἄνδρα, ὃς ἂν ἀγα-
θὸς ᾖ, δαιμόνιον εἶναι, καὶ ζῶντα καὶ τελευτήσαν-
τα, καὶ ὀρθῶς δαίμονα καλεῖσθαι. ΕΡΜ. Καὶ ἔγω-
γέ μοι δοκῶ, ὦ Σώκρατες, τούτου πάνυ σοι ξύμψη-
φος εἶναι. ὁ δὲ δὴ ἥρως τί ἂν εἴη; ΣΩ. Τοῦτο δὲ
οὐ πάνυ χαλεπὸν ἐννοῆσαι. σμικρὸν γὰρ παρῆκται
αὐτῶν τὸ ὄνομα, δηλοῦν τὴν ἐκ τοῦ ἔρωτος γένεσιν.
ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Οὐκ οἶσθα ὅτι ἡμίθεοι
οἱ ἥρωες; ΕΡΜ. Τί οὖν; ΣΩ. Πάντες δήπου γε-
γόνασιν, ἐρασθέντος ἢ θεοῦ θνητῆς ἢ θνητοῦ θεᾶς.
ἐὰν οὖν σκοπῇς καὶ τοῦτο κατὰ τὴν Ἀττικὴν τὴν
παλαιὴν φωνήν, μᾶλλον εἴσῃ. δηλώσει γάρ σοι ὅτι
παρὰ τὸ τοῦ ἔρωτος ὄνομα, ὅθεν γεγόνασιν οἱ ἥρωες,
σμικρὸν παρηγμένον ἐστίν, ὀνόματος χάριν. καὶ ἤτοι
τοῦτο λέγει τοὺς ἥρωας, ἢ ὅτι σοφοὶ ἦσαν καὶ ῥή-
τορες καὶ δεινοὶ καὶ διαλεκτικοί, ἐρωτᾶν ἱκανοὶ ὄν-
τες. τὸ γὰρ εἴρειν, λέγειν ἐστίν. ὅπερ οὖν ἄρτι ἐλέ-

γομεν, ἐν τῇ Ἀττικῇ φωνῇ λεγόμενοι οἱ ἥρωες, ῥήτορές τινες [καὶ ἐρωτηματικοὶ ἢ] καὶ ἐρωτικοὶ ξυμβαίνουσιν· ὥςτε ῥητόρων καὶ σοφιστῶν γένος γίγνεται τὸ ἡρωϊκὸν φῦλον. XVII. ἀλλὰ οὐ τοῦτο χαλεπόν ἐστιν ἐννοῆσαι, ἀλλὰ μᾶλλον τὸ τῶν ἀνθρώπων, διά τί ποτε ἄνθρωποι καλοῦνται; σὺ ἔχεις εἰπεῖν; ΕΡΜ. Πόθεν, ὦ 'γαθέ, ἔχω; οὐδ' εἴ τι οἷός τ' ἂν εἴην εὑρεῖν, οὐ ξυντείνω, διὰ τὸ ἡγεῖσθαι σὲ μᾶλλον εὑρήσειν ἢ ἐμαυτόν. ΣΩ. Τῇ τοῦ Εὐθύφρονος ἐπιπνοίᾳ πιστεύεις, ὡς ἔοικας. ΕΡΜ. Δῆλα δή. ΣΩ. Ὀρθῶς γε σὺ πιστεύων, ὡς καὶ νῦν γέ μοι φαίνομαι κομψῶς ἐννενοηκέναι, καὶ κινδυνεύσω, ἐὰν μὴ εὐλαβῶμαι, ἔτι τήμερον σοφώτερος τοῦ δέοντος γενέσθαι. σκόπει δὴ ὃ λέγω. πρῶτον μὲν γὰρ τὸ τοιόνδε δεῖ ἐννοῆσαι περὶ ὀνομάτων, ὅτι πολλάκις ἐπεμβάλλομεν γράμματα, τὰ δ' ἐξαιροῦμεν, παρ' ὃ βουλόμεθα ὀνομάζοντες, καὶ τὰς ὀξύτητας μεταβάλλομεν. οἷον, Διῒ φίλος, τοῦτο ἵνα ἀντὶ ῥήματος ὄνομα ἡμῖν γένηται, τό τε ἕτερον αὐτόθεν ἰῶτα ἐξείλομεν καὶ ἀντὶ ὀξείας τῆς μέσης συλλαβῆς βαρεῖαν ἐφθεγξάμεθα. ἄλλων δὲ τοὐναντίον ἐμβάλλομεν γράμματα, τὰ δὲ βαρύτερα [ὀξέως] φθεγγόμεθα. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Τούτων τοίνυν ἓν καὶ τὸ τῶν ἀνθρώπων ὄνομα πέπονθεν, ὡς ἐμοὶ δοκεῖ. ἐκ γὰρ ῥήματος ὄνομα γέγονεν, ἑνὸς γράμματος τοῦ α ἐξαιρεθέντος καὶ βαρυτέρας τῆς τελευτῆς γενομένης. ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Ὧδε. σημαίνει τοῦτο τὸ ὄνομα ὁ ἄνθρωπος, ὅτι τὰ μὲν ἄλλα θηρία, ὧν ὁρᾷ, οὐδὲν

ἐπισκοπεῖ, οὐδὲ ἀναλογίζεται οὐδὲ ἀναθρεῖ, ὁ δὲ ἄνθρωπος ἅμα ἑώρακε — τοῦτο δ' ἐστὶ τὸ ὄπωπε — καὶ ἀναθρεῖ καὶ ἀναλογίζεται τοῦτο ὃ ὄπωπεν. ἐντεῦθεν δὴ μόνον τῶν θηρίων ὀρθῶς ὁ ἄνθρωπος ἄνθρωπος ὠνομάσθη, ἀναθρῶν ἃ ὄπωπε. τί οὖν; τὸ μετὰ τοῦτο ἔρωμαί σε, ὃ ἡδέως ἂν πυθοίμην; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὥσπερ τοίνυν μοι δοκεῖ τούτοις ἑξῆς εἶναί τι χρῆμα. ψυχὴν γάρ που καὶ σῶμα καλοῦμεν τοῦ ἀνθρώπου. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Πειρώμεθα δὴ καὶ ταῦτα διελεῖν, ὥσπερ τὰ ἔμπροσθεν; ψυχὴν λέγεις ἐπισκέψασθαι, ὡς εἰκότως τούτου τοῦ ὀνόματος τυγχάνει, ἔπειτ' αὖ τὸ σῶμα; ΕΡΜ. Ναί. ΣΩ. Ὡς μὲν τοίνυν ἐκ τοῦ παραχρῆμα λέγειν, οἶμαί τι τοιοῦτον νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δύναμιν παρέχον καὶ ἀναψῦχον· ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος, τὸ σῶμα ἀπόλλυταί τε καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσιν αὐτὸ ψυχὴν καλέσαι. εἰ δὲ βούλει, ἔχε ἠρέμα. δοκῶ γάρ μοί τι καθορᾶν πιθανώτερον τούτου τοῖς ἀμφὶ Εὐθύφρονα. τούτου μὲν γάρ, ὡς ἐμοὶ δοκεῖ, καταφρονήσαιεν ἄν, καὶ ἡγήσαιντο φορτικὸν εἶναι· τόδε δὲ σκόπει, ἐὰν ἄρα καὶ σοὶ ἀρέσκῃ. ΕΡΜ. Λέγε μόνον. ΣΩ. Τὴν φύσιν παντὸς τοῦ σώματος, ὥστε καὶ ζῆν καὶ περιϊέναι, τί σοι δοκεῖ ἔχειν τε καὶ ὀχεῖν ἄλλο ἢ ψυχή; ΕΡΜ. Οὐδὲν ἄλλο. ΣΩ. Τί δέ; καὶ τὴν τῶν ἄλλων ἁπάντων φύσιν οὐ πιστεύεις Ἀναξαγόρᾳ νοῦν καὶ ψυχὴν εἶναι τὴν διακοσμοῦσαν

καὶ ἔχουσαν; ΕΡΜ. Ἔγωγε. ΣΩ. Καλῶς ἄρα ἂν τὸ ὄνομα τοῦτο ἔχοι τῇ δυνάμει ταύτῃ, ἣ φύσιν ὀχεῖ καὶ ἔχει, φυσέχην ἐπονομάζειν· ἔξεστι δὲ καὶ ψυχὴν κομψευόμενον λέγειν. ΕΡΜ. Πάνυ μὲν οὖν, καὶ δοκεῖ γέ μοι τοῦτο ἐκείνου τεχνικώτερον εἶναι. ΣΩ. Καὶ γάρ ἐστι. γελοῖον μέντοι φαίνεται ὡς ἀληθῶς ὀνομαζόμενον ὡς ἐτέθη. ΕΡΜ. Ἀλλὰ δὴ τὸ μετὰ τοῦτο πῶς φῶμεν ἔχειν; ΣΩ. Τὸ σῶμα λέγεις; ΕΡΜ. Ναί. ΣΩ. Πολλαχῇ μοι δοκεῖ τοῦτό γε, ἂν μὲν καὶ σμικρόν τις παρακλίνῃ καὶ πάνυ. καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι, καὶ διότι αὖ τούτῳ σημαίνει ἃ ἂν σημήνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. δοκοῦσι μέντοι μοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι· τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται δεσμωτηρίου εἰκόνα· εἶναι οὖν τῆς ψυχῆς τοῦτο αὐτὸ ὥσπερ ὀνομάζεται, ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα, τὸ σῶμα, καὶ οὐδὲ δεῖν παράγειν οὐδὲν γράμμα. ΕΡΜ. Ταῦτα μέν μοι δοκεῖ ἱκανῶς, ὦ Σώκρατες, εἰρῆσθαι. XVIII. Περὶ δὲ τῶν θεῶν τῶν ὀνομάτων, οἷον καὶ περὶ τοῦ Διὸς νῦν δὴ ἔλεγες, ἔχοιμεν ἄν που κατὰ τὸν αὐτὸν τρόπον ἐπισκέψασθαι, κατὰ τίνα ποτὲ ὀρθότητα αὐτῶν τὰ ὀνόματα κεῖται; ΣΩ. Ναὶ μὰ Δία ἡμεῖς γε, ὦ Ἑρμόγενες, εἴπερ γε νοῦν ἔχοιμεν, ἕνα μὲν, τὸν κάλλιστον τρόπον, ὅτι περὶ θεῶν οὐδὲν ἴσμεν, οὔτε περὶ αὐτῶν οὔτε περὶ τῶν ὀνομάτων, ἅττα ποτὲ αὐτοὶ ἑαυτοὺς

καλοῦσι· δῆλον γὰρ ὅτι ἐκεῖνοί γε τἀληθῆ καλοῦσι. δεύτερος δ᾽ αὖ τρόπος ὀρθότητος, ὥςπερ ἐν ταῖς εὐχαῖς νόμος ἐστὶν ἡμῖν εὔχεσθαι, οἵτινές τε καὶ ὁπόθεν χαίρουσιν ὀνομαζόμενοι, ταῦτα καὶ ἡμᾶς αὐτοὺς καλεῖν, ὡς ἄλλο μηδὲν εἰδότας· καλῶς γὰρ δὴ ἔμοιγε δοκεῖ νενομίσθαι. εἰ οὖν βούλει, σκοπῶμεν, ὥςπερ προειπόντες τοῖς θεοῖς, ὅτι περὶ αὐτῶν οὐδὲν ἡμεῖς σκεψόμεθα, — οὐ γὰρ ἀξιοῦμεν οἷοί τ᾽ ἂν εἶναι σκοπεῖν — ἀλλὰ περὶ τῶν ἀνθρώπων, ἥν ποτέ τινα δόξαν ἔχοντες ἐτίθεντο αὐτοῖς τὰ ὀνόματα. τοῦτο γὰρ ἀνεμέσητον. ΕΡΜ. Ἀλλά μοι δοκεῖς, ὦ Σώκρατες, μετρίως λέγειν, καὶ οὕτω ποιῶμεν. ΣΩ. Ἄλλο τι οὖν ἀφ᾽ Ἑστίας ἀρχώμεθα, κατὰ τὸν νόμον; ΕΡΜ. Δίκαιον γοῦν. ΣΩ. Τί οὖν ἄν τις φαίη διανοούμενον τὸν ὀνομάσαντα Ἑστίαν ὀνομάσαι; ΕΡΜ. Οὐ μὰ τὸν Δία οὐδὲ τοῦτο οἶμαι ῥᾴδιον εἶναι. ΣΩ. Κινδυνεύουσι γοῦν, ὦ ᾽γαθὲ Ἑρμόγενες, οἱ πρῶτοι τὰ ὀνόματα τιθέμενοι, οὐ φαῦλοι εἶναι, ἀλλὰ μετεωρολόγοι καὶ ἀδολέσχαι τινές. ΕΡΜ. Τί δή; ΣΩ. Καταφαίνεταί μοι ἡ θέσις τῶν ὀνομάτων τοιούτων τινῶν ἀνθρώπων εἶναι. καὶ ἐάν τις τὰ ξενικὰ ὀνόματα ἀνασκοπῇ, οὐχ ἧττον ἀνευρίσκεται ὃ ἕκαστον βούλεται. οἷον καὶ ἐν τούτῳ, ὃ ἡμεῖς οὐσίαν καλοῦμεν, εἰσὶν οἳ ἐσίαν καλοῦσιν, οἳ δ᾽ αὖ ὠσίαν. πρῶτον μὲν οὖν κατὰ τὸ ἕτερον ὄνομα τούτων ἡ τῶν πραγμάτων οὐσία Ἑστία καλεῖσθαι ἔχει λόγον· καὶ ὅτι γε αὖ ἡμεῖς τὸ τῆς οὐσίας μετέχον Ἑστίαν φαμέν, καὶ κατὰ τοῦτο ὀρθῶς ἂν καλοῖτο Ἑστία. ἐοί-

κάμεν γὰρ καὶ ἡμεῖς τοπαλαιὸν ἐσίαν καλεῖν τὴν οὐσίαν· ἔτι δὲ καὶ κατὰ τὰς θυσίας ἄν τις ἐννοήσας ἡγήσαιτο οὕτω νοεῖν ταῦτα τοὺς τιθεμένους. τὸ γὰρ πρὸ πάντων θεῶν τῇ Ἑστίᾳ πρώτῃ προθύειν εἰκὸς ἐκείνους, οἵτινες τὴν πάντων οὐσίαν Ἑστίαν ἐπωνόμασαν· ὅσοι δ' αὖ ὠσίαν, σχεδόν τι αὖ οὗτοι καθ' Ἡράκλειτον ἂν ἡγοῖντο τὰ ὄντα ἰέναι τε πάντα καὶ μένειν οὐδέν· τὸ οὖν αἴτιον καὶ ἀρχηγὸν αὐτῶν εἶναι τὸ ὠθοῖν· ὅθεν δὴ καλῶς ἔχειν αὐτὸ Ὠσίαν ὠνομάσθαι. καὶ ταῦτα μὲν δὴ ταύτῃ ὡς παρὰ μηδὲν εἰδότων εἰρήσθω. XIX. Μετὰ δ' Ἑστίαν δίκαιον Ῥέαν καὶ Κρόνον ἐπισκέψασθαι. καίτοι τό γε τοῦ Κρόνου ὄνομα ἤδη διήλθομεν. ἴσως μέντοι οὐδὲν λέγω. ΕΡΜ. Τί δή, ὦ Σώκρατες; ΣΩ. Ὠγαθέ, ἐννενόηκά τι σμῆνος σοφίας. ΕΡΜ. Ποῖον δὴ τοῦτο; ΣΩ Γελοῖον μὲν πάνυ εἰπεῖν, οἶμαι μέντοι, τινὰ πιθανότητα ἔχον. ΕΡΜ. Τίνα ταύτην; ΣΩ. Τὸν Ἡράκλειτον μοὶ δοκῶ καθορᾷν πάλαι ἄττα σοφὰ λέγοντα ἀτεχνῶς τὰ ἐπὶ Κρόνου καὶ Ῥέας, ἃ καὶ Ὅμηρος ἔλεγε. ΕΡΜ. Πῶς τοῦτο λέγεις; ΣΩ. Λέγει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει, καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει, ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Τί οὖν; δοκεῖ σοι ἀλλοιότερον Ἡρακλείτου νοεῖν, ὁ τιθέμενος τοῖς τῶν ἄλλων θεῶν προγόνοις Ῥέαν τε καὶ Κρόνον; ἆρα οἴει ἀπὸ τοῦ αὐτομάτου αὐτὸν ἀμφοτέροις ῥευμάτων ὀνόματα θέσθαι; ὥσπεροῦν Ὅμηρος, Ὠκεανόν τε θεῶν γένε-

σιν φησι καὶ μητέρα Τηθύν. οἶμαι δὲ καὶ Ἡσίοδος. λέγει δέ που καὶ Ὀρφεὺς ὅτι Ὠκεανὸς πρῶτιστα καλλίῤῥοος ἦρξε γάμοιο· Ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν. ταῦτ᾽ οὖν σκόπει ὅτι καὶ ἀλλήλοις ξυμφωνεῖ, καὶ πρὸς τὰ τοῦ Ἡρακλείτου πάντα τείνει. ΕΡΜ. Φαίνῃ τί μοι λέγειν, ὦ Σώκρατες· τὸ μέντοι τῆς Τηθύος οὐκ ἐννοῶ ὄνομα τί βούλεται. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ὀλίγου αὐτὸ λέγει, ὅτι πηγῆς ὄνομα ἐπικεκρυμμένον ἐστί. τὸ γὰρ διαττώμενον καὶ τὸ ἠθούμενον πηγῆς ἀπείκασμά ἐστιν. ἐκ δὲ τούτων ἀμφοτέρων τῶν ὀνομάτων ἡ Τηθὺς τὸ ὄνομα ξύγκειται. ΕΡΜ. Τοῦτο μέν, ὦ Σώκρατες, κομψόν. ΣΩ. Τί δ᾽ οὐ μέλλει; ἀλλὰ τί τὸ μετὰ τοῦτο; τὸν μὲν Δία εἴπομεν. ΕΡΜ. Ναί. ΣΩ. Τοὺς ἀδελφοὺς δὴ αὐτοῦ λέγωμεν, τόν τε Ποσειδῶ καὶ τὸν Πλούτωνα καὶ τὸ ἕτερον ὄνομα, ὃ ὀνομάζουσιν αὐτόν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τὸ μὲν τοίνυν τοῦ Ποσειδῶνός μοι φαίνεται ὠνομάσθαι ὑπὸ τοῦ πρώτου ὀνομάσαντος, ὅτι αὐτὸν βαδίζοντα ἐπέσχεν ἡ τῆς θαλάττης φύσις, καὶ οὐκέτι εἴασε προελθεῖν, ἀλλ᾽ ὥςπερ δεσμὸς τῶν ποδῶν αὐτῷ ἐγένετο. τὸν οὖν ἄρχοντα τῆς δυνάμεως ταύτης θεὸν ὠνόμασε Ποσειδῶνα, ὡς ποσίδεσμον ὄντα· τὸ δὲ ε ἔγκειται ἴσως εὐπρεπείας ἕνεκα. τάχα δὲ οὐκ ἂν τοῦτο λέγοι, ἀλλ᾽ ἀντὶ τοῦ σ δύο λλ τοπρῶτον ἐλέγετο, ὡς πολλὰ εἰδότος τοῦ θεοῦ. ἴσως δὲ ἀπὸ τοῦ σείειν ὁ σείων ὠνόμασται· πρόςκειται δὲ [καὶ] τὸ π, [καὶ τὸ σ,] καὶ τὸ δ. Τὸ δὲ Πλούτωνος, τοῦτο μὲν κατὰ τὴν τοῦ

πλούτου δόσιν, ὅτι ἐκ τῆς γῆς κάτωθεν ἀνίεται ὁ
πλοῦτος, ἐπωνομάσθη· ὁ δὲ Ἀΐδης, οἱ πολλοὶ μέν μοι
δοκοῦσιν ὑπολαμβάνειν τὸ ἀειδὲς προσειρῆσθαι τῷ
ὀνόματι τούτῳ, καὶ φοβούμενοι τὸ ὄνομα, Πλούτω-
να καλοῦσιν αὐτόν. ΕΡΜ. Σοὶ δὲ πῶς φαίνεται, ὦ
Σώκρατες; XX. ΣΩ. Πολλαχῇ ἔμοιγε δοκοῦσιν οἱ ἄν-
θρωποι διημαρτηκέναι περὶ τούτου τοῦ θεοῦ τῆς
δυνάμεως, καὶ φοβεῖσθαι αὐτὸν οὐκ ἄξιον. ὅτι τε
γάρ, ἐπειδὰν ἅπαξ τις ἡμῶν ἀποθάνῃ, ἀεὶ ἐκεῖ ἐστι,
φοβοῦνται, καὶ ὅτι ἡ ψυχὴ γυμνὴ τοῦ σώματος παρ'
ἐκεῖνον ἀπέρχεται, καὶ τοῦτο πεφόβηνται· τὰ δέ μοι
δοκεῖ πάντα εἰς ταυτόν τι ξυντείνειν, καὶ ἡ ἀρχὴ τοῦ
θεοῦ καὶ τὸ ὄνομα. ΕΡΜ. Πῶς δή; ΣΩ. Ἐγώ σοι
ἐρῶ ἅ γέ μοι φαίνεται. εἰπὲ γάρ μοι, δεσμὸς ζώῳ
ὁτῳοῦν, ὥστε μένειν ὁπουοῦν, πότερος ἰσχυρότερός
ἐστιν, ἀνάγκη ἢ ἐπιθυμία; ΕΡΜ. Πολὺ διαφέρει,
ὦ Σώκρατες, ἡ ἐπιθυμία. ΣΩ. Οἴει οὖν τὸν Ἀΐδην
οὐκ ἂν πολλοὺς ἐκφεύγειν, εἰ μὴ τῷ ἰσχυροτάτῳ δε-
σμῷ ἔδει τοὺς ἐκεῖσε ἰόντας; ΕΡΜ. Δῆλα δή. ΣΩ.
Ἐπιθυμίᾳ ἄρα τινὶ αὐτούς, ὡς ἔοικε, δεῖ, εἴπερ τῷ
μεγίστῳ δεσμῷ δεῖ, καὶ οὐκ ἀνάγκῃ. ΕΡΜ. Φαί-
νεται. ΣΩ. Οὐκοῦν ἐπιθυμίαι αὖ πολλαί εἰσιν;
ΕΡΜ. Ναί. ΣΩ. Τῇ μεγίστῃ ἄρα ἐπιθυμίᾳ τῶν
ἐπιθυμιῶν δεῖ αὐτούς, εἴπερ μέλλει τῷ μεγίστῳ δε-
σμῷ κατέχειν. ΕΡΜ. Ναί. ΣΩ. Ἔστιν οὖν τις μεί-
ζων ἐπιθυμία, ἢ ὅταν τίς τῳ ξυνὼν οἴηται δι'
ἐκεῖνον ἔσεσθαι ἀμείνων ἀνήρ; ΕΡΜ. Μὰ Δί' οὐδ'
ὁπωστιοῦν, ὦ Σώκρατες. ΣΩ. Διὰ ταῦτα ἄρα φῶ-

μεν, ὦ Ἑρμόγενες, οὐδένα δεῦρο ἐθελῆσαι ἀπελθεῖν τῶν ἐκεῖθεν, οὐδὲ αὐτὰς τὰς Σειρῆνας, ἀλλὰ κατακεκηλῆσθαι ἐκείνας τε καὶ τοὺς ἄλλους πάντας· οὕτω καλούς τινας, ὡς ἔοικεν, ἐπίσταται λέγειν λόγους ὁ Ἀΐδης, καὶ ἔστιν, ὥς γε ἐκ τοῦ λόγου τούτου, ὁ θεὸς οὗτος τέλεος σοφιστής τε καὶ μέγας εὐεργέτης τῶν παρ' αὐτῷ, ὅς γε καὶ τοῖς ἐνθάδε τοσαῦτα ἀγαθὰ ἀνίησιν· οὕτω πολλὰ αὐτῷ τὰ περιόντα ἐκεῖ ἐστί, καὶ τὸν Πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα. καὶ τὸ αὖ μὴ ἐθέλειν ξυνεῖναι τοῖς ἀνθρώποις ἔχουσι τὰ σώματα, ἀλλὰ τότε ξυγγίγνεσθαι, ἐπειδὰν ἡ ψυχὴ καθαρὰ ᾖ πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ ἐπιθυμιῶν, οὐ φιλόσοφόν σοι δοκεῖ εἶναι καὶ εὖ ἐντεθυμημένον, ὅτι οὕτω μὲν ἂν κατέχοι αὐτοὺς δήσας τῇ περὶ ἀρετὴν ἐπιθυμίᾳ· ἔχοντας δὲ τὴν τοῦ σώματος πτοίησιν καὶ μανίαν οὐδ' ἂν ὁ Κρόνος δύναιτο ὁ πατὴρ ξυγκατέχειν αὐτῷ. ἐν τοῖς δεσμοῖς δήσας τοῖς αὐτοῦ λεγομένοις; ΕΡΜ. Κινδυνεύεις τι λέγειν, ὦ Σώκρατες. ΣΩ. Καὶ τό γε ὄνομα ὁ Ἀΐδης, ὦ Ἑρμόγενες, πολλοῦ δεῖ ἀπὸ τοῦ ἀειδοῦς ἐπωνομάσθαι, ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τοῦ πάντα τὰ καλὰ εἰδέναι, ἀπὸ τούτου ὑπὸ τοῦ ὀνοματοθέτου Ἀΐδης ἐκλήθη. XXI. ΕΡΜ. Εἶεν· τί δέ; Δήμητράν τε καὶ Ἥραν καὶ Ἀπόλλω καὶ Ἀθηνᾶν καὶ Ἥφαιστον καὶ Ἄρη καὶ τοὺς ἄλλους θεοὺς πῶς λέγομεν; ΣΩ. Δημήτηρ μὲν φαίνεται κατὰ τὴν δόσιν τῆς ἐδωδῆς, διδοῦσα ὡς μήτηρ, Δημήτηρ κεκλῆσθαι· Ἥρα δέ, ὡς ἐρατή τις, ὥσπερ οὖν καὶ λέγεται ὁ Ζεὺς αὐτῆς ἐρασθεὶς

πλούτου δόσιν, ὅτι ἐκ τῆς γῆς κάτωθεν ἀνίεται ὁ πλοῦτος, ἐπωνομάσθη· ὁ δὲ Ἅιδης, οἱ πολλοὶ μέν μοι δοκοῦσιν ὑπολαμβάνειν τὸ ἀειδὲς προσειρῆσθαι τῷ ὀνόματι τούτῳ, καὶ φοβούμενοι τὸ ὄνομα, Πλούτωνα καλοῦσιν αὐτόν. ΕΡΜ. Σοὶ δὲ πῶς φαίνεται, ὦ Σώκρατες; ΣΩ. Πολλαχῇ ἔμοιγε δοκοῦσιν οἱ ἄνθρωποι διημαρτηκέναι περὶ τούτου τοῦ θεοῦ τῆς δυνάμεως, καὶ φοβεῖσθαι αὐτὸν οὐκ ἄξιον. ὅτι τε γὰρ, ἐπειδὰν ἅπαξ τις ἡμῶν ἀποθάνῃ, ἀεὶ ἐκεῖ ἐστι, φοβοῦνται, καὶ ὅτι ἡ ψυχὴ γυμνὴ τοῦ σώματος παρ' ἐκεῖνον ἀπέρχεται, καὶ τοῦτο πεφόβηνται· τὰ δέ μοι δοκεῖ πάντα εἰς ταυτόν τι ξυντείνειν, καὶ ἡ ἀρχὴ τοῦ θεοῦ καὶ τὸ ὄνομα. ΕΡΜ. Πῶς δή; ΣΩ. Ἐγώ σοι ἐρῶ ἅ γέ μοι φαίνεται. εἰπὲ γάρ μοι, δεσμὸς ζώῳ ὁτῳοῦν, ὥστε μένειν ὁπουοῦν, πότερος ἰσχυρότερός ἐστιν, ἀνάγκη ἢ ἐπιθυμία; ΕΡΜ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ ἐπιθυμία. ΣΩ. Οἴει οὖν τὸν Ἅιδην οὐκ ἂν πολλοὺς ἐκφεύγειν, εἰ μὴ τῷ ἰσχυροτάτῳ δεσμῷ ἔδει τοὺς ἐκεῖσε ἰόντας; ΕΡΜ. Δῆλα δή. ΣΩ. Ἐπιθυμίᾳ ἄρα τινὶ αὐτούς, ὡς ἔοικε, δεῖ, εἴπερ τῷ μεγίστῳ δεσμῷ δεῖ, καὶ οὐκ ἀνάγκῃ. ΕΡΜ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἐπιθυμίαι αὖ πολλαί εἰσιν; ΕΡΜ. Ναί. ΣΩ. Τῇ μεγίστῃ ἄρα ἐπιθυμίᾳ τῶν ἐπιθυμιῶν δεῖ αὐτούς, εἴπερ μέλλει τῷ μεγίστῳ δεσμῷ κατέχειν. ΕΡΜ. Ναί. ΣΩ. Ἔστιν οὖν τις μείζων ἐπιθυμία, ἢ ὅταν τίς τῳ ξυνὼν οἴηται δι' ἐκεῖνον ἔσεσθαι ἀμείνων ἀνήρ; ΕΡΜ. Μὰ Δί' οὐδ' ὁπωστιοῦν, ὦ Σώκρατες. ΣΩ. Διὰ ταῦτα ἄρα φῶ-

μέν, ὦ Ἑρμόγενες, οὐδένα δεῦρο ἐθελῆσαι ἀπελθεῖν
τῶν ἐκεῖθεν, οὐδὲ αὐτὰς τὰς Σειρῆνας, ἀλλὰ κατα-
κεκηλῆσθαι ἐκείνας τε καὶ τοὺς ἄλλους πάντας· οὕ-
τω καλούς τινας, ὡς ἔοικεν, ἐπίσταται λέγειν λό-
γους ὁ Αΐδης, καὶ ἔστιν, ὥς γε ἐκ τοῦ λόγου τούτου,
ὁ θεὸς οὗτος τέλεος σοφιστής τε καὶ μέγας εὐεργέτης
τῶν παρ᾽ αὐτῷ, ὅς γε καὶ τοῖς ἐνθάδε τοσαῦτα ἀγα-
θὰ ἀνίησιν· οὕτω πολλὰ αὐτῷ τὰ περιόντα ἐκεῖ ἐστί,
καὶ τὸν Πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα. καὶ
τὸ αὖ μὴ ἐθέλειν ξυνεῖναι τοῖς ἀνθρώποις ἔχουσι
τὰ σώματα, ἀλλὰ τότε ξυγγίγνεσθαι, ἐπειδὰν ἡ ψυ-
χὴ καθαρὰ ᾖ πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ
ἐπιθυμιῶν, οὐ φιλόσοφόν σοι δοκεῖ εἶναι καὶ εὖ
ἐντεθυμημένον, ὅτι οὕτω μὲν ἂν κατέχοι αὐτοὺς
δήσας τῇ περὶ ἀρετὴν ἐπιθυμίᾳ· ἔχοντας δὲ τὴν τοῦ
σώματος πτοίησιν καὶ μανίαν οὐδ᾽ ἂν ὁ Κρόνος
δύναιτο ὁ πατὴρ ξυγκατέχειν αὐτῷ, ἐν τοῖς δεσμοῖς
δήσας τοῖς αὐτοῦ λεγομένοις; ΕΡΜ. Κινδυνεύεις τι
λέγειν, ὦ Σώκρατες. ΣΩ. Καὶ τό γε ὄνομα ὁ Αΐδης,
ὦ Ἑρμόγενες, πολλοῦ δεῖ ἀπὸ τοῦ ἀειδοῦς ἐπωνο-
μάσθαι, ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τοῦ πάντα τὰ κα-
λὰ εἰδέναι, ἀπὸ τούτου ὑπὸ τοῦ ὀνοματοθέτου Αΐδης
ἐκλήθη. XXI. ΕΡΜ. Εἶεν· τί δέ; Δήμητράν τε καὶ Ἥραν
καὶ Ἀπόλλω καὶ Ἀθηνᾶν καὶ Ἥφαιστον καὶ Ἄρην
καὶ τοὺς ἄλλους θεοὺς πῶς λέγομεν; ΣΩ. Δημή-
τηρ μὲν φαίνεται κατὰ τὴν δόσιν τῆς ἐδωδῆς, διδοῦ-
σα ὡς μήτηρ, Δημήτηρ κεκλῆσθαι· Ἥρα δέ, ὡς ἐρα-
τή τις, ὥσπερ οὖν καὶ λέγεται ὁ Ζεὺς αὐτῆς ἐρασθεὶς

ἔχειν. ἴσως δὲ μετεωρολογῶν ὁ ὀνοματοθέτης τὸν ἀέρα Ἥραν ὠνόμασεν, ἐπικρυπτόμενος, θεὶς τὴν ἀρχὴν ἐπὶ τὴν τελευτήν. γνοίης δ' ἄν, εἰ πολλάκις λέγοις τὸ τῆς Ἥρας ὄνομα. Φερρέφαττα δέ, πολλοὶ μὲν καὶ τοῦτο φοβοῦνται τὸ ὄνομα, καὶ τὸν Ἀπόλλω, ὑπὸ ἀπειρίας, ὡς ἔοικεν, ὀνομάτων ὀρθότητος. καὶ γὰρ μεταβάλλοντες σκοποῦνται τὴν Φερσεφόνην, καὶ δεινὸν αὐτοῖς φαίνεται· τὸ δὲ μηνύει σοφὴν εἶναι τὴν θεόν. ἅτε γὰρ φερομένων τῶν πραγμάτων, τὸ ἐφαπτόμενον καὶ ἐπαφῶν καὶ δυνάμενον ἐπακολουθεῖν σοφία ἂν εἴη. Φερέπαφα οὖν διὰ τὴν σοφίαν καὶ τὴν ἐπαφὴν τοῦ φερομένου ἡ θεὸς ἂν ὀρθῶς καλοῖτο, ἢ τοιοῦτόν τι· δι' ὅπερ καὶ ξύνεστιν αὐτῇ ὁ Ἀΐδης σοφὸς ὤν, διότι τοιαύτη ἐστί. νῦν δὲ αὐτῆς ἐκκλίνουσι τὸ ὄνομα, εὐστομίαν περὶ πλείονος ποιούμενοι τῆς ἀληθείας, ὥστε Φερρέφατταν αὐτὴν καλεῖν. ταυτὸν δὲ καὶ περὶ τὸν Ἀπόλλω, ὅπερ λέγω, πολλοὶ πεφόβηνται περὶ τὸ ὄνομα τοῦ θεοῦ, ὥς τι δεινὸν μηνύοντος· ἢ οὐκ ᾔσθησαι; ΕΡΜ. Πάνυ μὲν οὖν, καὶ ἀληθῆ λέγεις. ΣΩ. Τὸ δέ γ' ἐστίν, ὡς ἐμοὶ δοκεῖ, κάλλιστα κείμενον πρὸς τὴν δύναμιν τοῦ θεοῦ. ΕΡΜ. Πῶς δή; ΣΩ. Ἐγὼ πειράσομαι φράσαι, ὅ γέ μοι φαίνεται. οὐ γάρ ἐστιν ὅ, τι ἂν μᾶλλον ἥρμοσεν ὄνομα ἓν ὂν τέτταρσι δυνάμεσι ταῖς τοῦ θεοῦ, ὥστε πασῶν ἐφάπτεσθαι καὶ δηλοῦν τρόπον τινὰ μουσικήν τε καὶ μαντικὴν καὶ ἰατρικὴν καὶ τοξικήν. ΕΡΜ. Λέγε δή. ἄτοπον γάρ τί μοι λέγεις τὸ ὄνομα εἶναι. XXII. ΣΩ. Εὐάρμοστον μὲν οὖν, ἅτε

μαντικοῦ ὄντος τοῦ θεοῦ. πρῶτον μὲν γὰρ ἡ κάθαρσις καὶ οἱ καθαρμοὶ καὶ κατὰ τὴν ἰατρικὴν καὶ κατὰ τὴν μαντικήν, καὶ αἱ τοῖς ἰατρικοῖς φαρμάκοις καὶ αἱ τοῖς μαντικοῖς περιθειώσεις τε καὶ λουτρὰ τὰ ἐν τοῖς τοιούτοις, καὶ αἱ περιῤῥάνσεις, πάντα ἕν τι ταῦτα δύναιντ' ἄν, καθαρὸν παρέχειν τὸν ἄνθρωπον καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν· ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν ὁ καθαίρων θεὸς καὶ ὁ ἀπολούων τε καὶ ὁ ἀπολύων τῶν τοιούτων κακῶν οὗτος ἂν εἴη; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Κατὰ μὲν τοίνυν τὰς ἀπολύσεις τε καὶ ἀπολούσεις, ὡς ἰατρὸς ὢν τῶν τοιούτων, ἀπολύων ἂν ὀρθῶς καλοῖτο· κατὰ δὲ τὴν μαντικὴν καὶ τὸ ἀληθές τε καὶ τὸ ἁπλοῦν — ταὐτὸν γάρ ἐστιν — ὥσπερ οὖν οἱ Θετταλοὶ καλοῦσιν αὐτόν, ὀρθότατ' ἂν καλοῖτο. Ἁπλὸν γάρ φασι πάντες Θετταλοὶ τοῦτον τὸν θεόν. διὰ δὲ τὸ ἀεὶ βολῶν ἐγκρατὴς εἶναι τοξικῇ, ἀεὶ βάλλων ἐστί. κατὰ δὲ τὴν μουσικὴν δεῖ ὑπολαβεῖν, ὥσπερ τὸν ἀκόλουθόν τε καὶ τὴν ἄκοιτιν, ὅτι τὸ α σημαίνει πολλαχοῦ τὸ ὁμοῦ, καὶ ἐνταῦθα τὴν ὁμοῦ πόλησιν καὶ περὶ τὸν οὐρανόν, οὓς δὴ πόλους καλοῦσι, καὶ τὴν περὶ τὴν ἐν τῇ ᾠδῇ ἁρμονίαν, ἣ δὴ ξυμφωνία καλεῖται, ὅτι ταῦτα πάντα, ὥς φασιν οἱ κομψοὶ περὶ μουσικὴν καὶ ἀστρονομίαν, ἁρμονίᾳ τινὶ πολεῖ ἅμα πάντα· ἐπιστατεῖ δὲ οὗτος ὁ θεὸς τῇ ἁρμονίᾳ, ὁμοπολῶν αὐτὰ πάντα, καὶ κατὰ θεοὺς καὶ κατ' ἀνθρώπους. ὥσπερ οὖν τὸν ὁμοκέλευθον καὶ τὴν ὁμόκοιτιν, ἀκόλουθον καὶ ἄκοιτιν ἐκαλέσαμεν, μεταβάλλοντες ἀντὶ τοῦ ο α,

οὕτω καὶ Ἀπόλλωνα ἐκαλέσαμεν, ὃς ἦν ὁμοπολῶν, ἕτερον λ ἐμβάλλοντες· ὅτι ὁμώνυμον ἐγίγνετο τῷ χαλεπῷ ὀνόματι· ὅπερ καὶ νῦν ὑποπτεύοντές τινες, διὰ τὸ μὴ ὀρθῶς σκοπεῖσθαι τὴν δύναμιν τοῦ ὀνόματος, φοβοῦνται αὐτὸ ὡς σημαῖνον φθοράν τινα· τὸ δὲ [πολὺ,] ὥσπερ ἄρτι ἐλέγετο, πασῶν ἐφαπτόμενον κεῖται τῶν τοῦ θεοῦ δυνάμεων, ἁπλοῦ, ἀεὶ βάλλοντος, ἀπολοῦντος, ὁμοπολοῦντος. Τὰς δὲ Μούσας τε καὶ ὅλως τὴν μουσικὴν ἀπὸ τοῦ μῶσθαι, ὡς ἔοικε, καὶ τῆς ζητήσεώς τε καὶ φιλοσοφίας τὸ ὄνομα τοῦτο ἐπωνόμασεν. Λητὼ δὲ ἀπὸ τῆς πρᾳότητος τῆς θεοῦ, κατὰ τὸ ἐθελήμονα εἶναι ὧν ἄν τις δέηται· ἴσως δὲ ὡς οἱ ξένοι καλοῦσι· πολλοὶ γὰρ Ληθὼ καλοῦσιν· ἔοικεν οὖν πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους ἀλλ' ἥμερόν τε καὶ λεῖον Ληθὼ κεκλῆσθαι ὑπὸ τῶν τοῦτο καλούντων. Ἄρτεμις δὲ διὰ τὸ ἀρτεμὲς φαίνεται καὶ τὸ κόσμιον, διὰ τὴν τῆς παρθενίας ἐπιθυμίαν. ἴσως δὲ ἀρετῆς ἵστορα τὴν θεὸν ἐκάλεσεν ὁ καλέσας· τάχα δ' ἂν καὶ ὡς τὸν ἄροτον μισησάσης τὸν ἀνδρὸς ἐν γυναικί· ἢ διὰ τούτων τι, ἢ διὰ πάντα ταῦτα, τὸ ὄνομα τοῦτο ὁ τιθέμενος ἔθετο τῇ θεῷ. XXIII. ΕΡΜ. Τί δαὶ ὁ Διόνυσός τε καὶ ἡ Ἀφροδίτη; ΣΩ. Μεγάλα, ὦ παῖ Ἱππονίκου, ἐρωτᾷς. ἀλλὰ ἔστι γὰρ καὶ σπουδαίως εἰρημένος ὁ τρόπος τῶν ὀνομάτων τούτοις τοῖς θεοῖς καὶ παιδικῶς. τὸν μὲν οὖν σπουδαῖον ἄλλους τινὰς ἐρώτα· τὸν δὲ παιδικὸν οὐδὲν κωλύει διελθεῖν· φιλοπαίγμονες γὰρ καὶ οἱ θεοί. ὅ, τε γὰρ Διόνυσος εἴη ἂν ὁ διδοὺς τὸν οἶνον, Διδοίνυσος ἂν παιδιᾷ καλού-

μενος· οἶνος δ᾽, ὅτι οἴεσθαι νοῦν ἔχειν ποιεῖ τῶν πινόντων τοὺς πολλοὺς, οὐκ ἔχοντας, οἰόνους δικαιότατ᾽ ἂν καλούμενος. περὶ δὲ Ἀφροδίτης οὐκ ἄξιον Ἡσιόδῳ ἀντιλέγειν, ἀλλὰ ξυγχωρεῖν, ὅτι διὰ τὴν τοῦ ἀφροῦ γένεσιν Ἀφροδίτη ἐκλήθη. ΕΡΜ. Ἀλλὰ μὴν οὐδ᾽ Ἀθηνᾶς, Ἀθηναῖός γ᾽ ὤν, ὦ Σώκρατες, ἐπιλήσῃ, οὐδ᾽ Ἡφαίστου τε καὶ Ἄρεος. ΣΩ. Οὐδὲ εἰκός γε. ΕΡΜ. Οὐ γάρ. ΣΩ. Οὔκουν τὸ μὲν ἕτερον ὄνομα αὐτῆς οὐ χαλεπὸν εἰπεῖν διὸ κεῖται. ΕΡΜ. Τὸ ποῖον; ΣΩ. Παλλάδα που αὐτὴν καλοῦμεν. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Τοῦτο μὲν τοίνυν ἀπὸ τῆς ἐν τοῖς ὅπλοις ὀρχήσεως ἡγούμενοι τεθῆναι, ὀρθῶς ἄν, ὡς ἐγᾦμαι, ἡγοίμεθα. τὸ γάρ που ἢ αὑτὸν ἤ τι ἄλλο μετεωρίζειν [ἢ] ἀπὸ τῆς γῆς, ἢ ἐν ταῖς χερσί, πάλλειν τε καὶ πάλλεσθαι, καὶ ὀρχεῖν καὶ ὀρχεῖσθαι καλοῦμεν. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Παλλάδα μὲν τοίνυν ταύτῃ. ΕΡΜ. Καὶ ὀρθῶς γε· ἀλλὰ δὴ τὸ ἕτερον πῶς λέγεις; ΣΩ. Τὸ τῆς Ἀθηνᾶς; ΕΡΜ. Ναί. ΣΩ. Τοῦτο ἐμβριθέστερον, ὦ φίλε. ἐοίκασι δὴ καὶ οἱ παλαιοὶ τὴν Ἀθηνᾶν νομίζειν, ὥσπερ οἱ νῦν περὶ Ὅμηρον δεινοί· καὶ γὰρ τούτων οἱ πολλοί, ἐξηγούμενοι τὸν ποιητήν, φασι τὴν Ἀθηνᾶν αὐτὸν νοῦν τε καὶ διάνοιαν πεποιηκέναι· καὶ ὁ τὰ ὀνόματα ποιῶν ἔοικε τοιοῦτόν τι περὶ αὐτῆς διανοεῖσθαι, ἔτι δὲ μειζόνως λέγων θεοῦ νόησιν ὡσπερεὶ λέγει, ὅτι ἡ Θεονόη ἐστιν αὕτη, τῷ α ξενικῶς ἀντὶ τοῦ η χρησάμενος, καὶ τὸ ι καὶ τὸ σ ἀφελών. ἴσως δὲ οὐδὲ ταύτῃ, ἀλλ᾽ ὡς τὰ θεῖα νοούσης αὐτῆς δια-

φρρόντως τῶν ἄλλων, Θεονόην ἐκάλεσεν. οὐδὲν δὲ ἀπέχει, καὶ τὴν ἐν τῷ ἤθει νόησιν, ὡς οὖσαν τὴν θεὸν ταύτην, Ἠθονόην μὲν βούλεσθαι προςειπεῖν· παραγαγὼν δέ, ἢ αὐτός, ἤ τινες ὕστερον, ἐπὶ τὸ κάλλιον, ὡς ᾤοντο, Ἀθηνᾶν ἐκάλεσαν. ΕΡΜ. Τί δαὶ δὴ τὸν Ἥφαιστον; πῆ λέγεις; ΣΩ. Ἦ τὸν γενναῖον, τὸν φάεος ἵστορα ἐρωτᾷς; ΕΡΜ. Ἔοικε. ΣΩ. Οὐκοῦν οὗτος μὲν παντὶ δῆλος Φαῖστος ὤν, τὸ η προςελκυσάμενος; [τὸ εἶναι Ἥφαιστον.] ΕΡΜ. Κινδυνεύει, ἐὰν μή πη σοί, ὡς ἔοικεν, ἔτι ἄλλη δόξῃ. ΣΩ. Ἀλλ' ἵνα μὴ δόξῃ, τὸν Ἄρην ἐρώτα. ΕΡΜ. Ἐρωτῶ. ΣΩ. Οὐκοῦν, εἰ μὲν βούλει, κατὰ τὸ ἄῤῥεν τε καὶ κατὰ τὸ ἀνδρεῖον Ἄρης ἂν εἴη· εἰ δ' αὖ κατὰ τὸ σκληρόν τε καὶ ἀμετάστροφον, ὃ δὴ ἄῤῥατον καλεῖται, καὶ ταύτῃ ἂν πανταχῇ πολεμικῷ θεῷ πρέπαι Ἄρη καλεῖσθαι; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Ἐκ μὲν οὖν τῶν θεῶν, πρὸς θεῶν, ἀπαλλαγῶμεν, ὡς ἐγὼ δέδοικα περὶ αὐτῶν διαλέγεσθαι· περὶ δὲ ἄλλων εἴ τινων βούλει, πρόβαλλέ μοι, ὄφρα ἴδηαι οἷοι Εὐθύφρονος ἵπποι. ΕΡΜ. Ἀλλὰ ποιήσω ταῦτα, ἔτι γε ἓν ἐρόμενός σε περὶ Ἑρμοῦ· ἐπειδή με καὶ οὔ φησι Κρατύλος Ἑρμογένη εἶναι. πειρώμεθα οὖν τὸν Ἑρμῆν σκέψασθαι, τί καὶ νοεῖ τὸ ὄνομα, ἵνα καὶ εἰδῶμεν εἴ τι ὅδε λέγει. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ἔοικε περὶ λόγον τι εἶναι ὁ Ἑρμῆς, καὶ τὸ ἑρμηνέα εἶναι καὶ τὸ ἄγγελον, καὶ τὸ κλεπτικόν τε καὶ τὸ ἀπατηλὸν ἐν λόγοις, καὶ τὸ ἀγοραστικόν, περὶ λόγου δύναμίν ἐστι πᾶσα αὕτη ἡ πραγματεία. ὅπερ οὖν καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, τὸ εἴρειν

λόγου χρεία ἐστί· τὸ δὲ, οἷον καὶ Ὅμηρος πολλαχοῦ λέγει, ἐμήσατο φησί, τοῦτο δὲ μηχανήσασθαί ἐστιν. ἐξ ἀμφοτέρων οὖν τούτων τὸν τὸ λέγειν τε καὶ τὸν λόγον μησάμενον [τὸ δὲ λέγειν δή ἐστιν εἴρειν], τοῦτον τὸν θεὸν ὡσπερεὶ ἐπιτάττει ἡμῖν ὁ ὀνοματοθέτης, Ὦ ἄνθρωποι, ὃς τὸ εἴρειν ἐμήσατο, δικαίως ἂν καλοῖτο ὑπὸ ὑμῶν Εἰρέμης. νῦν δὲ ἡμεῖς, ὡς οἰόμεθα, καλλωπίζοντες τὸ ὄνομα Ἑρμῆν καλοῦμεν. [καὶ ἥ γε Ἶρις ἀπὸ τοῦ εἴρειν ἔοικε κεκλημένη, ὅτι ἄγγελος ἦν.] ΕΡΜ. Νὴ τὸν Δία, εὖ ἄρα μοι δοκεῖ Κρατύλος λέγειν, τὸ ἐμὲ μὴ εἶναι Ἑρμογένη· οὔκουν εὐμήχανός γε εἰμὶ λόγου. XXVI. ΣΩ. Καὶ τό γε τὸν Πᾶνα τοῦ Ἑρμοῦ εἶναι υἱὸν διφυῆ, ἔχει τὸ εἰκός, ὦ ἑταῖρε. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἶσθα ὅτι ὁ λόγος τὸ πᾶν σημαίνει, καὶ κυκλεῖ καὶ πολεῖ ἀεί, καί ἐστι διπλοῦς, ἀληθής τε καὶ ψευδής. ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν τὸ μὲν ἀληθὲς αὐτοῦ, λεῖον καὶ θεῖον, καὶ ἄνω οἰκοῦν ἐν τοῖς θεοῖς· τὸ δὲ ψευδὲς, κάτω, ἐν τοῖς πολλοῖς τῶν ἀνθρώπων, καὶ τραχὺ καὶ τραγικόν· ἐνταῦθα γὰρ πλεῖστοι οἱ μῦθοί τε καὶ τὰ ψευδῆ ἐστι περὶ τὸν τραγικὸν βίον. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὀρθῶς ἄρα ὁ πᾶν μηνύων καὶ ἀεὶ πολῶν Πὰν αἰπόλος εἴη, διφυὴς Ἑρμοῦ υἱός, τὰ μὲν ἄνωθεν λεῖος, τὰ δὲ κάτωθεν τραχὺς καὶ τραγοειδής, καὶ ἔστιν ἤτοι λόγος ἢ λόγου ἀδελφὸς ὁ Πάν, εἴπερ Ἑρμοῦ υἱός ἐστιν· ἀδελφῷ δὲ ἐοικέναι ἀδελφόν, οὐδὲν θαυμαστόν. ἀλλ', ὅπερ ἐγὼ ἔλεγον, ὦ μακάριε, ἀπαλλαγῶμεν ἐκ τῶν θεῶν. ΕΡΜ. Τῶν γε τοιούτων, ὦ Σώκρατες, εἰ βού-

λει. περὶ δὲ τῶν τοιῶνδε τί σε κωλύει διελθεῖν, οἷον
ἡλίου τε καὶ σελήνης καὶ ἄστρων καὶ γῆς καὶ αἰθέ-
ρος καὶ ἀέρος καὶ πυρὸς καὶ ὕδατος καὶ ὡρῶν
καὶ ἐνιαυτοῦ; ΣΩ. Συχνά μέν μοι προστάττεις·
ὅμως δὲ εἴπερ σοι κεχαρισμένον ἔσται, ἐθέλω. ΕΡΜ.
Καὶ μὴν χαριῇ. ΣΩ. Τί δὴ οὖν βούλει πρῶτον; ἤ,
ὥσπερ εἶπες, τὸν ἥλιον διέλθωμεν; ΕΡΜ. Πάνυ γε.
ΣΩ. Ἔοικε τοίνυν κατάδηλον γενόμενον ἂν μᾶλλον
εἰ τῷ Δωρικῷ τις ὀνόματι χρῷτο· ἅλιον γὰρ καλοῦ-
σιν οἱ Δωριεῖς. ἅλιος οὖν εἴη μὲν ἂν κατὰ τὸ ἁλί-
ζειν εἰς ταυτὸ τοὺς ἀνθρώπους, ἐπειδὰν ἀνατείλῃ·
εἴη δ' ἂν καὶ τῷ περὶ τὴν γῆν ἀεὶ εἱλεῖν ἰών· ἐοίκοι
δ' ἂν καὶ ὅτι ποικίλλει ἰὼν τὰ γιγνόμενα ἐκ τῆς γῆς.
τὸ δὲ ποικίλλειν καὶ αἰολεῖν, ταυτόν. ΕΡΜ. Τί δὲ
ἡ σελήνη; ΣΩ. Τοῦτο δὲ τὸ ὄνομα φαίνεται τὸν Ἀνα-
ξαγόραν πιέζειν. ΕΡΜ. Τί δή; ΣΩ. Ἔοικε δηλοῦν
τι παλαιότερον, ὃ ἐκεῖνος νεωστὶ ἔλεγεν, ὅτι ἡ σε-
λήνη ἀπὸ τοῦ ἡλίου ἔχει τὸ φῶς. ΕΡΜ. Πῶς δή;
ΣΩ. Τὸ μέν που σέλας καὶ τὸ φῶς, ταυτόν. ΕΡΜ.
Ναί. ΣΩ. Νέον δέ που καὶ ἕνον ἀεί ἐστι περὶ τὴν
σελήνην τοῦτο τὸ φῶς, εἴπερ ἀληθῆ οἱ Ἀναξαγό-
ρειοι λέγουσι. κύκλῳ γάρ που ἀεὶ αὐτὴν περιιὼν
νέον ἀεὶ ἐπιβάλλει· ἕνον δὲ ὑπάρχει τὸ τοῦ προτέ-
ρου μηνός. ΕΡΜ. Πάνυ γε. ΣΩ. Σελαναίαν δέ γε
καλοῦσιν αὐτὴν πολλοί. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὅτι
δὲ σέλας νέον τε καὶ ἕνον ἔχει ἀεί, σελαενονεοάεια
μὲν δικαιότατ' ἂν τῶν ὀνομάτων καλοῖτο· συγκεκρο-
τημένον δὲ σελαναία κέκληται. ΕΡΜ. Διθυραμβώ-

δές γε τοῦτο τοὔνομα, ὦ Σώκρατες. ἀλλὰ τὸν μῆνα καὶ τὰ ἄστρα πῶς λέγεις; ΣΩ. Ὁ μὲν μεὶς ἀπὸ τοῦ μειοῦσθαι εἴη ἂν μείης ὀρθῶς κεκλημένος, τὰ δ᾽ ἄστρα ἔοικε τῆς ἀστραπῆς ἐπωνυμίαν ἔχειν· ἡ δὲ ἀστραπή, ὅτι τοὺς ὦπας ἀναστρέφει, ἀναστρωπὴ ἂν εἴη, νῦν δὲ ἀστραπὴ καλλωπισθεῖσα κέκληται. ΕΡΜ. Τί δὲ τὸ πῦρ τε καὶ τὸ ὕδωρ; ΣΩ. Τὸ πῦρ ἀπορῶ, καὶ κινδυνεύει ἤτοι ἡ τοῦ Εὐθύφρονός με μοῦσα ἐπιλελοιπέναι, ἢ τουτὶ παγχάλεπον εἶναι. σκέψαι οὖν ἣν εἰσάγω μηχανὴν ἐπὶ πάντα τὰ τοιαῦτα, ἃ ἂν ἀπορῶ. ΕΡΜ. Τίνα δή; ΣΩ. Ἐγώ σοι ἐρῶ. ἀπόκριναι γάρ μοι· ἔχοις ἂν εἰπεῖν πῦρ, κατὰ τίνα τρόπον καλεῖται; ΕΡΜ. Μὰ Δί᾽ οὐκ ἔγωγε. XXV. ΣΩ. Σκέψαι δὴ ὃ ἐγὼ ὑποπτεύω περὶ αὐτοῦ. ἐννοῶ γὰρ ὅτι πολλὰ οἱ Ἕλληνες ὀνόματα, ἄλλως τε καὶ οἱ ὑπὸ τοῖς βαρβάροις οἰκοῦντες, παρὰ τῶν βαρβάρων εἰλήφασι. ΕΡΜ. Τί οὖν δή; ΣΩ. Εἴ τις ζητοῖ ταῦτα κατὰ τὴν Ἑλληνικὴν φωνὴν ὡς ἐοικότως κεῖται, ἀλλὰ μὴ κατ᾽ ἐκείνην, ἐξ ἧς τὸ ὄνομα τυγχάνει ὄν, οἶσθα ὅτι ἀποροῖ ἄν. ΕΡΜ. Εἰκότως γε. ΣΩ. Ὅρα τοίνυν καὶ τοῦτο τὸ ὄνομα τὸ πῦρ μή τι βαρβαρικὸν ᾖ. τοῦτο γὰρ οὔτε ῥᾴδιον προσάψαι ἐστὶν Ἑλληνικῇ φωνῇ, φανεροί τ᾽ εἰσὶν οὕτως αὐτὸ καλοῦντες Φρύγες, σμικρόν τι παρακλίνοντες, καὶ τό γε ὕδωρ, καὶ τὰς κύνας, καὶ ἄλλα πολλά. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐ τοίνυν δεῖ ταῦτα προσβιάζεσθαι, ἐπεὶ ἔχοι γ᾽ ἄν τις εἰπεῖν περὶ αὐτῶν. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ ταύτῃ ἀπωθοῦμαι. ὁ δὲ δὴ ἀὴρ ἆρά γε, ὦ Ἑρμόγενες,

ὅτι αἴρει τὰ ἀπὸ τῆς γῆς, ἀὴρ κέκληται; ἢ ὅτι ἀεὶ ῥεῖ; ἢ ὅτι πνεῦμα ἐξ αὐτοῦ γίγνεται ῥέοντος; οἱ γὰρ ποιηταί που τὰ πνεύματα ἄητας καλοῦσιν. ἴσως οὖν λέγει, ὥςπερ ἂν εἰ εἴποι πνευματόῤῥουν ἢ ἀητόῤῥουν, [ὅθεν δὴ βούλεται αὐτὸν οὕτως εἰπεῖν ὅτι ἐστὶν ἀήρ.] Τὸν δὲ αἰθέρα τῇδέ πῃ ὑπολαμβάνω· ὅτι ἀεὶ θεῖ περὶ τὸν ἀέρα ῥέων, ἀειθεὴρ δικαίως ἂν καλοῖτο. Γῆ δὲ μᾶλλον σημαίνει ὃ βούλεται, ἐάν τις γαῖαν ὀνομάσῃ. γαῖα γὰρ γεννήτειρα ἂν εἴη ὀρθῶς κεκλημένη, ὥς φησιν Ὅμηρος. τὸ γὰρ γεγάασι γεγεννῆσθαι λέγει. ΕΡΜ. Εἶεν. ΣΩ. Τί οὖν ἡμῖν ἦν τὸ μετὰ τοῦτο; ΕΡΜ. Ὧραι, ὦ Σώκρατες, καὶ ἐνιαυτὸς καὶ ἔτος. ΣΩ. Αἱ μὲν δὴ ὧραι ὅραι Ἀττικιστὶ ὡς τὸ παλαιὸν ῥητέον, εἴπερ βούλει τὸ εἰκὸς εἰδέναι. ὧραι γάρ εἰσι διὰ τὸ ὁρίζειν χειμῶνάς τε καὶ θέρη καὶ πνεύματα καὶ [τοὺς καιροὺς πρὸς] τοὺς καρποὺς ἐκ τῆς γῆς· ὁρίζουσαι δὲ δικαίως ἂν ὅραι καλοῖντο. Ἐνιαυτὸς δὲ καὶ ἔτος κινδυνεύει ἕν τι εἶναι. τὸ γὰρ τὰ φυόμενα καὶ τὰ γιγνόμενα ἐν μέρει ἕκαστον προάγον εἰς φῶς, καὶ αὐτὸ ἐν αὑτῷ ἐξετάζον, τοῦτο, ὥςπερ ἐν τοῖς ἔμπροσθεν τὸ τοῦ Διὸς ὄνομα δίχα διῃρημένον, οἱ μὲν Ζῆνα, οἱ δὲ Δία ἐκάλουν, οὕτω καὶ ἐνταῦθα οἱ μὲν ἐνιαυτόν, ὅτι ἐν ἑαυτῷ, οἱ δὲ ἔτος, ὅτι ἐτάζει· ὁ δὲ ὅλος λόγος ἐστί, τὸ ἐν αὑτῷ ἐτάζον τοῦτο προςαγορεύεσθαι ἓν ὂν δίχα, ὥςτε δύο ὀνόματα γεγονέναι, ἐνιαυτόν τε καὶ ἔτος, ἐξ ἑνὸς λόγου. ΕΡΜ. Ἀλλὰ δῆτα, ὦ Σώκρατες, πολὺ ἐπιδίδως. ΣΩ. Πόῤῥω ἤδη, οἶμαι, φαίνομαι σοφίας

ἐλαύνειν. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Τάχα μᾶλλον ἐφήσεις. XXVI. ΕΡΜ. Ἀλλὰ μετὰ τοῦτο τὸ εἶδος ἔγωγε ἡδέως ἂν θεασαίμην ταῦτα τὰ καλὰ ὀνόματα, τίνι ποτὲ ὀρθότητι κεῖται, τὰ περὶ τὴν ἀρετήν, οἷον φρόνησίς τε καὶ ξύνεσις, καὶ δικαιοσύνη, καὶ τἆλλα τὰ τοιαῦτα πάντα. ΣΩ. Ἐγείρεις μέν, ὦ ἑταῖρε, οὐ φαῦλον γένος ὀνομάτων· ὅμως δέ, ἐπειδήπερ τὴν λεοντῆν ἐνδέδυκα, οὐκ ἀποδειλιατέον, ἀλλ' ἐπισκεπτέον, ὡς ἔοικε, φρόνησιν καὶ ξύνεσιν καὶ γνώμην καὶ ἐπιστήμην καὶ τἆλλα δὴ ἃ φῂς πάντα ταῦτα τὰ καλὰ ὀνόματα. ΕΡΜ. Πάνυ μὲν οὖν οὐ δεῖ ἡμᾶς προαποστῆναι. ΣΩ. Καὶ μήν, νὴ τὸν Κύνα, δοκῶ γέ μοι οὐ κακῶς μαντεύεσθαι, ὃ καὶ νῦν δὴ ἐνενόησα, ὅτι οἱ πάνυ παλαιοὶ ἄνθρωποι οἱ τιθέμενοι τὰ ὀνόματα παντὸς μᾶλλον, ὥσπερ καὶ τῶν νῦν οἱ πολλοὶ τῶν σοφῶν, ὑπὸ τοῦ πυκνὰ περιστρέφεσθαι ζητοῦντες, ὅπῃ ἔχει τὰ ὄντα, ἀεὶ ἰλιγγιῶσι, κἄπειτα αὐτοῖς φαίνεται περιφέρεσθαι τὰ πράγματα καὶ πάντως φέρεσθαι. αἰτιῶνται δὴ οὐ τὸ ἔνδον τὸ παρὰ σφίσι πάθος αἴτιον εἶναι ταύτης τῆς δόξης, ἀλλὰ αὐτὰ τὰ πράγματα οὕτω πεφυκέναι, οὐδὲν αὐτῶν μόνιμον εἶναι οὐδὲ βέβαιον, ἀλλὰ ῥεῖν καὶ φέρεσθαι καὶ μεστὰ εἶναι πάσης φορᾶς καὶ γενέσεως ἀεί. λέγω δὲ ἐννοήσας πρὸς πάντα τὰ νῦν δὴ ὀνόματα. ΕΡΜ. Πῶς δὴ τοῦτο, ὦ Σώκρατες; ΣΩ. Οὐ κατενόησας ἴσως τὰ ἄρτι λεγόμενα, ὅτι παντάπασιν ὡς φερομένοις τε καὶ ῥέουσι καὶ γιγνομένοις τοῖς πράγμασι τὰ ὀνόματα ἐπίκειται; ΕΡΜ. Οὐ πάνυ ἐνεθυμήθην.

ΣΩ. Καὶ μὴν πρῶτον μὲν τοῦτο, ὃ πρῶτον εἴπομεν, παντάπασιν ὡς ἐπὶ τοιούτων ἐστί. ΕΡΜ. Τὸ ποῖον; ΣΩ. Ἡ φρόνησις· φορᾶς γάρ ἐστι καὶ ῥοῦ νόησις· εἴη δ' ἂν καὶ ὄνησιν ὑπολαβεῖν φορᾶς· ἀλλ' οὖν περί γε τὸ φέρεσθαί ἐστιν. εἰ δὲ βούλει, ἡ γνώμη παντάπασι δηλοῖ γονῆς σκέψιν καὶ νώμησιν· τὸ γὰρ νωμᾶν καὶ τὸ σκοπεῖν ταυτόν. εἰ δὲ βούλει, αὐτὸ ἡ νόησις, τοῦ νέου ἐστὶν ἕσις· τὸ δὲ νέα εἶναι τὰ ὄντα, σημαίνει γιγνόμενα ἀεὶ εἶναι· τούτου οὖν ἐφίεσθαι τὴν ψυχὴν μηνύει τὸ ὄνομα ὁ θέμενος τὴν νεόεσιν. οὐ γὰρ νόησις τοαρχαῖον ἐκαλεῖτο, ἀλλ' ἀντὶ τοῦ η, ε ε ἔδει λέγειν δύο, νεόεσιν. Σωφροσύνη δὲ σωτηρία οὗ νῦν δὴ ἐσκέμμεθα, φρονήσεως. καὶ μὴν ἥ γε ἐπιστήμη μηνύει ὡς φερομένοις τοῖς πράγμασιν ἑπομένης τῆς ψυχῆς τῆς ἀξίας λόγου, καὶ οὔτε ἀπολειπομένης, οὔτε προθεούσης· διό, δεῖ ἐμβάλλοντας δὴ τὸ ε, ἐπιστημένην αὐτὴν ὀνομάζειν. Ξύνεσις δ' αὖ οὕτω μὲν δόξειεν ἂν ὥςπερ ξυλλογισμὸς εἶναι· ὅταν δὲ ξυνιέναι λέγῃ, ταυτὸν παντάπασι συμβαίνει τῷ ἐπίστασθαι λεγόμενον· ξυμπορεύεσθαι γὰρ λέγει τὴν ψυχὴν τοῖς πράγμασι τὸ ξυνιέναι. ἀλλὰ μὴν ἥ γε σοφία φορᾶς ἐφάπτεσθαι σημαίνει· σκοτωδέστερον δὲ τοῦτο καὶ ξενικώτερον· ἀλλὰ δεῖ ἐκ τῶν ποιητῶν ἀναμιμνήσκεσθαι ὅτι, πολλαχοῦ λέγουσι περὶ ὅτου ἂν τύχωσι τῶν ἀρχομένων ταχὺ προϊέναι, ἐσύθη φασί. Λακωνικῷ δὲ ἀνδρὶ τῶν εὐδοκίμων καὶ ὄνομα ἦν Σοῦς· τὴν γὰρ ταχεῖαν ὁρμὴν οἱ Λακεδαιμόνιοι τοῦτο καλοῦσι. ταύτης οὖν

τῆς φορᾶς ἐπαφὴν σημαίνει ἡ σοφία, ὡς φερομένων τῶν ὄντων. καὶ μὴν τό γε ἀγαθόν, τοῦτο τῆς φύσεως πάσης τῷ ἀγαστῷ βούλεται τὸ ὄνομα ἐπικεῖσθαι. ἐπειδὴ γὰρ πορεύεται τὰ ὄντα, ἔνι μὲν ἄρ' αὐτοῖς τάχος, ἔνι δὲ βραδυτής· ἔστιν οὖν οὐ πᾶν τὸ ταχύ, ἀλλά τι αὐτοῦ, ἀγαστόν. τούτῳ οὖν δὴ τῷ ἀγαστῷ αὕτη ἡ ἐπωνυμία ἐστὶ τἀγαθόν. XXVII. Δικαιοσύνη δέ, ὅτι μὲν ἐπὶ τῇ τοῦ δικαίου ξυνέσει τοῦτο κεῖται τὸ ὄνομα, ῥᾴδιον ξυμβαλεῖν· αὐτὸ δὲ τὸ δίκαιον, χαλεπόν. καὶ γὰρ δὴ καὶ ἔοικε μέχρι μέν του ὁμολογεῖσθαι παρὰ πολλῶν, ἔπειτα δὲ ἀμφισβητεῖσθαι. ὅσοι γὰρ ἡγοῦνται τὸ πᾶν εἶναι ἐν πορείᾳ, τὸ μὲν πολὺ αὐτοῦ ὑπολαμβάνουσι τοιοῦτόν τι εἶναι οἷον οὐδὲν ἄλλο ἢ χωρεῖν· διὰ δὲ τούτου παντὸς εἶναί τι διεξιόν, δι' οὗ πάντα τὰ γιγνόμενα γίγνεσθαι· εἶναι δὲ τάχιστον τοῦτο καὶ λεπτότατον· οὐ γὰρ ἂν δύνασθαι ἄλλως διὰ τοῦ ἰόντος ἰέναι παντός, εἰ μὴ λεπτότατόν τε ἦν, ὥστε αὐτὸ μηδὲν στέγειν, καὶ τάχιστον, ὥστε χρῆσθαι ὥσπερ ἑστῶσι τοῖς ἄλλοις. ἐπεὶ δ' οὖν ἐπιτροπεύει τὰ ἄλλα πάντα διαϊόν, τοῦτο τὸ ὄνομα ἐκλήθη ὀρθῶς δίκαιον, εὐστομίας ἕνεκα τὴν τοῦ κ δύναμιν προσλαβόν. μέχρι μὲν οὖν ἐνταῦθα, ὃ νῦν δὴ ἐλέγομεν, παρὰ πολλῶν ὁμολογεῖται τοῦτο εἶναι τὸ δίκαιον. ἐγὼ δέ, ὦ Ἑρμόγενες, ἅτε λιπαρὴς ὢν περὶ αὐτοῦ, ταῦτα μὲν πάντα διαπέπυσμαι ἐν ἀπορρήτοις, ὅτι τοῦτ' ἐστὶ τὸ δίκαιον καὶ τὸ αἴτιον· δι' ὃ γὰρ γίγνεται, τοῦτ' ἐστὶ τὸ αἴτιον· καὶ Δία καλεῖν ἔφη τις τοῦτο ὀρθῶς ἔχειν διὰ ταῦτα. ἐπειδὰν

ΣΩ. Καὶ μὴν πρῶτον μὲν τοῦτο, ὃ πρῶτον εἴπομεν, παντάπασιν ὡς ἐπὶ τοιούτων ἐστί. ΕΡΜ. Τὸ ποῖον; ΣΩ. Ἡ φρόνησις· φορᾶς γάρ ἐστι καὶ ῥοῦ νόησις· εἴη δ' ἂν καὶ ὄνησιν ὑπολαβεῖν φορᾶς· ἀλλ' οὖν περί γε τὸ φέρεσθαί ἐστιν. εἰ δὲ βούλει, ἡ γνώμη παντάπασι δηλοῖ γονῆς σκέψιν καὶ νώμησιν· τὸ γὰρ νωμᾶν καὶ τὸ σκοπεῖν ταυτόν. εἰ δὲ βούλει, αὐτὸ ἡ νόησις, τοῦ νέου ἐστὶν ἕσις· τὸ δὲ νέα εἶναι τὰ ὄντα, σημαίνει γιγνόμενα ἀεὶ εἶναι· τούτου οὖν ἐφίεσθαι τὴν ψυχὴν μηνύει τὸ ὄνομα ὁ θέμενος τὴν νεόεσιν. οὐ γὰρ νόησις τοαρχαῖον ἐκαλεῖτο, ἀλλ' ἀντὶ τοῦ η, ε ε ἔδει λέγειν δύο, νεόεσιν. Σωφροσύνη δὲ σωτηρία οὗ νῦν δὴ ἐσκέμμεθα, φρονήσεως. καὶ μὴν ἥ γε ἐπιστήμη μηνύει ὡς φερομένοις τοῖς πράγμασιν ἑπομένης τῆς ψυχῆς τῆς ἀξίας λόγου, καὶ οὔτε ἀπολειπομένης, οὔτε προθεούσης· διό, δεῖ ἐμβάλλοντας δὴ τὸ ε, ἐπιστημένην αὐτὴν ὀνομάζειν. Ξύνεσις δ' αὖ οὕτω μὲν δόξειεν ἂν ὥςπερ ξυλλογισμὸς εἶναι· ὅταν δὲ ξυνιέναι λέγῃ, ταυτὸν παντάπασι συμβαίνει τῷ ἐπίστασθαι λεγόμενον· ξυμπορεύεσθαι γὰρ λέγει τὴν ψυχὴν τοῖς πράγμασι τὸ ξυνιέναι. ἀλλὰ μὴν ἥ γε σοφία φορᾶς ἐφάπτεσθαι σημαίνει· σκοτωδέστερον δὲ τοῦτο καὶ ξενικώτερον· ἀλλὰ δεῖ ἐκ τῶν ποιητῶν ἀναμιμνήσκεσθαι ὅτι, πολλαχοῦ λέγουσι περὶ ὅτου ἂν τύχωσι τῶν ἀρχομένων ταχὺ προϊέναι, ἐσύθη φασί. Λακωνικῷ δὲ ἀνδρὶ τῶν εὐδοκίμων καὶ ὄνομα ἦν Σοῦς· τὴν γὰρ ταχεῖαν ὁρμὴν οἱ Λακεδαιμόνιοι τοῦτο καλοῦσι. ταύτης οὖν

τῆς φορᾶς ἐπαφὴν σημαίνει ἡ σοφία, ὡς φερομένων ὂν ὄντων. καὶ μὴν τό γε ἀγαθόν, τοῦτο τῆς φύσεως πάσης τῷ ἀγαστῷ βούλεται τὸ ὄνομα ἐπικεῖσθαι. ἐπειδὴ γὰρ πορεύεται τὰ ὄντα, ἔνι μὲν ἄρ' αὐτοῖς τάχος, ἔνι δὲ βραδυτής· ἔστιν οὖν οὐ πᾶν τὸ ταχύ, ἀλλά τι αὐτοῦ, ἀγαστόν. τούτῳ οὖν δὴ τῷ ἀγαστῷ αὕτη ἡ ἐπωνυμία ἐστὶ τἀγαθόν. XXVII. Δικαιοσύνη δέ, ὅτι μὲν ἐπὶ τῇ τοῦ δικαίου ξυνέσει τοῦτο κεῖται τὸ ὄνομα, ῥᾴδιον ξυμβαλεῖν· αὐτὸ δὲ τὸ δίκαιον, χαλεπόν. καὶ γὰρ δὴ καὶ ἔοικε μέχρι μέν του ὁμολογεῖσθαι παρὰ πολλῶν, ἔπειτα δὲ ἀμφισβητεῖσθαι. ὅσοι γὰρ ἡγοῦνται τὸ πᾶν εἶναι ἐν πορείᾳ, τὸ μὲν πολὺ αὐτοῦ ὑπολαμβάνουσι τοιοῦτόν τι εἶναι οἷον οὐδὲν ἄλλο ἢ χωρεῖν· διὰ δὲ τούτου παντὸς εἶναί τι διεξιόν, δι' οὗ πάντα τὰ γιγνόμενα γίγνεσθαι· εἶναι δὲ τάχιστον τοῦτο καὶ λεπτότατον· οὐ γὰρ ἂν δύνασθαι ἄλλως διὰ τοῦ ἰόντος ἰέναι παντός, εἰ μὴ λεπτότατόν τε ἦν, ὥστε αὐτὸ μηδὲν στέγειν, καὶ τάχιστον, ὥστε χρῆσθαι ὥσπερ ἑστῶσι τοῖς ἄλλοις. ἐπεὶ δ' οὖν ἐπιτροπεύει τὰ ἄλλα πάντα διαϊόν, τοῦτο τὸ ὄνομα ἐκλήθη ὀρθῶς δίκαιον, εὐστομίας ἕνεκα τὴν τοῦ κ δύναμιν προσλαβόν. μέχρι μὲν οὖν ἐνταῦθα, ὃ νῦν δὴ ἐλέγομεν, παρὰ πολλῶν ὁμολογεῖται τοῦτο εἶναι τὸ δίκαιον. ἐγὼ δέ, ὦ Ἑρμόγενες, ἅτε λιπαρὴς ὢν περὶ αὐτοῦ, ταῦτα μὲν πάντα διαπέπυσμαι ἐν ἀποῤῥήτοις, ὅτι τοῦτ' ἐστὶ τὸ δίκαιον καὶ τὸ αἴτιον· δι' ὃ γὰρ γίγνεται, τοῦτ' ἐστὶ τὸ αἴτιον· καὶ Δία καλεῖν ἔφη τις τοῦτο ὀρθῶς ἔχειν διὰ ταῦτα. ἐπειδὰν

δ' ἠρέμα αὐτοὺς ἐπανερωτῶ ἀκούσας ταῦτα μηδὲν ἧττον, Τί οὖν ποτ' ἐστίν, ὦ ἄριστε, τὸ δίκαιον, εἰ τοῦτο οὕτως ἔχει; δοκῶ τε ἤδη μακρότερα τοῦ προςήκοντος ἐρωτᾷν καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἅλλεσθαι. ἱκανῶς γάρ μέ φασι πεπύσθαι καὶ ἀκηκοέναι, καὶ ἐπιχειροῦσι, βουλόμενοι ἀποπιμπλάναι με, ἄλλος ἄλλα ἤδη λέγειν, καὶ οὐκέτι ξυμφωνοῦσιν. ὁ μὲν γάρ τίς φησι τοῦτο εἶναι τὸ δίκαιον, τὸν ἥλιον· τοῦτον γὰρ μόνον διαϊόντα καὶ κάοντα ἐπιτροπεύειν τὰ ὄντα. ἐπειδὰν δὲ τῳ λέγω αὐτὸ ἄσμενος, ὡς καλόν τι ἀκηκοώς, καταγελᾷ μου οὗτος ὁ ἀκούσας, καὶ ἐρωτᾷ με εἰ οὐδὲν δίκαιον οἶμαι εἶναι ἐν τοῖς ἀνθρώποις, ἐπειδὰν ὁ ἥλιος δύῃ. λιπαροῦντος οὖν ἐμοῦ ὅ, τι αὖ ἐκεῖνος λέγει, αὐτὸ τὸ πῦρ φησι· τοῦτο δὲ οὐ ῥᾴδιόν ἐστιν εἰδέναι. ὁ δὲ οὐκ αὐτὸ τὸ πῦρ φησιν, ἀλλ' αὐτὸ τὸ θερμὸν τὸ ἐν τῷ πυρὶ ἐνόν. ὁ δὲ τούτων μὲν πάντων καταγελᾷν φησιν, εἶναι δὲ τὸ δίκαιον, ὃ λέγει Ἀναξαγόρας, νοῦν εἶναι τοῦτο· αὐτοκράτορα γὰρ ὄντα αὐτόν, καὶ οὐδενὶ μεμιγμένον, πάντα φησὶν αὐτὸν κοσμεῖν τὰ πράγματα διὰ πάντων ἰόντα. ἐνταῦθα δὴ ἐγώ, ὦ φίλε, πολὺ ἐν πλείονι ἀπορίᾳ εἰμί, ἢ πρὶν ἐπιχειρῆσαι μανθάνειν περὶ τοῦ δικαίου ὅ, τι ποτ' ἐστίν. ἀλλ' οὖν οὗπερ ἕνεκα ἐσκοποῦμεν, τό γε ὄνομα τοῦτο φαίνεται αὐτῷ διὰ ταῦτα κεῖσθαι. ΕΡΜ. Φαίνῃ μοι, ὦ Σώκρατες, ταῦτα μὲν ἀκηκοέναι του, καὶ οὐκ αὐτοσχεδιάζειν. ΣΩ. Τί δὲ τἆλλα; ΕΡΜ. Οὐ πάνυ γε. XXVIII. ΣΩ. Ἄκουε δή· ἴσως γὰρ ἄν σε καὶ τὰ ἐπίλοιπα ἐξαπατήσαιμι ὡς οὐκ ἀκηκοὼς

λέγω. μετὰ γὰρ δικαιοσύνην τί λείπεται ἡμῖν; ἀνδρίαν, οἶμαι, οὔπω διήλθομεν. ἀδικία μὲν γὰρ δηλονότι ἐστὶν ὄντως ἐμπόδισμα τοῦ διαϊόντος· ἀνδρία δὲ σημαίνει, ὡς ἐν μάχῃ ἐπονομαζομένης τῆς ἀνδρίας· μάχην δ' εἶναι ἐν τῷ ὄντι, εἴπερ ῥεῖ, οὐκ ἄλλο τι ἢ τὴν ἐναντίαν ῥοήν. ἐὰν οὖν τις ἐξέλῃ τὸ δ τοῦ ὀνόματος τῆς ἀνδρίας, αὐτὸ μηνύει τὸ ἔργον τὸ ὄνομα ἡ ἀνρία. δῆλον οὖν ὅτι οὐ πάσῃ ῥοῇ ἡ ἐναντία ῥοὴ ἀνδρία ἐστίν, ἀλλὰ τῇ παρὰ τὸ δίκαιον ῥεούσῃ· οὐ γὰρ ἂν ἐπῃνεῖτο ἡ ἀνδρία. καὶ τὸ ἄῤῥεν καὶ ὁ ἀνὴρ ἐπὶ παραπλησίῳ τινὶ τούτῳ ἐστὶ τῇ ἄνω ῥοῇ. Γυνὴ δὲ γονή μοι φαίνεται βούλεσθαι εἶναι. Τὸ δὲ θῆλυ ἀπὸ τῆς θηλῆς τι φαίνεται ἐπωνομάσθαι. ἡ δὲ θηλὴ ἆρά γε, ὦ Ἑρμόγενες, ὅτι τεθηλέναι ποιεῖ ὥσπερ τὰ ἀρδόμενα; ΕΡΜ. Ἔοικέ γε, ὦ Σώκρατες. ΣΩ. Καὶ μὴν αὐτό γε τὸ θάλλειν τὴν αὔξην μοι δοκεῖ ἀπεικάζειν τὴν τῶν νέων, ὅτι ταχεῖα καὶ ἐξαιφνιδία γίγνεται· οἷόν περ οὖν μεμίμηται τῷ ὀνόματι ξυναρμόσας ἀπὸ τοῦ θεῖν καὶ ἅλλεσθαι τὸ ὄνομα. ἀλλ' οὐ γὰρ ἐπισκοπεῖς με ὥσπερ ἐκτὸς δρόμου φερόμενον, ἐπειδὰν λείου ἐπιλάβωμαι· λοιπὰ δὲ ἡμῖν ἔτι συχνὰ τῶν δοκούντων σπουδαίων εἶναι. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Ὧν γ' ἔστιν ἓν καὶ τέχνην ἰδεῖν ὅ, τι ποτὲ βούλεται εἶναι. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τοῦτό γε ἕξιν νοῦ σημαίνει [ἐχονόη,] τὸ μὲν τ ἀφελόντι, ἐμβαλόντι δὲ τὸ ο μεταξὺ τοῦ χ καὶ τοῦ ν, καὶ τοῦ νυ καὶ τοῦ ἦτα; ΕΡΜ. Καὶ μάλα γε γλίσχρως, ὦ Σώκρατες. ΣΩ. Ὦ μακάριε, οὐκ οἶσθ'

ὅτι τὰ πρῶτα ὀνόματα τεθέντα, κατακέχωσται ἤδη ὑπὸ τῶν βουλομένων τραγῳδεῖν αὐτά, περιτιθέντων γράμματα καὶ ἐξαιρούντων, εὐστομίας ἕνεκα, καὶ πανταχῇ στρεφόντων, καὶ ὑπὸ καλλωπισμοῦ καὶ ὑπὸ χρόνου. ἐπεὶ καὶ ἐν τῷ κατόπτρῳ οὐ δοκεῖ σοι ἄτοπον εἶναι τὸ ἐμβεβλῆσθαι τὸ ῥῶ; ἀλλὰ τοιαῦτα, οἶμαι, ποιοῦσιν οἱ τῆς μὲν ἀληθείας οὐδὲν φροντίζοντες, τὸ δὲ στόμα πλάττοντες· ὥστ᾽ ἐπεμβάλλοντες πολλὰ ἐπὶ τὰ πρῶτα ὀνόματα, τελευτῶντες ποιοῦσι μηδ᾽ ἂν ἕνα ἀνθρώπων ξυνεῖναι ὅ, τι ποτὲ βούλεται τὸ ὄνομα· ὥσπερ καὶ τὴν σφίγγα ἀντὶ σφιγγὸς σφίγγα καλοῦσι, καὶ ἄλλα πολλά. ΕΡΜ. Ταῦτα μὲν ἔστιν οὕτως, ὦ Σώκρατες. ΣΩ. Εἰ δ᾽ αὖ τις ἐάσει καὶ ἐντιθέναι καὶ ἐξαιρεῖν ἅττ᾽ ἂν βούληταί τις εἰς τὰ ὀνόματα, πολλή τις εὐπορία ἔσται, καὶ πᾶν ἂν παντί τις ὄνομα πράγματι προσαρμόσειεν. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀληθῆ μέντοι· ἀλλὰ τὸ μέτριον, οἶμαι, δεῖ φυλάττειν καὶ τὸ εἰκὸς σὲ τὸν σοφὸν ἐπιστάτην. ΕΡΜ. Βουλοίμην ἄν. ΣΩ. Καὶ ἐγώ σοι ξυμβούλομαι, ὦ Ἑρμόγενες. ἀλλὰ μὴ λίαν, ὦ δαιμόνιε, ἀκριβολογοῦ, μή μ᾽ ἀπογυιώσῃς μένεος. ἔρχομαι γὰρ ἐπὶ τὴν κορυφὴν ὧν εἴρηκα, ἐπειδὰν μετὰ τέχνην μηχανὴν ἐπισκεψώμεθα. μηχανὴ γάρ μοι δοκεῖ τοῦ ἄνειν ἐπὶ πολὺ σημεῖον εἶναι· τὸ γὰρ μῆκος, πρὸς τὸ πολὺ σημαίνει· ἐξ ἀμφοῖν οὖν τούτοιν ξύγκειται, μήκους τε καὶ τοῦ ἄνειν, τὸ ὄνομα ἡ μηχανή. ἀλλ᾽, ὅπερ νῦν δὴ εἶπον, ἐπὶ τὴν κορυφὴν δεῖ τῶν εἰρημένων ἐλθεῖν. XXIX. Ἀρετὴ γὰρ καὶ κακία ὅ, τι βούλεται τὰ

ὀνόματα, ζητητέα. τὸ μὲν οὖν ἕτερον οὔπω καθορῶ, τὸ δ᾽ ἕτερον δοκεῖ μοι κατάδηλον εἶναι· ξυμφωνεῖ γὰρ τοῖς ἔμπροσθεν πᾶσιν. ἅτε γὰρ ἰόντων τῶν πραγμάτων, πᾶν τὸ κακῶς ἰὸν κακία ἂν εἴη· τοῦτο δὲ ὅταν ἐν ψυχῇ ᾖ τὸ κακῶς ἰέναι ἐπὶ τὰ πράγματα, μάλιστα τὴν τοῦ ὅλου ἐπωνυμίαν ἔχει τῆς κακίας. τὸ δὲ κακῶς ἰέναι ὅ, τι ποτέ ἐστι, δοκεῖ μοι δηλοῦν καὶ ἐν τῇ δειλίᾳ, ὃ οὔπω διήλθομεν, ἀλλ᾽ ὑπερέβημεν, δέον αὐτὸ μετὰ τὴν ἀνδρίαν σκέψασθαι. δοκοῦμεν δέ μοι καὶ ἄλλα πολλὰ ὑπερβεβηκέναι. ἡ δ᾽ οὖν δειλία τῆς ψυχῆς σημαίνει δεσμὸν εἶναι ἰσχυρόν· τὸ γὰρ λίαν, ἰσχύς τις ἐστί. δεσμὸς οὖν ὁ λίαν καὶ ὁ μέγιστος τῆς ψυχῆς ἡ δειλία ἂν εἴη, ὥσπερ γε καὶ ἡ ἀπορία, κακὸν καὶ πᾶν, ὡς ἔοικεν, ὅ, τι ἂν ἐμποδὼν ᾖ τῷ ἰέναι καὶ πορεύεσθαι. τοῦτ᾽ οὖν φαίνεται τὸ κακῶς ἰέναι δηλοῦν τὸ ἰσχομένως τε καὶ ἐμποδιζομένως πορεύεσθαι, ὃ δὴ ψυχὴ ὅταν ἔχῃ, κακίας μεστὴ γίγνεται. εἰ δ᾽ ἐπὶ τοιούτοις ἡ κακία ἐστὶ τοὔνομα, τοὐναντίον τούτου ἡ ἀρετὴ ἂν εἴη, σημαῖνον πρῶτον μὲν εὐπορίαν, ἔπειτα δὲ λελυμένην τὴν ῥοὴν τῆς ἀγαθῆς ψυχῆς εἶναι ἀεί· ὥστε τὸ ἀσχέτως καὶ τὸ ἀκωλύτως ἀεὶ ῥέον ἐπωνυμίαν εἴληφεν, ὡς ἔοικε, τοῦτο τοὔνομα· ὀρθῶς μὲν ἔχει ἀειῤῥείτην καλεῖν· ἴσως δὲ αἱρετὴν λέγει, ὡς οὔσης ταύτης τῆς ἕξεως αἱρετωτάτης· ξυγκεκρότηται δὲ καὶ καλεῖται ἀρετή. καὶ ἴσως μὲν αὖ φήσεις πλάττειν· ἐγὼ δέ φημι, εἴπερ ὃ ἔμπροσθεν εἶπον, ὀρθῶς ἔχει, ἡ κακία, καὶ τοῦτο τοὔνομα τὴν ἀρετὴν ὀρθῶς ἔχειν. *ΕΡΜ.* Τὸ δὲ δὴ

κακόν, δι' οὗ πολλὰ τῶν ἔμπροσθεν εἴρηκας, τί ἂν νοοῖ τοὔνομα; ΣΩ. Ἄτοπόν τι νὴ Δία ἔμοιγε δοκεῖ καὶ χαλεπὸν ξυμβαλεῖν. ἐπάγω οὖν καὶ τούτῳ ἐκείνην τὴν μηχανήν. ΕΡΜ. Ποίαν ταύτην; ΣΩ. Τὴν τοῦ βαρβαρικόν τι καὶ τοῦτο φάναι εἶναι. ΕΡΜ. Καὶ ἔοικάς γε ὀρθῶς λέγοντι· ἀλλ' εἰ δοκεῖ, ταῦτα μὲν ἐῶμεν· τὸ δὲ καλὸν καὶ τὸ αἰσχρὸν πειρώμεθα ἰδεῖν πῇ εὐλόγως ἔχει. ΣΩ. Τὸ μὲν τοίνυν αἰσχρὸν καὶ δὴ κατάδηλόν μοι φαίνεται ὃ νοεῖ· καὶ τοῦτο γὰρ τοῖς ἔμπροσθεν ὁμολογεῖται. τὸ γὰρ ἐμποδίζον καὶ ἴσχον τῆς ῥοῆς τὰ ὄντα λοιδορεῖν μοι φαίνεται διαπαντὸς ὁ τὰ ὀνόματα θεὶς, καὶ νῦν τῷ ἀεὶ ἴσχοντι τὸν ῥοῦν τοῦτο τὸ ὄνομα ἔθετο ἀεισχόῤῥουν· νῦν δὲ ξυγκροτήσαντες αἰσχρὸν καλοῦσι. ΕΡΜ. Τί δὲ τὸ καλόν; ΣΩ. Τοῦτο χαλεπώτερον κατανοῆσαι. καίτοι λέγουσί γε αὐτὸ ἁρμονίᾳ μόνον καὶ μήκει τοῦ οὖ παρῆκται. ΕΡΜ. Πῶς δή; ΣΩ. Τῆς διανοίας ἔοικέ τις ἐπωνυμία εἶναι τοῦτο τὸ ὄνομα. ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Φέρε, τί οἴει σὺ εἶναι τὸ αἴτιον κληθῆναι ἑκάστῳ τῶν ὄντων; ἆρ' οὐκ ἐκεῖνο τὸ τὰ ὀνόματα θέμενον; ΕΡΜ. Πάντως που. ΣΩ. Οὐκοῦν διάνοια ἂν εἴη τοῦτο, ἤτοι θεῶν ἢ ἀνθρώπων ἢ ἀμφοτέρων; ΕΡΜ. Ναί. ΣΩ. Οὐκοῦν τὸ καλέσαν τὰ πράγματα καὶ τὸ καλὸν ταυτόν ἐστι τοῦτο, διάνοια; ΕΡΜ. Φαίνεται. ΣΩ. Οὐκοῦν καὶ ὅσα μὲν ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐστι τὰ ἐπαινετά· ἃ δὲ μή, ψεκτά; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τὸ οὖν ἰατρικὸν ἰατρικὰ

ἐργάζεται, καὶ τὸ τεκτονικὸν τεκτονικά· ἢ πῶς λέγεις; ΕΡΜ. Οὕτως ἔγωγε. ΣΩ. Καὶ τὸ καλὸν ἄρα καλά; ΕΡΜ. Δεῖ γέ τοι. ΣΩ. Ἔστι δέ γε τοῦτο, ὥς φαμεν, διάνοια; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὀρθῶς ἄρα φρονήσεως αὕτη ἡ ἐπωνυμία ἐστὶ τὸ καλὸν τῆς τὰ τοιαῦτα ἀπεργαζομένης, ἃ δὴ καλὰ φάσκοντες εἶναι ἀσπαζόμεθα. ΕΡΜ. Φαίνεται. XXX. ΣΩ. Τί οὖν ἡμῖν ἔτι λοιπὸν τῶν τοιούτων; ΕΡΜ. Ταῦτα τὰ περὶ τὸ ἀγαθόν τε καὶ καλόν, ξυμφέροντά τε καὶ λυσιτελοῦντα, καὶ ὠφέλιμά τε, καὶ κερδαλέα, καὶ τἀναντία τούτων. ΣΩ. Οὐκοῦν τὸ μὲν ξυμφέρον ἤδη που κἂν σὺ εὕροις ἐκ τῶν πρότερον σκοπῶν· τῆς γὰρ ἐπιστήμης ἀδελφόν τι φαίνεται. οὐδὲν γὰρ ἄλλο δηλοῖ ἢ τὴν ἅμα φορὰν τῆς ψυχῆς μετὰ τῶν πραγμάτων, καὶ τὰ ὑπὸ τοῦ τοιούτου πραττόμενα, ξυμφέροντά τε καὶ ξύμφορα, κεκλῆσθαι ἀπὸ τοῦ ξυμπεριφέρεσθαι ἔοικε; ΕΡΜ. Ἔοικε. ΣΩ. Τὸ δέ γε κερδαλέον ἀπὸ τοῦ κέρδους. κέρδος δὲ νυ ἀντὶ τοῦ δέλτα ἀποδιδόντι ἐς τὸ ὄνομα δηλοῖ ὃ βούλεται· τὸ γὰρ ἀγαθὸν κατ' ἄλλον τρόπον ὀνομάζει. ὅτι γὰρ κεράννυται ἐς πάντα διεξιόν, ταύτην αὐτοῦ τὴν δύναμιν ἐπονομάζων ἔθετο τοὔνομα· δέλτα ἐνθεὶς ἀντὶ τοῦ νυ κέρδος ἐφθέγξατο. ΕΡΜ. Λυσιτελοῦν δὲ τί δή; ΣΩ. Ἔοικεν, ὦ Ἑρμόγενες, οὐχὶ καθάπερ οἱ κάπηλοι αὐτῷ χρῶνται ἐὰν τὸ ἀνάλωμα ἀπολύῃ, οὐ ταύτῃ λέγειν μοι δοκεῖ τὸ λυσιτελοῦν· ἀλλ', ὅτι τάχιστον ὂν τοῦ ὄντος ἵστασθαι οὐκ ἐᾷ τὰ πράγματα, οὐδὲ τέλος λαβοῦσαν τὴν φορὰν τοῦ φέρεσθαι στῆναί τε καὶ παύ-

αασθαι, ἀλλ᾽ ἀεὶ λύει αὐτῆς ἄν τι ἐπιχειρῇ τέλος ἐγγίγνεσθαι, καὶ παρέχει ἄπαυστον καὶ ἀθάνατον αὐτήν· ταύτῃ μοι δοκεῖ ἐπιφημίσαι τὸ ἀγαθόν, λυσιτελοῦν· τὸ γὰρ τῆς φορᾶς λύον τὸ τέλος λυσιτελοῦν καλέσαι. Ὠφέλιμον δὲ ξενικὸν τοὔνομα, ᾧ καὶ Ὅμηρος πολλαχοῦ κέχρηται, τῷ ὀφέλλειν· ἔστι δὲ τοῦτο τοῦ αὔξειν καὶ ποιεῖν ἐπωνυμία. XXXI. ΕΡΜ. Τὰ δὲ δὴ τούτων ἐναντία πῶς ἔχει ἡμῖν; ΣΩ. Ὅσα μὲν ἀπόφησιν αὐτῶν, ὥς γέ μοι δοκεῖ, οὐδὲν δεῖ ταῦτα διεξιέναι. ΕΡΜ. Ποῖα ταῦτα; ΣΩ. Ἀξύμφορον καὶ ἀνωφελὲς καὶ ἀλυσιτελὲς καὶ ἀκερδές. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλὰ βλαβερόν γε καὶ ζημιῶδες; ΕΡΜ. Ναί. ΣΩ. Καὶ τὸ μέν γε βλαβερὸν τὸ βλάπτον τὸν ῥοῦν εἶναι λέγει· τὸ δὲ βλάπτον αὖ σημαίνει, βουλόμενον ἅπτειν· τὸ δὲ ἅπτειν καὶ δεῖν ταυτόν ἐστι· τοῦτο δὲ ἁπανταχοῦ ψέγει. τὸ βουλόμενον οὖν ἅπτειν ῥοῦν, ὀρθότατα μὲν ἂν εἴη βουλαπτεροῦν· καλλωπισθὲν δὲ καλεῖσθαί μοι φαίνεται βλαβερόν. ΕΡΜ. Ποικίλα γέ σοι, ὦ Σώκρατες, ἐκβαίνει τὰ ὀνόματα· καὶ γάρ νῦν μοι ἔδοξας ὥσπερ τοῦ τῆς Ἀθηναίας νόμου προαύλιον στομαυλῆσαι, τοῦτο τὸ ὄνομα προειπὼν τὸ βουλαπτεροῦν. ΣΩ. Οὐκ ἐγώ, ὦ Ἑρμόγενες, αἴτιος, ἀλλ᾽ οἱ θέμενοι τὸ ὄνομα. ΕΡΜ. Ἀληθῆ λέγεις· ἀλλὰ δὴ τὸ ζημιῶδες τί ἂν εἴη; ΣΩ. Τί δ᾽ ἂν εἴη ποτὲ τὸ ζημιῶδες; θέασαι, ὦ Ἑρμόγενες, ὡς ἐγὼ ἀληθῆ λέγω, λέγων ὅτι προστιθέντες γράμματα καὶ ἐξαιροῦντες σφόδρα ἀλλοιοῦσι τὰς τῶν ὀνομάτων διανοίας, οὕτως ὥστε σμικρὰ πάνυ παρα-

στρέφοντες ἐνίοτε, τἀναντία ποιεῖν σημαίνειν· οἷον καὶ ἐν τῷ δέοντι· ἐνενόησα γάρ αὐτὸ καὶ ἀνεμνήσθην ἄρτι ἀπὸ τοῦδε, ὃ ἔμελλον σοὶ ἐρεῖν, ὅτι ἡ μὲν νέα φωνὴ ἡμῖν ἡ καλὴ αὕτη καὶ τοὐναντίον περιέτρεψε μηνύειν τὸ δέον καὶ τὸ ζημιῶδες, ἀφανίζουσα ὅ, τι νοεῖ· ἡ δὲ παλαιὰ ἀμφότερον δηλοῖ ὃ βούλεται τοὔνομα. ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Ἐγώ σοι ἐρῶ. οἶσθα ὅτι οἱ παλαιοὶ οἱ ἡμέτεροι τῷ ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο, καὶ οὐχ ἥκιστα αἱ γυναῖκες, αἵπερ μάλιστα τὴν ἀρχαίαν φωνὴν σώζουσι. νῦν δὲ ἀντὶ μὲν τοῦ ἰῶτα, ε ἢ ἦτα μεταστρέφουσιν, ἀντὶ δὲ τοῦ δέλτα ζῆτα, ὡς δὴ μεγαλοπρεπέστερα ὄντα. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἷον, οἱ μὲν ἀρχαιότατοι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ ἑμέραν, οἱ δὲ νῦν ἡμέραν. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οἶσθα οὖν ὅτι μόνον τοῦτο δηλοῖ τὸ ἀρχαῖον ὄνομα τὴν διάνοιαν τοῦ θεμένου. ὅτι γὰρ ἀσμένοις τοῖς ἀνθρώποις καὶ ἱμείρουσιν ἐκ τοῦ σκότους τὸ φῶς ἐγίγνετο, ταύτην ὠνόμασαν ἱμέραν. ΕΡΜ. Φαίνεται. ΣΩ. Νῦν δέ γε τετραγῳδημένον οὐδ' ἂν κατανοήσαις ὅ, τι βούλεται ἡ ἡμέρα. καίτοι τινὲς οἴονται ὡς δὴ ἥμερα ἡ ἡμέρα ποιεῖ, διὰ ταῦτα ὠνομάσθαι αὐτὴν οὕτως. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Καὶ τό γε ζυγὸν οἶσθα ὅτι δυογὸν οἱ παλαιοὶ ἐκάλουν. ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ τὸ μέν γε ζυγὸν οὐδὲν δηλοῖ· τὸ δὲ, τοῖν δυεῖν ἕνεκα τῆς δέσεως ἐς τὴν ἀγωγὴν, ἐπωνόμασται δυογὸν δικαίως· νῦν δὲ ζυγόν. καὶ ἄλλα πάμπολλα οὕτως ἔχει. ΕΡΜ. Φαίνεται. ΣΩ. Κατὰ ταυτὰ τοίνυν πρῶτον

μὲν τὸ δέον οὕτω λεγόμενον τοὐναντίον σημαίνει πᾶσι τοῖς περὶ τὸ ἀγαθὸν ὀνόμασιν· ἀγαθοῦ γὰρ ἰδέα οὖσα τὸ δέον φαίνεται δεσμὸς εἶναι καὶ κώλυμα φορᾶς, ὥςπερ ἀδελφὸν ὂν τοῦ βλαβεροῦ. ΕΡΜ. Καὶ μάλα, ὦ Σώκρατες, οὕτω φαίνεται. ΣΩ. Ἀλλ᾽ οὐκ, ἐὰν τῷ ἀρχαίῳ ὀνόματι χρῇ, ὃ πολὺ μᾶλλον εἰκός ἐστιν ὀρθῶς κεῖσθαι ἢ τὸ νῦν· ἀλλ᾽ ὁμολογήσει τοῖς πρόσθεν ἀγαθοῖς, ἐὰν ἀντὶ τοῦ ε τὸ ἰῶτα ἀποδιδῷς, ὥςπερ τὸ παλαιόν· διὸν γὰρ αὖ σημαίνει, ἀλλ᾽ οὐ δέον, τἀγαθὸν ὅπερ ἀεὶ ἐπαινεῖ· καὶ οὕτως οὐκ ἐναντιοῦται αὐτὸς αὑτῷ ὁ τὰ ὀνόματα τιθέμενος, ἀλλὰ δέον καὶ ὠφέλιμον καὶ λυσιτελοῦν καὶ κερδαλέον καὶ ἀγαθὸν καὶ ξυμφέρον καὶ εὔπορον τὸ αὐτὸ φαίνεται, ἑτέροις ὀνόμασι σημαῖνον τὸ διακοσμοῦν καὶ διϊὸν πανταχοῦ, ἐγκεκωμιασμένον· τὸ δὲ ἴσχον καὶ δοῦν, ψεγόμενον. καὶ δὴ καὶ τὸ ζημιῶδες, ἐὰν κατὰ τὴν ἀρχαίαν φωνὴν ἀποδῷς ἀντὶ τοῦ ζῆτα δέλτα, φανεῖταί σοι κεῖσθαι τὸ ὄνομα ἐπὶ τῷ δοῦντι τὸ ἰόν, ἐπονομασθὲν δημιῶδες. XXXII. ΕΡΜ. Τί δαὶ δὴ ἡδονὴ καὶ λύπη καὶ ἐπιθυμία καὶ τὰ τοιαῦτα, ὦ Σώκρατες; ΣΩ. Οὐ πάνυ χαλεπά μοι φαίνεται, ὦ Ἑρμόγενες. ἥ τε γὰρ ἡδονή, ἡ πρὸς τὴν ὄνησιν ἔοικε τείνουσα πρᾶξις τοῦτο ἔχειν τὸ ὄνομα· τὸ δέλτα δὲ ἔγκειται, ὥςτε ἡδονὴ ἀντὶ ἡονῆς καλεῖται· ἥ τε λύπη, ἀπὸ τῆς διαλύσεως τοῦ σώματος ἔοικεν ἐπονομασθῆναι, ἣν ἐν τούτῳ τῷ πάθει ἴσχει τὸ σῶμα. καὶ ἥ γε ἀνία τὸ ἐμποδίζον τοῦ ἰέναι. Ἡ δὲ ἀλγηδὼν ξενικόν τι φαίνεταί μοι, ἀπὸ

τοῦ ἀλγεινοῦ ὠνομασμένον. Ὀδύνη δὲ ἀπὸ τῆς ἐνδύσεως τῆς λύπης κεκλημένη ἔοικεν. Ἀχθηδὼν δὲ καὶ παντὶ δῆλον ἀπεικασμένον τὸ ὄνομα τῷ τῆς φορᾶς βάρει. Χαρὰ δὲ τῇ διαχύσει καὶ εὐπορίᾳ τῆς ῥοῆς τῆς ψυχῆς ἔοικε κεκλημένη. Τέρψις δὲ ἀπὸ τοῦ τερπνοῦ· τὸ δὲ τερπνὸν ἀπὸ τῆς διὰ τῆς ψυχῆς ἕρψεως πνοῇ ἀπεικασθὲν κέκληται, ἐν δίκῃ μὲν ἂν ἕρπνουν καλούμενον, ὑπὸ χρόνου δὲ τερπνὸν παρηγμένον. Εὐφροσύνη δὲ οὐδὲν προσδεῖται τοῦ διότι ῥηθῆναι. παντὶ γὰρ δῆλον ὅτι ἀπὸ τοῦ εὖ τοῖς πράγμασι τὴν ψυχὴν ξυμφέρεσθαι τοῦτο ἔλαβε τὸ ὄνομα, εὐφερωσύνη, τό γε δίκαιον· ὅμως δὲ αὐτὸ καλοῦμεν εὐφροσύνην. Οὐδ' ἐπιθυμία χαλεπόν· τῇ γὰρ ἐπὶ τὸν θυμὸν ἰούσῃ δυνάμει δηλονότι τοῦτο ἐκλήθη τὸ ὄνομα. Θυμὸς δὲ ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα. Ἀλλὰ μὴν ἵμερός γε τῷ μάλιστα ἕλκοντι τὴν ψυχὴν ῥῷ ἐπωνομάσθη· ὅτι γὰρ ἱέμενος ῥεῖ καὶ ἐφιέμενος τῶν πραγμάτων, καὶ οὕτω δὴ ἐπισπᾷ σφόδρα τὴν ψυχὴν διὰ τὴν ἕσιν τῆς ῥοῆς, ἀπὸ ταύτης οὖν πάσης τῆς δυνάμεως ἵμερος ἐκλήθη. καὶ μὴν πόθος αὖ καλεῖται, σημαίνων οὐ τοῦ παρόντος εἶναι ἱμέρου τε καὶ ῥεύματος, ἀλλὰ τοῦ ἄλλοθί που ὄντος καὶ ἀπόντος, ὅθεν πόθος ἐπωνόμασται· ὃς τότε, ὅταν παρῇ οὗ τις ἐφίετο, ἵμερος ἐκαλεῖτο, ἀπογενομένου δέ, ὁ αὐτὸς οὗτος πόθος ἐκλήθη. Ἔρως δέ, ὅτι εἰσρεῖ ἔξωθεν καὶ οὐκ οἰκεία ἐστὶν ἡ ῥοὴ αὕτη τῷ ἔχοντι, ἀλλ' ἐπείσακτος διὰ τῶν ὀμμάτων, διὰ ταῦτα ἀπὸ

τοῦ ἐρεῖν, ἔρος τό γε παλαιὸν ἐκαλεῖτο — τῷ γὰρ ο ἀντὶ τοῦ ω ἐχρώμεθα — νῦν δ' ἔρως κέκληται, διὰ τὴν τοῦ ω ἀντὶ τοῦ ο μεταλλαγήν. ἀλλὰ τί ἔτι οὐ λέγεις ὅ, τι σκοπῶμεν; ΕΡΜ. Δόξα καὶ τὰ τοιαῦτα πῇ σοι φαίνεται; ΣΩ. Δόξα μὲν ἤτοι τῇ διώξει ἐπωνόμασται, ἣν ἡ ψυχὴ διώκουσα τὸ εἰδέναι, ὅπῃ ἔχει τὰ πράγματα, πορεύεται, ἢ τῇ ἀπὸ τοῦ τόξου βολῇ· ἔοικε δὲ τοῦτο μᾶλλον. ἡ γοῦν οἴησις τούτῳ ξυμφωνεῖ· οἶσιν γὰρ τῆς ψυχῆς ἐπὶ πᾶν πρᾶγμα, οἷόν ἐστιν ἕκαστον τῶν ὄντων, δηλούσῃ προσέοικεν· ὥσπερ γε καὶ ἡ βουλὴ πρὸς τὴν βολήν, καὶ τὸ βούλεσθαι τὸ ἐφίεσθαι σημαίνει, καὶ βουλεύεσθαι, πάντα ταῦτα τῇ δόξῃ ἑπόμεν' ἄττα φαίνεται τῆς βολῆς ἀπεικάσματα· ὥσπερ αὖ καὶ τοὐναντίον ἡ ἀβουλία ἀτυχία δοκεῖ εἶναι, ὡς οὐ βαλόντος οὐδὲ τυχόντος οὗ τ' ἔβαλλετο καὶ ὃ ἐβούλετο καὶ περὶ οὗ ἐβουλεύετο καὶ οὗ ἐφίετο. ΕΡΜ. Ταῦτα ἤδη μοι δοκεῖς, ὦ Σώκρατες, πυκνότερον ἐπάγειν. τέλος γὰρ ἤδη θεῷ. Ἀνάγκην δ' οὖν ἔτι βούλομαι διαπερᾶναι, ὅτι τούτοις ἑξῆς ἐστι, καὶ τὸ ἑκούσιον. ΣΩ. Τὸ μὲν οὖν ἑκούσιον, τὸ εἶκον καὶ μὴ ἀντιτυποῦν, ἀλλ', ὡς λέγω, εἶκον τῷ ἰόντι, δεδηλωμένον ἂν εἴη τούτῳ τῷ ὀνόματι, τῷ κατὰ τὴν βούλησιν γιγνομένῳ· τὸ δὲ ἀναγκαῖον καὶ ἀντίτυπον, παρὰ τὴν βούλησιν ὄν, τὸ περὶ τὴν ἁμαρτίαν ἂν εἴη καὶ ἀμαθίαν· ἀπείκασται δὲ τῇ κατὰ τὰ ἄγκη πορείᾳ, ὅτι δύσπορα καὶ τραχέα καὶ λάσια ὄντα ἴσχει τοῦ ἰέναι· ἐντεῦθεν οὖν ἴσως ἐκλήθη ἀναγκαῖον, τῇ διὰ τοῦ ἄγκους ἀπεικα-

σθὲν πορεία. ἕως δὲ πάρεστιν ἡ ῥώμη, μὴ ἀνῶμεν αὐτήν· ἀλλὰ καὶ σὺ μὴ ἀνίει, ἀλλ' ἐρώτα. XXXIII. ΕΡΜ. Ἐρωτῶ δὴ τὰ μέγιστα καὶ κάλλιστα, τήν τε ἀλήθειαν καὶ τὸ ψεῦδος, καὶ τὸ ὂν, καὶ αὐτὸ τοῦτο περὶ οὗ νῦν ὁ λόγος ἡμῖν ἐστιν, ὄνομα, διότι τὸ ὄνομα ἔχει. ΣΩ. Μαίεσθαι οὖν καλεῖς τι; ΕΡΜ. Ἔγωγε, τό γε ζητεῖν. ΣΩ. Ἔοικε τοίνυν ἐκ λόγου ὀνόματι ξυγκεκροτημένῳ, λέγοντος ὅτι τοῦτ' ἐστὶν ὂν, οὗ τυγχάνει ζήτημα, τὸ ὄνομα· μᾶλλον δὲ ἂν αὐτὸ γνοίης, ἐν ᾧ λέγομεν τὸ ὀνομαστόν. ἐνταῦθα γὰρ σαφῶς λέγει τοῦτο εἶναι ὂν, οὗ μάϊσμα ἐστίν. ἡ δ' ἀλήθεια, καὶ τοῦτο τοῖς ἄλλοις ἔοικε ξυγκεκροτῆσθαι· ἡ γὰρ θεία τοῦ ὄντος φορὰ ἔοικε προσειρῆσθαι τούτῳ τῷ ῥήματι, τῇ ἀληθείᾳ, ὡς θεία οὖσα ἄλη. τὸ δὲ ψεῦδος τοὐναντίον τῇ φορᾷ· πάλιν γὰρ αὖ λοιδορούμενον ἥκει τὸ ἰσχόμενον καὶ τὸ ἀναγκαζόμενον ἡσυχάζειν· ἀπείκασται δὲ τοῖς καθεύδουσι· τὸ ψι δὲ προσγενόμενον ἐπικρύπτει τὴν βούλησιν τοῦ ὀνόματος. τὸ δὲ ὂν καὶ ἡ οὐσία ὁμολογεῖ τῷ ἀληθεῖ, τὸ ἰῶτα ἀπολαβόν· ἰὸν γὰρ σημαίνει, καὶ τὸ οὐκ ὂν αὖ, ὥς τινες καὶ ὀνομάζουσιν αὐτό, οὐκ ἰόν. ΕΡΜ. Ταῦτα μέν μοι δοκεῖς, ὦ Σώκρατες, ἀνδρείως πάνυ διακεκροτηκέναι. εἰ δέ τίς σε ἔροιτο, τοῦτο τὸ ἰὸν καὶ τὸ ῥέον καὶ τὸ δοῦν, τίνα ἔχει ὀρθότητα ταῦτα τὰ ὀνόματα — ΣΩ. τίνα ἂν αὐτῷ ἀποκριναίμεθα, λέγεις; ἦ γάρ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Ἓν μέν τοίνυν ἄρτι που ἐπορισάμεθα, ὥστε δοκεῖν τι λέγειν ἀποκρινόμενοι. ΕΡΜ. Τὸ ποῖον τοῦτο; ΣΩ. Φάναι, ὃ ἂν μὴ γι-

γιγνώσκωμεν, βαρβαρικόν τι τοῦτ' εἶναι. εἴη μὲν οὖν ἴσως ἄν τι τῇ ἀληθείᾳ καὶ τοιοῦτον αὐτῶν· εἴη δὲ κἂν ὑπὸ παλαιότητος τὰ πρῶτα τῶν ὀνομάτων ἀνερεύνητα εἶναι. διὰ γὰρ τὸ πανταχῇ στρέφεσθαι τὰ ὀνόματα, οὐδὲν θαυμαστὸν ἂν εἴη εἰ ἡ παλαιὰ φωνὴ πρὸς τὴν νυνὶ βαρβαρικῆς μηδὲν διαφέροι. ΕΡΜ. Καὶ οὐδέν γε ἀπὸ τρόπου λέγεις. ΣΩ. Λέγω γὰρ οὖν εἰκότα· οὐ μέντοι μοι δοκεῖ προφάσεις ὁ ἀγὼν εἰςδέχεσθαι, ἀλλὰ προθυμητέον αὐτὰ διασκέψασθαι. ἐνθυμηθῶμεν δέ· εἴ τις ἀεὶ δι' ὧν ἂν λέγηται τὸ ὄνομα, ἐκεῖνα ἀνερήσεται τὰ ῥήματα, καὶ αὖθις αὖ, δι' ὧν ἂν τὰ ῥήματα λεχθῇ, ἐκεῖνα πεύσεται, καὶ τοῦτο μὴ παύσεται ποιῶν· ἆρ' οὐκ ἀνάγκη τελευτῶντα ἀπειπεῖν τὸν ἀποκρινόμενον; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Πότε οὖν ἀπειπὼν ὁ ἀπαγορεύων, δικαίως παύοιτ' ἄν; ἆρ' οὐκ ἐπειδὰν ἐπ' ἐκείνοις γένηται τοῖς ὀνόμασιν, ἃ ὡςπερεὶ στοιχεῖα τῶν ἄλλων ἐστὶ καὶ λόγων καὶ ὀνομάτων; ταῦτα γάρ που οὐκέτι δίκαιον φανῆναι, ἐξ ἄλλων ὀνομάτων ξυγκείμενα, ἂν οὕτως ἔχῃ. οἷον νῦν δὴ τὸ ἀγαθὸν ἔφαμεν ἐκ τοῦ ἀγαστοῦ καὶ ἐκ τοῦ θοοῦ ξυγκεῖσθαι· τὸ δὲ θοὸν ἴσως φαῖμεν ἂν ἐξ ἑτέρων, ἐκεῖνα δὲ ἐξ ἄλλων. ἀλλ' ἐάν ποτέ γε λάβωμεν ὃ οὐκέτι ἔκ τινων ἑτέρων ξύγκειται ὀνομάτων, δικαίως ἂν φαῖμεν ἐπὶ στοιχείῳ τε ἤδη εἶναι, καὶ οὐκέτι τοῦτο ἡμᾶς δεῖν εἰς ἄλλα ὀνόματα ἀναφέρειν. ΕΡΜ. Ἔμοιγε δοκεῖς ὀρθῶς λέγειν. ΣΩ. Ἆρ' οὖν, καὶ νῦν ἃ ἐρωτᾷς, τὰ ὀνόματα στοιχεῖα ὄντα τυγχάνει, καὶ δεῖ αὐτῶν

ἄλλῳ τινὶ τρόπῳ ἤδη τὴν ὀρθότητα ἐπισκέψασθαι, ἥτις ἐστίν; ΕΡΜ. Εἰκός γε. ΣΩ. Εἰκὸς δῆτα, ὦ Ἑρμόγενες· πάντα γοῦν φαίνεται τὰ ἔμπροσθεν εἰς ταῦτ᾽ ἀνεληλυθέναι. εἰ δὲ τοῦτο οὕτως ἔχει ὥς μοι δοκεῖ ἔχειν, δεῦρο αὖ ξυνεπίσκεψαι μετ᾽ ἐμοῦ, μή τι παραληρήσω λέγων οἵαν δεῖ τὴν τῶν πρώτων ὀνομάτων ὀρθότητα εἶναι. ΕΡΜ. Λέγε μόνον· ὡς ὅσον γε δυνάμεως παρ᾽ ἔμοιγ᾽ ἐστί, ξυνεπισκέψομαι. XXXIV. ΣΩ. Ὅτι μὲν τοίνυν μία γέ τις ἡ ὀρθότης παντὸς ὀνόματος καὶ πρώτου καὶ ὑστάτου, καὶ οὐδὲν διαφέρει τὸ ὄνομα εἶναι οὐδὲν αὐτῶν, οἶμαι καὶ σοὶ ξυνδοκεῖν. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἀλλὰ μὴν ὧν γε νῦν διεληλύθαμεν τῶν ὀνομάτων ἡ ὀρθότης τοιαύτη τις ἐβούλετο εἶναι οἵα δηλοῦν, οἷον ἕκαστόν ἐστι τῶν ὄντων. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Τοῦτο μὲν ἄρα οὐδὲν ἧττον καὶ τὰ πρῶτα δεῖ ἔχειν καὶ τὰ ὕστερα, εἴπερ ὀνόματα ἔσται. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἀλλὰ δὴ τὰ μὲν ὕστερα, ὡς ἔοικε, διὰ τῶν προτέρων οἷά τε ἦν τοῦτο ἀπεργάζεσθαι. ΕΡΜ. Φαίνεται. ΣΩ. Εἶεν. τὰ δὲ δὴ πρῶτα, οἷς οὔπω ἕτερα ὑπόκειται, τίνι τρόπῳ κατὰ τὸ δυνατὸν ὅτι μάλιστα φανερὰ ἡμῖν ποιήσει τὰ ὄντα, εἴπερ μέλλει ὀνόματα εἶναι; ἀπόκριναι δέ μοι τόδε· εἰ φωνὴν μήτε εἴχομεν, μήτε γλῶτταν, ἐβουλόμεθα δὲ δηλοῦν ἀλλήλοις τὰ πράγματα, ἆρ᾽ οὐκ ἄν, ὥσπερ νῦν οἱ ἐνεοί, ἐπεχειροῦμεν ἂν σημαίνειν ταῖς χερσὶ καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι; ΕΡΜ. Πῶς γὰρ ἂν ἄλλως, ὦ Σώκρατες; ΣΩ. Εἰ μέν γ᾽, οἶμαι, τὸ ἄνω καὶ τὸ κοῦφον ἐβουλόμεθα δηλοῦν, ᾔρομεν ἂν πρὸς

τὸν οὐρανὸν τὴν χεῖρα, μιμούμενοι αὐτὴν τὴν φύσιν τοῦ πράγματος· εἰ δὲ τὰ κάτω καὶ τὰ βαρέα, πρὸς τὴν γῆν· καὶ εἰ ἵππον θέοντα ἤ τι ἄλλο τῶν ζώων ἐβουλόμεθα δηλοῦν, οἶσθα ὅτι ὡς ὁμοιότατ' ἂν τὰ ἡμέτερα αὐτῶν σώματα καὶ σχήματα ἐποιοῦμεν ἐκείνοις. ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ ὡς λέγεις ἔχειν. ΣΩ. Οὕτω γὰρ ἄν, οἶμαι, δήλωμά του τῷ σώματι ἐγίγνετο, μιμησαμένου, ὡς ἔοικε, τοῦ σώματος ἐκεῖνο ὃ ἐβούλετο δηλῶσαι. ΕΡΜ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ φωνῇ τε καὶ γλώττῃ καὶ στόματι βουλόμεθα δηλοῦν, ἆρ' οὐ τό γε ἑκάστου τότε δήλωμα ἡμῖν ἔσται τὸ ἀπὸ τούτων γιγνόμενον, ὅταν μίμημα γένηται διὰ τούτων περὶ ὁτιοῦν; ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ. ΣΩ. Ὄνομ' ἄρα ἐστίν, ὡς ἔοικε, μίμημα φωνῆς ἐκείνου ὃ μιμεῖται, καὶ ὀνομάζει ὁ μιμούμενος τῇ φωνῇ ὃ ἂν μιμῆται. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Μὰ Δί' ἀλλ' οὐκ ἐμοί πω δοκεῖ καλῶς λέγεσθαι, ὦ ἑταῖρε. ΕΡΜ. Τί δή; ΣΩ. Τοὺς τὰ πρόβατα μιμουμένους τούτους καὶ τοὺς ἀλεκτρυόνας, καὶ τἆλλα ζῶα, ἀναγκαζοίμεθ' ἂν ὁμολογεῖν ὀνομάζειν ταῦτα ἅπερ μιμοῦνται. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Καλῶς οὖν ἔχειν δοκεῖ σοι; ΕΡΜ. Οὐκ ἔμοιγε. ἀλλὰ τίς ἄν, ὦ Σώκρατες, μίμησις εἴη τὸ ὄνομα; ΣΩ. Πρῶτον μέν, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἐὰν καθάπερ τῇ μουσικῇ μιμούμεθα τὰ πράγματα, οὕτω μιμώμεθα, καίτοι τῇ φωνῇ γε καὶ τότε μιμούμεθα, ἔπειτα οὐκ ἐάν, ἅπερ ἡ μουσικὴ μιμεῖται, καὶ ἡμεῖς μιμώμεθα, οὔ μοι δοκοῦμεν ὀνομάζειν. λέγω δέ τι τοῦτο· ἔστι τις τοῖς πράγμασι φω-

σῶ καὶ σχῆμα ἑκάστῳ, καὶ χρῶμά γε πολλοῖς; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἔοικε τοίνυν οὐκ ἐάν τις ταῦτα μιμῆται, οὐδὲ περὶ ταύτας τὰς μιμήσεις ἡ τέχνη ἡ ὀνομαστικὴ εἶναι· αὗται μὲν γάρ εἰσιν, ἡ μὲν μουσική, ἡ δέ, γραφική· ἢ γάρ; ΕΡΜ. Ναί. ΣΩ. Τί δὲ δὴ τόδε; οὐ καὶ οὐσία δοκεῖ σοι εἶναι ἑκάστῳ, ὥσπερ καὶ χρῶμα καὶ ἃ νῦν δὴ ἐλέγομεν; πρῶτον αὐτῷ τῷ χρώματι καὶ τῇ φωνῇ οὐκ ἔστιν οὐσία τις ἑκατέρῳ αὐτῶν καὶ τοῖς ἄλλοις πᾶσιν, ὅσα ἠξίωται ταύτης τῆς προσρήσεως τοῦ εἶναι; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Τί οὖν; εἴ τις αὐτὸ τοῦτο μιμεῖσθαι δύναιτο, ἑκάστου τὴν οὐσίαν, γράμμασί τε καὶ συλλαβαῖς, ἆρ' οὐκ ἂν δηλοῖ ἕκαστον ὃ ἔστιν; ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ τί ἂν φαίης τὸν τοῦτο δυνάμενον; ὥσπερ τοὺς προτέρους, τὸν μὲν μουσικὸν ἔφησθα, τὸν δὲ γραφικόν· τοῦτον δὲ τίνα; ΕΡΜ. Τοῦτο ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ὅπερ πάλαι ζητοῦμεν, οὗτος ἂν εἶναι, ὁ ὀνομαστικός. ΣΩ. XXXV. Εἰ ἄρα τοῦτο ἀληθές, ἤδη, ὡς ἔοικεν, ἐπισκεπτέον περὶ ἐκείνων τῶν ὀνομάτων ὧν σὺ ἤρου, περὶ ῥοῆς τε καὶ τοῦ ἰέναι καὶ σχέσεως, εἰ τοῖς γράμμασι καὶ ταῖς συλλαβαῖς τοῦ ὄντος ἐπιλαμβάνεται αὐτῶν, ὥστε ἀπομιμεῖσθαι τὴν οὐσίαν, εἴτε καὶ οὔ. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Φέρε δὴ ἴδωμεν, πότερον ἄρα ταῦτα μόνα ἐστὶ τῶν πρώτων ὀνομάτων, ἢ καὶ ἄλλα πολλά. ΕΡΜ. Οἶμαι ἔγωγε καὶ ἄλλα. ΣΩ. Εἰκὸς γάρ. ἀλλὰ τίς ἂν εἴη ὁ τρόπος τῆς διαιρέσεως, ὅθεν ἄρχεται μιμεῖσθαι ὁ μιμούμενος; ἆρα οὐκ, ἐπείπερ συλλαβαῖς τε

τὸν οὐρανὸν τὴν χεῖρα, μιμούμενοι αὐτὴν τὴν φύσιν τοῦ πράγματος· εἰ δὲ τὰ κάτω καὶ τὰ βαρέα, πρὸς τὴν γῆν· καὶ εἰ ἵππον θέοντα ἤ τι ἄλλο τῶν ζώων ἐβουλόμεθα δηλοῦν, οἶσθα ὅτι ὡς ὁμοιότατ᾽ ἂν τὰ ἡμέτερα αὐτῶν σώματα καὶ σχήματα ἐποιοῦμεν ἐκείνοις. ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ ὡς λέγεις ἔχειν. ΣΩ. Οὕτω γὰρ ἄν, οἶμαι, δήλωμά του τῷ σώματι ἐγίγνετο, μιμησαμένου, ὡς ἔοικε, τοῦ σώματος ἐκεῖνο ὃ ἐβούλετο δηλῶσαι. ΕΡΜ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ φωνῇ τε καὶ γλώττῃ καὶ στόματι βουλόμεθα δηλοῦν, ἆρ᾽ οὐ τό γε ἑκάστου τότε δήλωμα ἡμῖν ἔσται τὸ ἀπὸ τούτων γιγνόμενον, ὅταν μίμημα γένηται διὰ τούτων περὶ ὁτιοῦν; ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ. ΣΩ. Ὄνομ᾽ ἄρα ἐστίν, ὡς ἔοικε, μίμημα φωνῆς ἐκείνου ὃ μιμεῖται, καὶ ὀνομάζει ὁ μιμούμενος τῇ φωνῇ ὃ ἂν μιμῆται. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Μὰ Δί᾽ ἀλλ᾽ οὐκ ἐμοί πω δοκεῖ καλῶς λέγεσθαι, ὦ ἑταῖρε. ΕΡΜ. Τί δή; ΣΩ. Τοὺς τὰ πρόβατα μιμουμένους τούτους καὶ τοὺς ἀλεκτρυόνας, καὶ τἄλλα ζῶα, ἀναγκαζοίμεθ᾽ ἂν ὁμολογεῖν ὀνομάζειν ταῦτα ἅπερ μιμοῦνται. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Καλῶς οὖν ἔχειν δοκεῖ σοι; ΕΡΜ. Οὐκ ἔμοιγε. ἀλλὰ τίς ἄν, ὦ Σώκρατες, μίμησις εἴη τὸ ὄνομα; ΣΩ. Πρῶτον μέν, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἐὰν καθάπερ τῇ μουσικῇ μιμούμεθα τὰ πράγματα, οὕτω μιμώμεθα, καίτοι τῇ φωνῇ γε καὶ τότε μιμούμεθα, ἔπειτα οὐκ ἐάν, ἅπερ ἡ μουσικὴ μιμεῖται, καὶ ἡμεῖς μιμώμεθα, οὔ μοι δοκοῦμεν ὀνομάζειν. λέγω δέ τι τοῦτο· ἔστι τις τοῖς πράγμασι φω-

τῷ καὶ σχῆμα ἑκάστῳ, καὶ χρῶμά γε πολλοῖς; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἔοικε τοίνυν οὐκ ἐάν τις ταῦτα μιμῆται, οὐδὲ περὶ ταύτας τὰς μιμήσεις ἡ τέχνη ἡ ὀνομαστικὴ εἶναι· αὗται μὲν γάρ εἰσιν, ἡ μὲν μουσική, ἡ δέ, γραφική· ἢ γάρ; ΕΡΜ. Ναί. ΣΩ. Τί δὲ δὴ τόδε; οὐ καὶ οὐσία δοκεῖ σοι εἶναι ἑκάστῳ, ὥσπερ καὶ χρῶμα καὶ ἃ νῦν δὴ ἐλέγομεν; πρῶτον αὐτῷ τῷ χρώματι καὶ τῇ φωνῇ οὐκ ἔστιν οὐσία τις ἑκατέρῳ αὐτῶν καὶ τοῖς ἄλλοις πᾶσιν, ὅσα ἠξίωται ταύτης τῆς προσρήσεως τοῦ εἶναι; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Τί οὖν; εἴ τις αὐτὸ τοῦτο μιμεῖσθαι δύναιτο, ἑκάστου τὴν οὐσίαν, γράμμασί τε καὶ συλλαβαῖς, ἆρ' οὐκ ἂν δηλοῖ ἕκαστον ὃ ἔστιν; ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ τί ἂν φαίης τὸν τοῦτο δυνάμενον; ὥσπερ τοὺς προτέρους, τὸν μὲν μουσικὸν ἔφησθα, τὸν δὲ γραφικόν· τοῦτον δὲ τίνα; ΕΡΜ. Τοῦτο ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ὅπερ πάλαι ζητοῦμεν, οὗτος ἂν εἶναι, ὁ ὀνομαστικός. ΣΩ. XXXV. Εἰ ἄρα τοῦτο ἀληθές, ἤδη, ὡς ἔοικεν, ἐπισκεπτέον περὶ ἐκείνων τῶν ὀνομάτων ὧν σὺ ἤρου, περὶ ῥοῆς τε καὶ τοῦ ἰέναι καὶ σχέσεως, εἰ τοῖς γράμμασι καὶ ταῖς συλλαβαῖς τοῦ ὄντος ἐπιλαμβάνεται αὐτῶν, ὥστε ἀπομιμεῖσθαι τὴν οὐσίαν, εἴτε καὶ οὔ. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Φέρε δὴ ἴδωμεν, πότερον ἄρα ταῦτα μόνα ἐστὶ τῶν πρώτων ὀνομάτων, ἢ καὶ ἄλλα πολλά. ΕΡΜ. Οἶμαι ἔγωγε καὶ ἄλλα. ΣΩ. Εἰκὸς γάρ. ἀλλὰ τίς ἂν εἴη ὁ τρόπος τῆς διαιρέσεως, ὅθεν ἄρχεται μιμεῖσθαι ὁ μιμούμενος; ἆρα οὐκ, ἐπείπερ συλλαβαῖς τε

καὶ γράμμασιν ἡ μίμησις τυγχάνει οὖσα τῆς οὐσίας, ὀρθότατόν ἐστι διελέσθαι τὰ στοιχεῖα πρῶτον; ὥσπερ οἱ ἐπιχειροῦντες τοῖς ῥυθμοῖς τῶν στοιχείων πρῶτον τὰς δυνάμεις διείλοντο, ἔπειτα τῶν συλλαβῶν, καὶ οὕτως ἤδη ἔρχονται ἐπὶ τοὺς ῥυθμοὺς σκεψόμενοι, πρότερον δ᾽ οὔ. ΕΡΜ. Ναί. ΣΩ. Ἆρ᾽ οὖν καὶ ἡμᾶς οὕτω δεῖ πρῶτον μὲν τὰ φωνήεντα διελέσθαι, ἔπειτα τῶν ἑτέρων, κατὰ εἴδη, τά τε ἄφωνα καὶ ἄφθογγα; — οὑτωσὶ γάρ που λέγουσιν οἱ δεινοὶ περὶ τούτων — καὶ τὰ αὖ φωνήεντα μὲν οὔ, οὐ μέντοιγε ἄφθογγα; καὶ αὐτῶν τῶν φωνηέντων ὅσα διάφορα εἴδη ἔχει ἀλλήλων; καὶ ἐπειδὰν ταῦτα διελώμεθα τὰ ὄντα εὖ πάντα, αὖθις δεῖ ὀνόματα ἐπιθεῖναι, εἰ ἔστιν εἰς ἃ ἀναφέρεται πάντα, ὥσπερ τὰ στοιχεῖα, ἐξ ὧν ἔστιν ἰδεῖν αὐτά τε καὶ εἰ ἐν αὐταῖς ἔνεστιν εἴδη κατὰ τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τοῖς στοιχείοις· ταῦτα πάντα καλῶς διαθεασαμένους ἐπίστασθαι ἐπιφέρειν ἕκαστον κατὰ τὴν ὁμοιότητα, ἐάν τε ἓν ἑνὶ δέῃ ἐπιφέρειν, ἐάν τε ξυγκεραννύντα πολλά· ὥσπερ οἱ ζωγράφοι βουλόμενοι ἀφομοιοῦν ἐνίοτε μὲν ὄστρεον μόνον ἐπήνεγκαν, ἐνίοτε δὲ ὁτιοῦν ἄλλο τῶν φαρμάκων, ἔστι δὲ ὅτε πολλὰ ξυγκεράσαντες, οἷον ὅταν ἀνδρείκελον σκευάζωσιν, ἢ ἄλλο τι τῶν τοιούτων, ὡς ἄν, οἶμαι, δοκεῖ ἑκάστη ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου· οὕτω δὴ καὶ ἡμεῖς τὰ στοιχεῖα ἐπὶ τὰ πράγματα ἐποίσομεν, καὶ ἓν ἐπὶ ἕν, οὗ ἂν δοκῇ δεῖν, καὶ ξύμπολλα ποιοῦντες, ἃ δὴ συλλαβὰς καλοῦσι, καὶ συλλαβὰς αὖ ξυντιθέντες, ἐξ ὧν τά τε

ὀνόματα καὶ τὰ ῥήματα ξυντίθεται, καὶ πάλιν ἐκ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων μέγα ἤδη τι καὶ καλὸν καὶ ὅλον ξυστήσομεν, ὥσπερ ἐκεῖ τὸ ζῶον τῇ γραφικῇ, ἐνταῦθα τὸν λόγον τῇ ὀνομαστικῇ, ἢ ῥητορικῇ, ἢ ἥτις ἐστὶν ἡ τέχνη· μᾶλλον δὲ οὐχ ἡμεῖς· ἀλλὰ λέγων ἐξηνέχθην· ξυνέθεσαν μὲν γὰρ οὕτως, ᾗπερ ξύγκειται, οἱ παλαιοί. ἡμᾶς δὲ δεῖ, εἴπερ τεχνικῶς ἐπιστησόμεθα, σκοπεῖσθαι αὐτὰ πάντα, οὕτω διελομένους, εἴτε κατὰ τρόπον τά τε πρῶτα ὀνόματα κεῖται καὶ τὰ ὕστερα, εἴτε καὶ μή, οὕτω θεᾶσθαι· ἄλλως δὲ συνείρειν μὴ φαῦλον ᾖ, καὶ οὐ καθ' ὁδόν, ὦ φίλε Ἑρμόγενες. ΕΡΜ. Ἴσως νὴ Δί', ὦ Σώκρατες.

XXXVI. ΣΩ. Τί οὖν; σὺ πιστεύεις σαυτῷ οἷός τ' ἂν εἶναι ταῦτα οὕτω διελέσθαι; Ἐγὼ μὲν γὰρ οὔ. ΕΡΜ. Πολλοῦ ἄρα δέω ἔγωγε. ΣΩ. Ἐάσωμεν οὖν· ἢ βούλει οὕτως ὅπως ἂν δυνώμεθα, κἂν σμικρόν τι αὐτῶν οἷοί τ' ὦμεν κατιδεῖν, ἐπιχειρῶμεν προειπόντες, — ὥσπερ ὀλίγον πρότερον — τοῖς θεοῖς, ὅτι οὐδὲν εἰδότες τῆς ἀληθείας τὰ τῶν ἀνθρώπων δόγματα περὶ αὐτῶν εἰκάζομεν, οὕτω δὲ καὶ νῦν αὖ εἰπόντες ἡμῖν αὐτοῖς ἴωμεν, ὅτι, εἰ μέν τι χρηστὸν εἴη αὐτὰ διελέσθαι, εἴτε ἄλλον ὁντινοῦν, εἴτε ἡμᾶς, οὕτως ἔδει αὐτὰ διαιρεῖσθαι· νῦν δέ, τὸ λεγόμενον, κατὰ δύναμιν δεήσει ἡμᾶς περὶ αὐτῶν πραγματεύεσθαι; δοκεῖ ταῦτα, ἢ πῶς λέγεις; ΕΡΜ. Πάνυ μὲν οὖν σφόδρα ἔμοιγε δοκεῖ. ΣΩ. Γελοῖα μὲν οἶμαι φανεῖσθαι, ὦ Ἑρμόγενες, γράμμασι καὶ συλλαβαῖς τὰ πράγματα μεμιμημένα κατάδηλα γιγνόμενα· ὅμως δὲ ἀνά-

γκη· οὐ γὰρ ἔχομεν τούτου βέλτιον εἰς ὅ, τι ἐπανενέγκωμεν περὶ ἀληθείας τῶν πρώτων ὀνομάτων· εἰ μὴ ἄρα δή, ὥσπερ οἱ τραγῳδοποιοί, ἐπειδάν τι ἀπορῶσιν, ἐπὶ τὰς μηχανὰς καταφεύγουσι, θεοὺς αἴροντες, καὶ ἡμεῖς οὕτως εἰπόντες ἀπαλλαγεῖμεν, ὅτι τὰ πρῶτα ὀνόματα οἱ θεοὶ ἔθεσαν, καὶ διὰ ταῦτα ὀρθῶς ἔχει ἄρα, καὶ ἡμῖν κράτιστος οὗτος τῶν λόγων, ἢ ἐκεῖνος, ὅτι παρὰ βαρβάρων τινῶν αὐτὰ παρειλήφαμεν· — εἰσὶ δὲ ἡμῶν ἀρχαιότεροι οἱ βάρβαροι — ἢ ὅτι ὑπὸ παλαιότητος ἀδύνατον αὐτὰ ἐπισκέψασθαι, ὥσπερ καὶ τὰ βαρβαρικά. αὗται γὰρ ἂν πᾶσαι ἐκδύσεις εἶεν καὶ μάλα κομψαὶ τῷ μὴ ἐθέλοντι λόγον διδόναι περὶ τῶν πρώτων ὀνομάτων, ὡς ὀρθῶς κεῖται. καίτοι ὅτῳ τις τρόπῳ τῶν πρώτων ὀνομάτων τὴν ὀρθότητα μὴ οἶδεν, ἀδύνατόν που τῶν γε ὑστέρων εἰδέναι, ἃ ἐξ ἐκείνων ἀνάγκη δηλοῦσθαι, ὧν τις πέρι μηδὲν οἶδεν· ἀλλὰ δῆλον ὅτι τὸν φάσκοντα περὶ αὐτῶν τεχνικὸν εἶναι, περὶ τῶν πρώτων ὀνομάτων μάλιστά τε καὶ καθαρώτατα δεῖ ἔχειν ἀποδεῖξαι, ἢ εὖ εἰδέναι ὅτι τά γε ὕστερα ἤδη φλυαρήσει· ἢ σοὶ ἄλλως δοκεῖ; ΕΡΜ. Οὐδ᾽ ὁπωστιοῦν ἄλλως, ὦ Σώκρατες. ΣΩ. Ἃ μὲν τοίνυν ἐγὼ ᾔσθημαι περὶ τῶν πρώτων ὀνομάτων, πάνυ μοι δοκεῖ ὑβριστικὰ εἶναι καὶ γελοῖα. τούτων οὖν σοι μεταδώσω, ἂν βούλῃ· σὺ δ᾽ ἄν τι ἔχῃς βέλτιόν ποθεν λαβεῖν, πειρᾶσθαι καὶ ἐμοὶ μεταδιδόναι. XXXVII. ΕΡΜ. Ποιήσω ταῦτα. ἀλλὰ θαρρῶν λέγε. ΣΩ. Πρῶτον μὲν τοίνυν τὸ ρ ἔμοιγε φαίνεται ὥσπερ ὄργανον εἶναι πάσης τῆς

κινήσεως, ἣν οὐδ᾽ εἴπομεν διότι ἔχει τοῦτο τοὔνομα,
ἀλλὰ γὰρ δῆλον ὅτι ἵεσις βούλεται εἶναι· οὐ γὰρ η
ἐχρώμεθα, ἀλλὰ ε, τὸ παλαιόν· ἡ δὲ ἀρχὴ ἀπὸ
τοῦ κίειν· ξενικὸν δὲ τοὔνομα· τοῦτο δ᾽ ἐστὶν ἰέναι.
εἰ οὖν τις τὸ παλαιὸν αὐτῆς εὕροι ὄνομα εἰς τὴν
ἡμετέραν φωνὴν ξυμβαῖνον, ἵεσις ἂν ὀρθῶς καλοῖτο·
νῦν δὲ ἀπό τε τοῦ ξενικοῦ τοῦ κίειν, καὶ ἀπὸ τῆς
τοῦ η μεταβολῆς, καὶ τῆς τοῦ ν ἐνθέσεως, κίνησις
κέκληται· ἔδει δὲ κιείνησιν καλεῖσθαι, ἢ εἶσιν. ἡ δὲ
στάσις ἀπόφασις τοῦ ἰέναι βούλεται εἶναι, διὰ δὲ
τὸν καλλωπισμὸν στάσις ὠνόμασται. τὸ δ᾽ αὖ ρ τὸ
στοιχεῖον, ὥσπερ λέγω, καλὸν ἔδοξεν ὄργανον εἶναι
τῆς κινήσεως τῷ τὰ ὀνόματα τιθεμένῳ πρὸς τὸ ἀφο-
μοιοῦν τῇ φορᾷ· πολλαχοῦ γοῦν χρῆται αὐτῷ εἰς αὐ-
τήν· πρῶτον μὲν ἐν αὐτῷ τῷ ῥεῖν καὶ ῥοῇ διὰ τούτου
τοῦ γράμματος τὴν φορὰν μιμεῖται· εἶτα ἐν τῷ τρό-
μῳ, εἶτα ἐν τῷ τραχεῖ· ἔτι δὲ καὶ ἐν τοῖς τοιοῖσδε ῥή-
μασιν, οἷον Κρούειν, Θραύειν, Ἐρείκειν, Θρύπτειν,
Κερματίζειν, Ῥυμβεῖν. πάντα τὰ τοιαῦτα τὸ πολὺ ἀ-
πεικάζει διὰ τοῦ ρ· ἔγνω γάρ, οἶμαι, τὴν γλῶτταν
ἐν τούτῳ ἥκιστα μένουσαν, μάλιστα δὲ σειομένην· διὸ
φαίνεταί μοι τούτῳ καὶ πρὸς ταῦτα κατακεχρῆσθαι. τῷ
δ᾽ αὖ ι, πρὸς τὰ λεπτὰ πάντα, ἃ δὴ μάλιστα διὰ
πάντων ἴοι ἄν· διὰ ταῦτα τὸ ἰέναι καὶ τὸ ἵεσθαι
διὰ τοῦ ι ἀπομιμεῖται· ὥσπερ γε διὰ τοῦ φ καὶ
τοῦ ψ καὶ τοῦ σίγμα καὶ τοῦ ζῆτα, ὅτι πνευμα-
τώδη τὰ γράμματα, πάντα τὰ τοιαῦτα μεμίμηται
αὐτοῖς ὀνομάζων· οἷον τὸ ψυχρὸν καὶ τὸ ζέον

καὶ τὸ σείεσθαι καὶ ὅλως σεισμόν· καὶ ὅταν που τὸ φυσῶδες μιμῆται, πανταχοῦ ἐνταῦθα ὡς ἐπιπολὺ τὰ τοιαῦτα γράμματα ἐπιφέρειν φαίνεται ὁ τὰ ὀνόματα θέμενος. τῆς δ' αὖ τοῦ δ ξυμπιέσεως καὶ τοῦ τ, καὶ ἀπερείσεως τῆς γλώττης τὴν δύναμιν, χρήσιμον φαίνεται ἡγήσασθαι πρὸς τὴν μίμησιν τοῦ δεσμοῦ καὶ τῆς στάσεως. ὅτι δὲ ὀλισθαίνει μάλιστα ἐν τῷ λ ἡ γλῶττα, κατιδών, ἀφομοιῶν ὠνόμασε τά τε λεῖα καὶ αὐτὸ τὸ ὀλισθαίνειν καὶ τὸ λιπαρὸν καὶ τὸ κολλῶδες καὶ τἄλλα πάντα τὰ τοιαῦτα. ᾗ δὲ ὀλισθαινούσης τῆς γλώττης ἀντιλαμβάνεται ἡ τοῦ γ δύναμις, τὸ γλίσχρον ἀπεμιμήσατο καὶ γλυκὺ καὶ γλοιῶδες. τοῦ δ' αὖ ν τὸ εἴσω αἰσθόμενος τῆς φωνῆς, τὰ ἔνδον καὶ τὰ ἐντὸς ὠνόμασεν, ὡς ἀφομοιῶν τοῖς γράμμασι τὰ ἔργα. τὸ δ' αὖ α τῷ μεγάλῳ ἀπέδωκε καὶ τῷ μήκει τὸ η, ὅτι μεγάλα τὰ γράμματα. εἰς δὲ τὸ στρογγύλον τοῦ ο δεόμενος σημείου, τοῦτο πλεῖστον αὐτῷ εἰς τὸ ὄνομα ἐνεκέρασε. καὶ τἄλλα οὕτω φαίνεται προςβιβάζειν καὶ κατὰ γράμματα καὶ κατὰ συλλαβὰς ἑκάστῳ τῶν ὄντων σημεῖόν τε καὶ ὄνομα ποιῶν ὁ ὀνοματοθέτης· ἐκ δὲ τούτων τὰ λοιπὰ ἤδη αὐτοῖς τούτοις ξυντιθέναι ἀπομιμούμενος. αὕτη μοι φαίνεται, ὦ Ἑρμόγενες, βούλεσθαι εἶναι ἡ τῶν ὀνομάτων ὀρθότης, εἰ μή τι ἄλλο Κρατύλος ὅδε λέγει. XXXVIII. ΕΡΜ. Καὶ μήν, ὦ Σώκρατες, πολλά γέ μοι πολλάκις πράγματα παρέχει Κρατύλος, ὥσπερ κατ' ἀρχὰς ἔλεγον, φάσκων μὲν εἶναι ὀρθότητα ὀνομάτων, ἥτις

δ' ἐστὶν, οὐδὲν σαφὲς λέγων· ὥστε με μὴ δύνασθαι εἰδέναι πότερον ἑκὼν ἢ ἄκων οὕτως ἀσαφῶς ἑκάστοτε περὶ αὐτῶν λέγει. νῦν οὖν μοι, ὦ Κρατύλε, ἐναντίον Σωκράτους εἰπέ, πότερον ἀρέσκει σοι ἃ λέγει Σωκράτης περὶ ὀνομάτων, ἢ ἔχεις πῃ ἄλλῃ κάλλιον λέγειν; καὶ εἰ ἔχεις, λέγε, ἵνα ἤτοι μάθῃς παρὰ Σωκράτους, ἢ διδάξῃς ἡμᾶς ἀμφοτέρους. ΚΡ. Τί δέ, ὦ Ἑρμόγενες; δοκεῖ σοι ῥᾴδιον εἶναι οὕτω ταχὺ μαθεῖν τε καὶ διδάξαι ὁτιοῦν πρᾶγμα, μὴ ὅτι τοσοῦτον, ὃ δὴ δοκεῖ ἐν τοῖς μεγίστοις μέγιστον εἶναι; ΕΡΜ. Μὰ Δί' οὐκ ἔμοιγε, ἀλλὰ τὸ τοῦ Ἡσιόδου καλῶς μοι φαίνεται ἔχειν, τό, εἰ καί τις σμικρὸν ἐπὶ σμικρῷ καταθείη, προὔργου εἶναι. Εἰ οὖν καὶ σμικρόν τι οἷός τ' εἶ πλέον ποιῆσαι, μὴ ἀπόκαμνε, ἀλλ' εὐεργέτει καὶ Σωκράτη τόνδε — δίκαιος δ' εἶ — καὶ ἐμέ. ΣΩ. Καὶ μὲν δὴ ἔγωγε καὶ αὐτός, ὦ Κρατύλε, οὐδὲν ἂν ἰσχυρισαίμην ὧν εἴρηκα· ᾗ δέ μοι ἐφαίνετο μεθ' Ἑρμογένους ἐπεσκεψάμην· ὥστε τούτου γε ἕνεκα θαῤῥῶν λέγε, εἴ τι ἔχεις βέλτιον, ὡς ἐμοῦ ἐνδεξομένου. εἰ μέντοι ἔχεις τι σὺ κάλλιον τούτων λέγειν, οὐκ ἂν θαυμάζοιμι· δοκεῖς γάρ μοι αὐτός τε ἐσκέφθαι τὰ τοιαῦτα καὶ παρ' ἄλλων μεμαθηκέναι. ἐὰν οὖν λέγῃς τι κάλλιον, ἕνα τῶν μαθητῶν περὶ ὀρθότητος ὀνομάτων καὶ ἐμὲ γράφου. ΚΡ. Ἀλλὰ μὲν δή, ὦ Σώκρατες, ὥσπερ σὺ λέγεις, μεμέληκέ τέ μοι περὶ αὐτῶν καὶ ἴσως ἂν σε ποιησαίμην μαθητήν· φοβοῦμαι μέντοι, μὴ τούτου πᾶν τοὐναντίον ᾖ, ὅτι μοί πως ἐπέρχεται πρὸς σὲ λέγειν τὸ τοῦ Ἀχιλλέως, ὃ

καὶ τὸ σείεσθαι καὶ ὅλως σεισμόν· καὶ ὅταν που τὸ φυσῶδες μιμῆται, πανταχοῦ ἐνταῦθα ὡς ἐπιπολὺ τὰ τοιαῦτα γράμματα ἐπιφέρειν φαίνεται ὁ τὰ ὀνόματα θέμενος. τῆς δ' αὖ τοῦ δ ξυμπιέσεως καὶ τοῦ τ, καὶ ἀπερείσεως τῆς γλώττης τὴν δύναμιν, χρήσιμον φαίνεται ἡγήσασθαι πρὸς τὴν μίμησιν τοῦ δεσμοῦ καὶ τῆς στάσεως. ὅτι δὲ ὀλισθαίνει μάλιστα ἐν τῷ λ ἡ γλῶττα, κατιδών, ἀφομοιῶν ὠνόμασε τά τε λεῖα καὶ αὐτὸ τὸ ὀλισθαίνειν καὶ τὸ λιπαρὸν καὶ τὸ κολλῶδες καὶ τἆλλα πάντα τὰ τοιαῦτα. ᾗ δὲ ὀλισθαινούσης τῆς γλώττης ἀντιλαμβάνεται ἡ τοῦ γ δύναμις, τὸ γλίσχρον ἀπεμιμήσατο καὶ γλυκὺ καὶ γλοιῶδες. τοῦ δ' αὖ ν τὸ εἴσω αἰσθόμενος τῆς φωνῆς, τὰ ἔνδον καὶ τὰ ἐντὸς ὠνόμασεν, ὡς ἀφομοιῶν τοῖς γράμμασι τὰ ἔργα. τὸ δ' αὖ α τῷ μεγάλῳ ἀπέδωκε καὶ τῷ μήκει τὸ η, ὅτι μεγάλα τὰ γράμματα. εἰς δὲ τὸ στρογγύλον τοῦ ο δεόμενος σημείου, τοῦτο πλεῖστον αὐτῷ εἰς τὸ ὄνομα ἐνεκέρασε. καὶ τἆλλα οὕτω φαίνεται προςβιβάζειν καὶ κατὰ γράμματα καὶ κατὰ συλλαβὰς ἑκάστῳ τῶν ὄντων σημεῖόν τε καὶ ὄνομα ποιῶν ὁ ὀνοματοθέτης· ἐκ δὲ τούτων τὰ λοιπὰ ἤδη αὐτοῖς τούτοις ξυντιθέναι ἀπομιμούμενος. αὕτη μοι φαίνεται, ὦ Ἑρμόγενες, βούλεσθαι εἶναι ἡ τῶν ὀνομάτων ὀρθότης, εἰ μή τι ἄλλο Κρατύλος ὅδε λέγει. XXXVIII. ΕΡΜ. Καὶ μήν, ὦ Σώκρατες, πολλά γέ μοι πολλάκις πράγματα παρέχει Κρατύλος, ὥςπερ κατ' ἀρχὰς ἔλεγον, φάσκων μὲν εἶναι ὀρθότητα ὀνομάτων, ἥτις

δ' ἐστὶν, οὐδὲν σαφὲς λέγων· ὥστε με μὴ δύνασθαι εἰδέναι πότερον ἑκὼν ἢ ἄκων οὕτως ἀσαφῶς ἑκάστοτε περὶ αὐτῶν λέγει. νῦν οὖν μοι, ὦ Κρατύλε, ἐναντίον Σωκράτους εἰπέ, πότερον ἀρέσκει σοι ἃ λέγει Σωκράτης περὶ ὀνομάτων, ἢ ἔχεις πῃ ἄλλῃ κάλλιον λέγειν; καὶ εἰ ἔχεις, λέγε, ἵνα ἤτοι μάθῃς παρὰ Σωκράτους, ἢ διδάξῃς ἡμᾶς ἀμφοτέρους. ΚΡ. Τί δέ, ὦ Ἑρμόγενες; δοκεῖ σοι ῥᾴδιον εἶναι οὕτω ταχὺ μαθεῖν τε καὶ διδάξαι ὁτιοῦν πρᾶγμα, μὴ ὅτι τοσοῦτον, ὃ δὴ δοκεῖ ἐν τοῖς μεγίστοις μέγιστον εἶναι; ΕΡΜ. Μὰ Δί' οὐκ ἔμοιγε, ἀλλὰ τὸ τοῦ Ἡσιόδου καλῶς μοι φαίνεται ἔχειν, τό, εἰ καί τις σμικρὸν ἐπὶ σμικρῷ καταθείη, προὔργου εἶναι. Εἰ οὖν καὶ σμικρόν τι οἷός τ' εἶ πλέον ποιῆσαι, μὴ ἀπόκαμνε, ἀλλ' εὐεργέτει καὶ Σωκράτη τόνδε — δίκαιος δ' εἶ — καὶ ἐμέ. ΣΩ. Καὶ μὲν δὴ ἔγωγε καὶ αὐτός, ὦ Κρατύλε, οὐδὲν ἂν ἰσχυρισαίμην ὧν εἴρηκα· ᾗ δέ μοι ἐφαίνετο μεθ' Ἑρμογένους ἐπεσκεψάμην· ὥστε τούτου γε ἕνεκα θαῤῥῶν λέγε, εἴ τι ἔχεις βέλτιον, ὡς ἐμοῦ ἐνδεξομένου. εἰ μέντοι ἔχεις τι σὺ κάλλιον τούτων λέγειν, οὐκ ἂν θαυμάζοιμι· δοκεῖς γάρ μοι αὐτός τε ἐσκέφθαι τὰ τοιαῦτα καὶ παρ' ἄλλων μεμαθηκέναι. ἐὰν οὖν λέγῃς τι κάλλιον, ἕνα τῶν μαθητῶν περὶ ὀρθότητος ὀνομάτων καὶ ἐμὲ γράφου. ΚΡ. Ἀλλὰ μὲν δή, ὦ Σώκρατες, ὥσπερ σὺ λέγεις, μεμέληκέ τέ μοι περὶ αὐτῶν καὶ ἴσως ἄν σε ποιησαίμην μαθητήν· φοβοῦμαι μέντοι, μὴ τούτου πᾶν τοὐναντίον ᾖ, ὅτι μοί πως ἐπέρχεται πρὸς σὲ λέγειν τὸ τοῦ Ἀχιλλέως, ὃ

καὶ τὸ σείεσθαι καὶ ὅλως σεισμόν· καὶ ὅταν που τὸ φυσῶδες μιμῆται, πανταχοῦ ἐνταῦθα ὡς τὸ πολὺ τὰ τοιαῦτα γράμματα ἐπιφέρειν φαίνεται ὁ τὰ ὀνόματα θέμενος. τῆς δ' αὖ τοῦ δ ξυμπιέσεως καὶ τοῦ τ, καὶ ἀπερείσεως τῆς γλώττης τὴν δύναμιν, χρήσιμον φαίνεται ἡγήσασθαι πρὸς τὴν μίμησιν τοῦ δεσμοῦ καὶ τῆς στάσεως. ὅτι δὲ ὀλισθαίνει μάλιστα ἐν τῷ λ ἡ γλῶττα, κατιδὼν, ἀφομοιῶν ὠνόμασε τά τε λεῖα καὶ αὐτὸ τὸ ὀλισθαίνειν καὶ τὸ λιπαρὸν καὶ τὸ κολλῶδες καὶ τἄλλα πάντα τὰ τοιαῦτα. ᾗ δὲ ὀλισθαινούσης τῆς γλώττης ἀντιλαμβάνεται ἡ τοῦ γ δύναμις, τὸ γλίσχρον ἀπεμιμήσατο καὶ γλυκὺ καὶ γλοιῶδες. τοῦ δ' αὖ ν τὸ εἴσω αἰσθόμενος τῆς φωνῆς, τὰ ἔνδον καὶ τὰ ἐντὸς ὠνόμασεν, ὡς ἀφομοιῶν τοῖς γράμμασι τὰ ἔργα. τὸ δ' αὖ α τῷ μεγάλῳ ἀπέδωκε καὶ τῷ μήκει τὸ η, ὅτι μεγάλα τὰ γράμματα. εἰς δὲ τὸ στρογγύλον τοῦ ο δεόμενος σημείου, τοῦτο πλεῖστον αὐτῷ εἰς τὸ ὄνομα ἐνεκέρασε. καὶ τἄλλα οὕτω φαίνεται προςβιβάζειν καὶ κατὰ γράμματα καὶ κατὰ συλλαβὰς ἑκάστῳ τῶν ὄντων σημεῖόν τε καὶ ὄνομα ποιῶν ὁ ὀνοματοθέτης· ἐκ δὲ τούτων τὰ λοιπὰ ἤδη αὐτοῖς τούτοις ξυντιθέναι ἀπομιμούμενος. αὕτη μοι φαίνεται, ὦ Ἑρμόγενες, βούλεσθαι εἶναι ἡ τῶν ὀνομάτων ὀρθότης, εἰ μή τι ἄλλο Κρατύλος ὅδε λέγει. XXXVIII. *ΕΡΜ.* Καὶ μὴν, ὦ Σώκρατες, πολλά γέ μοι πολλάκις πράγματα παρέχει Κρατύλος, ὥςπερ κατ' ἀρχὰς ἔλεγον, φάσκων μὲν εἶναι ὀρθότητα ὀνομάτων, ἥτις

δ' ἐστίν, οὐδὲν σαφὲς λέγων· ὥστε με μὴ δύνασθαι εἰδέναι πότερον ἑκὼν ἢ ἄκων οὕτως ἀσαφῶς ἑκάστοτε περὶ αὐτῶν λέγει. νῦν οὖν μοι, ὦ Κρατύλε, ἐναντίον Σωκράτους εἰπέ, πότερον ἀρέσκει σοι ἃ λέγει Σωκράτης περὶ ὀνομάτων, ἢ ἔχεις πη ἄλλη κάλλιον λέγειν; καὶ εἰ ἔχεις, λέγε, ἵνα ἤτοι μάθῃς παρὰ Σωκράτους, ἢ διδάξῃς ἡμᾶς ἀμφοτέρους. ΚΡ. Τί δέ, ὦ Ἑρμόγενες; δοκεῖ σοι ῥᾴδιον εἶναι οὕτω ταχὺ μαθεῖν τε καὶ διδάξαι ὁτιοῦν πρᾶγμα, μὴ ὅτι τοσοῦτον, ὃ δὴ δοκεῖ ἐν τοῖς μεγίστοις μέγιστον εἶναι; ΕΡΜ. Μὰ Δί' οὐκ ἔμοιγε, ἀλλὰ τὸ τοῦ Ἡσιόδου καλῶς μοι φαίνεται ἔχειν, τό, εἰ καί τις σμικρὸν ἐπὶ σμικρῷ καταθείη, προὔργου εἶναι. Εἰ οὖν καὶ σμικρόν τι οἷός τ' εἶ πλέον ποιῆσαι, μὴ ἀπόκαμνε, ἀλλ' εὐεργέτει καὶ Σωκράτη τόνδε — δίκαιος δ' εἶ — καὶ ἐμέ. ΣΩ. Καὶ μὲν δὴ ἔγωγε καὶ αὐτός, ὦ Κρατύλε, οὐδὲν ἂν ἰσχυρισαίμην ὧν εἴρηκα· ᾗ δέ μοι ἐφαίνετο μεθ' Ἑρμογένους ἐπεσκεψάμην· ὥστε τούτου γε ἕνεκα θαῤῥῶν λέγε, εἴ τι ἔχεις βέλτιον, ὡς ἐμοῦ ἐνδεξομένου. εἰ μέντοι ἔχεις τι σὺ κάλλιον τούτων λέγειν, οὐκ ἂν θαυμάζοιμι· δοκεῖς γάρ μοι αὐτός τε ἐσκέφθαι τὰ τοιαῦτα καὶ παρ' ἄλλων μεμαθηκέναι. ἐὰν οὖν λέγῃς τι κάλλιον, ἕνα τῶν μαθητῶν περὶ ὀρθότητος ὀνομάτων καὶ ἐμὲ γράφου. ΚΡ. Ἀλλὰ μὲν δή, ὦ Σώκρατες, ὥσπερ σὺ λέγεις, μεμέληκέ τέ μοι περὶ αὐτῶν καὶ ἴσως ἄν σε ποιησαίμην μαθητήν· φοβοῦμαι μέντοι, μὴ τούτου πᾶν τοὐναντίον ᾖ, ὅτι μοί πως ἐπέρχεται πρὸς σὲ λέγειν τὸ τοῦ Ἀχιλλέως, ὃ

ἐκεῖνος ἐν Λιταῖς πρὸς τὸν Αἴαντα λέγει. φησὶ δὲ· Αἶαν Διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν, Πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι. καὶ ἐμοὶ σὺ, ὦ Σώκρατες, ἐπιεικῶς φαίνῃ κατὰ νοῦν χρησμῳδεῖν, εἴτε παρ᾽ Εὐθύφρονος ἐπίπνους γενόμενος, εἴτε καὶ ἄλλη τις μοῦσα πάλαι σε ἐνοῦσα ἐλελήθει. ΣΩ. Ὠγαθὲ Κρατύλε, θαυμάζω καὶ αὐτὸς πάλαι τὴν ἐμαυτοῦ σοφίαν καὶ ἀπιστῶ. δοκεῖ οὖν μοι χρῆναι ἐπανασκέψασθαι, τί καὶ λέγω· τὸ γὰρ ἐξαπατᾶσθαι αὐτὸν ὑφ᾽ αὐτοῦ, πάντων χαλεπώτατον. ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστατῇ, ἀλλ᾽ ἀεὶ παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν; δεῖ δή, ὡς ἔοικε, θαμὰ μεταστρέφεσθαι ἐπὶ τὰ προειρημένα, καὶ πειρᾶσθαι, τὸ ἐκείνου τοῦ ποιητοῦ, βλέπειν ἅμα πρόσω καὶ ὀπίσω. καὶ δὴ καὶ νῦν ἡμεῖς ἴδωμεν, τί ἡμῖν εἴρηται. ὀνόματος, φαμέν, ὀρθότης ἐστὶν αὕτη, ἥτις ἐνδείξεται οἷόν ἐστι τὸ πρᾶγμα. τοῦτο φῶμεν ἱκανῶς εἰρῆσθαι; ΚΡ. Ἐμοὶ μὲν δοκεῖ πάνυ σφόδρα, ὦ Σώκρατες. ΣΩ. Διδασκαλίας ἄρα ἕνεκα τὰ ὀνόματα λέγεται; ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν φῶμεν καὶ ταύτην τέχνην εἶναι καὶ δημιουργοὺς αὐτῆς; ΚΡ. Πάνυ γε. ΣΩ. Τίνας; ΚΡ. Οὕσπερ σὺ κατ᾽ ἀρχὰς ἔλεγες τοὺς νομοθέτας. ΣΩ. Πότερον οὖν καὶ ταύτην φῶμεν τὴν τέχνην ἐν τοῖς ἀνθρώποις ἐγγίγνεσθαι, ὥσπερ καὶ τὰς ἄλλας, ἢ μή; βούλομαι δὲ λέγειν τὸ τοιόνδε· ζωγράφοι εἰσί που, οἱ μὲν χείρους, οἱ δὲ ἀμείνους; ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν οἱ μὲν ἀμείνους τὰ αὑτῶν ἔργα καλλίω παρέχονται, τὰ ζῶα, οἱ δὲ φαυλότερα; καὶ οἱ-

κοδόμοι ὡσαύτως, οἱ μὲν καλλίους τὰς οἰκίας ἐργάζονται, οἱ δὲ αἰσχίους; ΚΡ. Ναί. ΣΩ. Ἆρ' οὖν καὶ νομοθέται οἱ μὲν καλλίω τὰ ἔργα αὑτῶν παρέχονται, οἱ δὲ αἰσχίω; ΚΡ. Οὔ μοι δοκεῖ τοῦτο ἔτι. ΣΩ. Οὐκ ἄρα δοκοῦσί σοι νόμοι οἱ μὲν βελτίους, οἱ δὲ φαυλότεροι εἶναι; ΚΡ. Οὐ δῆτα. ΣΩ. Οὐδὲ δὴ ὄνομα, ὡς ἔοικε, δοκεῖ σοι κεῖσθαι τὸ μὲν χεῖρον, τὸ δὲ ἄμεινον; ΚΡ. Οὐ δῆτα. ΣΩ. Πάντα ἄρα τὰ ὀνόματα ὀρθῶς κεῖται; ΚΡ. Ὅσα γε ὀνόματά ἐστι. ΣΩ. Τί οὖν; ὃ καὶ ἄρτι ἐλέγετο, Ἑρμογένει τῷδε πότερον μηδὲ ὄνομα τοῦτο κεῖσθαι φῶμεν, εἰ μή τι ἄρα αὐτῷ Ἑρμοῦ γενέσεως προσήκει; ἢ κεῖσθαι μέν, οὐ μέντοι ὀρθῶς γε; ΚΡ. Οὐδὲ κεῖσθαι ἔμοιγε δοκεῖ, ὦ Σώκρατες· ἀλλὰ δοκεῖν μὲν κεῖσθαι, εἶναι δὲ ἑτέρου τοῦτο τὸ ὄνομα, οὗπερ καὶ ἡ φύσις ἡ τὸ ὄνομα δηλοῦσα. ΣΩ. Πότερον οὐδὲ ψεύδεται ὅταν τις φῇ Ἑρμογένη αὐτὸν εἶναι; μὴ γὰρ οὐδὲ τοῦτο αὖ ᾖ τὸ τοῦτον φάναι Ἑρμογένη εἶναι, εἰ μὴ ἔστι; ΚΡ. Πῶς λέγεις; ΣΩ. Ἆρα, ὅτι ψευδῆ λέγειν τοπαράπαν οὐκ ἔστιν, ἆρα τοῦτό σοι δύναται ὁ λόγος; συχνοὶ γάρ τινες οἱ λέγοντες, ὦ φίλε Κρατύλε, καὶ νῦν καὶ πάλαι. ΚΡ. Πῶς γὰρ ἄν, ὦ Σώκρατες, λέγων γέ τις τοῦτο, ὃ λέγει, μὴ τὸ ὂν λέγοι; ἢ οὐ τοῦτό ἐστι τὸ ψευδῆ λέγειν, τὸ μὴ τὰ ὄντα λέγειν; ΣΩ. Κομψότερος μὲν ὁ λόγος ἢ κατ' ἐμὲ καὶ κατὰ τὴν ἐμὴν ἡλικίαν, ὦ ἑταῖρε· ὅμως μέντοι εἰπέ μοι τοσόνδε, πότερον λέγειν μὲν οὐ δοκεῖ σοι εἶναι ψευδῆ, φάναι δέ; ΚΡ. Οὔ μοι δοκεῖ οὐδὲ φάναι.

ΣΩ. Οὐδὲ εἰπεῖν, οὐδὲ προσειπεῖν; οἷον εἴ τις ἀπαντήσας σοι ἐπὶ ξενίας, λαβόμενος τῆς χειρὸς εἴποι, Χαῖρε, ὦ ξένε Ἀθηναῖε, υἱὲ Σμικρίωνος, Ἑρμόγενες, οὗτος λέξειεν ἂν ταῦτα, ἢ φαίη ἂν ταῦτα, ἢ εἴποι ἂν ταῦτα, ἢ προσείποι ἂν οὕτω σὲ μὲν οὔ, Ἑρμογένη δὲ τόνδε; ἢ οὐδένα; ΚΡ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ἄλλως ἂν οὗτος ταῦτα φθέγξασθαι. ΣΩ. Ἀλλ᾽ ἀγαπητὸν καὶ τοῦτο· πότερον γὰρ ἀληθῆ ἂν φθέγξαιτο ταῦτα ὁ φθεγξάμενος, ἢ ψευδῆ; ἢ τὸ μέν τι αὐτῶν ἀληθές, τὸ δὲ, ψεῦδος; καὶ γὰρ ἂν καὶ τοῦτο ἐξαρκοίη. ΚΡ. Ψοφεῖν ἔγωγ᾽ ἂν φαίην τὸν τοιοῦτον, μάτην αὐτὸν ἑαυτὸν κινοῦντα, ὥσπερ ἂν εἴ τις χαλκεῖον κινήσειε κρούσας. XXXIX. ΣΩ. Φέρε δή, ἐάν πη διαλλαχθῶμεν, ὦ Κρατύλε, ἆρ᾽ οὐκ ἄλλο μὲν ἂν φαίης τὸ ὄνομα εἶναι, ἄλλο δὲ ἐκεῖνο, οὗ τὸ ὄνομά ἐστιν; ΚΡ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ τὸ ὄνομα ὁμολογεῖς μίμημά τι εἶναι τοῦ πράγματος; ΚΡ. Πάντων μάλιστα. ΣΩ. Οὐκοῦν καὶ τὰ ζωγραφήματα τρόπον τινὰ ἄλλον λέγεις μιμήματα εἶναι πραγμάτων τινων; ΚΡ. Ναί. ΣΩ. Φέρε δή· ἴσως γὰρ ἐγὼ οὐ μανθάνω ἅττα ποτ᾽ ἐστὶν ἃ λέγεις, σὺ δὲ τάχ᾽ ἂν ὀρθῶς λέγοις· ἔστι διανεῖμαι καὶ προσενεγκεῖν ταῦτα ἀμφότερα τὰ μιμήματα, τά τε ζωγραφήματα, κἀκεῖνα τὰ ὀνόματα, τοῖς πράγμασιν ὧν μιμήματά ἐστιν, ἢ οὔ; ΚΡ. Ἔστι μέντοι. ΣΩ. Πρῶτον μὲν δὴ σκόπει τόδε· ἆρ᾽ ἄν τις τὴν μὲν τοῦ ἀνδρὸς εἰκόνα τῷ ἀνδρὶ ἀποδοίη, τὴν δὲ τῆς γυναικὸς τῇ γυναικί, καὶ τἆλλα οὕτως; ΚΡ. Πάνυ μὲν οὖν. ΣΩ.

Οὐκοῦν καὶ τοὐναντίον, τὴν μὲν τοῦ ἀνδρὸς τῇ γυναικί, τὴν δὲ τῆς γυναικὸς τῷ ἀνδρί; ΚΡ. Ἔστι καὶ ταῦτα. ΣΩ. Ἆρ᾽ οὖν αὗται αἱ διανομαὶ ἀμφότεραι ὀρθαί, ἢ ἡ ἑτέρα; ΚΡ. Ἡ ἑτέρα. ΣΩ. Ἡ ἂν ἑκάστῳ, οἶμαι, τὸ προσῆκόν τε καὶ τὸ ὅμοιον ἀποδιδῷ. ΚΡ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ἵνα τοίνυν μὴ μαχώμεθα ἐν τοῖς λόγοις ἐγώ τε καὶ σύ, φίλοι ὄντες, ἀπόδεξαί μου ὃ λέγω. τὴν τοιαύτην γάρ, ὦ ἑταῖρε, καλῶ ἔγωγε διανομήν, ἐπ᾽ ἀμφοτέροις μὲν τοῖς μιμήμασι τοῖς τε ζώοις καὶ τοῖς ὀνόμασιν ὀρθήν, ἐπὶ δὲ τοῖς ὀνόμασι, πρὸς τῷ ὀρθὴν καὶ ἀληθῆ· τὴν δ᾽ ἑτέραν, τὴν τοῦ ἀνομοίου δόσιν τε καὶ ἐπιφοράν, οὐκ ὀρθήν, καὶ ψευδῆ, ὅταν ἐπ᾽ ὀνόμασιν ᾖ. ΚΡ. Ἀλλ᾽ ὅπως μή, ὦ Σώκρατες, ἐν μὲν τοῖς ζωγραφήμασιν ᾖ τοῦτο, τὸ μὴ ὀρθῶς διανέμειν, ἐπὶ δὲ τοῖς ὀνόμασιν, οὐκ ἀλλ᾽ ἀναγκαῖον ᾖ ἀεὶ ὀρθῶς. ΣΩ. Πῶς λέγεις; τί τοῦτο ἐκείνου διαφέρει; ἆρ᾽ οὐκ ἔστι προσελθόντα ἀνδρί τῳ εἰπεῖν, ὅτι τουτὶ σόν ἐστι γράμμα, καὶ δεῖξαι αὐτῷ, ἂν μὲν τύχῃ, ἐκείνου εἰκόνα, ἂν δὲ τύχῃ, γυναικός; τὸ δὲ δεῖξαι λέγω εἰς τὴν τῶν ὀφθαλμῶν αἴσθησιν καταστῆσαι. ΚΡ. Πάνυ γε. ΣΩ. Τί δέ; πάλιν αὐτῷ τούτῳ προσελθόντα εἰπεῖν, ὅτι τουτί ἐστι σὸν ὄνομα; ἔστι δέ που καὶ τὸ ὄνομα μίμημα, ὥσπερ τὸ ζωγράφημα· τοῦτο δὴ λέγω· ἆρ᾽ οὐκ ἂν εἴη αὐτῷ εἰπεῖν, ὅτι τουτί ἐστι σὸν ὄνομα; καὶ μετὰ τοῦτο εἰς τὴν τῆς ἀκοῆς αὖ αἴσθησιν καταστῆσαι, ἂν μὲν τύχῃ, τὸ ἐκείνου μίμημα, εἰπόντα ὅτι ἀνήρ· ἂν δὲ τύχῃ, τὸ τοῦ θήλεος τοῦ

[illegible]κινου γένους, εἰπόντα ὅτι γυνή; οὐ δοκεῖ σοι
τοῦτο οἷόν τ' εἶναι καὶ γίγνεσθαι ἐνίοτε; ΚΡ. Ἐθέ-
λω σοι, ὦ Σώκρατες, ξυγχωρῆσαι, καὶ ἔστω οὕτω.
ΣΩ. Καλῶς γε σὺ ποιῶν, ὦ φίλε, εἰ ἔστι τοῦτο
οὕτως ἔχον· οὐδὲ γὰρ δεῖ νῦν πάνυ διαμάχεσθαι περὶ
αὐτοῦ. εἰ δ' οὖν ἔστι τοιαύτη τις διανομὴ καὶ ἐν-
ταῦθα, τὸ μὲν ἕτερον τούτων ἀληθεύειν βουλόμε-
θα καλεῖν, τὸ δ' ἕτερον ψεύδεσθαι. εἰ δὲ τοῦτο
οὕτως ἔχει, καὶ ἔστι μὴ ὀρθῶς διανέμειν τὰ ὀνό-
ματα, μηδὲ ἀποδιδόναι τὰ προσήκοντα ἑκάστῳ, ἀλλ'
ἐνίοτε τὰ μὴ προσήκοντα, εἴη ἂν καὶ ῥήματα ταυτὸν
τοῦτο ποιεῖν· εἰ δὲ ῥήματα καὶ ὀνόματά ἐστιν οὕτω
τιθέναι, ἀνάγκη καὶ λόγους· λόγοι γάρ που, ὡς
ἐγῷμαι, ἡ τούτων ξύνθεσίς ἐστιν· ἢ πῶς λέγεις, ὦ
Κρατύλε; ΚΡ. Οὕτω· καλῶς γάρ μοι δοκεῖς λέγειν.
ΣΩ. Οὐκοῦν εἰ γράμμασιν αὖ τὰ πρῶτα ὀνόματα
ἀπεικάζομεν, ἔστιν ὥσπερ ἐν τοῖς ζωγραφήμασι καὶ
πάντα τὰ προσήκοντα χρώματά τε καὶ σχήματα ἀπο-
δοῦναι, καὶ μὴ πάντα αὖ, ἀλλ' ἔνια ἐλλείπειν, ἔνια
δὲ καὶ προστιθέναι, καὶ πλείω καὶ μείζω· ἢ οὐκ ἔστι;
ΚΡ. Ἔστιν. ΣΩ. Οὐκοῦν ὁ μὲν ἀποδιδοὺς πάντα
καλὰ τὰ γράμματά τε καὶ τὰς εἰκόνας ἀποδίδωσιν·
ὁ δὲ ἢ προστιθεὶς, ἢ ἀφαιρῶν, γράμματα μὲν καὶ
εἰκόνας ἐργάζεται καὶ οὗτος, ἀλλὰ πονηράς; ΚΡ.
Ναί. ΣΩ. Τί δαί; ὁ διὰ τῶν συλλαβῶν τε καὶ
γραμμάτων τὴν οὐσίαν τῶν πραγμάτων ἀπομιμούμε-
νος; ἆρα οὐ κατὰ τὸν αὐτὸν λόγον, ἂν μὲν πάντα
ἀποδῷ τὰ προσήκοντα, καλὴ ἡ εἰκὼν ἔσται; — τοῦτο

δ' ἐστὶν ὄνομα — ἐὰν δὲ σμικρὰ ἐλλείπῃ ἢ προςτιθῇ ἐνίοτε, εἰκὼν μὲν γενήσεται, καλὴ δὲ οὔ, ὥςτε τὰ μὲν καλῶς εἰργασμένα ἔσται τῶν ὀνομάτων, τὰ δὲ κακῶς; ΚΡ. Ἴσως. ΣΩ. Ἴσως ἄρα ἔσται ὁ μὲν ἀγαθὸς δημιουργὸς ὀνομάτων, ὁ δὲ κακός; ΚΡ. Ναί. ΣΩ. Οὐκοῦν τούτῳ ὀνοματοθέτης ἦν ὄνομα; ΚΡ. Ναί. ΣΩ. Ἴσως ἄρα νὴ Δί' ἔσται, ὥςπερ ἐν ταῖς ἄλλαις τέχναις, καὶ ὁ ὀνοματοθέτης ὁ μὲν ἀγαθός, ὁ δὲ κακός, ἐάνπερ τὰ ἔμπροσθεν ἐκεῖνα ὁμολογηθῇ ἡμῖν. ΚΡ. Ἔστι ταῦτα· ἀλλ' ὁρᾷς, ὦ Σώκρατες, ὅταν ταῦτα τὰ γράμματα, τό τε α καὶ τὸ β, καὶ ἓν ἕκαστον τῶν στοιχείων, τοῖς ὀνόμασιν ἀποδιδῶμεν τῇ γραμματικῇ τέχνῃ, ἐάν τι ἀφέλωμεν ἢ προςθῶμεν ἢ μεταθῶμέν τι, γέγραπται μὲν ἡμῖν τὸ ὄνομα, οὐ μέντοι γε ὀρθῶς, ἀλλὰ τοπαράπαν οὐδὲ γέγραπται, ἀλλ' εὐθὺς ἕτερόν ἐστιν, ἐάν τι τούτων πάθῃ. ΣΩ. Μὴ γὰρ οὐ καλῶς σκοπῶμεν, οὕτω σκοποῦντες, ὦ Κρατύλε. ΚΡ. Πῶς δή; ΣΩ. Ἴσως ὅσα ἔκ τινος ἀριθμοῦ ἀναγκαῖον εἶναι, ἢ μὴ εἶναι, πάσχοι ἂν τοῦτο ὃ σὺ λέγεις· ὥςπερ καὶ αὐτὰ τὰ δέκα, ἢ ὅςτις βούλει ἄλλος ἀριθμός, ἐὰν ἀφέλῃς τι ἢ προςθῇς, ἕτερος εὐθὺς γέγονε· τοῦ δὲ ποιοῦ τινος καὶ ξυμπάσης εἰκόνος μὴ οὐχ αὕτη ᾖ ἡ ὀρθότης, ἀλλὰ τὸ ἐναντίον, οὐδὲ τοπαράπαν δέῃ πάντα ἀποδοῦναι, οἷόν ἐστιν ὃ εἰκάζει, εἰ μέλλει εἰκὼν εἶναι. σκόπει δὲ εἴ τι λέγω· ἆρ' ἂν δύο πράγματα εἴη τάδε, οἷον Κρατύλος καὶ Κρατύλου εἰκών, εἴ τις θεῶν μὴ μόνον τὸ σὸν χρῶμα καὶ σχῆμα ἀπεικάσειεν, ὥςπερ οἱ ζωγρά-

φοι, ἀλλὰ καὶ τὰ ἐντὸς πάντα τοιαῦτα ποιήσειεν οἷάπερ τὰ σά, καὶ μαλακότητας καὶ θερμότητας τὰς αὐτὰς ἀποδοίη, καὶ κίνησιν καὶ ψυχὴν καὶ φρόνησιν, οἷάπερ ἡ παρὰ σοί ἐστιν, ἐνθείη αὐτοῖς, καὶ, ἑνὶ λόγῳ, πάντα ἅπερ σὺ ἔχεις, τοιαῦτα ἕτερα καταστήσειε πλησίον σου, πότερον Κρατύλος ἂν καὶ εἰκὼν Κρατύλου τότ' εἴη τὸ τοιοῦτον, ἢ δύο Κρατύλοι; ΚΡ. Δύο μοιγε δοκοῦσιν, ὦ Σώκρατες, Κρατύλοι. XL. ΣΩ. Ὁρᾷς οὖν, ὦ φίλε, ὅτι ἄλλην χρὴ εἰκόνος ὀρθότητα καὶ ζητεῖν ὧν νῦν δὴ ἐλέγομεν, καὶ οὐκ ἀναγκάζειν, ἐάν τι ἀπῇ ἢ προςῇ, μηκέτι αὐτὴν εἰκόνα εἶναι; ἢ οὐκ αἰσθάνῃ ὅσου ἐνδέουσιν αἱ εἰκόνες τὰ αὐτὰ ἔχειν ἐκείνοις ὧν εἰκόνες εἰσί; ΚΡ. Ἔγωγε. ΣΩ. Γελοῖα γοῦν, ὦ Κρατύλε, ὑπὸ τῶν ὀνομάτων πάθοι ἂν ἐκεῖνα ὧν ὀνόματά ἐστι τὰ ὀνόματα, εἰ πάντα πανταχῇ αὐτοῖς ὁμοιωθείη. διττὰ γὰρ ἄν που πάντα γένοιτο, καὶ οὐκ ἂν ἔχοι αὐτῶν εἰπεῖν οὐδέτερον, ὁπότερόν ἐστι, τὸ μὲν αὐτό, τὸ δὲ ὄνομα. ΚΡ. Ἀληθῆ λέγεις. ΣΩ. Θαῤῥῶν τοίνυν, ὦ γενναῖε, ἔα καὶ ὄνομα τὸ μὲν εὖ κεῖσθαι, τὸ δὲ μή, καὶ μὴ ἀνάγκαζε πάντ' ἔχειν τὰ γράμματα, ἵνα κομιδῇ ᾖ τοιοῦτον οἷόνπερ οὗ ὄνομά ἐστιν· ἀλλ' ἔα καὶ τὸ μὴ προςῆκον γράμμα ἐπιφέρειν, εἰ δὲ γράμμα, καὶ ὄνομα ἐν λόγῳ, εἰ δὲ ὄνομα, καὶ λόγον ἐν λόγῳ μὴ προςήκοντα τοῖς πράγμασιν ἐπιφέρεσθαι, καὶ μηδὲν ἧττον ὀνομάζεσθαί τὸ τε πρᾶγμα καὶ λέγεσθαι, ἕως ἂν ὁ τύπος ἐνῇ τοῦ πράγματος περὶ οὗ ἂν ὁ λόγος ᾖ, ὥσπερ ἐν τοῖς τῶν στοιχείων ὀνόμα-

σιν, εἰ μέμνησαι ἃ νῦν δὴ ἐγὼ καὶ Ἑρμογένης ἐλέγομεν. ΚΡ. Ἀλλὰ μέμνημαι. ΣΩ. Καλῶς τοίνυν· ὅταν γὰρ τοῦτο ἐνῇ, κἂν μὴ πάντα τὰ προσήκοντα ἔχῃ, λελέξεταί γε τὸ πρᾶγμα καλῶς, ὅταν πάντα, κακῶς δέ, ὅταν ὀλίγα. λέγεσθαι δ' οὖν, ὦ μακάριε, ἐῶμεν, ἵνα μὴ ὄφλωμεν, ὥςπερ οἱ ἐν Αἰγίνῃ νύκτωρ περιϊόντες ὀψὲ ὁδοῦ, καὶ ἡμεῖς ἐπὶ τὰ πράγματα δόξωμεν αὐτῇ τῇ ἀληθείᾳ οὕτω πως ἐληλυθέναι ὀψιαίτερον τοῦ δέοντος· ἢ ζήτει τιν' ἄλλην ὀνόματος ὀρθότητα, καὶ μὴ ὁμολόγει, δήλωμα συλλαβαῖς καὶ γράμμασι πράγματος ὄνομα εἶναι. εἰ γὰρ ταῦτα ἀμφότερα ἐρεῖς, οὐχ οἷός τ' ἔσῃ ξυμφωνεῖν σαυτῷ. ΚΡ. Ἀλλά μοι δοκεῖς γε, ὦ Σώκρατες, μετρίως λέγειν, καὶ οὕτω τίθεμαι. ΣΩ. Ἐπειδὴ τοίνυν ταῦτα ἡμῖν ξυνδοκεῖ, μετὰ ταῦτα τάδε δὴ σκοπῶμεν· εἰ μέλλει, φαμέν, καλῶς κεῖσθαι τὸ ὄνομα, τὰ προσήκοντα δεῖ αὐτῷ γράμματα ἔχειν. ΚΡ. Ναί. ΣΩ. Προσήκει δὲ τὰ ὅμοια τοῖς πράγμασι. ΚΡ. Πάνυ γε. ΣΩ. Τὰ μὲν ἄρα καλῶς κείμενα, οὕτω κεῖται· εἰ δὲ μή τι καλῶς ἐτέθη, τὸ μὲν πολὺ ἴσως ἐκ προσηκόντων ἂν εἴη γραμμάτων καὶ ὁμοίων, εἴπερ ἔσται εἰκών· ἔχοι δ' ἄν τι καὶ οὐ προςῆκον, δι' ὃ οὐκ ἂν καλὸν εἴη οὐδὲ καλῶς εἰργασμένον τὸ ὄνομα. οὕτω φῶμεν, ἢ ἄλλως; ΚΡ. Οὐδὲν δεῖ, οἶμαι, διαμάχεσθαι, ὦ Σώκρατες· ἐπεὶ οὐκ ἀρέσκει γέ μοι τὸ φάναι, ὄνομα μὲν εἶναι, μὴ μέντοι καλῶς γε κεῖσθαι. ΣΩ. Πότερον τοῦτο οὐκ ἀρέσκει σοι, τὸ εἶναι τὸ ὄνομα δήλωμα τοῦ πράγματος; ΚΡ. Ἔμοιγε. ΣΩ. Ἀλλὰ τὸ

εἶναι τῶν ὀνομάτων τὰ μὲν ἐκ προτέρων ξυγκείμενα, τὰ δὲ πρῶτα, οὐ καλῶς σοι δοκεῖ λέγεσθαι; ΚΡ. Ἔμοιγε. ΣΩ. Ἀλλὰ τὰ πρῶτα εἰ μέλλει δηλώματά τινων γίγνεσθαι, ἔχεις τινὰ καλλίω τρόπον τοῦ δηλώματα αὐτὰ γενέσθαι ἄλλον, ἢ αὐτὰ ποιῆσαι ὅτι μάλιστα τοιαῦτα, οἷα ἐκεῖνα ἃ δεῖ δηλοῦν αὐτά; ἢ ὅδε μᾶλλόν σε ἀρέσκει ὁ τρόπος, ὃν Ἑρμογένης λέγει καὶ ἄλλοι πολλοί, τὸ ξυνθήματα εἶναι τὰ ὀνόματα, καὶ δηλοῦν τοῖς ξυνθεμένοις, προειδόσι δε, τὰ πράγματα, καὶ εἶναι ταύτην ὀρθότητα ὀνόματος, ξυνθήκην, διαφέρειν δὲ οὐδὲν, ἐάν τέ τις ξυνθῆται ὥσπερ νῦν ξύγκειται, ἐάν τε καὶ τοὐναντίον; ἐπὶ μὲν ᾧ νῦν σμικρόν, μέγα καλεῖν, ἐπὶ δὲ ᾧ μέγα, σμικρόν; πότερός σε ὁ τρόπος ἀρέσκει; ΚΡ. Ὅλῳ καὶ παντὶ διαφέρει, ὦ Σώκρατες, τὸ ὁμοιώματι δηλοῦν ὅ, τι ἄν τις δηλοῖ, ἀλλὰ μὴ τῷ ἐπιτυχόντι. ΣΩ. Καλῶς λέγεις. οὐκοῦν, εἴπερ ἔσται τὸ ὄνομα ὅμοιον τῷ πράγματι, ἀναγκαῖόν ἐστι πεφυκέναι τὰ στοιχεῖα ὅμοια τοῖς πράγμασιν, ἐξ ὧν τὰ πρῶτα ὀνόματά τις ξυνθήσει; ὧδε δὲ λέγω· ἆρά ποτ᾿ ἄν τις ξυνέθηκεν ὃ νῦν δὴ ἐλέγομεν ζωγράφημα ὅμοιόν τῳ τῶν ὄντων, εἰ μὴ φύσει ὑπῆρχε φάρμακα ὅμοια ὄντα, ἐξ ὧν ξυντίθεται τὰ ζωγραφούμενα, ἐκείνοις ἃ μιμεῖται ἡ γραφική; ἢ ἀδύνατον; ΚΡ. Ἀδύνατον. ΣΩ. Οὐκοῦν ὡσαύτως καὶ ὀνόματα οὐκ ἄν ποτε ὅμοια γένοιτο οὐδενί, εἰ μὴ ὑπάρξει ἐκεῖνα πρῶτον ὁμοιότητά τινα ἔχοντα, ἐξ ὧν ξυντέθειται τὰ ὀνόματα, ἐκείνοις ὧν ἐστι τὰ ὀνόματα

μιμήματα· ἔστι δέ, ἐξ ὧν ξυνθετέον, στοιχεῖα; ΚΡ. Ναί. XLI. ΣΩ. Ἤδη τοίνυν καὶ σὺ κοινώνει τοῦ λόγου οὗπερ ἄρτι Ἑρμογένης. φέρε, καλῶς σοι δοκοῦμεν λέγειν ὅτι τὸ ρ τῇ φορᾷ καὶ κινήσει καὶ σκληρότητι προσέοικεν, ἢ οὐ καλῶς; ΚΡ. Καλῶς ἔμοιγε. ΣΩ. Τὸ δὲ λ τῷ λείῳ καὶ μαλακῷ, καὶ οἷς νῦν δὴ ἐλέγομεν; ΚΡ. Ναί. ΣΩ. Οἶσθα οὖν ὅτι ἐπὶ τῷ αὐτῷ ἡμεῖς μὲν φαμεν σκληρότης, Ἐρετριεῖς δὲ σκληροτὴρ; ΚΡ. Πάνυ γε. ΣΩ. Πότερον οὖν τό τε ρ καὶ τὸ σ ἔοικεν ἀμφότερα τῷ αὐτῷ, καὶ δηλοῖ ἐκείνοις τε τὸ αὐτό, τελευτῶντος τοῦ ρ, καὶ ἡμῖν τοῦ σ, ἢ τοῖς ἑτέροις ἡμῶν οὐ δηλοῖ; ΚΡ. Δηλοῖ μὲν οὖν ἀμφοτέροις. ΣΩ. Πότερον ᾗ ὅμοια τυγχάνει ὄντα τὸ ρ καὶ τὸ σ, ἢ ᾗ μή; ΚΡ. Ἧι ὅμοια. ΣΩ. Ἦ οὖν ὅμοιά ἐστι πανταχῇ; ΚΡ. Πρός γε ἴσως τὸ φορὰν δηλοῦν. ΣΩ. Ἦ καὶ τὸ λ ἐγκείμενον; οὐ τὸ ἐναντίον δηλοῖ σκληρότητος; ΣΩ. Ἴσως γὰρ οὐκ ὀρθῶς ἔγκειται, ὦ Σώκρατες, ὥσπερ καὶ ἃ νῦν δὴ σὺ πρὸς Ἑρμογένη ἔλεγες, ἐξαιρῶν τε καὶ ἐντιθεὶς γράμματα οὗ δέοι, καὶ ὀρθῶς ἐδόκεις ἔμοιγε· καὶ νῦν ἴσως ἀντὶ τοῦ λ, ρ δεῖ λέγειν. ΣΩ. Εὖ λέγεις. τί οὖν δή; νῦν ὡς λέγομεν, οὐδὲν μανθάνομεν ἀλλήλων, ἐπειδάν τις φῇ σκληρόν, οὐδὲ οἶσθα σὺ νῦν ὅ, τι ἐγὼ λέγω; ΚΡ. Ἔγωγε, διά γε τὸ ἔθος, ὦ φίλτατε. ΣΩ. Ἔθος δὲ λέγων, οἴει τι διάφορον λέγειν ξυνθήκης; ἢ ἄλλο τι λέγεις τὸ ἔθος, ἢ ὅτι ἐγώ, ὅταν τοῦτο φθέγγωμαι, διανοοῦμαι ἐκεῖνο, σὺ δὲ γιγνώσκεις, ὅτι ἐκεῖνο διανοοῦμαι; οὐ τοῦτο λέγεις; ΚΡ. Ναί. ΣΩ. Οὐκ-

οὖν εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ; ΚΡ. Ναί. ΣΩ. Ἀπὸ τοῦ ἀνομοίου γε ἢ ὃ διανοούμενος φθέγγομαι, εἴπερ τὸ λ ἀνόμοιόν ἐστι τῇ, ᾗ φὴς σύ, σκληρότητι. εἰ δὲ τοῦτο οὕτως ἔχει, τί ἄλλο ἢ αὐτὸς σαυτῷ ξυνέθου, καί σοι γίγνεται ἡ ὀρθότης τοῦ ὀνόματος ξυνθήκη; ἐπειδή γε δηλοῖ καὶ τὰ ὅμοια καὶ τὰ ἀνόμοια γράμματα, ἔθους τε καὶ ξυνθήκης τυχόντα. εἰ δ' ὅτι μάλιστα μή ἐστι τὸ ἔθος ξυνθήκη, οὐκ ἂν καλῶς ἔτι ἔχοι λέγειν τὴν ὁμοιότητα δήλωμα εἶναι, ἀλλὰ τὸ ἔθος· ἐκεῖνο γάρ, ὡς ἔοικε, καὶ ὁμοίῳ καὶ ἀνομοίῳ δηλοῖ. ἐπειδὴ δὲ ταῦτα ξυγχωροῦμεν, ὦ Κρατύλε — τὴν γὰρ σιγήν σου ξυγχώρησιν θήσω — ἀναγκαῖόν που καὶ ξυνθήκην τι καὶ ἔθος ξυμβάλλεσθαι πρὸς δήλωσιν ὧν διανοούμενοι λέγομεν. ἐπεί, ὦ βέλτιστε, εἰ ἐθέλεις ἐπὶ τὸν ἀριθμὸν ἐλθεῖν, πόθεν οἴει ἕξειν ὀνόματα ὅμοια ἑνὶ ἑκάστῳ τῶν ἀριθμῶν ἐπενεγκεῖν, ἐὰν μὴ ἐᾷς τι τὴν σὴν ὁμολογίαν καὶ ξυνθήκην κῦρος ἔχειν τῶν ὀνομάτων ὀρθότητος πέρι; ἐμοὶ μὲν οὖν καὶ αὐτῷ ἀρέσκει μὲν κατὰ τὸ δυνατὸν ὅμοια εἶναι τὰ ὀνόματα τοῖς πράγμασιν, ἀλλὰ μὴ ὡς ἀληθῶς, τὸ τοῦ Ἑρμογένους, γλίσχρα ᾖ ἡ ὁλκὴ αὕτη τῆς ὁμοιότητος, ἀναγκαῖον δὲ ᾖ καὶ τῷ φορτικῷ τούτῳ προσχρῆσθαι, τῇ ξυνθήκῃ, εἰς ὀνομάτων ὀρθότητα. ἐπεὶ ἴσως, κατά γε τὸ δυνατόν, κάλλιστ' ἂν λέγοιτο, ὅταν ἢ πᾶσιν ἢ ὡς πλείστοις ὁμοίοις λέγηται, — τοῦτο δ' ἐστὶ προσήκουσιν — αἴσχιστα δὲ τοὐναντίον. XLII. Τόδε δέ μοι ἔτι εἰπὲ μετὰ ταῦτα, τίνα ἡμῖν

δύναμιν ἔχει τὰ ὀνόματα, καὶ τί φῶμεν αὐτὰ καλὸν ἀπεργάζεσθαι. ΚΡ. Διδάσκειν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, καὶ τοῦτο πάνυ ἁπλοῦν εἶναι, ὃς ἂν τὰ ὀνόματα ἐπίστηται, ἐπίστασθαι καὶ τὰ πράγματα. ΣΩ. Ἴσως γάρ, ὦ Κρατύλε, τὸ τοιόνδε λέγεις, ὡς, ἐπειδάν τις εἰδῇ τὸ ὄνομα οἷόν ἐστιν — ἔστι δὲ οἷόν περ τὸ πρᾶγμα — εἴσεται δὴ καὶ τὸ πρᾶγμα, ἐπείπερ ὅμοιον τυγχάνει ὂν τῷ ὀνόματι· τέχνη δὲ μία ἄρ' ἐστὶν ἡ αὐτὴ πάντων τῶν ἀλλήλοις ὁμοίων. κατὰ τοῦτο δή μοι δοκεῖς λέγειν, ὡς, ὃς ἂν τὰ ὀνόματα εἰδῇ, εἴσεται καὶ τὰ πράγματα. ΚΡ. Ἀληθέστατα λέγεις. ΣΩ. Ἔχε δή, ἴδωμεν, τίς ποτ' ἂν εἴη ὁ τρόπος οὗτος τῆς διδασκαλίας τῶν ὄντων, ὃν σὺ λέγεις νῦν, καὶ πότερον ἔστι μὲν καὶ ἄλλος, οὗτος μέντοι βελτίων, ἢ οὐδέ ἐστιν ἄλλος ἢ οὗτος· ποτέρως οἴει; ΚΡ. Οὕτως ἔγωγε, οὐ πάνυ τι εἶναι ἄλλον, τοῦτον δὲ μόνον καὶ βέλτιστον. ΣΩ. Πότερον δὲ καὶ εὕρεσιν τῶν ὄντων τὴν αὐτὴν ταύτην εἶναι, τὸν τὰ ὀνόματα εὑρόντα, καὶ ἐκεῖνα εὑρηκέναι, ὧν ἐστι τὰ ὀνόματα; ἢ ζητεῖν μὲν καὶ εὑρίσκειν ἕτερον δεῖν τρόπον, μανθάνειν δὲ τοῦτον; ΚΡ. Πάντων μάλιστα καὶ ζητεῖν καὶ εὑρίσκειν τὸν αὐτὸν τρόπον τουτονὶ κατὰ ταυτά. ΣΩ. Φέρε δή, ἐννοήσωμεν, ὦ Κρατύλε, εἴ τις ζητῶν τὰ πράγματα, ἀκολουθεῖ τοῖς ὀνόμασι, σκοπῶν οἷον ἕκαστον βούλεται εἶναι, ἆρ' ἐννοεῖς ὅτι οὐ σμικρὸς ὁ κίνδυνός ἐστιν ἐξαπατηθῆναι; ΚΡ. Πῶς; ΣΩ. Δῆλον ὅτι ὁ θέμενος πρῶτος τὰ ὀνόματα, οἷα ἡγεῖτο εἶναι τὰ πράγματα, τοιαῦτα ἐτίθετο καὶ τὰ ὀνό-

ματα, ὥς φαμεν· ἢ γάρ; ΚΡ. Ναί. ΣΩ. [Εἰ οὖν ἐκεῖνος μὴ ὀρθῶς ἡγεῖτο, ἔθετο δὲ οἷα ἡγεῖτο, τί ἡμᾶς οἴει τοὺς ἀκολουθοῦντας αὐτῷ πείσεσθαι; ἄλλο τι ἢ ἐξαπατηθήσεσθαι; ΚΡ. Ἀλλὰ μὴ οὐχ οὕτως ἔχῃ, ὦ Σώκρατες, ἀλλ᾽ ἀναγκαῖον ᾖ, εἰδότα τίθεσθαι τὸν τιθέμενον τὰ ὀνόματα· εἰ δὲ μή, — ὅπερ πάλαι ἐγὼ ἔλεγον — οὐδ᾽ ἂν ὀνόματα εἴη. μέγιστον δέ σοι ἔστω τεκμήριον ὅτι οὐκ ἔσφαλται τῆς ἀληθείας ὁ τιθέμενος· οὐ γὰρ ἄν ποτε οὕτω ξύμφωνα ἦν αὐτῷ ἅπαντα· ἢ οὐκ ἐνενόεις αὐτὸς λέγων, ὡς πάντα κατὰ ταυτὸν καὶ ἐπὶ ταυτὸν ἐγίγνετο τὰ ὀνόματα; ΣΩ. Ἀλλὰ τοῦτο μέν, ὠ᾽γαθὲ Κρατύλε, οὐδέν ἐστιν ἀπολόγημα. εἰ γὰρ τοπρῶτον σφαλεὶς ὁ τιθέμενος τἄλλα ἤδη πρὸς τοῦτ᾽ ἐβιάζετο, καὶ αὑτῷ ξυμφωνεῖν ἠνάγκαζεν, οὐδὲν ἄτοπον· ὥσπερ τῶν διαγραμμάτων ἐνίοτε τοῦ πρώτου σμικροῦ καὶ ἀδήλου ψευδοῦς γενομένου, τὰ λοιπὰ πάμπολλα ἤδη ὄντα ἑπόμενα ὁμολογεῖν ἀλλήλοις. δεῖ δὴ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν πολὺν λόγον εἶναι καὶ τὴν πολλὴν σκέψιν, εἴτε ὀρθῶς εἴτε μὴ ὑπόκειται· ἐκείνης δὲ ἐξετασθείσης ἱκανῶς, τὰ λοιπὰ φαίνεσθαι ἐκείνῃ ἑπόμενα. οὐ μέντοι ἀλλὰ θαυμάζοιμ᾽ ἂν εἰ καὶ τὰ ὀνόματα ξυμφωνεῖ αὐτὰ αὐτοῖς. πάλιν γὰρ ἐπισκεψώμεθα ἃ τοπρότερον διήλθομεν, ὡς τοῦ παντὸς ἰόντος τε καὶ φερομένου [καὶ ῥέοντος] φαμὲν σημαίνειν ἡμῖν τὴν οὐσίαν τὰ ὀνόματα· ἄλλο τι [ἢ ἐστὶν] ἢ οὕτω σοι δοκεῖ δηλοῦν; ΚΡ. Πάνυ σφόδρα καὶ ὀρθῶς γε σημαίνει. ΣΩ. Σκοπῶμεν δὴ ἐξ αὐτῶν

ἀναλαβόντες πρῶτον μὲν τοῦτο τὸ ὄνομα τὴν ἐπιστήμην ὡς ἀμφίβολόν ἐστι, καὶ μᾶλλον ἔοικε σημαίνοντι ὅτι ἵστησιν ἡμῶν ἐπὶ τοῖς πράγμασι τὴν ψυχήν, ἢ ὅτι ξυμπεριφέρεται, καὶ ὀρθότερόν ἐστιν, ὥσπερ νῦν, αὐτοῦ τὴν ἀρχὴν λέγειν μᾶλλον, ἢ ἐκβάλλοντας τὸ ε, πιστήμην· ἀλλὰ τὴν ἐμβολὴν ποιήσασθαι ἀντὶ τῆς ἐν τῷ ε, ἐν τῷ ι· ἔπειτα τὸ βέβαιον, ὅτι βάσεως τινός ἐστι καὶ στάσεως μίμημα, ἀλλ' οὐ φορᾶς. ἔπειτα ἡ ἱστορία αὐτό που σημαίνει, ὅτι ἵστησι τὸν ῥοῦν, καὶ τὸ πιστοῦν ἱστᾶν παντάπασι σημαίνει. ἔπειτα δὲ ἡ μνήμη παντί που μηνύει ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ' οὐ φορά. εἰ δὲ βούλει, ἡ ἁμαρτία καὶ ἡ ξυμφορά, εἴ τις κατὰ τὰ ὀνόματα ἀκολουθήσει, φανεῖται ταυτὸν τῇ ξυνέσει αὐτῇ καὶ ἐπιστήμῃ καὶ τοῖς ἄλλοις πᾶσι τοῖς περὶ τὰ σπουδαῖα ὀνόμασιν. ἔτι τοίνυν ἡ ἀμαθία καὶ ἡ ἀκολασία παραπλησία τούτοις φαίνεται. ἡ μὲν γὰρ τοῦ ἅμα θεῷ ἰόντος πορεία φαίνεται ἡ ἀμαθία· ἡ δ' ἀκολασία παντάπασιν ἀκολουθία τοῖς πράγμασι φαίνεται. καὶ οὕτως, ἃ νομίζομεν ἐπὶ τοῖς κακίστοις ὀνόματα εἶναι, ὁμοιότατ' ἂν φαίνοιτο τοῖς ἐπὶ τοῖς καλλίστοις. οἶμαι δέ, καὶ ἄλλα πόλλ' ἄν τις εὕροι, εἰ πραγματεύοιτο, ἐξ ὧν οἰηθείη ἂν αὖ πάλιν τὸν τὰ ὀνόματα τιθέμενον, οὐχὶ ἰόντα οὐδὲ φερόμενα, ἀλλὰ μένοντα τὰ πράγματα σημαίνειν. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, ὁρᾷς ὅτι τὰ πολλὰ ἐκείνως ἐσήμαινε. ΣΩ. Τί οὖν τοῦτο, ὦ Κρατύλε; ὥσπερ ψήφους διαριθμησόμεθα τὰ ὀνόματα, καὶ ἐν τούτῳ ἔσται ἡ ὀρθό-

της; ὁπότερα ἂν πλείω φαίνηται τὰ ὀνόματα σημαίνοντα, ταῦτα δὴ ἔσται τἀληθῆ; ΚΡ. Οὔκουν εἰκός γε. ΣΩ. Οὐδ' ὁπωςτιοῦν, ὦ φίλε. XLIII. Καὶ ταῦτα μέν γε αὐτοῦ ἐάσωμεν· τάδε δὲ ἐπισκεψώμεθα εἰ ἡμῖν καὶ τῇδε ὁμολογεῖς, εἴτε καὶ οὔ. φέρε, τοὺς τὰ ὀνόματα ἐν ταῖς πόλεσι τιθεμένους ἑκάστοτε ἔν τε ταῖς Ἑλληνικαῖς καὶ βαρβαρικαῖς, οὐκ ἀρτίως ὡμολογοῦμεν ὀνοματοθέτας εἶναι, καὶ τὴν τέχνην τὴν τοῦτο δυναμένην, ὀνοματοθετικήν; ΚΡ. Πάνυ γε. ΣΩ. Λέγε δή, οἱ πρῶτοι ὀνοματοθέται τὰ πρῶτα ὀνόματα πότερον γιγνώσκοντες τὰ πράγματα, οἷς ἐτίθεντο, ἐτίθεντο, ἢ ἀγνοοῦντες; ΚΡ. Οἶμαι μὲν ἐγώ, ὦ Σώκρατες, γιγνώσκοντες. ΣΩ. Οὐ γάρ που, ὦ ἑταῖρε Κρατύλε, ἀγνοοῦντές γε. ΚΡ. Οὔ μοι δοκεῖ. ΣΩ. Ἐπανέλθωμεν δὴ πάλιν ὅθεν δεῦρο μετέβημεν· ἄρτι γὰρ ἐν τοῖς πρόσθεν, εἰ μέμνησαι, τὸν τιθέμενον τὰ ὀνόματα, ἀναγκαῖον ἔφησθα εἶναι εἰδότα τίθεσθαι οἷς ἐτίθετο· πότερον οὖν ἔτι σοι δοκεῖ οὕτως, ἢ οὔ; ΚΡ. Ἔτι. ΣΩ. Ἦ καὶ τὸν τὰ πρῶτα τιθέμενον εἰδότα φὴς τίθεσθαι; ΚΡ. Εἰδότα. ΣΩ. Ἐκ ποίων οὖν ὀνομάτων ἢ μεμαθηκὼς ἢ εὑρηκὼς ἦν τὰ πράγματα, εἴπερ τά γε πρῶτα μήπω ἔκειτο; μαθεῖν δ' αὖ φαμεν τὰ πράγματα καὶ εὑρεῖν ἀδύνατον εἶναι ἄλλως ἢ τὰ ὀνόματα μαθόντας, ἢ αὐτοὺς ἐξευρόντας οἷά ἐστι; ΚΡ. Δοκεῖς τί μοι λέγειν, ὦ Σώκρατες. ΣΩ. Τίνα οὖν τρόπον φῶμεν αὐτοὺς εἰδότας θέσθαι, ἢ ὀνοματοθέτας εἶναι, πρὶν καὶ ὁτιοῦν ὄνομα κεῖσθαί τε καὶ ἐκείνους εἰδέναι, εἴπερ μὴ ἔστι τὰ πράγματα

μαθεῖν ἀλλ' ἢ ἐκ τῶν ὀνομάτων; ΚΡ. Οἶμαι μὲν ἐγὼ τὸν ἀληθέστατον λόγον περὶ τούτων εἶναι, ὦ Σώκρατες, μείζω τινὰ δύναμιν εἶναι ἢ ἀνθρωπείαν, τὴν θεμένην τὰ πρῶτα ὀνόματα τοῖς πράγμασιν· ὥςτε ἀναγκαῖον εἶναι αὐτὰ ὀρθῶς ἔχειν. ΣΩ. Εἶτα, οἴει, ἐναντία ἂν ἐτίθετο αὐτὸς αὑτῷ ὁ θεὶς, ὢν δαίμων τις ἢ θεός; ἢ οὐδέν σοι ἐδοκοῦμεν ἄρτι λέγειν; ΚΡ. Ἀλλὰ μὴ οὐκ ᾖ τούτων τὰ ἕτερα ὀνόματα. ΣΩ. Πότερα, ὦ ἄριστε, τὰ ἐπὶ τὴν στάσιν ἄγοντα ἢ τὰ ἐπὶ τὴν φοράν; οὐ γάρ πω κατὰ τὸ ἄρτι λεχθὲν πλήθει κριθήσεται. ΚΡ. Οὕτω δὴ δίκαιόν γε, ὦ Σώκρατες. ΣΩ. Ὀνομάτων οὖν στασιασάντων, καὶ τῶν μὲν φασκόντων ἑαυτὰ εἶναι τὰ ὅμοια τῇ ἀληθείᾳ, τῶν δ' ἑαυτά, τίνι ἔτι διακρινοῦμεν, ἢ ἐπὶ τί ἐλθόντες; οὐ γάρ που ἐπὶ ὀνόματά γε ἕτερα ἄλλα τούτων· οὐ γάρ ἐστιν· ἀλλὰ δηλονότι ἄλλ' ἄττα ζητητέα πλὴν ὀνομάτων, ἃ ἡμῖν ἐμφανιεῖ ἄνευ ὀνομάτων ὁπότερα τούτων ἐστὶ τἀληθῆ, δείξαντα δηλονότι τὴν ἀλήθειαν τῶν ὄντων. ΚΡ. Δοκεῖ μοι οὕτω. ΣΩ. Ἔστιν ἄρα, ὡς ἔοικεν, ὦ Κρατύλε, δυνατὸν μαθεῖν ἄνευ ὀνομάτων τὰ ὄντα, εἴπερ ταῦτα οὕτως ἔχει. ΚΡ. Φαίνεται. ΣΩ. Διὰ τίνος ἄλλου οὖν ἔτι προσδοκᾷς ἂν αὐτὰ μαθεῖν; ἆρα δι' ἄλλου του, ἢ οὗπερ εἰκός τε καὶ δικαιότατον, δι' ἀλλήλων γε, εἴ πη ξυγγενῆ ἐστι καὶ αὐτὰ δι' αὑτῶν; τὸ γάρ που ἕτερον ἐκείνων καὶ ἀλλοῖον ἕτερον ἄν τι καὶ ἀλλοῖον σημαίνοι, ἀλλ' οὐκ ἐκεῖνα. ΚΡ. Ἀληθῆ μοι φαίνῃ λέγειν. ΣΩ. Ἔχε δὴ πρὸς Διός· τὰ δὲ δὴ ὀνόματα οὐ πολλάκις μέντοι ὡμολογή-

καμεν, τὰ καλῶς κείμενα, ἐοικότα εἶναι ἐκείνοις, ὧν ὀνόματα κεῖται, καὶ εἶναι εἰκόνας τῶν πραγμάτων; ΚΡ. Ναί. ΣΩ. Εἰ οὖν ἐστὶ μὲν ὅτιμάλιστα δι᾽ ὀνομάτων τὰ πράγματα μανθάνειν, ἔστι δὲ καὶ δι᾽ ἑαυτῶν, ποτέρα ἂν εἴη καλλίων καὶ σαφεστέρα ἡ μάθησις; ἐκ τῆς εἰκόνος μανθάνειν αὐτήν τε αὐτήν, εἰ καλῶς εἴκασται, καὶ τὴν ἀλήθειαν, ἧς ἦν ἡ εἰκών· ἢ ἐκ τῆς ἀληθείας αὐτήν τε αὐτὴν καὶ τὴν εἰκόνα αὐτῆς, εἰ πρεπόντως εἴργασται; ΚΡ. Ἐκ τῆς ἀληθείας μοι δοκεῖ ἀνάγκη εἶναι. ΣΩ. Ὅντινα μὲν τοίνυν τρόπον δεῖ μανθάνειν, ἢ καὶ εὑρίσκειν τὰ ὄντα, μεῖζον ἴσως ἐστὶν ἐγνωκέναι ἢ κατ᾽ ἐμὲ καὶ σέ· ἀγαπητὸν δὲ καὶ τοῦτο ὁμολογήσασθαι, ὅτι οὐκ ἐξ ὀνομάτων, ἀλλὰ πολὺ μᾶλλον αὐτὰ ἐξ αὐτῶν καὶ μαθητέον καὶ ζητητέον ἢ ἐκ τῶν ὀνομάτων. ΚΡ. Φαίνεται, ὦ Σώκρατες. XLIV. ΣΩ. Ἔτι τοίνυν τόδε σκεψώμεθα, ὅπως μὴ ἡμᾶς τὰ πολλὰ ταῦτα ὀνόματα ἐς ταυτὸν τείνοντα ἐξαπατᾷ, καὶ τῷ ὄντι μὲν οἱ θέμενοι αὐτὰ διανοηθέντες τε ἔθεντο, ὡς ἰόντων τε ἁπάντων ἀεὶ καὶ ῥεόντων· φαίνονται γάρ ἔμοιγε καὶ αὐτοὶ οὕτω διανοηθῆναι· τὸ δ᾽, εἰ ἔτυχεν, οὐχ οὕτως ἔχει, ἀλλ᾽ οὗτοι αὐτοί τε ὥςπερ εἴς τινα δίνην ἐμπεσόντες κυκῶνται, καὶ ἡμᾶς ἐφελκόμενοι προςεμβάλλουσι. σκέψαι γάρ, ὦ θαυμάσιε Κρατύλε, ὃ ἔγω πολλάκις ὀνειρώττω, πότερον φῶμέν τι εἶναι αὐτὸ τὸ καλὸν καὶ ἀγαθὸν, καὶ ἓν ἕκαστον τῶν ὄντων οὕτως, ἢ μή. ΚΡ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, εἶναι. ΣΩ. Αὐτὸ τοίνυν ἐκεῖνο σκεψώμεθα μὴ εἰ πρόςω-

πόν τί ἐστι καλὸν ἤ τι τῶν τοιούτων, καὶ δοκεῖ ταῦτα πάντα ῥεῖν, ἀλλ᾽ αὐτό φῶμεν τὸ καλόν· οὐ τοιοῦτον ἀεί ἐστιν, οἷόν ἐστι; ΚΡ. Ἀνάγκη. ΣΩ. Ἆρ᾽ οὖν οἷόν τε προσειπεῖν αὐτὸ ὀρθῶς, εἰ ἀεὶ ὑπεξέρχεται, πρῶτον μέν, ὅτι ἐκεῖνό ἐστιν, ἔπειτα, ὅτι τοιοῦτον; ἢ ἀνάγκη, ἅμα ἡμῶν λεγόντων, ἄλλο αὐτὸ εὐθὺς γίγνεσθαι καὶ ὑπεξιέναι καὶ μηκέτι οὕτως ἔχειν; ΚΡ. Ἀνάγκη. ΣΩ. Πῶς οὖν ἂν εἴη τι ἐκεῖνο, ὃ μηδέποτε ὡσαύτως ἔχει; εἰ γάρ ποτε ὡσαύτως ἔχει, ἔν γ᾽ ἐκείνῳ τῷ χρόνῳ, ὁπότε ὡσαύτως ἔχει, δῆλον ὅτι οὐδὲν μεταβαίνει· εἰ δὲ ἀεὶ ὡσαύτως ἔχει καὶ τὸ αὐτό ἐστι, πῶς ἂν τοῦτό γε μεταβάλλοι ἢ κινοῖτο, μηδὲν ἐξιστάμενον τῆς αὐτοῦ ἰδέας; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μὴν οὐδ᾽ ἂν γνωσθείη γε ὑπ᾽ οὐδενός· ἅμα γὰρ ἂν ἐπιόντος τοῦ γνωσομένου, ἄλλο καὶ ἀλλοῖον γίγνοιτο, ὥστε οὐκ ἂν γνωσθείη ἔτι ὁποῖόν γέ τί ἐστιν, ἢ πῶς ἔχον· γνῶσις δὲ δήπου οὐδεμία γιγνώσκει ὃ γιγνώσκει μηδαμῶς ἔχον. ΚΡ. Ἔστιν ὡς λέγεις. ΣΩ. Ἀλλ᾽ οὐδὲ γνῶσιν εἶναι φάναι εἰκός, ὦ Κρατύλε, εἰ μεταπίπτει πάντα χρήματα, καὶ μηδὲν μένει. εἰ μὲν γὰρ αὐτὸ τοῦτο, ἡ γνῶσις, τοῦ γνῶσις εἶναι μὴ μεταπίπτει, μένοι τε ἂν ἀεὶ ἡ γνῶσις καὶ εἴη γνῶσις· εἰ δὲ καὶ αὐτὸ τὸ εἶδος μεταπίπτει τῆς γνώσεως, ἅμα τ᾽ ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνώσεως, καὶ οὐκ ἂν εἴη γνῶσις· εἰ δὲ ἀεὶ μεταπίπτει, ἀεὶ οὐκ ἂν εἴη γνῶσις· καὶ ἐκ τούτου τοῦ λόγου οὔτε τὸ γνωσόμενον οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. εἰ δὲ ἔστι μὲν ἀεὶ τὸ γιγνῶσκον, ἔστι

δὲ τὸ γιγνωσκόμενον, ἔστι δὲ τὸ καλόν, ἔστι δὲ τὸ ἀγαθόν, ἔστι δὲ ἓν ἕκαστον τῶν ὄντων, οὔ μοι φαίνεται ταῦτα ὅμοια ὄντα, ἃ νῦν ἡμεῖς λέγομεν, ῥοῇ οὐδὲν οὐδὲ φορᾷ. Ταῦτ' οὖν πότερόν ποτε οὕτως ἔχει, ἢ ἐκείνως ὡς οἱ περὶ Ἡράκλειτόν τε λέγουσι καὶ ἄλλοι πολλοί, μὴ οὐ ῥᾴδιον ᾖ ἐπισκέψασθαι, οὐδὲ πάνυ νοῦν ἔχοντος ἀνθρώπου, ἐπιτρέψαντα ὀνόμασιν αὑτὸν καὶ τὴν αὑτοῦ ψυχὴν θεραπεύειν, πεπιστευκότα ἐκείνοις, καὶ τοῖς θεμένοις αὐτὰ διϊσχυρίζεσθαι ὥς τι εἰδότα, καὶ αὑτοῦ τε καὶ τῶν ὄντων καταγιγνώσκειν, ὡς οὐδὲν ὑγιὲς οὐδενός, ἀλλὰ πάντα ὥσπερ κεράμια ῥεῖ καὶ ἀτεχνῶς, ὥσπερ οἱ κατάῤῥῳ νοσοῦντες ἄνθρωποι, οὕτως οἴεσθαι καὶ τὰ πράγματα διακεῖσθαι, ὑπὸ ῥεύματός τε καὶ κατάῤῥου πάντα χρήματα ἔχεσθαι. Ἴσως μὲν οὖν δή, ὦ Κρατύλε, οὕτως ἔχει, ἴσως δὲ καὶ οὔ. σκοπεῖσθαι οὖν χρὴ ἀνδρείως τε καὶ εὖ, καὶ μὴ ῥᾳδίως ἀποδέχεσθαι, — ἔτι γὰρ νέος εἶ, καὶ ἡλικίαν ἔχεις — σκεψάμενον δέ, ἐὰν εὕρῃς, μεταδιδόναι καὶ ἐμοί. ΚΡ. Ἀλλὰ ποιήσω ταῦτα· εὖ μέντοι ἴσθι, ὦ Σώκρατες, ὅτι οὐδὲ νυνὶ ἀσκέπτως ἔχω· ἀλλά μοι σκοπουμένῳ καὶ πράγματα ἔχοντι πολὺ μᾶλλον ἐκείνως φαίνεται ἔχειν, ὡς Ἡράκλειτος λέγει. ΣΩ. Εἰσαῦθις τοίνυν με, ὦ ἑταῖρε, διδάξεις ἐπειδὰν ἥκῃς· νῦν δέ, ὥσπερ παρεσκεύασαι, πορεύου εἰς ἀγρόν· προπέμψει δέ σε καὶ Ἑρμογένης ὅδε. ΚΡ. Ταῦτ' ἔσται, ὦ Σώκρατες· ἀλλὰ καὶ σὺ πειρῶ ἔτι ἐννοεῖν ταῦτα ἤδη.

ΣΧΟΛΙΑ
ΕΙΣ
ΠΛΑΤΩΝΑ.

ΕΙΣ ΤΟΝ ΣΟΦΙΣΤΗΝ.

P. 1. Ὅτι σοφιστὴν καλεῖ ὁ Πλάτων καὶ τὸν .... καὶ τὸν Ἅιδην, καὶ τὸν Δία, καὶ παγκάλην λέγει εἶναι τὴν σοφιστικὴν τέχνην· ὅθεν ὑπονοοῦμεν, ὅτι γλαφυρωτέρου σκοποῦ ἔχεται ὁ διάλογος. Ἔστι γὰρ κατὰ τὸν μέγαν Ἰάμβλιχον σκοπὸς νῦν περὶ τοῦ ὑπὸ σελήνην δημιουργοῦ. Οὗτος γὰρ καὶ εἰδωλοποιὸς καὶ καθαρτὴς ψυχῶν, ἐναντίων λόγων ἀεὶ χωρίζων, μεταβλητικὸς καὶ νέων πλουσίων ἔμμισθος θηρευτής, ψυχὰς ὑποδεχόμενος πλήρεις λόγων ἄνωθεν ἰούσας, καὶ μισθὸν λαμβάνων παρ' αὐτῶν, τὴν ζωοποιΐαν τὴν κατὰ λόγον τῶν θνητῶν. οὗτος ἐνδέδεται τῷ μὴ ὄντι, τὰ ἔνυλα δημιουργῶν καὶ τὸ ὡς ἀληθῶς ψεῦδος ἀσπαζόμενος, τὴν ὕλην· βλέπει δὲ εἰς τὸ ὄντως ὄν. οὗτός ἐστιν ὁ πολυκέφαλος, πολλὰς οὐσίας καὶ ζωὰς προβεβλημένος, δι' ὧν κατασκευάζει τὴν ποικιλίαν τῆς γενέσεως. ὁ δ' αὐτὸς καὶ γόης, ὡς θέλγων

τὰς ψυχὰς τοῖς φυσικοῖς λόγοις, ὡς δυςαποσπάστως ἔχειν ἀπὸ τῆς γενέσεως. καὶ γὰρ ὁ ἔρως γόης, καὶ ἡ φύσις ὑπό τινων μάγος κέκληται διὰ τὰς συμπαθείας καὶ ἀντιπαθείας τῶν φύσει. Νῦν οὖν τὸν παντοδαπὸν σοφιστὴν βούλεται διδάσκειν. καὶ γὰρ καὶ ὁ φιλόσοφος σοφιστής, ὡς μιμούμενος τόν τε οὐράνιον δημιουργὸν καὶ τὸν γενεσιουργόν· καὶ ἡ διαιρετικὴ μιμεῖται τὴν ἀπὸ τοῦ ἑνὸς τῶν ὄντων πρόοδον, καὶ ὁ γενεσιουργὸς τὸν οὐράνιον δημιουργόν. διὸ καὶ ὁ σοφιστής. καὶ αὐτὸς δὲ ὁ σοφιστὴς ἄνθρωπος ὢν διὰ τὸ τὰ μεγάλα μιμεῖσθαι, σοφιστὴς καλεῖται· ὅθεν καὶ τὸν σοφιστὴν πολυκέφαλον εἴρηκεν. Ὁ δὲ ξένος εἰς τύπον τοῦ πατρὸς τῶν δημιουργούντων νοείσθω ὑπερουράνιος καὶ ἐξῃρημένος· οἱ δὲ ἀκροαταὶ εἰς τὰς δημιουργικὰς νοήσεις, ὁ μὲν εἰς τὴν τοῦ Διός, ὁ δὲ εἰς τὴν ἀγγελικήν, ὡς Ἑρμαϊκὸς καὶ γεωμετρικός. Καὶ ἐπεὶ ἡ δημιουργία ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον, διὰ τοῦτο πρῶτον ὁ ξένος τῷ Θεοδώρῳ συγγίνεται· εἶτα δι' ἐπιστροφῆς τῷ δίῳ Σωκράτει.

P. 1, 3. Ἐλέας] Ἐλέα, πόλις Ἰταλίας.

P. 1, 7. Κατὰ τὸν Ὁμήρου λόγον] Τὸ μὲν Ὁμηρικὸν (Od. ρ, 485. sq.) ἔχει· Καί τε θεοὶ ξείνοισιν ἐοικότες, καὶ τὰ ἑξῆς. Ὁ δὲ Σωκράτης νῦν, συμφωνῶν ἑαυτῷ ἐν τῇ Πολιτείᾳ, πρᾳότερον ἐπιῤῥαπίζει τὸν τοῦ Ὁμήρου λόγον, διὰ τοῦ συνοπαδὸν γινόμενον. τὸ γὰρ μεταμορφοῦσθαι θεόν, ὡς ἀπατηλὸν ἐκβάλλει τῆς ἑαυτοῦ πολιτείας Πλάτων.

P. 6, 25. Ἄττα] Τοῦτο ψιλούμενον μὲν τινὰ σημαίνει, δασυνόμενον δὲ, ἅτινα· ὡς Δημοσθένης δηλοῖ ἐν τῷ τῆς παραπρεσβείας (p. 458. T. I. Reisk.)· ὁ δὲ πρεσβεύων Αἰσχίνης οὗτος ἐλθών, πῶς μὲν καὶ

ἅττα ποτε διελέχθη; ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται· ὡς ἐν τῷ Χείρωνι Φερεκράτης· τοῖς δέκα ταλάντοις ἄλλα προστιθείς, ἔφη, ἅττα πεντήκοντα. οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ Ἄττα. Ἀριστοφάνης Νεφέλαις (v. 621.)·

Ὅστις σκαλαθυρμάτι' ἅττα μικρὰ μανθάνων.

Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι·

Πύθου χελιδὼν, πηνίκ' ἅττα φαίνεται.

καὶ πάλιν·

Ὁπηνίκα ἅττ' ὑμεῖς ὀρχούμενοι κοπιᾶτε.

P. 7, 5. Πτηνὸν φῦλον] Γράφεται, φαῦλον.

P. 19, l. 19. s. Ἀμφηγνόησά σου] Γράφεται, ἀμφεγνόησας οὖ. [Neutrum recte.]

P. 38, l. 15. Τυφλῷ] Καὶ τυφλῷ δῆλον, ἐπὶ τῶν ἄγαν σαφεστάτων. Μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι, καὶ Ῥαπιζομένῃ, καὶ Ἀριστοφάνης Πλούτῳ. [v. 48.]

P. 40. l. 21. Ἦν] ἀντὶ τοῦ, ἤμην, Ἀττικῶς.

P. 41, l. 8. Κατὰ πόδα] παρ' αὐτὰ, κατὰ τάξιν.

P. 46, l. 9. Τί μήν;] κατάφασιν δηλοῖ ἀντὶ τοῦ, πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ;

P. 54, l. 17. Εὐρυκλέα] Παροιμία, ἐπὶ τῶν ἑαυτοῖς τινὰ κακὰ μαντευομένων, λεγομένη ἐξ Εὐρυκλέους ἐγγαστριμύθου μάντεως, ἀφ' οὗ καὶ γένος τι μαντέων Εὐρυκλεῖς ἔλεγον. Ἐγγαστρίμυθος δέ ἐστιν ὁ ἐν γαστρὶ μαντευόμενος. τοῦτον καὶ Ἐγγαστρίμαντιν, νῦν τινες Πύθωνα φασί, Σοφοκλῆς δὲ Στερνόμαντιν. καὶ Ἀριστοφάνης ἐν Σφηξί [1104.]·

Μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν.

Φιλόχορος δὲ ἐν τρίτῳ καὶ γυναῖκας ἐγγαστριμύθους φησιν. Ἄλλως. Ἐπὶ τῶν ἑαυτοῖς κακὰ μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαιμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ Ἐγγαστρίμυθος ἐκαλεῖτο. οὗτος δὲ προειπών τινί ποτε τὰ μὴ καθ' ἡδονήν, κακῶς ἀπήλλαξεν. Ἄτοπον δὲ τὸν μὴ ἑδραῖον ἀλλ' ἐκτοπίζοντα λέγει.

P. 58, l. 7. Τινὲ αὐτοῦ [ex vulg. lect.] Γράφεται, τιν' ἑαυτοῦ.

P. 63. l. 19. Ἀμηγέπῃ] ὁπωςδήποτε, καθοτιοῦν. λέγεται δὲ καὶ Ἀμωςγέπως, καὶ Ἀμόθεν, καὶ Ἀμουγέπου [Ἀμογέπου Schol. Aug. ap. Fisch. et Sieb.] καὶ Ἀμοιγέποι, καὶ Ἀμοσέποι [Ἀμογέποι Schol. Aug.]

ΕΙΣ ΤΟΝ ΕΥΘΥΔΗΜΟΝ.

P. 80. l. 12. Σκληφρὸς] Σκληφρός, ὁ τῷ μὲν χρόνῳ πρεσβύτερος, τῇ δὲ ὄψει νεώτερος δοκῶν. Προφερὴς δέ, ὁ τῷ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει πρεσβύτερος. [Add. Pollux 2, 10.]

P. 91, l. 7. Σκολύθρια] ταπεινὰ διφρία. ἔνιοι δὲ ὑποπόδια. [Add. Eustath. ad Od. δ, p. 195. et Etym. *M.*]

P. 96, l. 12. Γέγονεν] Γράφεται καί, πέφυκεν. [vt nunc legitur.]

P. 102. l. 7. Τῇ Μηδείᾳ] Αὕτη γὰρ συνεβούλευσεν, ἀπὸ Κόλχων μετὰ Ἰάσονος εἰς Ἰωλκὸν ἐλθοῦσα, ταῖς Πελίου θυγατράσιν, ἵνα, εἰ τοῦτον βούλοιντο νέον γενέσθαι, ἑψηθῇ.

P. 110, l. 26. Κορύδους] Κόρυδοι, ὄρνιθες ὀρτυ-

ξιν ὅμοιαι, οὓς ἔνιοι μὲν Κορυδάλλους φασί, Γῆς καὶ Ἀθηνᾶς ἱεροί.

P. 113, l. 10. Ὁ Διὸς Κόρινθος] Διὸς Κόρινθος, [λέγεται] ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων. Τῶν γὰρ Κορινθίων βαρέα τοῖς Μεγαρεῦσιν, ἀποίκοις οὖσιν, ἐπιταττόντων, τὸ μὲν πρῶτον ὑπήκουον. ὡς δὲ ὕβρεως οὐδὲν ἀπελίμπανον οἱ Κορίνθιοι, ἐλπίσαντες οἱ Μεγαρεῖς, οὐδὲν ἂν παθεῖν ἀποστάντας, παραχρῆμα τῶν Κορινθίων ἀφίστανται. πέμπουσιν οὖν πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ παρελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ διεξῆσαν, καὶ τέλος, ὅτι δικαίως ἂν στενάξειεν ὁ Διὸς Κόρινθος ἐπὶ τοῖς γιγνομένοις, εἰ μὴ λήψονται δίκην παρ᾽ αὐτῶν. ἐφ᾽ οἷς παροξυνθέντες οἱ Μεγαρεῖς, τούς τε πρέσβεις παραχρῆμα λίθοις ἔβαλον, καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις, καὶ μάχης γενομένης, νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποχωρούντων, ἑπόμενοι καὶ κτείνοντες ἅμα παίειν ἀλλήλοις τὸν Διὸς Κόρινθον ἐκέλευον. Μέμνηται δὲ ταύτης Ἀριστοφάνης ἐν τοῖς Βατράχοις [442. vbi v. Schol. et intpp.] λέγων·

Ἀλλ᾽ ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασι.

καὶ ἐν Ταγηνισταῖς, καὶ Ἔφορος ἐν πρώτῃ ἱστοριῶν, καὶ Πλάτων Εὐθυδήμῳ. Ἄλλοι δὲ ἐπὶ τῶν ἐπ᾽ οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν. Ἄλλως. Ἐπὶ τῶν ἐπ᾽ οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν. Μεγαρεῦσι γὰρ ὡρμημένοις ἀφίστασθαι, ἐπιλέγειν τὸν Κορίνθιον· οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος. Μέμνηται ταύτης καὶ Πίνδαρος [Nem. VII. extr. vbi v. Schol.] Ἄλλοι δὲ ταύ-

την φασὶ ἐπὶ τῶν σεμνυνομένων, κακῶς δὲ ἀπαλλαξάντων.

P. 114. l. 17. *Καλὰ δὴ πάντ' ἄγεις*] [vbi ol. vulg. πάντα λέγεις vt et Sieb.] ἀντὶ τοῦ, ἀγγέλλεις, ἐπὶ τῶν αἴσια ἀναγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς, καὶ Πλάτων Εὐθυδήμῳ.

P. 120. l. 11. *Τοῦ λόγου*] Γράφεται καὶ, τοῦ ὅλου.

P. 122. l. 3. *Οὐ λίνον*] Λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων, ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. Μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως [c. 6.]· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί. καὶ Στράττις Ποταμοῖς, καὶ Πλάτων Εὐθυδήμῳ.

P. 122. l. 10. [vbi κωβιῶν legitur] *Τῶν ᾠδίων*] τῶν κοβίων.

P. 126. l. 1. *Ἔχρυξα*] ἔκραξα, ἢ ἐφθεγξάμην, ὡς νῦν.

P. 128. l. 13. *Ἀπόλλων πατρῷος*] Φασί τινες, Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτων γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὅς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δέ, ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων, Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα Πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν.

P. 128. l. 14. *Ἕρκιος*] [Ἑρκεῖος ibi legitur] Ἕρκη τοὺς οἴκους Ἀθηναῖοί φασιν· ἐκ τούτων δὲ καὶ Ζεὺς Ἕρκιος παρ' αὐτοῖς, ὃν ἵδρυον ἐν τούτοις φυλακῆς χάριν. Φατρία δέ ἐστι τὸ τρίτον μέρος ἑκάστης φυλῆς· καὶ Ἀθηνᾶ Φατρία, ἡ τούτου ἔφορος. [Bis leg. φρατρία, ut Sieb].

P. 129. l. 6. *Πύπαξ*] *Τὸ νῦν Βόμβαξ λεγόμενον Πύπαξ ἔλεγον, ὡς Λυκόφρων φήθη· οὐκ ἔστι δέ. τὸ μὲν γὰρ Πύπαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου· τὸ δὲ Βόμβαξ οὐκέτι.*

P. 133, l. 12. *Κολούεσθαι*] *ἐλαττοῦσθαι, ἐμποδίζεσθαι.*

ΕΙΣ ΤΟΝ ΠΡΩΤΑΓΟΡΑΝ.

P. 167, l. 9. *Μορίων ἀλλοίων ἐπιστήμη*] *Γράφεται, οἷον ἐπιστήμη· ἐν ἄλλῳ δὲ, μορίων ἀλλοίων.* [Male, haud dubie.]

P. 175, l. 1. *Λιπαρῶς*] *ἐπιμελῶς, προςεδρευτικῶς.*

P. 175, l. 27. *Δολιχοδρόμων*] *Δολιχόδρομοί εἰσιν, οἱ τὸν δόλιχον τρέχοντες, οὗ αἰτία ἥδε· Δρομοκήρυκες ἐξ Ἀρκαδίας ἐφοίτων εἰς τὴν Ἑλλάδα, τῶν πολεμικῶν ἄγγελοι· καὶ ἀπείρητο αὐτοῖς ἱππεύειν, ἀλλ᾽ αὐτουργοῖς εἶναι τοῦ δρόμου. Τὸ ἀεὶ οὖν ἐν βραχεῖ τῆς ἡμέρας διαδραμεῖν στάδια, ὁπόσα ὁ δόλιχος, δρομοκήρυκας εἰργάζετο, καὶ ἐγύμναζεν ἐν τῷ πολέμῳ. Ἡμεροδρόμοι δὲ, οἱ τὰς βασιλικὰς διατάξεις ταχύτατα διακονούμενοι.*

P. 178, l. 14. *Πρυτανεῖον*] *θεσμοθέσιον, θόλος. λέγεται δὲ καὶ ἡ ἐπιμήνιος μισθοφορά.*

P. 179, l. 2. *Ῥαβδοῦχον*] *Ῥαβδοῦχοι, ἄνδρες τῆς τῶν θεάτρων εὐκοσμίας ἐπιμελούμενοι.* [cf. Schol. Arist. Pac. 733.]

P. 183, l. 8. s. *Εἰς καιρὸν*] *εὐκαίρως.*

P. 184. l. 12. *Πολλοῦ γε δεῖ*] *Τοῦτο καθ᾽ ὑπόκρισιν λέγεται ἀποφατικῶς ἀπὸ τοῦ πολὺ ἐνδεῖ.*

P. 188, l. 8. *Χαριέντως*] *ἀστείως, συνετῶς. σημαίνει δὲ καὶ τό, μετὰ παιγνιᾶς.*

την φασὶ ἐπὶ τῶν σεμνυνομένων, κακῶς δὲ ἀπαλλαξάντων.

P. 114. l. 17. *Καλὰ δὴ πάντ' ἄγεις*] [vbi ol. vulg. πάντα λέγεις vt et Sieb.] ἀντὶ τοῦ, ἀγγέλλεις, ἐπὶ τῶν αἴσια ἀναγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς, καὶ Πλάτων Εὐθυδήμῳ.

P. 120. l. 11. *Τοῦ λόγου*] Γράφεται καὶ, τοῦ ὅλου.

P. 122. l. 3. *Οὐ λίνον*] Λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων, ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. Μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως [c. 6.]· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί. καὶ Στράττις Ποταμοῖς, καὶ Πλάτων Εὐθυδήμῳ.

P. 122. l. 10. [vbi κωβιῶν legitur] *Τῶν ᾠδίων*] τῶν κοβίων.

P. 126. l. 1. *Ἔχρυξα*] ἔκραξα, ἢ ἐφθεγξάμην, ὡς νῦν.

P. 128. l. 13. *Ἀπόλλων πατρῷος*] Φασί τινες, Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτων γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δὲ, ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων, Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα Πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν.

P. 128. l. 14. *Ἕρκιος*] [Ἕρκειος ibi legitur] Ἕρκη τοὺς οἴκους Ἀθηναῖοί φασιν· ἐκ τούτων δὲ καὶ Ζεὺς Ἕρκιος παρ' αὐτοῖς, ὃν ἵδρυον ἐν τούτοις φυλακῆς χάριν. Φατρία δέ ἐστι τὸ τρίτον μέρος ἑκάστης φυλῆς· καὶ Ἀθηνᾶ Φατρία, ἡ τούτου ἔφορος. [Bis leg. φρατρία, ut Sieb].

P. 129. l. 6. *Πύπαξ*] *Τὸ νῦν Βόμβαξ λεγόμενον Πύπαξ ἔλεγον, ὡς Λυκόφρων φήθη· οὐκ ἔστι δέ. τὸ μὲν γὰρ Πύπαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου· τὸ δὲ Βόμβαξ οὐκέτι.*

P. 133, l. 12. *Κολούεσθαι*] *ἐλαττοῦσθαι, ἐμποδίζεσθαι.*

ΕΙΣ ΤΟΝ ΠΡΩΤΑΓΟΡΑΝ.

P. 167, l. 9. *Μορίων ἀλλοίων ἐπιστήμη*] *Γράφεται, οἷον ἐπιστήμη· ἐν ἄλλῳ δὲ, μορίων ἀλλοίων.* [Male, haud dubie.]

P. 175, l. 1. *Λιπαρῶς*] *ἐπιμελῶς, προσεδρευτικῶς.*

P. 175, l. 27. *Δολιχοδρόμων*] *Δολιχόδρομοί εἰσιν, οἱ τὸν δόλιχον τρέχοντες, οὗ αἰτία ἥδε· Δρομοκήρυκες ἐξ Ἀρκαδίας ἐφοίτων εἰς τὴν Ἑλλάδα, τῶν πολεμικῶν ἄγγελοι· καὶ ἀπείρητο αὐτοῖς ἱππεύειν, ἀλλ' αὐτουργοῖς εἶναι τοῦ δρόμου. Τὸ ἀεὶ οὖν ἐν βραχεῖ τῆς ἡμέρας διαδραμεῖν στάδια, ὁπόσα ὁ δόλιχος, δρομοκήρυκας εἰργάζετο, καὶ ἐγύμναζεν ἐν τῷ πολέμῳ. Ἡμεροδρόμοι δὲ, οἱ τὰς βασιλικὰς διατάξεις ταχύτατα διακονούμενοι.*

P. 178, l. 14. *Πρυτανεῖον*] *θεσμοθέσιον, θόλος. λέγεται δὲ καὶ ἡ ἐπιμήνιος μισθοφορά.*

P. 179, l. 2. *Ῥαβδοῦχον*] *Ῥαβδοῦχοι, ἄνδρες τῆς τῶν θεάτρων εὐκοσμίας ἐπιμελούμενοι.* [cf. Schol. Arist. Pac. 733.]

P. 183, l. 8. s. *Εἰς καιρὸν*] *εὐκαίρως.*

P. 184. l. 12. *Πολλοῦ γε δεῖ*] *Τοῦτο καθ' ὑπόκρισιν λέγεται ἀποφατικῶς ἀπὸ τοῦ πολὺ ἐνδεῖ.*

P. 188, l. 8. *Χαριέντως*] *ἀστείως, συνετῶς. σημαίνει δὲ καὶ τό, μετὰ παιγνιᾶς.*

P. 196, l. 3. *Διόρισαι*] ἤγουν ἔξω τῶν ὅρων ποίησον.
P. 196, l. 16. *Ἴτας*] θαῤῥαλέους, ἐπὶ πάντας ὁρμῶντας. —

ΕΙΣ ΤΟΝ ΕΛΑΤΤΟΝΑ ΙΠΠΙΑΝ.

P. 223, l. 19. *Ἀνέδην*] ἐκκεχυμένως, καὶ τὸ κατὰ στέρησιν τοῦ ἕδους. ἐνταῦθα δὲ ἀπὸ τοῦ ἀνίημι, ὡσεὶ εἶπεν ἀνέτως.

P. 224, l. 1. *Στλεγγίδα καὶ λήκυθον*] Στλεγγίς, ἡ ξύστρα, καὶ Στλεγγιζόμενοι, οἱ ἀποξυόμενοι, ὅ ἐστι κτενιζόμενοι. Στλεγγὶς γὰρ τὸ κτένιον, ὡς Ἀριστοφάνης Γήρᾳ·

Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ, σφαῖραν καὶ στλεγγίδ' ἔχοντα:

καὶ Δαιταλεῦσιν·

Οὐδ' ἐστὶν αὐτοῖς στλεγγὶς, οὐδὲ λήκυθος.

καλεῖται δὲ Στλεγγὶς καὶ χρυσοῦν ἔλασμα, τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. Λήκυθον δὲ ἀγγεῖόν τί φασιν Ἀττικοί, ἐν ᾧ τοῖς νεκροῖς ἔφερον τὸ μύρον, τὴν ἀλάβαστρον. ἀῤῥενικῶς δὲ τὸν ἀλάβαστρον εἶπεν Ἡρόδοτος. ἐχρῶντο δὲ καὶ ἀντὶ φασκωλίων ληκύθοις, ἅ ἐστι δερμάτινα βαλάντια. Φάσκωλος δέ, τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται, διὸ καὶ τοὺς ἀπόρους Ἀποληκύθους ἔλεγον. λέγουσι δὲ καὶ τὴν λάγηνον Λήκυθον, καὶ τὸ μεταξὺ τοῦ λευκανίου καὶ αὐχένος ἠχῶδες, ὥς φησι Κλέαρχος.

P. 224, l. 24. *Λιπαρῆ*] προσεδρευτικόν, ἐπιμελῆ.
P. 228, l. 15. *Ἀρχαῖον*] εὐήθη, ἢ ἁπλοῦν.
P. 228, l. 18. *Εὐηθίας*] Γράφεται καὶ, εὐνοίας.
P. 230, l. 4. *Κατηβολῇ*] Κατηβολή, τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ, καὶ Πελιάσι. λέγεται δὲ

οὕτω καὶ ἡ τοῦ πυρετοῦ περίοδος, καὶ ὁρμή, καὶ μερίς, καὶ ἱερὰ νόσος, τὸ χρεών, τὸ καθῆκον, θυσία, τελετή, τὰ νομιζόμενα.

ΕΙΣ ΤΟΝ ΚΡΑΤΥΛΟΝ.

P. 237. l. 6. *Χαλεπὰ τὰ καλά*] *Παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα. Φησὶ δὲ αὐτὴν Δίδυμος ὑπὸ Σόλωνος ἀναφωνηθῆναι ἐπὶ Πιττάκῳ ἱκετεύοντι τὴν ἀρχὴν ἀποθέσθαι καὶ φάντι, χαλεπὸν ἐσθλὸν φῦναι, διὰ τὸ τὸν Περίανδρον εἰς ὠμότητα μεταβαλεῖν. Ὅθεν, οἶμαι, φησι καὶ Μένανδρος·*

Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
Ἀγαθὰ τὰ λίαν ἀγαθά.

Μέμνηται δὲ αὐτῆς καὶ Ἐπίχαρμος καὶ Πλάτων Πολιτείᾳ (IV. p. 435. C. VI. 497. D. Steph.) *καὶ Κρατύλῳ.*

P. 237. l. 18. *Σκοπεῖν*] *γράφεται, σκώπτειν.*

P. 238. l. 4. *Τῶν μεθιστάντων*] *γράφεται, τῶν ἐθισάντων.* [Ut nunc recte legitur.]

P. 247. l. 28. *Περί του ποταμοῦ*] *περί τινος.*

P. 252. l. 25. *Ἀτηρά*] *ἀκόλαστα, ὑβριστικά, χαλεπά, κακά, βλαβερά.*

P. 253. l. 21. *Ταλάντατον*] *ἀτυχέστατον.*

P. 255. l. 6. s. *Ἀποδιοπομπησόμεθα*] *Ἀποδιοπομπεῖσθαι φασὶν ἀποτρέπεσθαι τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά.*

P. 255. l. 22. *Χαίρειν ἐᾶν*] *Γράφεται καί, χρῆναι* [vt nunc legitur].

P. 256. l. 9. *Θεῖν*] *τρέχειν.*

P. 256. l. 11. *Ἐπονομάσαι*] *ἐπικαλέσαι.*

P. 257. l. 7. *Κομψῶς*] *καλῶς, μετρίως.*

P. 261. l. 12. *Καλῶς λέγειν*] μετρίως [vt recte ibi legitur; quare vertendum est scholion: μετρίως· κ.λ. vid. Hdf.]

P. 263. l. 4. *Ὤπυιεν*] ὡμίλει, συνεγένετο κατὰ νόμον καὶ ἐμίγνυτο, συνῴκει.

P. 267, 16. [Schol. Procl. in Crat. Mss. τὸ ἀεὶ τῶν βολῶν ἐγκρατῆ εἶναι τὴν δυναστείαν αὐτοῦ τὴν πάντα καταγωνιζομένην τὰ ἐν τῷ κόσμῳ δείκνυσι.]

P. 267. l. 25. *Ὁμοπολῶν*] γράφεται καί, ἐπισκοπῶν.

P. 270. l. 14. *Ἄῤῥατον*] ἀσφαλὲς καὶ ἀκάματον. οἱ δὲ ἰσχυρόν ἔνιοι, μικρόν [μακρόν potius]· οἱ δὲ μέγα· οἱ δὲ τὸ σκληρὸν καὶ ἀμετάστροφον.

P. 276. l. 5. *Περὶ τὸ φέρεσθαι*] Γράφεται καί, περὶ τὸ ῥεῖν γε.

P. 276. l. 26. *Ἐσύθη*] ἀπεφέρετο, ἀπηνέχθη.

P. 277. l. 17. *Διὰ τοῦ ὄντος*] Γράφεται καί, ἰόντος, [ut nunc est.]

P. 278. l. 4. *Ὑπὲρ τὰ ἐσκαμμένα*] Παροιμία, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς, ὅμοιον τῷ· Ὑπερβάθμιον πόδα τείνεις.

P. 281. l. 20. *Ῥοπήν*] Γράφεται καί, ῥοήν [vt nunc legitur].

P. 288. l. 26. *Τῇ κατ' ἀνάγκην*] Γράφεται καί, τῇ κατὰ τὰ ἄγκη [vt nunc est].

P. 290. l. 8. *Προφάσεις ὁ ἀγών*] Ἀγὼν πρόφασιν οὐκ ἀναμένει, ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. Μέμνηται δὲ αὐτῆς ὁ Πλάτων ἐνταῦθα οὕτως· οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι· καὶ ἐν Νόμων ἕκτῳ· [p. 250. Ed. Bip.] ἀλλὰ γὰρ ἀγῶνα προφάσεις οὐ πάνυ δέχεσθαι. Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ·

Ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.
καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. [cf. Acharn. 592]

P. 294. l. 9. Οἱ δεινοὶ] ἱκανοί, ἢ δέους ἄξιοι, ὡς νῦν.

P. 294, 21. Τῶν χρωμάτων] Γράφεται, τῶν φαρμάκων [vt nunc est].

P. 300, 12. Θαμὰ] πυκνῶς, συχνῶς.

P. 309, 25. Διαφέρων] Γράφεται, διάφορον. [ut nunc recte legitur. v. Hdf.]

P. 312, 25. Φερομένου] Γράφεται, ῥέοντος. [Scilicet vulg. καὶ ῥέοντος spuria videntur. cf. Hdf.]

P. 315, 25. Ἄλλο ὂν] Γράφεται, ἀλλοῖον. [ut nunc legitur.]

ANIMADVERSIONES.

IN SOPHISTAM.

P. 1. l. 1. Plena inscriptio est: *Σοφιστὴς ἢ περὶ τοῦ ὄντος λογικός. Τὰ τοῦ διαλόγου πρόσωπα· Θεόδωρος, Σωκράτης, ξένος Ἐλεάτης, Θεαίτητος.* Initium respicit ad Theaeteti finem.

L. 4. Vulg. *ἕτερον δὲ τ. ἀ. Π. κ. Ζ. ἑταίρων.* Steph. in Marg. „Al. *ἑταῖρον.* [Ita Corn.] Quod si post *ἑταῖρον δὲ* non distingu., vacaret *ἑταίρων* et dictum esset pro *ἑταῖρον δὲ Παρμενίδου καὶ Ζήνωνος.*" Emendaui ex Fisch. coniect. cum Hd. et Schleierm., sensu iubente.

L. 7. Non tantum ad Hom. Od. ρ, 485. s. sed etiam ι, 270. respicitur. Ex priori loco etiam sequentia ap. Plat. petita esse, monuit iam Steph. in Marg. *ὅς φησιν* St. e coniect. Corn. dedit pro ol. vulg. *ὡς.*

P. 2. l. 3. Verba *διὰ τὴν τ. ἄ. ἄγνοιαν* ad *παντοῖοι φαντ.* referenda esse, in Marg. observat Steph. Veros philosophos ignorantibus modo hanc modo illam exhibent speciem.

L. 14. post *μάλιστα* signum interr. poni vult Schl. scil. *ἡγοῦντο ταῦθ'*, recte adversante Hd..

L. 18. Steph. Marg.: Videtur legendum *γένει* (e Fic.). Schl. *γένος* vt interpretamentum delet, tuetur Hd. Sensus: per singula nomina genus cuique (nomini) assignarint.

P. 2. l. 21. *καὶ μὴν δὴ* voluit Fisch.

L. 27. *ταὐτὰ* (pro *ταῦτα*) cum Fic. et H.

P. 3. l. 8. Respicitur ad Parmenidis initium. Mox sensus: ei, qui et sine offensione et leniter respondentis partes sustinet sic, per sermocinationem facilius aliquis rem exponat.

L. 17. *κατὰ σμικρὸν* plerique reddunt, paullatim, pedetentim; Hdf. minutatim.

L. 21. Steph. Marg. „Suspectum mihi est *εἶναι*, ne sit pro *συνεῖναι* hoc sensu: nemo sperauerit se hoc intellecturum.“ Male. v. Fisch.

L. vlt. Ficin. *Ἆρα* expressit, quod ita initio periodi poni negat Hd. Cum hoc post *ἔσῃ* posui interr. notam. Vim habet *πᾶσι*: num ita (si me sermonis participem facis) etiam ab omnibus gratiam inibis?

P. 4. l. 6. Hd. e cod. Par. *οἶμαι μὲν δὴ* — Num fuit *μὲν νῦν*?

L. 10. Steph. *τὰ πολλὰ* edidit, et in Marg. vertit In plerisque, tum addit: „At *ταπολλὰ* coniunctim (vt in Ald.) est plerumque: sed videri posset vacare cum *οὐκ ἀηθές*.“ Sed vacat vsu vulgari. vid. Fisch. et Hd.

L. 19. Steph. Marg. „In Ald. [etiam Bas.] est *συνωμολογεῖσθαι* vel pro *συνομολογεῖσθαι* [quod St. dedit] vel pro *συνωμολογῆσθαι* [quod e cod. Par. cum Hd. datum]. Videtur autem *διὰ λόγου* potius scrib. quam *διὰ λόγων*, vt sequitur *χωρὶς λόγου* illi oppositum:“ licet idem lectionem illam, quae plur. habet, sequatur. Mox ante *ὁ σοφιστὴς* distingu. vt sit, *τὸ φῦλον* videlicet *ὁ σοφ.*

L. 25. Steph. Marg. *γρ. μεγίστοις*. Antea *τὸ* ante *πρότ.* ad Inf. *δεῖν* pertinet. Mox vulg. *ταῦτα* ...

P. 5, l. 22. Vulg. ἄγοι. E Stob. ἄγῃ dedit Hd. Nam ὅπερ ἂν est quodcunque.

L. vlt. Τὸ δὲ pro τ. δὴ cum Hd. scripsi.

P. 6. l. 7. Steph. Marg. „Al. τέχνην τὶς κτητικὴν λεχθεῖσαν διαγράψεις, quae lectio melior videtur. Et paulo ante non est οὐκ ante ἐπιτρέπει in vet. cod." οὐκ abesse non potest. Prior emendatio est Cornarii ἂν tamen ante διαγρ. non omittentis, probata Fisch. et Hd. Neque enim ars ipsa videtur dici posse διαγράφειν (lineis describere) ξύμπαντα τὰ μέρη. διὰ ταῦτα refertur ad ἐπειδή.

L. 13. Steph. Marg. „Possunt μισθώσεις intelligi et conductiones et locationes, vel potius locationes et conductiones simul, hoc quidem loco."

L. 16. Hd. interpunxit: τί δὲ τὴν χειρωτικήν; ἆρ' —

L. 18. θέντας edidit H. ad τμητέον. Sed inde repeti potest τέμνομεν. ἀμφαδὸν (poeticam formam) e Stob. praetulit Fisch.

L. 25. Vulg. ἀνώνυμον ἐᾶν πλὴν καὶ ἔνια — Emendauit H. probante Schl. et κατ' ἔνια in cod. Par., Ald. et Stob. est.

P. 7. l. 4. Hanc et seq. ξένου enunciationem interrogatiue accepit H.

L. 5. Pro ὁρῶμεν Heusd. coniicit ἐροῦμεν, aduersante recte Hdf.

L. 11. Artic. τὰ ante μέγιστα e Stob. addidit Hd. Ab eodem διέλοιμεν pro διελοίμην vt vulg. e Fic. datum. Nam Pluralis in toto looo adhibetur.

L. 12. Vulg. αὐτόθι. E cod. Par. datum ab Hd. αὐτόθεν, solis legibus.

L. 15. Vulg. διαιρούμενον. E Bas. 2. et Stob. emendatum ab Hd.

P. 7. l. 21. Post τοιοῦτον vulg. punctum.

L. 22. Steph. Marg. Π. καὶ πληγῇ. Imo copula abesse debet, quum modus declaretur, quo captura piscium fit hamis et fuscinis.

L. vlt. Comma post θήραν sustulit Hd. quia haec ὑπ' αὐτ. — a ῥηθῆναι pendent.

P. 8. l. 11. Vulg. ἥ τις. Emendatum ab H. e Par. et Fic.

L. 18. s. Vulg. ἀσπαλιευτικῆς, περὶ οὗ σύ γε κἀγὼ συν. Quum οὗ offendat, γε ab hoc loco alienum sit, recte emendauit Hd., probante Schl.

L. 25. Vulg. ὅλου. Emendatum e cod. Par. et Stob. Antea ἐνυγροθ. pro ἐνυδροθ. recte iam Steph. restituit.

L. vlt. Heusd. corrigit ἀνασπώμενον. Imo ipsa πληγὴ dicitur ἀνασπωμένη sursum trahens.

P. 9. L. 12. Steph. Marg. „In vulg. edd. perperam τό γε ὅ. τ. ἔχων. [Correxit iam Corn.] Sed videtur praeterea deesse οὐ ante δεῖ. Sic certe et Fic. legisse videtur.“ Imo τοιοῦτον ad ὡς ἀλ. σοφιστὴν (vere artis suae peritum) pertinet. Seqq. vulgo ita distincta: ΞΕ. Ἀλλά τινα — θετέον. ΘΕΑΙ. Τίνα ταύτην; ΞΕ. Ἆρ' — Emendauit, Ficinum sequutus, Hd. Etiam verba τινα. — ταύτην Eleatae tribui mauult Schl.

L. 16. Vulg. τίνα τοῦτον; Hd. emendauit, seqq. iubentibus, et a Fic. melius expressum.

P. 10. l. 10. θὲς δὲ maluit Hd. et antea ἄνθρωπος quia τὸν ἄνθρ. sequitur.

L. 24. s. Hd. coniicit: δεττὰ αὖ λέγωμεν —

L. vlt. et p. 11. l. 7. μισθαρνητικὸν et μισθαρνητικοῦ mauult Hd.

P. 11. L. 11. ἤ, quod ante ἡδυντ. excidisse vidit Hd., addidi.

L. 20. κτητικῆς, πεζοθηρίας, ἡμεροθηρικῆς et μισθαρνικῆς spuria censent Schl. et Hd., quia pro iis supra positis hic aliis vocabb. vtitur Plato, et post ἀνθρωποθηρ. excidisse πιθανουργικῆς Schl., πιθανοθηρίας Hd., existimant. Mox προσρητέον, quia γένος s. μέρος scribenti obuersabatur. Ad ἡμεροθηρικ. Steph. in Marg. „For. ἡμεροθηρίας eadem forma, qua caetera. χειρωσίας autem pro additamento haberi possit."

L. 27. Steph. Marg. Π. γάρ τοι, male.

P. 12. L. 1. παρέχεται (praebet) scil. τὸ ζητούμενον.

L. 3. Artic. τῆς ante κτ. in Steph. omissum e vett. edd. reuocauit Hdf.

L. 4. Quum non dici possit alterum κτητικῆς genus (ἡ μεταβλητική) habere μέρος ἀλλακτικόν, Hd. probante Schl. post ἀλλ. addi vult ὄν.

L. 10. Steph. Marg. „Pro διαιρουμ. legendum suspicor δὴ εἰρημένην." Infeliciter. διαιρεῖσθαι est partiendo poni, statui, et αὐτοπ. διαιρ. est quae ex hac partitione existit.

L. 11. Artic. τὰ ante ἀλλ. addidit Hd.

L. 15. Steph. Marg. „For. ἡ δέ γε τῶν ἐξ ἄλλης etc. Alioqui cum ἡ δέ γε, absque τῶν scribendum erit διαλλαττομένη. Retinendo autem τὸ δέ γε sequi deberet διαλλαττόμενον, mutata orationis forma, quum praecedat ἡ μέν." διαλλαττόμενον praefert Hd. et docet διαλλ. non passiue accipi cum Fisch. posse.

L. 19. Vulg. τρέφεται κέχρηται. Emendauit Hd., probante Schl.

P. 12. l. 21. Artic. τὴν ante ψυχ. e cod. Par. addidit Hd.

L. 25 et 28. Perperam post πιπρασκ. et πωλουμ. esse cola posita, docuit Hdf.

P. 13. l. 7. transponi mauult Schl. τὸ δὲ γελοῖον μὲν, ὅμως δὲ οὐχ ἧττον — γελοῖον subint. ὄνομα ad προςειπ. refert Hdf. τοῦ πρόσθεν scil. ψυχεμπορικῆς, quod nomen Graecis inusitatum fuit.

L. 14. Steph. Marg. „Post ἁρμόττοι nihil deest, quum subaudiendum sit λέγειν ex seqq.“ Hdf. tamen mauult τῷ γε, probante Schl.

L. 19. Vulg. κτητικῆς μεταβλητικὴν ἀγοραστικῆς, ἐμπορικοῦ — Steph. in Marg. „Lego τὸ τῆς κτητικῆς μεταβλητικόν, ἀγοραστικῆς ἐμπορικόν, etc. q. d. quod est μεταβλητικὸν ἐν τῇ κτητικῇ, et quod ἐν τῇ ἀγορ. est ἐμπορικόν. Sic et paulo post τρίτην pro τρίτον est in vulg. edit. errore manifesto. Est autem suspectum et προυτάξατο.“ Recepi coniecturam Hdf., probatam Schl. nisi quod hic ἐμπορικοῦ retineri voluit, vt μέρος intelligatur, quod non ferendum. In nonn. libb. μεταβλητικόν, ortum ex seqq. — προυτάξατο (quaerendum victum sibi delegit) tuetur Hdf.

L. vlt. Etiam hic artic. τῆς ante κτητ. addendum putaui.

P. 14. l. 12. Vulg. σώματα πρὸς σ. Emendatum ab Hd. e cod. Par. Ex eodem mox Hdf. dedit: ὄνομα λέγειν τι τοιοῦτον τιθ.

L. 26. Steph. edidit: probante Fisch. ἀμφιςβητητικόν. Formam quae in edd. vett. est, restituit Hdf. Nam infra etiam νουθετικὸν legitur, et analogia sanct. v. Hd.

P. 14. l. 21. ἀποκρίσεις e Par. et Bas. 2. dedit Hdf. ἀπορήσεις est e Steph.

L. 26. Marg. St. „For. legendum περὶ αὐτὰ πράττεται, τοῦτο ϑετέον. Potest autem et πράττεται esse suspectum.“ αὐτὰ cum Hdf. pro αὐτὸ dedi. Sed ταῦτα non sollicitandum. v. Hdf.

P. 15. l. 2. Vulg. ante κατὰ σμ. ponebatur ΞΕ. Emendauit Hdf.

L. 11. δοκῶ μὲν legi vult Hd. Idem e Bas. 2. dedit τό γε. Vulg. γε deerat. Verba κατὰ γν. ἐμ., quae ob δοκῶ abesse debuerant, per negligentiam addita sunt. — Steph. Marg.: „In vulg. ed. ἀμελὴς τῶν οἰκ. pro ἀμελές, vt est in vet. [Bas. 2.]. Alioqui legendum esset ἀμελῆ et τὸν pro τό·· sed ἀδολεσχικοῦ neutro genere intelligendum est, vt praeced. τὸ ἀντιλογικόν, τὸ ἐριστικὸν etc. vt ἀδολ. sit garrulitatis studium s. amor, vel ipsa garrulitas.“

L. 13. οὐ ante μεϑ' ἡδ. omisit Fic., probante Schl., improbante Hdf.

L. 15. πως pro πῶς legendum vidit iam Fisch.

L. 16. Vulg. Τὸν τοίνυν τ. debebat certe esse τὸ — Emendauit Hd. ex Par. et Bas. 2. unde et St. in Marg. affert.

L. 18. Ol. καὶ τίς ἂν — Recepi quod Hd. ex more Plat. dedit.

L. 23. Etiam hic St. et sqq. ἀμφισβητητικῆς.

L. vlt. Vulg. post ἀμφ. χρὴ punctum.

P. 16. l. 3. καὶ πολλά γε coniecit. Hdf.

L. 6. Aut καὶ διακρίνειν ab aliena manu additum (vt Schl.), aut in διακρίνειν, quod non proprium seruilis

negotii est, aliud verbum latere censet Hd. Ad *βράττειν* St. marg. *γρ. θράττειν* (e Corn. praua coniect.).

P. 16. l. 13. Vulg. *ὡςπερεὶ* — e cod. Par. et Fic. emendarunt Hd. et Schl.

L. 18. *ὡς ἐμοὶ* est, si meam cogites tarditatem, v. Heusd. p. 52.

L. vlt. Post *ναὶ* vulg. punctum. Steph. marg.: „Post *ναὶ* videtur ponenda tantum hypostigme, et repetendum *δοι*.“ Comma cum Hd. posui. Deleri olim *ναὶ* voluit idem, probante Schl.

P. 17. l. 3. *τὰ τῶν ζώων* sunt *τὰ εἴδη τῶν καθάρσεων τῶν ζ.*

L. 10. Steph. aut post *μάλα γε* deesse nonnulla, aut *παντάπ. μὲν οὖν* esse verba approbantis Theaeteti consensum censuit, quod postremum etiam Fisch. et Hdf. praetulerunt.

L. 19. Steph. marg. Malim „*ἢ τὸν διὰ φθειριςς*.“ Sine causa. v. Hd. *τι* post *σεμν. δ.* cum *οὐδὲν* iungit Hdf. nihil quidquam. *σεμνὸν* h. l. graue, serium. Non a *φθείρειν* est *φθειριστικὴ*, sed a *φθεῖρες* (pediculari) Kunst der Vertilgung des Ungeziefers.

L. 25. *ἐχέτω ξυνδῆσαν* est *ξυνδησάτω*.

L. vlt. Vulg. *εἴπερ ὅ γε* — Ex cod. Par. emendavit Hdf.

P. 18. l. 6. Vulg. *καθ' ὅποι ἂν*. Steph. marg. „Scribo *καθ' ὁποῖ'* (i. e. *ὁποῖα*) *ἂ. ὑ.* per quaecunque praeiueris, vel, viam ostenderis, i. e. quaecunque mihi proposueris ad viam ostendendam. Alioquin non *καθ' ὅποι*, sed *ὅποι* vel potius *ὅπῃ* scribendum esset.“ Recepi cum Hd. Abreschius Dil. Th. p. 407. *καθ' ὁποίαν ἂν* legi vult.

L. 8. *Λιπεῖν* ob seq. *ἐκβάλλειν* dedit Hdf. In talibus nihil sine codd. mutandum.

L. 12. Steph. marg. „*αὐτὴν λέγοντες* aut certe *αὐτὸ* legendum videtur." At pronomen accommodatur generi nominis, cui est additum.

L. 13. *Δύο μὴν εἴδη* maluit Hdf.

L. 20. Marg. Steph. „In vulg. *ἔκ τινος διαφορᾶς διαφθοράν*, sed Galen. [de dogm. Hipp. et Plat. V. p. 288. ed. Bas.] quoque legit: *ἐ. τ. διαφθορᾶς διαφοράν* [vt iam Corn. emendauit]." Receperunt cum St. recentt.

L. 21. Steph. marg. „*τῶν ἐν ὄντων γένος* [vt St. ed.] ex vet. cod. [fort. Fic. versione] pro [vulg.] *ἐν ὂν γένος*." Sed Steph. coniectura sensum idoneum non praebet. Schl. et Hdf. *ἐνὸν* recte dederunt (Gal. *ὂν*) hoc sensu: quod, vbicumque inest, deforme est.

L. 24. *λόγον ἡδοναῖς καὶ θυμὸν λύπαις* quod non scripserit Plato, miratus est Hdf.

L. vlt. Aut *τὴν τῆς ψυχῆς πονηρίαν* aut potius *ψυχῆς πονηρίαν* scribi vult Hdf.

P. 19. l. 7. *αὐταὶ πάσχ.* nunc pro *αὐτὰ π.* ponitur.

L. 11. *παράφορος ξυνέσεως* est, quum aberrat ab intelligentia. *ψυχῆς* cum *παραφροσύνη* cohaeret.

L. 13. *ἄμετρον καὶ αἰσχρὸν* cum Fic. legi maunlt Hdf.

L. vlt. Comma post *πέφυκε* recte sustulit Hdf. Iungenda: *ἡ κολ. δίκη πέφυκε μάλιστα δὴ πασῶν τεχνῶν προσήκουσα.*

P. 20. l. 2. Etiam post *εἰπεῖν* male olim interpunctum est.

L. 4. Vulg. ὀρθότατα. E cod. Par. emendatum.

L. 6. Vulg. ἄρα et post πλείω interr. nota, post μεγίστω nulla interpunctio. Emendauit Hdf. Pendent nunc omnia a σκόπει. Steph. in marg. „Sic in Ald. post ἄρα disting. Alioqui si iung. cum φατέον, scribendum ἆρα. Sic autem et paulo infra ἄρα post τί δὲ δή."

L. 11. ἀναγκάσει vel ἀναγκάζοι ἂν mauult Hdf.

L. 21. Steph. marg. „Post ἀγνοίας deest aut subaudiendus est dat. εἴδει, ex praeced. Rectius etiam legeretur ἀμαθίας." μέρει subintelligit, ἀμαθίαν scribi vult Hdf.

L. 22. τοῦτο ἀπ., veterem lect. restituit Hdf., Steph. dedit τούτου. Serrani cod. παραλλάττοντι.

L. 24. δι' ἡμῶν a n o b i s (Atheniensibus), huius nominis auctoribus.

P. 21. l. 6. „Inter ἀρχ. et πάτριον non distingu. Ald. Quod si distinguendum sit, malim καὶ πάτριον." Steph. marg. At πάτριον substantiue ponitur.

L. 11. Cornar. coniecit ᾧ εἴξασι. Vulg. valet; v t v i d e n t u r q u i d a m. Structura negligentior est, et, quod ad verba τὸ δέ γε pertinet, infra demum additur.

L. 15. Steph. marg. γρ. νουθετητικόν (nempe in Ald. et Bass.)

L. 17. Τοίγαρτοι mauult Hdf.

L. 20. Perperam vulg. ante Hd. εἶθ' —

L. 22. Steph. marg. „Malim παραλλήλας vna voce."

L. 27. Cum Hdf. deleui τε, quod vulgo ante ἀπαλλαγῶν additum erat, nec habebat quo referretur.

P. 22. l. 5. ἐν αὐτῷ scil. σώματι mauult Hd.

L. 16. Perperam post ὄντα colon. Cohaerent haec cum sqq. Omnem interpunctionem sustulit Hdf.

L. 8. *Λείπειν* ob seq. *ἐκβάλλειν* dedit Hdf. In talibus nihil sine codd. mutandum.

L. 12. Steph. marg. „*αὐτὴν λέγοντες* aut certe *αὐτό* legendum videtur.“ At pronomen accommodatur generi nominis, cui est additum.

L. 13. *Δύο μὴν εἴδη* maluit Hdf.

L. 20. Marg. Steph. „In vulg. *ἔκ τινος διαφορᾶς διαφθοράν*, sed Galen. [de dogm. Hipp. et Plat. V. p. 288. ed. Bas.] quoque legit: *ἐ. τ. διαφθορᾶς διαφοράν* [vt iam Corn. emendauit].“ Receperunt cum St. recentt.

L. 22. Steph. marg. „*τῶν ἐν ὄντων γένος* [vt St. ed.] ex vet. cod. [fort. Fic. versione] pro [vulg.] *ἐν ὂν γένος*.“ Sed Steph. coniectura sensum idoneum non praebet. Schl. et Hdf. *ἐνόν* recte dederunt (Gal. *ὄν*) hoc sensu: quod, vbicumque inest, deforme est.

L. 24. *λόγον ἡδοναῖς καὶ θυμὸν λύπαις* quod non scripserit Plato, miratus est Hdf.

L. vlt. Aut *τὴν τῆς ψυχῆς πονηρίαν* aut potius *ψυχῆς πονηρίαν* scribi vult Hdf.

P. 19. l. 7. *αὐτὰ πάσχ.* nunc pro *αὐτὰ π.* ponitur.

L. 11. *παράφορος ξυνέσεως* est, quum aberrat ab intelligentia. *ψυχῆς* cum *παραφροσύνη* cohaeret.

L. 13. *ἄμετρον καὶ αἰσχρὸν* cum Fic. legi mauult Hdf.

L. vlt. Comma post *πέφυκε* recte sustulit Hdf. Iungenda: *ἡ κολ. δίκη πέφυκε μάλιστα δὴ πασῶν τεχνῶν προσήκουσα.*

P. 20. l. 2. Etiam post *εἰπεῖν* male olim interpunctum est.

L. 4. Vulg. ὀρθότατα. E cod. Par. emendatum.

L. 6. Vulg. ἄρα et post πλείω interr. nota, post μεγίστω nulla interpunctio. Emendauit Hdf. Pendent nunc omnia a σκόπει. Steph. in marg. „Sic in Ald. post ἄρα disting. Alioqui si iung. cum φατέον, scribendum ἆρα. Sic autem et paulo infra ἄρα post τί δὲ δή."

L. 11. ἀναγκάσει vel ἀναγκάζοι ἂν mauult Hdf.

L. 21. Steph. marg. „Post ἀγνοίας deest aut subaudiendus est dat. εἴδει, ex praeced. Rectius etiam legeretur ἀμαθίας." μέρει subintelligit, ἀμαθίαν scribi vult Hdf.

L. 22. τοῦτο ἀπ., veterem lect. restituit Hdf., Steph. dedit τούτου. Serrani cod. παραλλάττοντι.

L. 24. δι' ἡμῶν a n o b i s (Atheniensibus), huius nominis auctoribus.

P. 21. l. 6. „Inter ἀρχ. et πάτριον non distingu. Ald. Quod si distinguendum sit, malim καὶ πάτριον." Steph. marg. At πάτριον substantiue ponitur.

L. 11. Cornar. coniecit ᾧ εἴξασι. Vulg. valet: v t v i d e n t u r q u i d a m. Structura neglegentior est, et, quod ad verba τό δέ γε pertinet, infra demum additur.

L. 15. Steph. marg. γρ. νουθετητικόν (nempe in Ald. et Bass.)

L. 17. Τοίγαρτοι mauult Hdf.

L. 20. Perperam vulg. ante Hd. εἶθ' —

L. 22. Steph. marg. „Malim παραλλήλας vna voce."

L. 27. Cum Hdf. deleui τε, quod vulgo ante ἀπαλλαγῶν additum erat, nec habebat quo referretur.

P. 22. l. 5. ἐν αὐτῷ scil. σώματι mauult Hd.

L. 16. Perperam post ὄντα colon. Cohaerent haec cum sqq. Omnem interpunctionem sustulit Hdf.

L. 25. ἀσφαλὴς dicitur cautus.

P. 23. l. 1. Quod post φυλάττωσι omissum est τινὰς aut tale quid, adeo insolens esse censet Hdf., vt malit φυλαχθῶσι (scil. ὅροι isti) legi. Non adsentior.

L. 11. Ad ἀπαίσας subintelligunt λαβὰς aut παγίδας.

L. 21. Mauult Hdf. τὸ δέ γε δεύτ. Mox Schl. coniecit: περὶ τὰ τῆς ψυχῆς, μαθήματα μάλιστα. Vulg. indicat ea, quae proprie ad mentis cultum pertinent, v. df.

L. 23. Vulg. ἄρα, οὐ — Correxit Hd.

L. 24. In St. male ante καὶ τέταρτ. praefixum ἔτ. Emendauit iam Fisch.

L. 25. Vulg. post ἡμῖν interr. nota, vt repetatur ἆρ' οὐκ ἀναφάνη, et verbum hoc recte repeti puto, neque cum Hdf. scribendum ἡμῖν ἦν.

L. vlt. ἀφωρισμένος est, qui sibi artem concertandi seiunctam a ceteris sumsit.

P. 24. l. 10. προσαγορεύει scil. ὁ πάσχων. Reprehendit St. versionem, quae locum exprimit, ac si προσαγορεύεσθαι esset.

VIII. ΣΩ. Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ *Γοργία*, ἐγγύτατα, τὴν ῥητορικὴν ἥντινα τέχνην ἡγῇ εἶναι, καί, εἴ τι ἐγὼ ξυνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι, ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν; ΓΟΡ. Οὐδαμῶς, ὦ *Σώκρατες*, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι. ἔστι γὰρ τοῦτο τὸ κεφάλαιον αὐτῆς. ΣΩ. Ἄκουσον δή, ὦ *Γοργία*. ἐγὼ γὰρ εὖ ἴσθι ὅτι, ὡς ἐμαυτὸν πείθω, εἴπερ τις ἄλλος ἄλλῳ διαλέγεται, βουλόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅτου ὁ λόγος ἐστί, καὶ ἐμὲ εἶ-

καὶ τούτων ἕνεκα· ἀξιῶ δὲ καὶ σέ. ΓΟΡ. Τί οὖν δή, ὦ Σώκρατες; ΣΩ. Ἐρῶ νῦν. ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς πειθώ, ἥτις ποτ' ἐστὶν ἣν σὺ λέγεις, καὶ περὶ ὥντινων πραγμάτων ἐστὶ πειθώ, σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα· οὐ μὴν ἀλλ' ὑποπτεύω γε ἣν οἶμαί σε λέγειν, καὶ περὶ ὧν· οὐδὲν μέντοι ἧττον ἐρήσομαί σε, τίνα ποτὲ λέγεις τὴν πειθὼ τὴν ἀπὸ τῆς ῥητορικῆς, καὶ περὶ τίνων αὐτὴν εἶναι. τοῦ οὖν ἕνεκα δὴ αὐτὸς ὑποπτεύων σὲ ἐρήσομαι, ἀλλ' οὐκ αὐτὸς λέγω; οὐ σοῦ ἕνεκα, ἀλλὰ τοῦ λόγου, ἵνα οὕτω προΐῃ, ὡς μάλιστ' ἂν ἡμῖν καταφανὲς ποιοῖ περὶ ὅτου λέγεται. σκόπει γάρ, εἴ σοι δοκῶ δικαίως ἀνερωτᾶν σε· ὥςπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν, τίς ἐστι τῶν ζωγράφων Ζεῦξις, εἴ μοι εἶπες, ὅτι ὁ τὰ ζῶα γράφων, ἆρ' οὐκ ἂν δικαίως σε ἠρόμην, ὁ τὰ ποῖα τῶν ζώων γράφων, καὶ ποῦ; ΓΟΡ. Πάνυ γε. ΣΩ. Ἆρα διὰ τοῦτο, ὅτι καὶ ἄλλοι εἰσὶ ζωγράφοι γράφοντες ἄλλα πολλὰ ζῶα; ΓΟΡ. Ναί. ΣΩ. Εἰ δέ γε μηδεὶς ἄλλος ἢ Ζεῦξις ἔγραφε, καλῶς ἄν σοι ἀπεκέκριτο. ΓΟΡ. Πῶς γὰρ οὔ; ΣΩ. Ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς εἰπέ, πότερόν σοι δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ μόνη, ἢ καὶ ἄλλαι τέχναι; λέγω δὲ τὸ τοιόνδε· ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον, ὃ διδάσκει, πείθει, ἢ οὔ; ΓΟΡ. Οὐ δῆτα, ὦ Σώκρατες, ἀλλὰ πάντων μάλιστα πείθει. ΣΩ. Πάλιν δ' εἰ ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγομεν, ὧνπερ νῦν δή, ἡ ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ, καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος; ΓΟΡ.

Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ πείθει; ΓΟΡ. Ναί. ΣΩ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική. ΓΟΡ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἐάν τις ἐρωτᾷ ἡμᾶς, ποίας πειθοῦς καὶ περὶ τί, ἀποκρινούμεθά που αὐτῷ, ὅτι τῆς διδασκαλικῆς τῆς περὶ τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν ὅσον ἐστί· καὶ τὰς ἄλλας, ἃς νῦν δὴ ἐλέγομεν, τέχνας ἁπάσας ἕξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας, καὶ ἥστινος, καὶ περὶ ὅ, τι· ἢ οὔ; ΓΟΡ. Ναί. ΣΩ. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστι δημιουργός. ΓΟΡ. Ἀληθῆ λέγεις.

IX. ΣΩ. Ἐπειδὴ τοίνυν οὐ μόνη ἀπεργάζεται τοῦτο τὸ ἔργον, ἀλλὰ καὶ ἄλλαι, δικαίως ὥσπερ περὶ τοῦ ζωγράφου, μετὰ τοῦτο ἐπανεροίμεθ' ἂν τὸν λέγοντα, ποίας δὴ πειθοῦς καὶ τῆς περὶ τί πειθοῦς ἡ ῥητορική ἐστι τέχνη; ἢ οὐ δοκεῖ σοι δίκαιον εἶναι ἐπανέρεσθαι; ΓΟΡ. Ἔμοιγε. ΣΩ. Ἀπόκριναι δή, ὦ Γοργία, ἐπειδὴ καὶ σοὶ δοκεῖ οὕτω. ΓΟΡ. Ταύτης τοίνυν τῆς πειθοῦς λέγω, ὦ Σώκρατες, τῆς ἐν [τοῖς] δικαστηρίοις καὶ ἐν τοῖς ἄλλοις ὄχλοις, ὥσπερ καὶ ἄρτι ἔλεγον, καὶ περὶ τούτων ἅ ἐστι δίκαιά τε καὶ ἄδικα. ΣΩ. Καὶ ἐγώ τοι ὑπώπτευον ταύτην σε λέγειν τὴν πειθὼ καὶ περὶ τούτων, ὦ Γοργία· ἀλλ' ἵνα μὴ θαυμάζῃς, ἐὰν [καὶ] ὀλίγον ὕστερον τοιοῦτόν τί σε ἀνέρωμαι, ὃ δοκεῖ μὲν δῆλον εἶναι, ἐγὼ δ' ἐπανερωτῶ· ὅπερ γὰρ λέγω, τοῦ ἑξῆς ἕνεκα περαίνεσθαι τὸν λόγον ἐρωτῶ, οὐ σοῦ ἕνεκα, ἀλλ' ἵνα μὴ ἐθιζώμεθα ὑπονοοῦντες προαρπάζειν ἀλλήλων τὰ λεγόμενα, ἀλλὰ σὺ τὰ σαυτοῦ κατὰ τὴν ὑπόθεσιν,

ὅπως ἂν βούλῃ, περαίνῃς. ΓΟΡ. Καὶ ὀρθῶς γέ μοι δοκεῖς ποιεῖν, ὦ Σώκρατες. ΣΩ. Ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα· καλεῖς τι, μεμαθηκέναι; ΓΟΡ. Καλῶ. ΣΩ. Τί δέ; πεπιστευκέναι; ΓΟΡ. Ἔγωγε. ΣΩ. Πότερον οὖν ταυτὸν δοκεῖ σοι εἶναι μεμαθηκέναι καὶ πεπιστευκέναι, καὶ μάθησις καὶ πίστις, ἢ ἄλλο τι; ΓΟΡ. Οἴομαι μὲν ἔγωγε, ὦ Σώκρατες, ἄλλο. ΣΩ. Καλῶς γὰρ οἴει, γνώσῃ δὲ ἐνθένδε· εἰ γάρ τίς σε ἔροιτο, ἆρ' ἔστι τις, ὦ Γοργία, πίστις ψευδὴς καὶ ἀληθής; φαίης ἄν, ὡς ἐγὼ οἶμαι. ΓΟΡ. Ναί. ΣΩ. Τί δ', ἐπιστήμη ἔστι ψευδὴς καὶ ἀληθής; ΓΟΡ. Οὐ δῆτα. ΣΩ. Δῆλον γὰρ αὖν ὅτι οὐ ταυτόν ἐστιν. ΓΟΡ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλὰ μὴν οἵ τέ γε μεμαθηκότες πεπεισμένοι εἰσὶ καὶ οἱ πεπιστευκότες. ΓΟΡ. Ἔστι ταῦτα. ΣΩ. Βούλει οὖν δύο εἴδη θῶμεν πειθοῦς, τὸ μὲν πίστιν παρεχόμενον ἄνευ τοῦ εἰδέναι, τὸ δ' ἐπιστήμην; ΓΟΡ. Πάνυ γε. ΣΩ. Ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαστηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις, περὶ τῶν δικαίων τε καὶ ἀδίκων; ἐξ ἧς τὸ πιστεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι, ἢ ἐξ ἧς τὸ εἰδέναι; ΓΟΡ. Δῆλον δήπου, ὦ Σώκρατες, ὅτι ἐξ ἧς τὸ πιστεύειν. ΣΩ. Ἡ ῥητορικὴ ἄρα, ὦ Γοργία, ὡς ἔοικε, πειθοῦς δημιουργός ἐστι πιστευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς, περὶ τὸ δίκαιόν τε καὶ ἄδικον. ΓΟΡ. Ναί. ΣΩ. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων, ἀλλὰ πιστικὸς μόνον. οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο

τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα. ΓΟΡ. Οὐ δῆτα. Χ. ΣΩ. Φέρε δή, ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς. ἐγὼ μὲν γάρ τοι οὐδ᾽ αὐτός πω δύναμαι κατανοῆσαι ὅ, τι λέγω. ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει ξύλλογος, ἢ περὶ ναυπηγῶν, ἢ περὶ ἄλλου τινὸς δημιουργικοῦ ἔθνους, ἄλλο τι ἢ τότε ὁ ῥητορικὸς οὐ ξυμβουλεύσει; δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι· οὐδ᾽, ὅταν τειχῶν περὶ οἰκοδομήσεως ἢ λιμένων κατασκευῆς ἢ νεωρίων, ἀλλ᾽ οἱ ἀρχιτέκτονες· οὐδ᾽ αὖ, ὅταν στρατηγῶν αἱρέσεως πέρι, ἢ τάξεώς τινος πρὸς πολεμίους, ἢ χωρίων καταλήψεως, ξυμβουλὴ ᾖ, ἀλλ᾽ οἱ στρατηγικοὶ τότε ξυμβουλεύσουσιν, οἱ ῥητορικοὶ δὲ οὔ· ἢ πῶς λέγεις, ὦ Γοργία, τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός τε φὴς ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι· καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν. ἴσως γὰρ καὶ τυγχάνει τις τῶν ἔνδον ὄντων μαθητής σου βουλόμενος γενέσθαι· ὡς ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύνοιντ᾽ ἄν σε ἀνέρεσθαι· ὑπ᾽ ἐμοῦ οὖν ἀνερωτώμενος νόμισον καὶ ὑπ᾽ ἐκείνων ἀνερωτᾶσθαι, „τί ἡμῖν, ὦ Γοργία, ἔσται ἐάν σοι ξυνῶμεν; περὶ τίνων τῇ πόλει ξυμβουλεύειν οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου, ἢ καὶ περὶ ὧν νῦν δὴ Σωκράτης ἔλεγε;“ πειρῶ οὖν αὐτοῖς ἀποκρίνεσθαι. ΓΟΡ. Ἀλλ᾽ ἐγὼ σοὶ πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥη-

τορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς ὑφηγήσω. οἶσθα γὰρ δήπου, ὅτι τὰ νεώρια ταῦτα καὶ τὰ τείχη τῶν Ἀθηναίων, καὶ ἡ τῶν λιμένων κατασκευή, ἐκ τῆς Θεμιστοκλέους ξυμβουλῆς γέγονε, τὰ δ' ἐκ τῆς Περικλέους, ἀλλ' οὐκ ἐκ τῶν δημιουργῶν. ΣΩ. Λέγεται ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους· Περικλέους δὲ καὶ αὐτὸς ἤκουον ὅτε ξυνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ μέσου τείχους. ΓΟΡ. Καὶ ὅταν γέ τις αἵρεσις ᾖ, ὧν δὴ σὺ ἔλεγες, ὦ Σώκρατες, ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ ξυμβουλεύοντες καὶ οἱ νικῶντες τὰς γνώμας περὶ τούτων; ΣΩ. Ταῦτα καὶ θαυμάζων, ὦ Γοργία, πάλαι ἐρωτῶ, ἥτις ποτὲ ἡ δύναμίς ἐστι τῆς ῥητορικῆς. δαιμονία γάρ τις ἔμοιγε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι. XI. ΓΟΡ. Εἰ πάντα γε εἰδείης, ὦ Σώκρατες, ὅτι, ὡς ἔπος εἰπεῖν, ἁπάσας τὰς δυνάμεις ξυλλαβοῦσα ὑφ' αὑτῇ ἔχει· μέγα δέ σοι τεκμήριον ἐρῶ. πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ καὶ μετὰ τῶν ἄλλων ἰατρῶν εἰσελθὼν παρά τινα τῶν καμνόντων, οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ, οὐ δυναμένου τοῦ ἰατροῦ πεῖσαι, ἐγὼ ἔπεισα, οὐκ ἄλλῃ τινὶ τέχνῃ ἢ τῇ ῥητορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν, ὅπῃ βούλει, ἐλθόντα ῥητορικὸν ἄνδρα καὶ ἰατρόν, εἰ δέοι λόγῳ διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ ξυλλόγῳ, ὁπότερον δεῖ αἱρεθῆναι, ῥήτορα ἢ ἰατρόν, οὐδαμοῦ ἂν φανῆναι τὸν ἰατρόν, ἀλλ' αἱρεθῆναί ἂν τὸν εἰπεῖν δυνατόν, εἰ βούλοιτο. καὶ εἰ

πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν. οὐ γάρ ἐστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. ἡ μὲν οὖν δύναμις τοσαύτη ἐστὶ καὶ τοιαύτη τῆς τέχνης. δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους, ὅτι ἔμαθέ τις πυκτεύειν τε καὶ παγκρατιάζειν, καὶ ἐν ὅπλοις μάχεσθαι, ὥστε κρείττων εἶναι καὶ φίλων καὶ ἐχθρῶν, οὐ τούτου ἕνεκα τοὺς φίλους δεῖ τύπτειν, οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι. οὐδέ γε μὰ Δία, ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος, ἔπειτα τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα, ἢ ἄλλον τινὰ τῶν οἰκείων ἢ τῶν φίλων, οὐ τούτου ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνοι μὲν γὰρ παρέδοσαν, ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς πολεμίους καὶ τοὺς ἀδικοῦντας, ἀμυνομένους, μὴ ὑπάρχοντας· οἱ δὲ, μεταστρέψαντες, χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. οὔκουν οἱ διδάξαντες, πονηροί, οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πονηρὰ τούτου ἕνεκά ἐστιν, ἀλλ' οἱ μὴ χρώμενοι, οἶμαι, ὀρθῶς. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥστε πιθανώτερος

εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν βούληται· ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι, ὅτι δύναιντο ἂν τοῦτο ποιῆσαι, οὔτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δέ, οἶμαι, ῥητορικὸς γενόμενός τις, κᾆτα ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα. XII. ΣΩ. Οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων, καὶ καθεωρακέναι ἐν αὐτοῖς τὸ τοιόνδε, ὅτι οὐ ῥᾳδίως δύνανται οἱ ἄνθρωποι, περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι, διορισάμενοι πρὸς ἀλλήλους καὶ μαθόντες καὶ διδάξαντες ἑαυτούς, οὕτω διαλύεσθαι τὰς συνουσίας· ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσι, καὶ μὴ φῇ ὁ ἕτερος τὸν ἕτερον ὀρθῶς λέγειν, ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν, φιλονεικοῦντας ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ· καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπαλλάττονται, λοιδορηθέντες τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν ἀκροαταὶ γενέσθαι. τοῦ δὴ ἕνεκα λέγω ταῦτα; ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ ξύμφωνα οἷς τοπρῶτον ἔλεγες

πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν. οὐ γάρ ἐστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. ἡ μὲν οὖν δύναμις τοσαύτη ἐστὶ καὶ τοιαύτη τῆς τέχνης. δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους, ὅτι ἔμαθέ τις πυκτεύειν τε καὶ παγκρατιάζειν, καὶ ἐν ὅπλοις μάχεσθαι, ὥστε κρείττων εἶναι καὶ φίλων καὶ ἐχθρῶν, οὐ τούτου ἕνεκα τοὺς φίλους δεῖ τύπτειν, οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι. οὐδέ γε μὰ Δία, ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος, ἔπειτα τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα, ἢ ἄλλον τινὰ τῶν οἰκείων ἢ τῶν φίλων, οὐ τούτου ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνοι μὲν γὰρ παρέδοσαν, ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς πολεμίους καὶ τοὺς ἀδικοῦντας, ἀμυνομένους, μὴ ὑπάρχοντας· οἱ δὲ, μεταστρέψαντες, χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. οὔκουν οἱ διδάξαντες, πονηροὶ, οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πονηρὰ τούτου ἕνεκα ἐστὶν, ἀλλ᾽ οἱ μὴ χρώμενοι, οἶμαι, ὀρθῶς. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥστε πιθανώτερος

εἶναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν βούληται· ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι, ὅτι δύναιντο ἂν τοῦτο ποιῆσαι, οὔτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥςπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δέ, οἶμαι, ῥητορικὸς γενόμενός τις, κᾆτα ταύτῃ τῇ δυνάμει καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι, ἀλλ' οὐ τὸν διδάξαντα. XII. ΣΩ. Οἶμαι, ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων, καὶ καθεωρακέναι ἐν αὐτοῖς τὸ τοιόνδε, ὅτι οὐ ῥᾳδίως δύνανται οἱ ἄνθρωποι, περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι, διορισάμενοι πρὸς ἀλλήλους καὶ μαθόντες καὶ διδάξαντες ἑαυτούς, οὕτω διαλύεσθαι τὰς συνουσίας· ἀλλ' ἐὰν περί του ἀμφιςβητήσωσι, καὶ μὴ φῇ ὁ ἕτερος τὸν ἕτερον ὀρθῶς λέγειν, ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν, φιλονεικοῦντας ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ· καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπαλλάττονται, λοιδορηθέντες τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν ἀκροαταὶ γενέσθαι. τοῦ δὴ ἕνεκα λέγω ταῦτα; ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ ξύμφωνα οἷς τοπρῶτον ἔλεγες

περὶ τῆς ῥητορικῆς. φοβοῦμαι οὖν διελέγχειν σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν, τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ. ἐγὼ οὖν, εἰ μὲν καὶ σὺ εἶ τῶν ἀνθρώπων ὧνπερ καὶ ἐγώ, ἡδέως ἄν σε διερωτῴην· εἰ δὲ μή, ἐῴην ἄν. ἐγὼ δὲ τίνων εἰμί; τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων, εἴ τι μὴ ἀληθὲς λέγοιμι, ἡδέως δ᾽ ἂν ἐλεγξάντων, εἴ τίς τι μὴ ἀληθὲς λέγοι, οὐκ ἀηδέστερον μέντ᾽ ἂν ἐλεγχθέντων ἢ ἐλεγξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσωπερ μεῖζον ἀγαθόν ἐστιν, αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου, ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα ψευδὴς περὶ ὧν τυγχάνει νῦν ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ σὺ φῂς τοιοῦτος εἶναι, διαλεγώμεθα· εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν ξύλλογον. ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγῇ· ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρ τοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην, καὶ νῦν ἴσως πόῤῥω ἀποτενοῦμεν, ἢν διαλεγώμεθα. σκοπεῖν οὖν χρὴ καὶ τὸ τούτων, μή τινας αὐτῶν κατέχωμεν βουλομένους τι καὶ ἄλλο πράττειν. XIII. ΧΑΙ. Τοῦ μὲν θορύβου, ὦ Γοργία τε καὶ Σώκρατες, αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν, βουλομένων ἀκούειν, ἐάν τι λέγητε. ἐμοὶ δ᾽ οὖν καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥστε τοιούτων λόγων καὶ οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν τι γενέσθαι ἄλλο πράττειν. ΚΑΛ.

Νὴ τοὺς θεοὺς, ὦ Χαιρεφῶν, καὶ μὲν δὴ καὶ αὐτὸς πολλοῖς ἤδη λόγοις παραγενόμενος οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως, ὥσπερ νυνί· ὥστ' ἔμοιγε, κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγεσθαι, χαριεῖσθε. ΣΩ. Ἀλλὰ μὴν, ὦ Καλλίκλεις, τό γ' ἐμὸν οὐδὲν κωλύει, εἴπερ ἐθέλει Γοργίας. ΓΟΡ. Αἰσχρὸν δὴ τολοιπὸν, ὦ Σώκρατες, γίγνεται, ἐμέ γε μὴ ἐθέλειν, καὶ ταῦτα αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾷν ὅ τι τις βούλεται. ἀλλ' εἰ δοκεῖ τουτοισι, διαλέγου τε καὶ ἐρώτα ὅ, τι βούλει. ΣΩ. Ἄκουε δὴ, ὦ Γοργία, ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ. ἴσως γάρ τοι σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω. ῥητορικὸν φῂς ποιεῖν οἷός τ' εἶναι, ἐάν τις βούληται παρὰ σοῦ μανθάνειν; ΓΟΡ. Ναί. ΣΩ. Οὐκοῦν περὶ πάντων ὥστ' ἐν ὄχλῳ πιθανὸν εἶναι, οὐ διδάσκοντα, ἀλλὰ πείθοντα; ΓΟΡ. Πάνυ μὲν οὖν. ΣΩ. Ἔλεγες τοίνυν δὴ, ὅτι καὶ περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ. ΓΟΡ. Καὶ γὰρ ἔλεγον, ἔν γε ὄχλῳ. ΣΩ. Οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν, ἐν τοῖς μὴ εἰδόσιν; οὐ γὰρ δή που ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται. ΓΟΡ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν, εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται, τοῦ εἰδότος πιθανώτερος γίγνεται; ΓΟΡ. Πάνυ γε. ΣΩ. Οὐκ ἰατρός γε ὤν· ἢ γάρ; ΓΟΡ. Ναί. ΣΩ. Ὁ δὲ μὴ ἰατρός γε δή που, ἀνεπιστήμων, ὧν ὁ ἰατρὸς ἐπιστήμων; ΓΟΡ. Δῆλον ὅτι. ΣΩ. Ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πιθανώτερος ἔσται, ὅταν ὁ ῥήτωρ τοῦ ἰατροῦ

πιθανώτερος ᾖ. τοῦτο ξυμβαίνει, ἢ ἄλλο τι; ΓΟΡ. Τοῦτο ἐνταῦθά γε ξυμβαίνει. ΣΩ. Οὐκοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας ὡσαύτως ἔχει ὁ ῥήτωρ καὶ ἡ ῥητορική; αὐτὰ μὲν τὰ πράγματα οὐδὲν δεῖ αὐτὴν εἰδέναι ὅπως ἔχει, μηχανὴν δέ τινα πειθοῦς εὑρηκέναι, ὥστε φαίνεσθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων. XIV. ΓΟΡ. Οὐκοῦν πολλὴ ῥαστώνη, ὦ Σώκρατες, γίγνεται, μὴ μαθόντα τὰς ἄλλας τέχνας, ἀλλὰ μίαν ταύτην, μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν; ΣΩ. Εἰ μὲν ἐλαττοῦται ἢ μὴ ἐλαττοῦται ὁ ῥήτωρ τῶν ἄλλων, διὰ τὸ οὕτως ἔχειν, αὐτίκα ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν πρὸς λόγου ᾖ· νῦν δὲ τόδε πρότερον σκεψώμεθα· ἆρα τυγχάνει περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον, καὶ τὸ αἰσχρὸν καὶ τὸ καλὸν, καὶ ἀγαθὸν καὶ κακὸν, οὕτως ἔχων ὁ ῥητορικὸς, ὡς περὶ τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα, ὧν αἱ ἄλλαι τέχναι· αὐτὰ μὲν οὐκ εἰδὼς, τί ἀγαθὸν ἢ τί κακόν ἐστιν, ἢ τί καλὸν ἢ τί αἰσχρὸν, ἢ δίκαιον ἢ ἄδικον, πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος, ὥστε δοκεῖν εἰδέναι, οὐκ εἰδὼς, ἐν οὐκ εἰδόσι, μᾶλλον τοῦ εἰδότος; ἢ ἀνάγκη εἰδέναι, καὶ δεῖ προεπιστάμενον ταῦτα ἀφικέσθαι παρὰ σὲ τὸν μέλλοντα μαθήσεσθαι τὴν ῥητορικήν; εἰ δὲ μὴ, σὺ ὁ τῆς ῥητορικῆς διδάσκαλος, τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμενον, — οὐ γὰρ σὸν ἔργον, — ποιήσεις δ' ἐν τοῖς πολλοῖς δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα, οὐκ εἰδότα, καὶ δοκεῖν ἀγαθὸν εἶναι, οὐκ ὄντα; ἢ τοπαράπαν οὐχ οἷός τε ἔσῃ αὐτὸν διδάξαι

τὴν ῥητορικὴν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; καὶ πρὸς Διὸς, ὥσπερ ἄρτι εἶπες, ἀποκαλύψας τῆς ῥητορικῆς εἰπὲ τίς ποθ᾽ ἡ δύναμίς ἐστιν. ΓΟΡ. Ἀλλ᾽ ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ μὴ εἰδὼς, καὶ ταῦτα παρ᾽ ἐμοῦ μαθήσεσθαι. ΣΩ. Ἔχε δή· καλῶς γὰρ λέγεις· ἐάν περ ῥητορικὸν σύ τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα, ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ. ΓΟΡ. Πάνυ γε. ΣΩ. Τί οὖν; ὁ τὰ τεκτονικὰ μεμαθηκὼς, τεκτονικὸς, ἢ οὔ; ΓΟΡ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ, μουσικός; ΓΟΡ. Ναί. ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ, ἰατρικός; καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ὁ μεμαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν, οἷον ἕκαστον ἡ ἐπιστήμη ἀπεργάζεται; ΓΟΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος; ΓΟΡ. Πάντως δή που. ΣΩ. Ὁ δὲ δίκαιος δίκαιά που πράττει; ΓΟΡ. Ναί. ΣΩ. Οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον εἶναι, τὸν δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν; ΓΟΡ. Φαίνεταί γε. ΣΩ. Οὐδέποτε ἄρα βουλήσεταί ὅ γε δίκαιος ἀδικεῖν. ΓΟΡ. Ἀνάγκη. ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι. ΓΟΡ. Ναί. ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν. ΓΟΡ. Οὐ φαίνεταί γε. XV. ΣΩ. Μέμνησαι οὖν λέγων ὀλίγῳ πρότερον ὅτι οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν, οὐδ᾽ ἐκβάλλειν ἐκ τῶν πόλεων, ἐὰν ὁ πύκτης τῇ πυκτικῇ

μὴ καλῶς χρῆται καὶ ἀδικῇ; ὡσαύτως δὲ οὕτω καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀδίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν, μηδὲ ἐξελαύνειν ἐκ τῆς πόλεως, ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητορικῇ; ἐῤῥήθη ταῦτα ἢ οὔ; ΓΟΡ. Ἐῤῥήθη. ΣΩ. Νῦν δέ γε ὁ αὐτὸς οὗτος φαίνεται ὁ ῥητορικὸς οὐκ ἄν ποτε ἀδικήσας, ἢ οὔ; ΓΟΡ. Φαίνεται. ΣΩ. Καὶ ἐν τοῖς πρώτοις γε, ὦ Γοργία, λόγοις ἐλέγετο, ὅτι ἡ ῥητορικὴ περὶ λόγους εἴη, οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ, ἀλλὰ τοὺς τοῦ δικαίου καὶ ἀδίκου· ἢ οὔ; ΓΟΡ. Ναί. ΣΩ. Ἐγὼ τοίνυν σοῦ τότε ταῦτα λέγοντος ὑπέλαβον, ὡς οὐδέποτ᾽ ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὅ γ᾽ ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕστερον ἔλεγες, ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο, οὕτω θαυμάσας καὶ ἡγησάμενος οὐ ξυνᾴδειν τὰ λεγόμενα, ἐκείνους εἶπον τοὺς λόγους, ὅτι εἰ μὲν κέρδος ἡγοῖο εἶναι τὸ ἐλέγχεσθαι, ὥσπερ ἐγώ, ἄξιον εἴη διαλέγεσθαι, εἰ δὲ μή, ἐᾷν χαίρειν. ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων, ὁρᾷς δὴ καὶ αὐτός, ὅτι αὖ ὁμολογεῖται, τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ ῥητορικῇ καὶ ἐθέλειν ἀδικεῖν. ταῦτα οὖν ὅπη ποτὲ ἔχει, μὰ τὸν κύνα, ὦ Γοργία, οὐκ ὀλίγης ξυνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι. XVI. ΠΩΛ. Τί δέ, ὦ Σώκρατες; οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξάζεις ὥσπερ νῦν λέγεις; ἢ οἴει, ὅτι Γοργίας ᾐσχύνθη σοι μὴ προσομολογῆσαι, τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι καὶ

τὰ καλὰ καὶ τὰ ἀγαθά, καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ᾽ αὐτόν, αὐτὸς διδάξειν ἔπειτα; ἐκ ταύτης ἴσως τῆς ὁμολογίας ἐναντίον τι ξυνέβη ἐν τοῖς λόγοις· τοῦθ᾽ ὃ δὴ ἀγαπᾷς, αὐτὸς ἀγαγὼν ἐπὶ τοιαῦτα ἐρωτήματα. ἐπεὶ τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; ἀλλ᾽ εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους. ΣΩ. Ὦ κάλλιστε Πῶλε, ἀλλά τοι ἐξεπίτηδες κτώμεθα ἑταίρους καὶ υἱεῖς, ἵνα, ἐπειδὰν αὐτοὶ πρεσβύτεροι γιγνόμενοι σφαλλώμεθα, παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορθῶτε ἡμῶν τὸν βίον καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. καὶ νῦν εἴ τι ἐγὼ καὶ Γοργίας ἐν τοῖς λόγοις σφαλλόμεθα, σὺ παρὼν ἐπανόρθου· δίκαιος δ᾽ εἶ· καὶ ἐγὼ ἐθέλω, τῶν ὡμολογημένων εἴ τί σοι δοκεῖ μὴ καλῶς ὡμολογῆσθαι, ἀναθέσθαι ὅ, τι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυλάττῃς. ΠΩΛ. Τί τοῦτο λέγεις; ΣΩ. Τὴν μακρολογίαν, ὦ Πῶλε, ἣν καθέξῃς, ᾗ τοπρῶτον ἐπεχείρησας χρῆσθαι. ΠΩΛ. Τί δέ; οὐκ ἐξέσται μοι λέγειν, ὁπόσα ἂν βούλωμαι; ΣΩ. Δεινὰ μέντ᾽ ἂν πάθοις, ὦ βέλτιστε, εἰ Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν, ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις. ἀλλὰ ἀντίθες τό, σοῦ μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δεινὰ αὖ ἂν ἐγὼ πάθοιμι εἰ μὴ ἐξέσται μοι ἀπιέναι καὶ μὴ ἀκούειν σου; ἀλλ᾽ εἴ τι κήδει τοῦ λόγου τοῦ εἰρημένου, καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥσπερ νῦν δὴ ἔλεγον, ἀναθέ-

μενος ὅ, τι σοι δοκεῖ, ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος, ὥσπερ ἐγώ τε καὶ Γοργίας, ἔλεγχέ τε καὶ ἐλέγχου. φῂς γὰρ δή που καὶ σὺ ἐπίστασθαι, ἅπερ Γοργίας, ἢ οὔ; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σεαυτὸν ἐρωτᾷν ἑκάστοτε ὅ τι ἂν τις βούληται, ὡς ἐπιστάμενος ἀποκρίνεσθαι; ΠΩΛ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει, ἐρώτα, ἢ ἀποκρίνου. XVII. ΠΩΛ. Ἀλλὰ ποιήσω ταῦτα, καί μοι ἀπόκριναι, ὦ Σώκρατες. ἐπειδὴ Γοργίας ἀπορεῖν σοι δοκεῖ περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φῂς εἶναι; ΣΩ. Ἆρα ἐρωτᾷς, ἥντινα τέχνην φημὶ εἶναι; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι. ΠΩΛ. Ἀλλὰ τί σοὶ δοκεῖ ἡ ῥητορικὴ εἶναι; ΣΩ. Πρᾶγμα, ὃ φῂς σὺ ποιῆσαι τέχνην ἐν τῷ ξυγγράμματι, ὃ ἐγὼ ἔναγχος ἀνέγνων. ΠΩΛ. Τί τοῦτο λέγεις; ΣΩ. Ἐμπειρίαν ἔγωγέ τινα. ΠΩΛ. Ἐμπειρία ἄρα σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι; ΣΩ. Ἔμοιγε, εἰ μή τι σὺ ἄλλο λέγεις. ΠΩΛ. Τίνος ἐμπειρία; ΣΩ. Χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας. ΠΩΛ. Οὐκοῦν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι οἷόν τ᾽ εἶναι ἀνθρώποις; ΣΩ. Τί δέ, ὦ Πῶλε; πέπυσαι ἤδη παρ᾽ ἐμοῦ ὅ, τι φημὶ αὐτὴν εἶναι, ὥστε τὸ μετὰ τοῦτο ἐρωτᾷς, εἰ οὐ καλή μοι δοκεῖ εἶναι; ΠΩΛ. Οὐ γὰρ πέπυσμαι, ὅτι ἐμπειρίαν τινὰ αὐτὴν φῂς εἶναι; ΣΩ. Βούλει οὖν, ἐπειδὴ τιμᾷς τὸ χαρίζεσθαι, σμικρόν τί μοι χαρίσασθαι; ΠΩΛ. Ἔγωγε. ΣΩ. Ἐροῦ νῦν με, ὀψο-

ποιΐα ἥτις μοι δοκεῖ τέχνη εἶναι. ΠΩΛ. Ἐρωτῶ δὴ, τίς τέχνη ὀψοποιΐα. ΣΩ. Οὐδεμία, ὦ Πῶλε. ΠΩΛ. Ἀλλὰ τί, φάθι. ΣΩ. Φημὶ δὴ, ἐμπειρία τις. ΠΩΛ. Τίς, φάθι. ΣΩ. Φημὶ δὴ, χάριτος καὶ ἡδονῆς ἀπεργασίας, ὦ Πῶλε. ΠΩΛ. Ταυτὸν δ' ἐστὶν ὀψοποιΐα καὶ ῥητορική; ΣΩ. Οὐδαμῶς γε, ἀλλὰ τῆς αὐτῆς ἐπιτηδεύσεως μόριον. ΠΩΛ. Τίνος λέγεις ταύτης; ΣΩ. Μὴ ἀγροικότερον ᾖ τὸ ἀληθὲς εἰπεῖν, ὀκνῶ Γοργίου ἕνεκα λέγειν, μὴ οἴηταί με διακωμῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα. ἐγὼ δὲ, εἰ μὲν τοῦτό ἐστιν ἡ ῥητορικὴ, ἣν Γοργίας ἐπιτηδεύει, οὐκ οἶδα· καὶ γὰρ ἄρτι ἐκ τοῦ λόγου οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο, τί ποτε οὗτος ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν ῥητορικὴν, πράγματός τινός ἐστι μόριον οὐδενὸς τῶν καλῶν. ΓΟΡ. Τίνος; ὦ Σώκρατες; εἰπὲ μηδὲν ἐμὲ αἰσχυνθείς. ΣΩ. XVIII. Δοκεῖ τοίνυν μοι, ὦ Γοργία, εἶναί τι ἐπιτήδευμα, τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις. καλῶ δὲ αὐτοῦ ἐγὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ἡ ὀψοποιϊκή, ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δὲ ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή. ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ, καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικήν· τέτταρα ταῦτα μόρια ἐπὶ τέτταρσι πράγμασιν. εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθανέσθω· οὐ γάρ πω πέπυσται, ὁποῖον φημὶ ἐγὼ τὴν ῥητορικὴν

κολακείας μόριον εἶναι, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος· ὁ δὲ ἐπανερωτᾷ εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι· ἐγὼ δὲ αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον, εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι εἶναι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι, ὅ τι ἐστίν. οὐ γὰρ δίκαιον, ὦ Πῶλε. ἀλλ' εἴπερ βούλει πυθέσθαι, ἐρώτα, ὁποῖον μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν. ΠΩΛ. Ἐρωτῶ δή, καὶ ἀπόκριναι, ὁποῖον μόριον. ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου; ἔστι γὰρ ἡ ῥητορική, κατὰ τὸν ἐμὸν λόγον, πολιτικῆς μορίου εἴδωλον. ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι; ΣΩ. Αἰσχρὸν ἔγωγε. τὰ γὰρ κακὰ αἰσχρὰ ἐγὼ καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι ἃ ἐγὼ λέγω. ΓΟΡ. Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς ξυνίημι ὅ, τι λέγεις. ΣΩ. Εἰκότως γε, ὦ Γοργία. οὐδὲν γάρ πω σαφὲς λέγω· Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς. ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα· ἐμοὶ δ' εἰπέ, πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν. ΣΩ. Ἀλλὰ ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει. σῶμά που καλεῖς τι καὶ ψυχήν; ΓΟΡ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν; ΓΟΡ. Ἔγωγε. ΣΩ. Τί δέ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ; οἷον τοιόνδε τι λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἄλλος ἢ ἰατρός τε καὶ τῶν

γυμναστικῶν τις. ΓΟΡ. Ἀληθῆ λέγεις. ΣΩ. Τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὅ τι ποιεῖ μὲν δοκεῖν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον. ΓΟΡ. Ἔστι ταῦτα. XIX. ΣΩ. Φέρε δή σοι, ἐὰν δύνωμαι, σαφέστερον ἐπιδείξω ὃ λέγω. δυεῖν ὄντοιν πραγμάτοιν, δύο λέγω τέχνας, καὶ τὴν μὲν ἐπὶ τῇ ψυχῇ, πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ τῷ σώματι, μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι· μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας, δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς, ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαιοσύνην. ἐπικοινωνοῦσι μὲν δὴ ἀλλήλαις, ἅτε περὶ τὸ αὐτὸ οὖσαι, ἑκάτεραι τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ· ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. τεττάρων δὴ τούτων οὐσῶν, καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν, τῶν μὲν τὸ σῶμα, τῶν δὲ τὴν ψυχήν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα ὑπὸ ἕκαστον τῶν μορίων, προςποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ· καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ· ὥςτε δοκεῖ πλείστου ἀξία εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιϊκὴ ὑποδέδυκε, καὶ προςποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι, ὥςτ' εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ ἰατρόν, ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις, ὥςπερ

οἱ παῖδες, πότερος ἐπαΐοι περὶ τῶν χρηστῶν σιτίων ἢ πονηρῶν, ὁ ἰατρὸς ἢ ὁ ὀψοποιός, λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. κολακείαν μὲν οὖν αὐτὸ καλῶ, καὶ αἰσχρὸν φημί, ὦ Πῶλε, τὸ τοιοῦτον. τοῦτο γὰρ πρὸς σὲ λέγω, ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου, τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ὧν προσφέρει, ὁποῖα ἄττα τὴν φύσιν ἐστίν, ὥςτε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν. ἐγὼ δὲ τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. τούτων δὲ πέρι εἰ ἀμφιςβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον. XX. Τῇ μὲν οὖν ἰατρικῇ, ὥςπερ λέγω, ἡ ὀψοποιϊκὴ κολακεία ὑπόκειται, τῇ δὲ γυμναστικῇ, κατὰ τὸν αὐτὸν τρόπον τοῦτον, ἡ κομμωτική, κακοῦργός τε οὖσα καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασί τε καὶ χρώμασι καὶ λειότητι καὶ αἰσθήσει ἀπατῶσα; ὥςτε ποιεῖν ἀλλότριον κάλλος ἐφελκομένους τοῦ οἰκείου τοῦ διὰ τῆς γυμναστικῆς ἀμελεῖν. ἵν' οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν, ὥςπερ οἱ γεωμέτραι, (ἤδη γὰρ ἂν ἴσως ἀκολουθήσειας) ὅτι, ὃ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο ὀψοποιϊκὴ πρὸς ἰατρικήν· μᾶλλον δὲ ὧδε, ὅτι, ὃ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν, καὶ ὅτι, ὃ ὀψοποιϊκὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην. ὅπερ μέντοι λέγω, διέστηκεν οὕτω φύσει· ἅτε δ' ἐγγὺς ὄντων, φύρονται ἐν τῷ αὐτῷ καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες, καὶ οὐκ ἔχουσιν ὅ, τι χρήσονται οὔτε αὐτοὶ ἑαυτοῖς, οὔτε οἱ ἄλλοι

ἄνθρωποι τούτοις. καὶ γὰρ ἂν εἰ μὴ ἡ ψυχὴ τῷ σώματι ἐπεστάτει, ἀλλ' αὐτὸ αὑτῷ, καὶ μὴ ὑπὸ ταύτης κατεθεωρεῖτο καὶ διεκρίνετο ἥ τε ὀψοποιϊκὴ καὶ ἡ ἰατρική, ἀλλ' αὐτὸ τὸ σῶμα ἔκρινε σταθμώμενον ταῖς χάρισι ταῖς πρὸς αὑτό, τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν, ὦ φίλε Πῶλε (σὺ γὰρ τούτων ἔμπειρος)· ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐτῷ, ἀκρίτων ὄντων τῶν τε ὑγιεινῶν καὶ ἰατρικῶν καὶ ὀψοποιϊκῶν. ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας· ἀντίστροφον ὀψοποιΐας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι. ἴσως μὲν οὖν ἄτοπον πεποίηκα, ὅτι σε οὐκ ἐῶν μακροὺς λόγους λέγειν, αὐτὸς συχνὸν λόγον ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ ξυγγνώμην ἔχειν ἐστί. λέγοντος γάρ μου βραχέα, οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει, ἥν σοι ἀπεκρινάμην, οὐδὲν οἷός τ' ἦσθα, ἀλλὰ ἐδέου διηγήσεως. ἐὰν μὲν οὖν καὶ ἐγὼ σοῦ ἀποκρινομένου μὴ ἔχω ὅ, τι χρήσωμαι, ἀπότεινε καὶ σὺ λόγον· ἐὰν δὲ ἔχω, ἔα με χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει εἴ τι ἔχεις χρῆσθαι, χρῶ. XXI. ΠΩΛ. Τί οὖν φῄς; κολακεία δοκεῖ σοι εἶναι ἡ ῥητορική; ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον· ἀλλ' οὐ μνημονεύεις τηλικοῦτος ὤν, ὦ Πῶλε; τί τάχα δράσεις πρεσβύτης γενόμενος; ΠΩΛ. Ἆρ' οὖν δοκοῦσί σοι ὡς κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες; ΣΩ. Ἐρώτημα τοῦτ' ἐρωτᾷς, ἢ λόγου τινὸς ἀρχὴν λέγεις; ΠΩΛ. Ἐρωτῶ ἔγωγε. ΣΩ. Οὐδὲ νομίζεσθαι ἔμοιγε δοκοῦσι. ΠΩΛ. Πῶς

οὐ νομίζεσθαι; οὐ μέγιστον δύναται τῶν ἐν ταῖς πόλεσιν; ΣΩ. Οὔκ, εἰ τὸ δύνασθαί γε λέγεις ἀγαθόν τι εἶναι τῷ δυναμένῳ. ΠΩΛ. Ἀλλὰ μὲν δὴ λέγω γε. ΣΩ. Ἐλάχιστον τοίνυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες. ΠΩΛ. Τί δ᾽; οὐχ, ὥσπερ οἱ τύραννοι, ἀποκτιννύασί τε ὃν ἂν βούλωνται, καὶ ἀφαιροῦνται χρήματα, καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς; ΣΩ. Νὴ τὸν κύνα ἀμφιγνοῶ μέντοι, ὦ Πῶλε, ἐφ᾽ ἑκάστου ὧν λέγεις, πότερον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνῃ, ἢ ἐμὲ ἐρωτᾷς. ΠΩΛ. Ἀλλ᾽ ἔγωγε σὲ ἐρωτῶ. ΣΩ. Εἶεν, ὦ φίλε· ἔπειτα δύο ἅμα με ἐρωτᾷς; ΠΩΛ. Πῶς δύο; ΣΩ. Οὐκ ἄρτι οὕτω πως ἔλεγες, ὅτι ἀποκτιννύασιν οἱ ῥήτορες οὓς ἂν βούλωνται, ὥσπερ οἱ τύραννοι, καὶ χρήματα ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς; ΠΩΛ. Ἔγωγε. XXII. ΣΩ. Λέγω τοίνυν σοι, ὅτι δύο ταῦτ᾽ ἐστὶ τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται, ὡς ἔπος εἰπεῖν· ποιεῖν μέντοι ὅ, τι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι. ΠΩΛ. Οὐκοῦν τοῦτό ἐστι τὸ μέγα δύνασθαι; ΣΩ. Οὔχ, ὥς γέ φησι Πῶλος. ΠΩΛ. Ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. ΣΩ. Μὰ τὸν οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ. ΠΩΛ. Φημὶ γὰρ οὖν. ΣΩ. Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα ἃ

ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι, νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς μέγα δύνασθαι; ΠΩΛ. Οὐκ ἔγωγε. ΣΩ. Οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας, καὶ τέχνην τὴν ῥητορικήν, ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας; εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες, οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς, καὶ οἱ τύραννοι, οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται, εἰ δὴ δύναμίς ἐστιν, ὡς σὺ φῄς, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ, καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι· ἢ οὔ; ΠΩΛ. Ἔγωγε. ΣΩ. Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου, ὅτι ποιοῦσιν ἃ βούλονται; ΠΩΛ. Οὗτος ἀνὴρ — ΣΩ. Οὔ φημι αὐτοὺς ποιεῖν ἃ βούλονται· ἀλλά μ' ἔλεγχε. ΠΩΛ. Οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν; ΣΩ. Καὶ γὰρ νῦν ὁμολογῶ. ΠΩΛ. Οὐκοῦν ποιοῦσιν ἃ βούλονται; ΣΩ. Οὔ φημι. ΠΩΛ. Ποιοῦντες ἃ δοκεῖ αὐτοῖς; ΣΩ. Φημί. ΠΩΛ. Σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ, ὦ Σώκρατες. ΣΩ. Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε, ἵνα προσείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι· εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. ΠΩΛ. Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ, τι λέγεις.

XXIII. ΣΩ. Πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο, οὗ ἕνεκα πράττουσι τοῦθ' ὃ πράττουσιν; οἷον, οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι ὅπερ ποιοῦσι,

πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν; ἢ ἐκεῖνο, τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσι; ΠΩΛ. Δῆλον ὅτι τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν. ΣΩ. Οὐκοῦν καὶ οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτό ἐστιν, ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε — τίς γὰρ βούλεται πλεῖν τε καὶ κινδυνεύειν καὶ πράγματ' ἔχειν; — ἀλλ' ἐκεῖνο, οἶμαι, οὗ ἕνεκα πλέουσι, πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσι. ΠΩΛ. Πάνυ γε. ΣΩ. Ἄλλοτι οὖν οὕτω καὶ περὶ πάντων; ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα πράττει; ΠΩΛ. Ναί. ΣΩ. Ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακόν, ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν; ΠΩΛ. Πολλὴ ἀνάγκη, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦτον καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τἀναντία τούτων; ΠΩΛ. Ἔγωγε. ΣΩ. Τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου; οἷον, καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά; ΠΩΛ. Οὔκ, ἀλλὰ ταῦτα. ΣΩ. Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ; ΠΩΛ. Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν. ΣΩ. Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν, ὅταν βαδίζωμεν, οἰόμενοι

βέλτιον εἶναι, καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα τοῦ ἀγαθοῦ, ἢ οὔ; *ΠΩΛ.* Ναί. *ΣΩ.* Οὐκοῦν καὶ ἀποκτίννυμεν, εἴ τινα καὶ ἀποκτίννυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν, ἢ οὔ; *ΠΩΛ.* Πάνυ γε. *ΣΩ.* Ἕνεκ' ἄρα τοῦ ἀγαθοῦ πάντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες. *ΠΩΛ.* Φημί. XXIV. *ΣΩ.* Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα ταῦτα ποιοῦμεν. *ΠΩΛ.* Μάλιστα. *ΣΩ.* Οὐκ ἄρα σφάττειν βουλόμεθα, οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως· ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά. ἦ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; —— τί οὐκ ἀποκρίνῃ; *ΠΩΛ.* Ἀληθῆ. *ΣΩ.* Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὑτῷ, τυγχάνει δὲ ὂν κάκιον, οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ· ἦ γάρ; *ΠΩΛ.* Ναί. *ΣΩ.* Ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; —— τί οὐκ ἀποκρίνῃ; *ΠΩΛ.* Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται. *ΣΩ.* Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι, κατὰ τὴν σὴν ὁμολογίαν; *ΠΩΛ.* Οὐκ ἔστιν. *ΣΩ.* Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον

γων, ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ
αὐτῷ, μὴ μέγα δύνασθαι, μηδὲ ποιεῖν ἃ βούλεται.
ΠΩΛ. Ὡς δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖ-
ναί σοι ποιεῖν ὅ, τι δοκεῖ σοι ἐν τῇ πόλει, μᾶλλον ἢ
μή, οὐδὲ ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα, ὃν
ἔδοξεν αὐτῷ, ἢ ἀφελόμενον χρήματα, ἢ δήσαντα. ΣΩ.
Δικαίως λέγεις, ἢ ἀδίκως; ΠΩΛ. Ὁπότερ' ἂν ποιῇ,
οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; ΣΩ. Εὐφήμει, ὦ
Πῶλε. ΠΩΛ. Τί δή; ΣΩ. Ὅτι οὐ χρὴ οὔτε τοὺς
ἀζηλώτους ζηλοῦν, οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν.
ΠΩΛ. Τί δέ; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω
ἀνθρώπων; ΣΩ. Πῶς γὰρ οὔ; ΠΩΛ. Ὅστις
οὖν ἀποκτίννυσιν, ὃν ἂν δόξῃ αὐτῷ, δικαίως ἀπο-
κτιννύς, ἄθλιος δοκεῖ σοι καὶ ἐλεεινός; ΣΩ. Οὐκ
ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός. ΠΩΛ. Οὐκ ἄρτι
ἄθλιον ἔφησθα εἶναι; ΣΩ. Τὸν ἀδίκως γε, ὦ ἑταῖ-
ρε, ἀποκτείναντα, καὶ ἐλεεινόν γε πρός· τὸν δὲ δι-
καίως, ἀζήλωτον. ΠΩΛ. Ἦ που ὅ γε ἀποθνήσκων
ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν. ΣΩ. Ἧττον
ἢ ὁ ἀποκτιννύς, ὦ Πῶλε, καὶ ἧττον ἢ ὁ δικαίως
ἀποθνήσκων. ΠΩΛ. Πῶς δῆτα, ὦ Σώκρατες; ΣΩ.
Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδι-
κεῖν. ΠΩΛ. Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖ-
σθαι μεῖζον; ΣΩ. Ἥκιστά γε. ΠΩΛ. Σὺ ἄρα βού-
λοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν; ΣΩ. Βουλοί-
μην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον εἴη
ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖ-
σθαι ἢ ἀδικεῖν. ΠΩΛ. Σὺ ἄρα τυραννεῖν οὐκ ἂν

δίκαιος; ΣΩ. Οὐκ, εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ. ΠΩΛ. Ἀλλ' ἔγωγε τοῦτο λέγω, ὅπερ ἄρτι, ἐξεῖναι ἐν τῇ πόλει, ὃ ἂν δοκῇ αὐτῷ, ποιεῖν τοῦτο, καὶ ἀποκτιννύντι καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὐτοῦ δόξαν. XXV. ΣΩ. Ὦ μακάριε, ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ ἐπιλαβοῦ. εἰ γὰρ ἐγὼ ἐν ἀγορᾷ πληθούσῃ, λαβὼν ὑπὸ μάλης ἐγχειρίδιον, λέγοιμι πρὸς σέ, ὅτι, „ὦ Πῶλε, ἐμοὶ δύναμίς τις καὶ τυραννὶς θαυμασία ἄρτι προσγέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων, ὧν σὺ ὁρᾷς, αὐτίκα μάλα δεῖν τεθνάναι, τεθνήξει οὗτος, ὃν ἂν δόξῃ, κἄν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγῆναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα, κἂν θοιμάτιον διεσχίσθαι, διεσχισμένον ἔσται· οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει“ εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ ἐγχειρίδιον, ἴσως ἂν εἴποις ἰδών, ὅτι, „ὦ Σώκρατες, οὕτω μὲν πάντες ἂν μέγα δύναιντο· ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ, ἥντινα ἄν σοι δοκῇ, καὶ τά γε Ἀθηναίων νεώρια, καὶ τριήρεις, καὶ τὰ πλοῖα πάντα, καὶ τὰ δημόσια καὶ τὰ ἴδια.“ ἀλλ' οὐκ ἄρα τοῦτ' ἔστι τὸ μέγα δύνασθαι, τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ· ἢ δοκεῖ σοι; ΠΩΛ. Οὐ δῆτα οὕτω γε. ΣΩ. Ἔχεις οὖν εἰπεῖν, διότι μέμφῃ τὴν τοιαύτην δύναμιν; ΠΩΛ. Ἔγωγε. ΣΩ. Τί δή, λέγε. ΠΩΛ. Ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί ἐστι. ΣΩ. Τὸ δὲ ζημιοῦσθαι οὐ κακόν; ΠΩΛ. Πάνυ γε. ΣΩ. Οὐκοῦν, ὦ θαυμάσιε, τὸ μέγα δύνασθαι πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ

δοκεῖ, ἕπηται τὸ ὠφελίμως πράττειν, ἀγαθόν τε εἶναι, καὶ τοῦτο, ὡς ἔοικεν, ἐστὶ τὸ μέγα δύνασθαι· εἰ δὲ μή, κακόν, καὶ σμικρὸν δύνασθαι. σκεψώμεθα δὲ καὶ τόδε· ἄλλο τι ἢ ὁμολογοῦμεν, ἐνίοτε μὲν ἄμεινον εἶναι ταῦτα ποιεῖν, ἃ νῦν δὴ ἐλέγομεν, ἀποκτιννύναι τε καὶ ἐξελαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα, ἐνίοτε δὲ οὔ; ΠΩΛ. Πάνυ γε. ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται. ΠΩΛ. Ναί. ΣΩ. Πότε οὖν σὺ φῂς ἄμεινον εἶναι ταῦτα ποιεῖν; εἰπέ, τίνα ὅρον ὁρίζῃ; ΠΩΛ. Σὺ μὲν οὖν, ὦ Σώκρατες, ἀπόκριναι ταυτὸ τοῦτο. ΣΩ. Ἐγὼ μὲν τοίνυν φημί, ὦ Πῶλε, εἴ σοι παρ' ἐμοῦ ἥδιόν ἐστιν ἀκούειν, ὅταν μὲν δικαίως τις ταῦτα ποιῇ, ἄμεινον εἶναι, ὅταν δὲ ἀδίκως, κάκιον. XXVI. ΠΩΛ. Χαλεπόν γε σὲ ἐλέγξαι, ὦ Σώκρατες, ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν, ὅτι οὐκ ἀληθῆ λέγεις. ΣΩ. Πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ χάριν ἕξω, ἴσην δὲ καὶ σοί, ἐάν με ἐξελέγξῃς, καὶ ἀπαλλάξῃς φλυαρίας. ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε. ΠΩΛ. Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν. τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγονότα, ταῦτα ἱκανά σε ἐξελέγξαι ἔτι καὶ ἀποδεῖξαι ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσι. ΣΩ. Τὰ ποῖα ταῦτα; ΠΩΛ. Ἀρχέλαον δή που τοῦτον τὸν Περδίκκου ὁρᾷς ἄρχοντα Μακεδονίας; ΣΩ. Εἰ δὲ μή, ἀλλ' ἀκούω γε. ΠΩΛ. Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος; ΣΩ. Οὐκ οἶδα, ὦ Πῶλε. οὐ γάρ πω ξυγγέγονα τῷ

ἀνδρί. ΠΩΛ. Τί δαί; ξυγγενόμενος ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ; ΣΩ. Μὰ Δί' οὐ δῆτα. ΠΩΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα. ΣΩ. Καὶ ἀληθῆ γε ἐρῶ. οὐ γὰρ οἶδα, παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης. ΠΩΛ. Τί δέ; ἐν τούτῳ πᾶσα ἡ εὐδαιμονία ἐστίν; ΣΩ. Ὡς γε ἐγὼ λέγω, ὦ Πῶλε. τὸν μὲν γὰρ καλὸν καὶ ἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρόν, ἄθλιον. ΠΩΛ. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος, κατὰ τὸν σὸν λόγον; ΣΩ. Εἴπερ γε, ὦ φίλε, ἄδικος. ΠΩΛ. Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος; ᾧ γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδέν, ἣν νῦν ἔχει, ὄντι ἐκ γυναικός, ἣ ἦν δούλη Ἀλκέτου τοῦ Περδίκκου ἀδελφοῦ καὶ κατὰ μὲν τὸ δίκαιον, δοῦλος ἦν Ἀλκέτου, καί, εἰ ἐβούλετο τὰ δίκαια ποιεῖν, ἐδούλευσεν ἂν Ἀλκέτῃ, καὶ ἦν ἂν εὐδαίμων, κατά γε τὸν σὸν λόγον· νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν, ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν· ὅς γε πρῶτον μὲν τοῦτον αὐτὸν τὸν δεσπότην αὐτοῦ καὶ θεῖον μεταπεμψάμενος, ὡς ἀποδώσων τὴν ἀρχήν, ἣν Περδίκκας αὐτὸν ἀφείλετο, ξενίσας καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ἀνεψιὸν αὐτοῦ, σχεδὸν ἡλικιώτην, ἐμβαλὼν εἰς ἅμαξαν, νύκτωρ ἐξαγαγὼν ἀπέσφαξέ τε καὶ ἠφάνισεν ἀμφοτέρους· καὶ ταῦτα ἀδικήσας, ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος, καὶ οὐ μετεμελήσεν αὐτῷ, ἀλλ' ὀλίγον ὕστερον, τὸν ἀδελφόν, τὸν γνήσιον τοῦ Περδίκκου υἱόν, παῖδα ὡς

ἐπταετῆ, οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον, οὐκ ἐβουλήθη εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ, ἀλλ' εἰς φρέαρ ἐμβαλὼν καὶ ἀποπνίξας, πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀποθανεῖν. τοιγάρτοι νῦν, ἅτε μέγιστα ἠδικηκὼς τῶν ἐν Μακεδονίᾳ, ἀθλιώτατός ἐστι πάντων τῶν Μακεδόνων, ἀλλ' οὐκ εὐδαιμονέστατος· καὶ ἴσως ἔστιν ὅςτις Ἀθηναίων ἀπὸ σοῦ ἀρξάμενος, δέξαιτ' ἂν ἄλλος ὁςτισοῦν Μακεδόνων γενέσθαι μᾶλλον ἢ Ἀρχέλαος. XXVII. ΣΩ. Καὶ κατ' ἀρχὰς τῶν λόγων, ὦ Πῶλε, ἔγωγέ σε ἐπῄνεσα, ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλοτι οὗτός ἐστιν ὁ λόγος, ᾧ με καὶ ἂν παῖς ἐξελέγξειε, καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ, φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν, ὠ'γαθέ; καὶ μὴν οὐδέν γε σοι τούτων ὁμολογῶ, ὧν σὺ φῄς. ΠΩΛ. Οὐ γὰρ ἐθέλεις· ἐπεὶ δοκεῖ γε σοί, ὡς ἐγὼ λέγω. ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥςπερ οἱ ἐν τοῖς δικαστηρίοις ἡγούμενοι ἐλέγχειν. καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων, ὧν ἂν λέγωσι, μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους, ὁ δὲ τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα. οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιός ἐστι πρὸς τὴν ἀλήθειαν. ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι. καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου

σοι πάντες ξυμφήσουσι ταυτὰ Ἀθηναῖοι καὶ οἱ ξένοι. καὶ ἐὰν βούλῃ κατ᾽ ἐμοῦ μάρτυρας παρέχεσθαι, ὡς οὐκ ἀληθῆ λέγω, μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας ὁ Νικηράτου, καὶ οἱ ἀδελφοὶ μετ᾽ αὐτοῦ, ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ Διονυσίῳ, ἐὰν δὲ βούλῃ, Ἀριστοκράτης ὁ Σκελλίου, οὗ αὖ ἐστιν ἐν Πυθίου τοῦτο τὸ καλὸν ἀνάθημα, ἐὰν δὲ βούλῃ, ἡ Περικλέους ὅλη οἰκία, ἢ ἄλλη ξυγγένεια ἥντινα ἂν βούλῃ τῶν ἐνθένδε ἐκλέξασθαι· ἀλλ᾽ ἐγώ σοι εἷς ὢν οὐχ ὁμολογῶ. οὐ γάρ με σὺ ἀναγκάζεις, ἀλλά, ψευδομάρτυρας πολλοὺς κατ᾽ ἐμοῦ παρασχόμενος, ἐπιχειρεῖς ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς. ἐγὼ δὲ ἂν μὴ σὲ αὐτὸν ἕνα ὄντα μάρτυρα παράσχωμαι ὁμολογοῦντα περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄξιον λόγου μοι πεπεράνθαι, περὶ ὧν ἂν ἡμῖν ὁ λόγος ᾖ, οἶμαι δὲ οὐδὲ σοί, ἐὰν μὴ ἐγώ σοι μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δ᾽ ἄλλους πάντας τούτους χαίρειν ἐᾷς. ἔστι μὲν οὖν οὗτός τις τρόπος ἐλέγχου, ὡς σύ τε οἴει καὶ ἄλλοι πολλοί, ἔστι δὲ καὶ ἄλλος, ὃν ἐγὼ αὖ οἶμαι. παραβάλλοντες οὖν παρ᾽ ἀλλήλους σκεψώμεθα, εἴ τι διοίσουσιν ἀλλήλων. καὶ γὰρ καὶ τυγχάνει, περὶ ὧν ἀμφισβητοῦμεν, οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ σχεδόν τι ταῦτα, περὶ ὧν εἰδέναι τε κάλλιστον, μὴ εἰδέναι τε αἴσχιστον. τὸ γὰρ κεφάλαιον αὐτῶν ἐστιν, ἢ γιγνώσκειν ἢ ἀγνοεῖν, ὅστις τε εὐδαίμων ἐστὶ καὶ ὅστις μή. αὐτίκα πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγῇ οἷόν τε, εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα, εἴπερ Ἀρχέλαον ἄδικον μὲν

ἡγῇ εἶναι, εὐδαίμονα δέ. ἄλλοτι ὡς οὕτω σου νομί-
ζοντος διανοώμεθα; ΠΩΛ. Πάνυ γε. XXVIII. ΣΩ.
Ἐγὼ δὲ φημὶ ἀδύνατον. ἓν μὲν τουτὶ ἀμφισβητοῦ-
μεν· εἶεν· ἀδικῶν δὲ δὴ εὐδαίμων ἔσται, ἆρ᾽ ἂν
τυγχάνῃ δίκης τε καὶ τιμωρίας; ΠΩΛ. Ἥκιστά γε·
ἐπεὶ οὕτω γ᾽ ἂν ἀθλιώτατος εἴη. ΣΩ. Ἀλλ᾽ ἐὰν
ἄρα μὴ τυγχάνῃ δίκης ὁ ἀδικῶν, κατὰ τὸν σὸν λό-
γον, εὐδαίμων ἔσται; ΠΩΛ. Φημί. ΣΩ. Κατὰ δέ
γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ
ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι
ἐὰν μὴ διδῷ δίκην, μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν·
ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης
ὑπὸ θεῶν τε καὶ ἀνθρώπων. ΠΩΛ. Ἄτοπά γε, ὦ
Σώκρατες, ἐπιχειρεῖς λέγειν. ΣΩ. Πειράσομαι δέ
γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταυτὰ ἐμοὶ λέγειν· φί-
λον γάρ σε ἡγοῦμαι. νῦν μὲν οὖν, ἃ διαφερόμεθα,
ταῦτ᾽ ἐστί· σκόπει δὲ καὶ σύ. εἶπον ἐγώ που ἐν τοῖς
ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον εἶναι;
ΠΩΛ. Πάνυ γε. ΣΩ. Σὺ δὲ τὸ ἀδικεῖσθαι; ΠΩΛ.
Ναί. ΣΩ. Καὶ τοὺς ἀδικοῦντας ἀθλίους ἔφην εἶναι
ἐγώ; καὶ ἐξηλέγχθην ὑπὸ σοῦ; ΠΩΛ. Ναὶ μὰ Δία.
ΣΩ. Ὡς σύ γε οἴει, ὦ Πῶλε. ΠΩΛ. Ἀληθῆ γε οἰό-
μενος ἴσως. ΣΩ. Σὺ δέ γε εὐδαίμονας αὖ τοὺς ἀδι-
κοῦντας, ἐὰν μὴ διδῶσι δίκην. ΠΩΛ. Πάνυ μὲν
οὖν. ΣΩ. Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς
δὲ διδόντας δίκην ἧττον. βούλει καὶ τοῦτο ἐλέγχειν;
ΠΩΛ. Ἀλλ᾽ ἔτι τοῦτ᾽ ἐκείνου χαλεπώτερόν ἐστιν, ὦ
Σώκρατες, ἐξελέγξαι. ΣΩ. Οὐ δῆτα, ὦ Πῶλε, ἀλλ᾽

ἀδύνατον. τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται. ΠΩΛ. Πῶς λέγεις; ἐὰν ἀδικῶν ἄνθρωπος ληφθῇ τυραννίδι ἐπιβουλεύων, καὶ ληφθεὶς στρεβλῶται, καὶ ἐκτέμνηται, καὶ τοὺς ὀφθαλμοὺς ἐκκάηται, καὶ ἄλλας πολλὰς καὶ μεγάλας καὶ παντοδαπὰς λώβας αὐτός τε λωβηθεὶς, καὶ τοὺς αὑτοῦ ἐπιδὼν παῖδάς τε καὶ γυναῖκα, τὸ ἔσχατον ἀνασταυρωθῇ, ἢ καταπιττωθῇ, οὗτος εὐδαιμονέστερος ἔσται, ἢ ἐὰν διαφυγὼν τύραννος καταστῇ, καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ, ποιῶν ὅ, τι ἂν βούληται, ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων; ταῦτα λέγεις ἀδύνατον εἶναι ἐξελέγχειν; XXIX. ΣΩ. Μορμολύττῃ αὖ, ὦ γενναῖε Πῶλε, καὶ οὐκ ἐλέγχεις, ἄρτι δὲ ἐμαρτύρου. ὅμως δὲ ὑπόμνησόν με σμικρόν· ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες. ΠΩΛ. Ἔγωγε. ΣΩ. Εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐδέτερος αὐτῶν, οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως, οὔτε ὁ δίκην διδούς· δυοῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη, ἀθλιώτερος μέντοι ὁ διαφυγὼν καὶ τυραννεύσας. τί τοῦτο, ὦ Πῶλε, γελᾷς; ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου ἐστὶν, ἐπειδάν τίς τι εἴπῃ, καταγελᾷν, ἐλέγχειν δὲ μή; ΠΩΛ. Οὐκ οἴει ἐξεληλέγχθαι, ὦ Σώκρατες, ὅταν τοιαῦτα λέγῃς, ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων; ἐπεὶ ἐροῦ τινὰ τουτωνί. ΣΩ. Ὦ Πῶλε, οὐκ εἰμὶ τῶν πολιτικῶν, καὶ πέρυσι βουλεύειν λαχὼν, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε, καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον, καὶ οὐκ ἠπιστάμην ἐπιψηφίζειν. μὴ

οὐκ μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας, ἀλλ᾽ εἰ μὴ ἔχεις τούτων βελτίω ἔλεγχον, ὅπερ νῦν δὴ ἐγὼ ἔλεγον, ἐμοὶ ἐν τῷ μέρει παράδος, καὶ πείρασαι τοῦ ἐλέγχου, οἷον ἐγὼ οἶμαι δεῖν εἶναι. ἐγὼ γάρ, ὧν ἂν λέγω, ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι, αὐτὸν πρὸς ὃν ἄν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν, καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι, τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι. ὅρα οὖν, εἰ ἐθελήσεις ἐν τῷ μέρει διδόναι ἔλεγχον, ἀποκρινόμενος τὰ ἐρωτώμενα. ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι, καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι. ΠΩΛ. Ἐγὼ δέ γε οὔτ᾽ ἐμὲ οὔτ᾽ ἄλλον ἀνθρώπων οὐδένα· ἐπεὶ σὺ δέξαι᾽ ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν; ΣΩ. Καὶ σύ γ᾽ ἂν καὶ οἱ ἄλλοι πάντες. ΠΩΛ. Πολλοῦ γε δεῖ, ἀλλ᾽ οὔτ᾽ ἐγώ, οὔτε σύ, οὔτ᾽ ἄλλος οὐδείς. ΣΩ. Οὐκοῦν ἀποκρινῇ; ΠΩΛ. Πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ εἰδέναι ὅ, τι ποτ᾽ ἐρεῖς. ΣΩ. Λέγε δή μοι, ἵν᾽ εἰδῇς, ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς σε ἠρώτων· πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ΠΩΛ. Τὸ ἀδικεῖσθαι, ἔμοιγε. ΣΩ. Τί δαὶ δή; αἴσχιον; πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ἀποκρίνου. ΠΩΛ. Τὸ ἀδικεῖν. ΣΩ. Οὐκοῦν καὶ κάκιον, εἴπερ αἴσχιον; ΠΩΛ. Ἥκιστά γε. XXX. ΣΩ. Μανθάνω. οὐ ταυτὸν ἡγῇ σύ, ὡς ἔοικας, καλόν τε καὶ ἀγαθόν, καὶ κακὸν καὶ αἰσχρόν. ΠΩΛ. Οὐ δῆτα. ΣΩ. Τί δαὶ τόδε; τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ

σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων καλεῖς ἑκάστοτε καλά; οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο, ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος κάλλους; ΠΩΛ. Οὐκ ἔχω. ΣΩ. Οὐκοῦν καὶ τἄλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα, ἢ διὰ ἡδονήν τινα, ἢ διὰ ὠφέλειαν, ἢ δι' ἀμφότερα, καλὰ προσαγορεύεις; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως; ΠΩΛ. Ναί. ΣΩ. Καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα, οὐ δήπου ἐκτὸς τούτων ἐστὶ τὰ καλά, τοῦ ἢ ὠφέλιμα εἶναι, ἢ ἡδέα, ἢ ἀμφότερα. ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν καὶ τὸ τῶν μαθημάτων κάλλος ὡσαύτως; ΠΩΛ. Πάνυ γε, καὶ καλῶς γε νῦν ὁρίζει, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν. ΣΩ. Οὐκοῦν τὸ αἰσχρὸν τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ; ΠΩΛ. Ἀνάγκη. ΣΩ. Ὅταν ἄρα δυοῖν καλοῖν θάτερον κάλλιον ᾖ, ἢ τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον, κάλλιόν ἐστιν, ἤτοι ἡδονῇ ἢ ὠφελείᾳ ἢ ἀμφοτέροις. ΠΩΛ. Πάνυ γε. ΣΩ. Καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ ἕτερον αἴσχιον ᾖ, ἤτοι λύπῃ ἢ κακῷ ὑπερβάλλον, αἴσχιον ἔσται. ἢ οὐκ ἀνάγκη; ΠΩΛ. Ναί. ΣΩ. Φέρε δή, πῶς ἐλέγετο νῦν δὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι, κάκιον

καόμενον ὡς ἂν τὸ κᾶον κάῃ; ΠΩΛ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι. ΠΩΛ. Ναί. ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει; ΠΩΛ. Φαίνεται. ΣΩ. Συλλήβδην δὴ ὅρα, εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον περὶ πάντων, οἷον ἂν τι ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν. ΠΩΛ. Ἀλλ᾽ ὁμολογῶ. ΣΩ. Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν, ἢ ποιεῖν; ΠΩΛ. Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν. ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος; ΠΩΛ. Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος. ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως κολάζει; ΠΩΛ. Ναί. ΣΩ. Δίκαια ποιῶν ἢ οὔ; ΠΩΛ. Δίκαια. ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος, δίκην διδούς, δίκαια πάσχει; ΠΩΛ. Φαίνεται. ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται; ΠΩΛ. Πάνυ γε. ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος; ΠΩΛ. Ναί. ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγαθά; ἢ γὰρ ἡδέα, ἢ ὠφέλιμα. ΠΩΛ. Ἀνάγκη. ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς. ΠΩΛ. Ἔοικεν. ΣΩ. Ὠφελεῖται ἄρα. ΠΩΛ. Ναί. ΣΩ. Ἆρα, ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν, βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται; ΠΩΛ. Εἰκός γε. ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς. ΠΩΛ. Ναί. XXXIII. ΣΩ. Ἆρα οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ. ὧδε δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην

τινὰ ἐνορᾷς ἢ πενίαν; ΠΩΛ. Οὐκ, ἀλλὰ πενίαν. ΣΩ. Τί δ'; ἐν σώματος κατασκευῇ κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι, καὶ νόσον, καὶ αἶσχος, καὶ τὰ τοιαῦτα; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγῇ τινα εἶναι. ΠΩΛ. Πῶς γὰρ οὔ; ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς, καὶ ἀμαθίαν, καὶ δειλίαν, καὶ τὰ τοιαῦτα; ΠΩΛ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας, πενίαν, νόσον, ἀδικίαν; ΠΩΛ. Ναί. ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ ξυλλήβδην ἡ τῆς ψυχῆς πονηρία; ΠΩΛ. Πολύ γε. ΣΩ. Εἰ δὲ αἰσχίστη, καὶ κακίστη; ΠΩΛ. Πῶς, ὦ Σώκρατες, λέγεις; ΣΩ. Ὡδί· ἀεὶ τὸ αἴσχιστον, ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερα, αἴσχιστόν ἐστιν, ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν. ΠΩΛ. Μάλιστα. ΣΩ. Αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν. ΠΩΛ. Ὡμολόγηται γάρ. ΣΩ. Οὐκοῦν ἢ ἀνιαρώτατόν ἐστι, καὶ ἀνίᾳ ὑπερβάλλον, αἴσχιστον τοῦτ' ἐστιν, ἢ βλάβῃ, ἢ ἀμφότερα; ΠΩΛ. Ἀνάγκη. ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ; ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπό τούτων γε. ΣΩ. Ὑπερφυεῖ τινι ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε, ὡς ὁ σὸς

λόγος. ΠΩΛ. Φαίνεται. ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον, μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων. ΠΩΛ. Ναί. ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη τῆς ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστι. ΠΩΛ. Φαίνεται.

XXXIV. ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική; ΠΩΛ. Ναί. ΣΩ. Τίς δὲ νόσου; οὐκ ἰατρική; ΠΩΛ. Ἀνάγκη. ΣΩ. Τίς δὲ πονηρίας καὶ ἀδικίας; — εἰ μὴ οὕτως εὐπορεῖς, ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα; ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες. ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας; ΠΩΛ. Παρὰ τοὺς δικαστὰς λέγεις; ΣΩ. Οὐκοῦν δίκην δώσοντας; ΠΩΛ. Φημί. ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; ΠΩΛ. Δῆλον δή. ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. ΠΩΛ. Φαίνεται. ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν [ὧν λέγεις]; ΠΩΛ. Τίνων λέγεις; ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης. ΠΩΛ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη. ΣΩ. Οὐκοῦν αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ, ἢ ὠφέλειαν, ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστι; ΠΩΛ. Ναί. ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι; ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ. ΣΩ. Ἀλλ' ὠφέλιμόν γε· ἢ γάρ; ΠΩΛ. Ναί. ΣΩ. Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ

ὑγιᾶ εἶναι. ΠΩΛ. Πῶς γὰρ οὔ; ΣΩ. Ἆρ' οὖν οὕ-
τως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη ὁ
ἰατρευόμενος, ἢ ὁ μηδὲ κάμνων τὴν ἀρχήν; ΠΩΛ.
Δῆλον ὅτι ὁ μηδὲ κάμνων. ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν
εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν
ἀρχὴν μηδὲ κτῆσις. ΠΩΛ. Ἔστι ταῦτα. ΣΩ. Τί
δέ; ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτ'
ἐν σώματι, εἴτ' ἐν ψυχῇ; ὁ ἰατρευόμενος καὶ
ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος,
ἔχων δέ; ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.
ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι, μεγίστου κακοῦ
ἀπαλλαγὴ ἦν, πονηρίας; ΠΩΛ. Ἦν γάρ. ΣΩ.
Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ, καὶ
ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη. ΠΩΛ. Ναί. ΣΩ.
Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν τῇ
ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη.
ΠΩΛ. Δῆλον δή. ΣΩ. Δεύτερος δὲ δήπου, ὁ
ἀπαλλαττόμενος. ΠΩΛ. Ἔοικεν. ΣΩ. Οὗτος δ' ἦν
ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην
διδούς. ΠΩΛ. Ναί. ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων
ἀδικίαν, καὶ μὴ ἀπαλλαττόμενος. ΠΩΛ. Φαίνεται.
ΣΩ. Οὐκοῦν οὗτος τυγχάνει ὤν, ὃς ἂν τὰ μέγιστα
ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξη-
ται, ὥστε μήτε νουθετεῖσθαι, μήτε κολάζεσθαι, μήτε
δίκην διδόναι· ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευά-
σθαι, καὶ τοὺς ἄλλους τυράννους, καὶ ῥήτορας,
καὶ δυνάστας; ΠΩΛ. Ἔοικε. XXXV. ΣΩ. Σχε-
δὸν γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπρα-

γμένοι εἰσίν, ὥςπερ ἂν εἴ τις τοῖς μεγίστοις νοσήμασι ξυνισχόμενος, διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς, μηδὲ ἰατρεύεσθαι, φοβούμενος, ὥςπερανεὶ παῖς, τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν· ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως; ΠΩΛ. Ἔμοιγε. ΣΩ. Ἀγνοῶν γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ σώματος. κινδυνεύουσι γάρ, ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων, τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾷν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν, καὶ ἀγνοεῖν, ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος, μὴ ὑγιεῖ ψυχῇ ξυνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ· ὅθεν καὶ πᾶν ποιοῦσιν ὥςτε δίκην μὴ διδόναι, μηδ᾽ ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους, καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν. εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ Πῶλε, ἆρ᾽ αἰσθάνῃ τὰ ξυμβαίνοντα ἐκ τοῦ λόγου; ἢ βούλει ξυλλογισώμεθα αὐτά; ΠΩΛ. Εἰ μὴ σοί γε ἄλλως δοκεῖ. ΣΩ. Ἆρ᾽ οὖν ξυμβαίνει μέγιστον κακὸν ἡ ἀδικία, καὶ τὸ ἀδικεῖν; ΠΩΛ. Φαίνεταί γε. ΣΩ. Καὶ μὴν ἀπαλλαγή γε ἐφάνη τούτου τοῦ κακοῦ τὸ δίκην διδόναι. ΠΩΛ. Κινδυνεύει. ΣΩ. Τὸ δέ γε μὴ διδόναι, ἐμμονὴ τοῦ κακοῦ; ΠΩΛ. Ναί. ΣΩ. Δεύτερον ἄρα ἐστὶ τῶν κακῶν μεγέθει τὸ ἀδικεῖν· τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην, πάντων μέγιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν. ΠΩΛ. Ἔοικεν. ΣΩ. Ἆρ᾽ οὖν οὐ περὶ τούτου,

ὦ φίλε, ἠμφισβητήσαμεν; σὺ μὲν τὸν Ἀρχέλαον εὐδαιμονίζων, τὸν τὰ μέγιστα ἀδικοῦντα καὶ δίκην οὐδεμίαν διδόντα, ἐγὼ δὲ τοὐναντίον οἰόμενος, εἴτ' Ἀρχέλαος, εἴτ' ἄλλος ἀνθρώπων ὁστισοῦν μὴ δίδωσι δίκην, ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως τῶν ἄλλων ἀνθρώπων; καὶ ἀεὶ τὸν ἀδικοῦντα ἀδικουμένου ἀθλιώτερον εἶναι, καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; οὐ ταῦτ' ἦν τὰ ὑπ' ἐμοῦ λεγόμενα; ΠΩΛ. Ναί. ΣΩ. Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐλέγετο; ΠΩΛ. Φαίνεται. XXXVI. ΣΩ. Εἶεν. εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς ἡ μεγάλη χρεία ἐστὶ τῆς ῥητορικῆς; δεῖ μὲν γὰρ δή, ἐκ τῶν νῦν ὡμολογημένων, αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει, ὡς ἱκανὸν κακὸν ἕξοντα; οὐ γάρ; ΠΩΛ. Πάνυ γε. ΣΩ. Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι ἐκεῖσε, ὅπου ὡς τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, ὥσπερ παρὰ τὸν ἰατρόν, σπεύδοντα, ὅπως μὴ ἐγχρονισθὲν τὸ νόσημα τῆς ἀδικίας ὕπουλον τὴν ψυχὴν ποιήσει καὶ ἀνίατον· ἢ πῶς λέγομεν, ὦ Πῶλε, εἴπερ τὰ πρότερον μένει ἡμῖν ὁμολογήματα, οὐκ ἀνάγκη ταῦτα ἐκείνοις οὕτω μὲν ξυμφωνεῖν, ἄλλως δὲ μή; ΠΩΛ. Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρατες; ΣΩ. Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὑτοῦ, ἢ γονέων, ἢ ἑταίρων, ἢ παίδων, ἢ πατρίδος ἀδικούσης, οὐ χρήσιμος οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε· εἰ μή, εἴ τις ὑπολάβοι ἐπὶ τοὐναντίον, κατηγορεῖν δεῖν, μάλιστα μὲν ἑαυτοῦ, ἔπειτα δὲ καὶ

τῶν οἰκείων καὶ τῶν ἄλλων, ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ᾽ εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα, ἵνα δῷ δίκην, καὶ ὑγιὴς γένηται, ἀναγκάζειν τε καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν, ἀλλὰ παρέχειν μύσαντα καὶ ἀνδρείως, ὥσπερ τέμνειν καὶ κάειν ἰατρῷ, τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα, μὴ ὑπολογιζόμενον τὸ ἀλγεινόν· ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ δεσμοῦ, δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνήσκοντα, αὐτὸν πρῶτον ὄντα κατήγορον καὶ αὑτοῦ καὶ τῶν ἄλλων οἰκείων, καὶ μὴ φειδόμενον, ἀλλ᾽ ἐπὶ τούτῳ χρώμενον τῇ ῥητορικῇ, ὅπως ἂν, καταδήλων γιγνομένων τῶν ἀδικημάτων, ἀπαλλάττωνται τοῦ μεγίστου κακοῦ, ἀδικίας. φῶμεν οὕτως, ἢ μὴ φῶμεν, ὦ Πῶλε; ΠΩΛ. Ἄτοπα μέν, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ· τοῖς μέντοι πρόσθεν ἴσως σοι ὁμολογεῖται. ΣΩ. Οὐκοῦν ἢ κἀκεῖνα λυτέον, ἢ τάδε ἀνάγκη ξυμβαίνειν; ΠΩΛ. Ναί, τοῦτό γε οὕτως ἔχει. ΣΩ. Τοὐναντίον δέ γε αὖ μεταβαλόντα, εἰ ἄρα δεῖ τινα κακῶς ποιεῖν, εἴτ᾽ ἐχθρὸν εἴτε ὁντινοῦν, ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆται ὑπὸ τοῦ ἐχθροῦ· τοῦτο μὲν γὰρ εὐλαβητέον· ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ παρασκευαστέον, καὶ πράττοντα καὶ λέγοντα, ὅπως μὴ δῷ δίκην, μηδὲ ἔλθῃ παρὰ τὸν δικαστήν· ἐὰν δὲ ἔλθῃ, μηχανητέον, ὅπως ἂν διαφύγοι καὶ μὴ δοίη δίκην ὁ ἐχθρός, ἀλλ᾽ ἐάν τε χρυσίον ἡρπακὼς ᾖ

πολὺ, μὴ ἀποδιδῷ τοῦτο, ἀλλ᾽ ἔχων ἀναλίσκηται καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς ἑαυτοῦ, ἀδίκως καὶ ἀθέως· ἐάν τε αὖ θανάτου ἄξια ἠδικηκὼς ᾖ, ὅπως μὴ ἀποθανεῖται, μάλιστα μὲν μηδέποτε, ἀλλ᾽ ἀθάνατος ἔσται, πονηρὸς ὤν, εἰ δὲ μή, ὅπως ὡς πλεῖστον χρόνον βιώσεται τοιοῦτος ὤν. ἐπὶ τὰ τοιαῦτα ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ἡ ῥητορικὴ χρήσιμος εἶναι· ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι, εἰ δὴ καὶ ἔστι τις χρεία· ὡς ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα. XXXVII. ΚΑΛ. Εἰπέ μοι, ὦ Χαιρεφῶν, σπουδάζει ταῦτα Σωκράτης, ἢ παίζει; ΧΑΙ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Καλλίκλεις, ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾷν. ΚΑΛ. Νὴ τοὺς θεούς, ἀλλ᾽ ἐπιθυμῶ. εἰπέ μοι, ὦ Σώκρατες, πότερόν σε φῶμεν νυνὶ σπουδάζοντα, ἢ παίζοντα; εἰ μὲν γὰρ σπουδάζεις τε καὶ τυγχάνει ταῦτα ἀληθῆ ὄντα, ἃ λέγεις, ἄλλο τι ἢ ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἐναντία πράττομεν, ὡς ἔοικεν, ἢ ἃ δεῖ; ΣΩ. Ὦ Καλλίκλεις, εἰ μή τι ἦν τοῖς ἀνθρώποις πάθος, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι, τὸ αὐτό, ἀλλά τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ αὑτοῦ πάθημα. λέγω δ᾽ ἐννοήσας, ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταὐτόν τι πεπονθότες, ἐρῶντε δύο ὄντε δυοῖν ἑκάτερος, ἐγὼ μὲν Ἀλκιβιάδου τε τοῦ Κλεινίου καὶ φιλοσοφίας, σὺ δὲ δυοῖν, τοῦ τε Ἀθηναίων δήμου καὶ τοῦ Πυριλάμπους. αἰσθάνομαι οὖν σοῦ ἑκά-

στοτε, καίπερ ὄντος δεινοῦ, ὅτι, ὅπως ἂν ἀντιφῇ σοῦ τὰ παιδικὰ καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντιλέγειν, ἀλλ᾽ ἄνω καὶ κάτω μεταβαλλομένου. ἔν τε γὰρ τῇ ἐκκλησίᾳ, ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ Ἀθηναίων μὴ φῇ οὕτως ἔχειν, μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται, καὶ πρὸς τὸν Πυριλάμπους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦτα ἕτερα πέπονθας. τοῖς γὰρ τῶν παιδικῶν βουλεύμασί τε καὶ λόγοις οὐχ οἷός τ᾽ εἶ ἐναντιοῦσθαι. ὥστε εἴ τις σοῦ λέγοντος ἑκάστοτε, ἃ διὰ τούτους λέγεις, θαυμάζοι ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ, εἰ βούλοιο τἀληθῆ λέγειν, ὅτι, εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων, οὐδὲ σὺ παύσῃ ποτὲ ταῦτα λέγων. νόμιζε τοίνυν καὶ παρ᾽ ἐμοῦ χρῆναι ἕτερα τοιαῦτα ἀκούειν, καὶ μὴ θαύμαζε, ὅτι ἐγὼ ταῦτα λέγω, ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. λέγει γάρ, ὦ φίλε ἑταῖρε, ἀεί, ἃ νῦν ἐμοῦ ἀκούεις, καί μοί ἐστι τῶν ἑτέρων παιδικῶν πολὺ ἧττον ἔμπληκτος. ὁ μὲν γὰρ Κλεινίειος οὗτος ἄλλοτε ἄλλων ἐστὶ λόγων, ἡ δὲ φιλοσοφία ἀεὶ τῶν αὐτῶν· λέγει δὲ ἃ σὺ νῦν θαυμάζεις· παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις. ἢ οὖν ἐκείνην ἐξέλεγξον, ὅπερ ἄρτι ἔλεγον, ὡς οὐ τὸ ἀδικεῖν ἐστι, καὶ ἀδικοῦντα δίκην μὴ διδόναι, ἁπάντων ἔσχατον κακῶν, ἤ, εἰ τοῦτο ἐάσεις ἀνέλεγκτον, μὰ τὸν Κύνα τὸν Αἰγυπτίων θεόν, οὔ σοι ὁμολογήσει Καλλικλῆς, ὦ Καλλίκλεις, ἀλλὰ διαφωνήσει ἐν ἅπαντι τῷ βίῳ. καίτοι ἔγωγε, οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον εἶναι ἀνάρμοστόν τε καὶ διαφωνεῖν, καὶ

χορὸν ᾧ χορηγοίην, καὶ πλείστους ἀνθρώπους μὴ ὁμολογεῖν μοι, ἀλλ᾽ ἐναντία λέγειν, μᾶλλον ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀξύμφωνον εἶναι καὶ ἐναντία λέγειν. XXXVIII. ΚΑΛ. Ὦ Σώκρατες, δοκεῖς μοι νεανιεύεσθαι ἐν τοῖς λόγοις, ὡς ἀληθῶς δημηγόρος ὤν, καὶ νῦν ταῦτα δημηγορεῖς, ταυτὸν παθόντος Πώλου πάθος, ὅπερ Γοργίου κατηγόρει πρὸς σὲ παθεῖν. ἔφη γάρ που Γοργίαν, ἐρωτώμενον ὑπὸ σοῦ, ἐὰν ἀφίκηται παρ᾽ αὐτὸν μὴ ἐπιστάμενος τὰ δίκαια ὁ τὴν ῥητορικὴν βουλόμενος μαθεῖν, εἰ διδάξει αὐτὸν ὁ Γοργίας, αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν, διὰ τὸ ἔθος τῶν ἀνθρώπων, ὅτι ἀγανακτοῖεν ἄν, εἴ τις μὴ φαίη· διὰ δὴ ταύτην τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία αὐτὸν αὑτῷ εἰπεῖν, σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾷν, καὶ σοῦ καταγελᾷν, ὥς γε μοι δοκεῖν, ὀρθῶς τότε· νῦν δὲ πάλιν αὐτὸς ταυτὸν τοῦτο ἔπαθε. καὶ ἔγωγε κατ᾽ αὐτὸ τοῦτο οὐκ ἄγαμαι Πῶλον, ὅτι σοι ξυνεχώρησε τὸ ἀδικεῖν αἴσχιον εἶναι τοῦ ἀδικεῖσθαι. ἐκ ταύτης γὰρ αὖ τῆς ὁμολογίας αὐτὸς ὑπὸ σοῦ ξυμποδισθεὶς ἐν τοῖς λόγοις ἐπεστομίσθη, αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι, ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ. ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος. ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολμᾷ λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία λέγειν. ὃ δὴ καὶ σὺ τοῦτο τὸ σοφὸν κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λό-

γοις, ἐὰν μέν τις κατὰ νόμον λέγῃ, τὰ κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥσπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος, σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν γὰρ πᾶν αἴσχιόν ἐστιν, ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ, τὸ ἀδικεῖν. οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλὰ ἀνδραπόδου τινός, ᾧ κρεῖττον τεθνάναι ἐστὶν ἢ ζῆν, ὅστις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τε ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν, μηδὲ ἄλλῳ, οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους, οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς ξυμφέρον τούς τε νόμους τίθενται, καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι, καὶ τοὺς ψόγους ψέγουσιν, ἐκφοβοῦντές τε τοὺς ἐῤῥωμενεστέρους τῶν ἀνθρώπων, καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν, ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν. ἀγαπῶσι γάρ, οἶμαι, αὐτοὶ, ἂν τὸ ἴσον ἔχωσι, φαυλότεροι ὄντες. XXXIX. Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνοι, ἂν ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν, καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς

γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω
τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δι-
καίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν;
ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ [τοὺς] Σκύθας; ἢ ἄλλα μυρία
ἄν τις ἔχοι τοιαῦτα λέγειν. ἀλλ', οἶμαι, οὗτοι κατὰ
φύσιν τὴν τοῦ δικαίου ταῦτα πράττουσι, καί, ναὶ
μὰ Δία, κατὰ νόμον γε τὸν τῆς φύσεως· οὐ μέντοι
ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς τιθέμεθα πλάττοντες
τοὺς βελτίστους καὶ ἐῤῥωμενεστάτους ἡμῶν αὐτῶν,
ἐκ νέων λαμβάνοντες, ὥσπερ λέοντας, κατεπᾴ-
δοντές τε καὶ γοητεύοντες καταδουλούμεθα, λέγον-
τες ὡς τὸ ἴσον χρὴ ἔχειν, καὶ τοῦτό ἐστι τὸ καλὸν
καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν
γένηται ἔχων ἀνήρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ
διαῤῥήξας καὶ διαφυγὼν καὶ καταπατήσας τὰ ἡμέ-
τερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ
νόμους τοὺς παρὰ φύσιν ἅπαντας, ἐπαναστὰς ἀνε-
φάνη δεσπότης ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέ-
λαμψε τὸ τῆς φύσεως δίκαιον. δοκεῖ δέ μοι καὶ
Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι, ἐν τῷ ᾄσμα-
τι ἐν ᾧ λέγει, ὅτι νόμος ὁ πάντων βασιλεὺς θνα-
τῶν τε καὶ ἀθανάτων· οὗτος δὲ δή, φησίν, ἄγει
βιαίως τὸ δικαιότατον ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέους, ἐπεὶ ἀπριάτας, λέγει οὕτω πως,
τὰ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι, λέγει δ' ὅτι οὔτε πριά-
μενος, οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς·
ὡς τούτου ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ
τἄλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ

γοις, ἐὰν μέν τις κατὰ νόμον λέγῃ, τὰ κατὰ φύσιν ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥςπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Πώλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος, σὺ τὸν νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν γὰρ πᾶν αἴσχιόν ἐστιν, ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ, τὸ ἀδικεῖν. οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλὰ ἀνδραπόδου τινός, ᾧ κρεῖττον τεθνάναι ἐστὶν ἢ ζῆν, ὅςτις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τε ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν, μηδὲ ἄλλῳ, οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους, οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς ξυμφέρον τούς τε νόμους τίθενται, καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι, καὶ τοὺς ψόγους ψέγουσιν, ἐκφοβοῦντές τε τοὺς ἐῤῥωμενεστέρους τῶν ἀνθρώπων, καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν, ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν. ἀγαπῶσι γάρ, οἶμαι, αὐτοὶ, ἂν τὸ ἴσον ἔχωσι, φαυλότεροι ὄντες. XXXIX. Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνει, ἂν ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν, καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς

γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν; ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ [τοὺς] Σκύθας; ἢ ἄλλα μυρία ἄν τις ἔχοι τοιαῦτα λέγειν. ἀλλ', οἶμαι, οὗτοι κατὰ φύσιν τὴν τοῦ δικαίου ταῦτα πράττουσι, καὶ, ναὶ μὰ Δία, κατὰ νόμον γε τὸν τῆς φύσεως· οὐ μέντοι ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς τιθέμεθα πλάττοντες τοὺς βελτίστους καὶ ἐῤῥωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων λαμβάνοντες, ὥσπερ λέοντας, κατεπᾴδοντές τε καὶ γοητεύοντες καταδουλούμεθα, λέγοντες ὡς τὸ ἴσον χρὴ ἔχειν, καὶ τοῦτό ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν γένηται ἔχων ἀνὴρ, πάντα ταῦτα ἀποσεισάμενος καὶ διαῤῥήξας καὶ διαφυγὼν καὶ καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς καὶ νόμους τοὺς παρὰ φύσιν ἅπαντας, ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέλαμψε τὸ τῆς φύσεως δίκαιον. δοκεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι, ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει, ὅτι νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων· οὗτος δὲ δή, φησίν, ἄγει βιαίως τὸ δικαιότατον ὑπερτάτᾳ χειρί· τεκμαίρομαι ἔργοισιν Ἡρακλέους, ἐπεὶ ἀπριάτας, λέγει οὕτω πως, τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι, λέγει δ' ὅτι οὔτε πριάμενος, οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς· ὡς τούτου ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ

κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων. XL. τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει· γνώσῃ δέ, ἂν ἐπὶ τὰ μείζω ἔλθῃς, ἐάσας ἤδη φιλοσοφίαν. φιλοσοφία γάρ τοι ἐστίν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ, καὶ πόῤῥω τῆς ἡλικίας φιλοσοφῇ, ἀνάγκη πάντων ἄπειρον γεγονέναι ἐστίν, ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γίγνονται τῶν κατὰ τὴν πόλιν, καὶ τῶν λόγων, οἷς δεῖ χρώμενον ὁμιλεῖν ἐν τοῖς ξυμβολαίοις τοῖς ἀνθρώποις, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων, καὶ ξυλλήβδην τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν, καταγέλαστοι γίγνονται, ὥσπερ γε, οἶμαι, οἱ πολιτικοί, ἐπειδὰν αὖ εἰς τὰς ὑμετέρας διατριβὰς ἔλθωσι καὶ τοὺς λόγους, καταγέλαστοί εἰσι. ξυμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου, λαμπρός τε ἐστὶν ἕκαστος ἐν τούτῳ, κἀπὶ τοῦτ᾽ ἐπείγεται, νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος, ἵν᾽ αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν· ὅπου δ᾽ ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει, καὶ λοιδορεῖ τοῦτο· τὸ δ᾽ ἕτερον ἐπαινεῖ, εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ᾽ οἶμαι, τὸ ὀρθότατόν ἐστιν, ἀμφοτέρων μετασχεῖν. φιλοσοφίας μέν, ὅσον παιδείας χάριν, καλὸν μετέχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ

ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα γίγνεται. καὶ ἔγωγε ὁμοιότατον πάσχω πρὸς τοὺς φιλοσοφοῦντας, ὥςπερ πρὸς τοὺς ψελλιζομένους καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω, ᾧ ἔτι προςήκει διαλέγεσθαι οὕτω, ψελλιζόμενον καὶ παῖζον, χαίρω τε, καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον, καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ· ὅταν δὲ σαφῶς διαλεγομένου παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι, καὶ ἀνιᾷ μου τὰ ὦτα, καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀκούσῃ τις ψελλιζομένου, ἢ παίζοντα ὁρᾷ, καταγέλαστον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταυτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας. παρὰ νέῳ μὲν γὰρ μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι, καὶ πρέπειν μοι δοκεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα, ἀνελεύθερον, καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγματος. ὅταν δὲ δὴ πρεσβύτερον ἴδω ἔτι φιλοσοφοῦντα καὶ μὴ ἀπαλλαττόμενον, πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι, φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ

ἐνδεεστέρω δὲ παῤῥησίας, καὶ αἰσχυντηροτέρω μᾶλλον τοῦ δέοντος· πῶς γὰρ οὔ; ὤ γε εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥστε διὰ τὸ αἰσχύνεσθαι, τολμᾷ ἑκάτερος αὐτῶν αὐτὸς αὑτῷ ἐναντία λέγειν ἐναντίον πολλῶν ἀνθρώπων, καὶ ταῦτα περὶ τῶν μεγίστων. σὺ δὲ ταῦτα πάντα ἔχεις, ἃ οἱ ἄλλοι οὐκ ἔχουσι· πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθηναίων, καὶ ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι, ἐγώ σοι ἐρῶ. οἶδα ὑμᾶς ἐγώ, ὦ Καλλίκλεις, τέτταρας ὄντας κοινωνοὺς γεγονότας σοφίας, σέ τε καὶ Τίσανδρον τὸν Ἀφιδναῖον, καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος, καὶ Ναυσικύδην τὸν Χολαργέα. καί ποτε ὑμῶν ἐγὼ ὑπήκουσα βουλευομένων, μέχρις ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδα ὅτι ἐνίκα ἐν ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν ἀκρίβειαν φιλοσοφεῖν, ἀλλὰ εὐλαβεῖσθαι παρεκελεύεσθε ἀλλήλοις, ὅπως μὴ πέρα τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσετε διαφθαρέντες. ἐπειδὴ οὖν σου ἀκούω ταυτὰ ἐμοὶ ξυμβουλεύοντος, ἅπερ τοῖς σαυτοῦ ἑταιροτάτοις, ἱκανόν μοι τεκμήριόν ἐστιν, ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ. καὶ μὴν ὅτι γε οἷος παῤῥησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τε φῂς καὶ ὁ λόγος, ὃν ὀλίγον πρότερον ἔλεγες, ὁμολογεῖ σοι. ἔχει δὴ οὑτωσὶ δηλονότι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς λόγοις ὁμολογήσῃς μοι, βεβασανισμένον τοῦτ' ἤδη ἔσται ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ, καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ' ἄλλην βάσανον ἀναφέρειν. οὐ γὰρ ἄν ποτε αὐτὸ ξυνεχώρησας σύ, οὔτε σοφίας ἐνδείᾳ, οὔτ' αἰσχύνης περιουσίᾳ, οὐδ' αὖ

ἀπατῶν ἐμὲ ξυγχωρήσαις ἄν. φίλος γάρ μοι εἶ, ὡς καὶ αὐτὸς φῄς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ σὴ ὁμολογία τέλος ἤδη ἕξει τῆς ἀληθείας. πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις, ὦ Καλλίκλεις, περὶ τούτων, ὧν σὺ δή μοι ἐπετίμησας, ποῖόν τινα χρὴ εἶναι τὸν ἄνδρα, καὶ τί ἐπιτηδεύειν, καὶ μέχρι τοῦ, καὶ πρεσβύτερον καὶ νεώτερον ὄντα. ἐγὼ γὰρ εἴ τι μὴ ὀρθῶς πράττω κατὰ τὸν βίον τὸν ἐμαυτοῦ, εὖ ἴσθι τοῦτο ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω, ἀλλ᾽ ἀμαθίᾳ τῇ ἐμῇ. σὺ οὖν, ὥσπερ ἤρξω νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ᾽ ἱκανῶς μοι ἔνδειξαι, τί ἐστι τοῦτο, ὃ ἐπιτηδευτέον μοι, καὶ τίνα τρόπον ἐργασαίμην ἂν αὐτό· καὶ ἐάν με λάβῃς νῦν μέν σοι ὁμολογήσαντα, ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταῦτα πράττοντα, ἅπερ ὡμολόγησα, πάνυ με ἡγοῦ βλᾶκα εἶναι, καὶ μηκέτι ποτέ με νουθετήσῃς ὕστερον, ὡς μηδενὸς ἄξιον ὄντα. ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε, πῶς φῂς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος, τὸ κατὰ φύσιν, ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων, καὶ ἄρχειν τὸν βελτίω τῶν χειρόνων, καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου; μή τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι, ἢ ὀρθῶς μέμνημαι; XLIII. ΚΑΛ. Ἀλλὰ ταῦτα ἔλεγον καὶ τότε, καὶ νῦν λέγω. ΣΩ. Πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ κρείττω; οὐδὲ γάρ τοι τότε οἷός τ᾽ ἦν μαθεῖν σου, τί ποτε λέγεις. πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς, καὶ δεῖ ἀκροᾶσθαι τοῦ ἰσχυροτέρου τοὺς ἀσθενεστέρους, οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι, ὡς αἱ μεγάλαι πόλεις ἐπὶ τὰς σμικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται,

ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι, ὡς τὸ κρεῖττον καὶ ἰσχυρότερον καὶ βέλτιον ταυτὸν ὄν· ἢ ἔστι βελτίω μὲν εἶναι, ἥττω δὲ καὶ ἀσθενέστερον, καὶ κρείττω μὲν εἶναι, μοχθηρότερον δέ· ἢ ὁ αὐτὸς ὅρος ἐστὶ τοῦ βελτίονος καὶ τοῦ κρείττονος. τοῦτό μοι αὐτὸ σαφῶς διόρισον, ταυτὸν ἢ ἕτερόν ἐστι τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον. *ΚΑΛ.* Ἀλλ' ἐγώ σοι σαφῶς λέγω, ὅτι ταυτόν ἐστιν. *ΣΩ.* Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους εἰσὶ κατὰ φύσιν; οἳ δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ τῷ ἑνί, ὥσπερ καὶ σὺ ἄρτι ἔλεγες. *ΚΑΛ.* Πῶς γὰρ οὔ; *ΣΩ.* Τὰ τῶν πολλῶν ἄρα νόμιμα, τὰ τῶν κρειττόνων ἐστί. *ΚΑΛ.* Πάνυ γε. *ΣΩ.* Οὐκοῦν τὰ τῶν βελτιόνων; οἱ γὰρ κρείττους, βελτίους πολὺ, κατὰ τὸν σὸν λόγον. *ΚΑΛ.* Ναί. *ΣΩ.* Οὐκοῦν τὰ τούτων νόμιμα κατὰ φύσιν καλά, κρειττόνων γε ὄντων; *ΚΑΛ.* Φημί. *ΣΩ.* Ἆρ' οὖν οὐχ οἱ πολλοὶ νομίζουσιν, ὡς ἄρτι αὖ σὺ ἔλεγες, δίκαιον εἶναι, τὸ ἴσον ἔχειν, καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; ἔστι ταῦτα, ἢ οὔ; καὶ ὅπως μὴ ἁλώσῃ ἐνταῦθα σὺ αἰσχυνόμενος, νομίζουσιν, ἢ οὔ, οἱ πολλοί, τὸ ἴσον ἔχειν, ἀλλ' οὐχὶ τὸ πλέον, δίκαιον εἶναι, καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; μὴ φθόνει μοι ἀποκρίνασθαι τοῦτο, Καλλίκλεις, ἵν', ἐάν μοι ὁμολογήσῃς, βεβαιώσωμαι ἤδη παρὰ σοῦ, ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος. *ΚΑΛ.* Ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν οὕτως. *ΣΩ.* Οὐ νόμῳ ἄρα μόνον ἐστὶν αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, οὐδὲ δίκαιον τὸ ἴσον ἔχειν, ἀλλὰ καὶ φύσει, ὥστε κινδυ-

νεύεις οὐκ ἀληθῆ λέγειν ἐν τοῖς πρόσθεν, οὐδὲ ὀρθῶς ἐμοῦ κατηγορεῖν, λέγων, ὅτι ἐναντίον ἐστὶν ὁ νόμος καὶ ἡ φύσις· ἃ δὴ καὶ ἐγὼ γνοὺς κακουργῶ ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ φύσιν λέγῃ, ἐπὶ τὸν νόμον ἄγων, ἐὰν δέ τις κατὰ τὸν νόμον, ἐπὶ τὴν φύσιν. XLIV. ΚΑΛ. Οὑτοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν. εἰπέ μοι, ὦ Σώκρατες, οὐκ αἰσχύνῃ, τηλικοῦτος ὤν, ὀνόματα θηρεύων, καὶ ἐάν τις ῥήματι ἁμάρτῃ, ἕρμαιον τοῦτο ποιούμενος; ἐμὲ γὰρ οἴει ἄλλο τι λέγειν τὸ κρείττους εἶναι, ἢ τὸ βελτίους; οὐ πάλαι σοι λέγω ὅτι ταυτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον; ἢ οἴει με λέγειν, ἐὰν συρφετὸς ξυλλεγῇ δούλων καὶ παντοδαπῶν ἀνθρώπων μηδενὸς ἀξίων, πλὴν ἴσως τῷ σώματι ἰσχυρίσασθαι, καὶ οὗτοι φῶσιν, αὐτὰ ταῦτα εἶναι νόμιμα; ΣΩ. Εἶεν, ὦ σοφώτατε Καλλίκλεις· οὕτω λέγεις; ΚΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Ἀλλ' ἐγὼ μέν, ὦ δαιμόνιε, καὶ αὐτὸς πάλαι τοπάζω, τοιοῦτόν τί σε λέγειν τὸ κρεῖττον, καὶ ἀνερωτῶ, γλιχόμενος σαφῶς εἰδέναι ὅ τι λέγεις. οὐ γὰρ δήπου σύ γε τοὺς δύο βελτίους ἡγῇ τοῦ ἑνός, οὐδὲ τοὺς σοὺς δούλους βελτίους σου, ὅτι ἰσχυρότεροί εἰσιν ἢ σύ. ἀλλὰ πάλιν ἐξ ἀρχῆς εἰπέ, τί ποτε λέγεις τοὺς βελτίους, ἐπειδὴ οὐ τοὺς ἰσχυροτέρους. καί, ὦ θαυμάσιε, πρᾳότερόν με προδίδασκε, ἵνα μὴ ἀποφοιτήσω παρὰ σοῦ. ΚΑΛ. Εἰρωνεύῃ, ὦ Σώκρατες. ΣΩ. Μὰ τὸν Ζῆθον, ὦ Καλλίκλεις, ᾧ σὺ χρώμενος πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι εἰπέ, τίνας λέγεις τοὺς βελτίους εἶναι. ΚΑΛ. Τοὺς ἀμείνους ἔγωγε. ΣΩ. Ὁρᾷς ἄρα ὅτι

σὺ αὐτὸς ὀνόματα λέγεις, δηλοῖς δὲ οὐδέν; οὐκ ἐρεῖς, τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέρους λέγεις ἢ ἄλλους τινάς; ΚΑΛ. Ἀλλά, ναὶ μὰ Δία, τούτους λέγω, καὶ σφόδρα γε. ΣΩ. Πολλάκις ἄρα εἷς φρονῶν μυρίων μὴ φρονούντων κρείττων ἐστὶ κατὰ τὸν σὸν λόγον, καὶ τοῦτον ἄρχειν δεῖ, τοὺς δ' ἄρχεσθαι, καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων, τοῦτο γάρ μοι δοκεῖς βούλεσθαι λέγειν· (καὶ οὐ ῥήματα θηρεύω) εἰ ὁ εἷς τῶν μυρίων κρείττων. ΚΑΛ. Ἀλλὰ ταῦτ' ἔστιν, ἃ λέγω. τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαιον εἶναι φύσει, τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ πλέον ἔχειν τῶν φαυλοτέρων. XLV. ΣΩ. Ἔχε δὴ αὐτοῦ. τί ποτε αὖ νῦν λέγεις; ἐὰν ἐν τῷ αὐτῷ ὦμεν, ὥσπερ νῦν, πολλοὶ ἀθρόοι ἄνθρωποι, καὶ ἡμῖν ᾖ ἐν κοινῷ πολλὰ σιτία καὶ ποτά, ὦμεν δὲ παντοδαποί, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, εἷς δὲ ἡμῶν ᾖ φρονιμώτερος περὶ ταῦτα, ἰατρὸς ὤν, ᾖ δέ, οἷον εἰκός, τῶν μὲν ἰσχυρότερος, τῶν δὲ ἀσθενέστερος, ἄλλο τι ἢ οὗτος φρονιμώτερος ἡμῶν ὢν βελτίων καὶ κρείττων ἔσται εἰς ταῦτα; ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐτῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ νέμειν, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα, οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον ἑκτέον, ἐὰν δὲ τύχῃ πάντων ἀσθενέστατος ὤν, πάντων ἐλάχιστον τῷ βελτίστῳ, ὦ Καλλίκλεις; οὐχ οὕτως, ὦ 'γαθέ; ΚΑΛ. Περὶ σιτία σὺ λέγεις καὶ πο-

τὰ καὶ ἰατροὺς καὶ φλυαρίας, ἐγὼ δὲ οὐ ταῦτα λέγω. ΣΩ. Πότερον οὖν τὸν φρονιμώτερον βελτίω λέγεις; φάθι, ἢ μή. ΚΑΛ. Ἔγωγε. ΣΩ. Ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν; ΚΑΛ. Οὐ σιτίων γε, οὐδὲ ποτῶν. ΣΩ. Μανθάνω· ἀλλ' ἴσως ἱματίων· καὶ δεῖ τὸν ὑφαντικώτατον μέγιστον ἱμάτιον ἔχειν, καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεσχόμενον περιϊέναι. ΚΑΛ. Ποίων ἱματίων; ΣΩ. Ἀλλ' εἰς ὑποδήματα δηλονότι δεῖ πλεονεκτεῖν τὸν φρονιμώτερον εἰς ταῦτα καὶ βέλτιστον. τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑποδήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν. ΚΑΛ. Ποῖα ὑποδήματα φλυαρεῖς ἔχων; ΣΩ. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις, ἴσως τὰ τοιάδε· οἷον, γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν, τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων, καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὐτοῦ γῆν. ΚΑΛ. Ὡς ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκρατες. ΣΩ. Οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. ΚΑΛ. Νὴ τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύῃ, ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον. ΣΩ. Οὐκοῦν σὺ ἐρεῖς περὶ τίνων ὁ κρείττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ; ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξῃ, οὔτ' αὐτὸς ἐρεῖς; ΚΑΛ. Ἀλλ' ἔγωγε καὶ πάλαι λέγω· πρῶτον μέν, τοὺς κρείττους οἵ εἰσιν, οὐ σκυτοτόμους λέγω, οὐδὲ μαγείρους, ἀλλ' οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν, ὄντινα ἂν τρόπον εὖ οἰκοῖτο, καὶ μὴ μόνον φρόνιμοι, ἀλλὰ καὶ ἀν-

δρεῖοι, ἱκανοὶ ὄντες ἃ ἂν νοήσωσιν ἐπιτελεῖν, καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς. XLVI. ΣΩ. Ὁρᾷς, ὦ βέλτιστε Καλλίκλεις, ὡς οὐ ταυτὰ σύ τ' ἐμοῦ κατηγορεῖς καὶ ἐγὼ σοῦ. σὺ μὲν γάρ ἐμὲ φῂς ἀεὶ ταυτὰ λέγειν καὶ μέμφῃ μοι, ἐγὼ δὲ σοῦ τοὐναντίον, ὅτι οὐδέποτε ταυτὰ λέγεις περὶ τῶν αὐτῶν, ἀλλὰ τοτὲ μὲν τοὺς βελτίους τε καὶ κρείττους τοὺς ἰσχυροτέρους ὡρίζου, αὖθις δὲ τοὺς φρονιμωτέρους· νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων· ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους. ἀλλ', ὦ 'γαθέ, εἰπὼν ἀπαλλάγηθι, τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους, καὶ εἰς ὅ τι. ΚΑΛ. Ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους εἰς τὰ τῆς πόλεως πράγματα καὶ ἀνδρείους. τούτοις γὰρ προσήκει τῶν πόλεων ἄρχειν, καὶ τὸ δίκαιον τοῦτ' ἐστί, πλέον ἔχειν τούτους τῶν ἄλλων, τοὺς ἄρχοντας τῶν ἀρχομένων. ΣΩ. Τί δέ; αὑτῶν, ὦ ἑταῖρε; ΚΑΛ. Τί, ἢ τί ἄρχοντας, ἢ ἀρχομένους; πῶς λέγεις; ΣΩ. Ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχοντα· ἢ τοῦτο μὲν οὐδὲν δεῖ, αὐτὸν ἑαυτοῦ ἄρχειν, τῶν δὲ ἄλλων; ΚΑΛ. Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις; ΣΩ. Οὐδὲν ποικίλον, ἀλλ' ὥσπερ οἱ πολλοί, σώφρονα ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ, τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἄρχοντα τῶν ἐν ἑαυτῷ. ΚΑΛ. Ὡς ἡδὺς εἶ. τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας; ΣΩ. Πῶς γάρ; οὐδεὶς ὅστις οὐκ ἂν γνοίη ὅτι οὐ τοῦτο λέγω. ΚΑΛ. Πάνυ γε σφόδρα, ὦ Σώκρατες· ἐπεὶ πῶς ἂν εὐδαίμων γένοιτο ἄνθρωπος δουλεύων ὁτῳοῦν; ἀλλὰ τοῦτ' ἐστὶ τὸ κατὰ φύσιν κα-

λὸν καὶ δίκαιον, ὃ ἐγώ σοι νῦν παῤῥησιαζόμενος λέγω, ὅτι δεῖ τὸν ὀρθῶς βιωσόμενον τὰς μὲν ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾷν ὡς μεγίστας εἶναι, καὶ μὴ κολάζειν, ταύταις δὲ ὡς μεγίσταις οὔσαις ἱκανὸν εἶναι ὑπηρετεῖν δι' ἀνδρίαν καὶ φρόνησιν, καὶ ἀποπιμπλάναι, ὧν ἂν ἀεὶ ἡ ἐπιθυμία γίγνηται. ἀλλὰ τοῦτ' οἶμαι τοῖς πολλοῖς οὐ δυνατόν· ὅθεν ψέγουσι τοὺς τοιούτους, δι' αἰσχύνην ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμίαν, καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐγὼ ἔλεγον, δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους, καὶ αὐτοὶ ἐκπορίζεσθαι οὐ δυνάμενοι ταῖς ἡδοναῖς πλήρωσιν, ἐπαινοῦσι τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην, διὰ τὴν αὑτῶν ἀνανδρίαν. ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι, ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν, τί τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον εἴη σωφροσύνης τούτοις τοῖς ἀνθρώποις; οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν, μηδενὸς ἐμποδὼν ὄντος, αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο, τὸν τῶν πολλῶν ἀνθρώπων νόμον τε καὶ λόγον καὶ ψόγον; ἢ πῶς οὐκ ἂν ἄθλιοι γεγονότες εἴησαν ὑπὸ τοῦ καλοῦ τοῦ τῆς δικαιοσύνης καὶ τῆς σωφροσύνης, μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὑτῶν, ἢ τοῖς ἐχθροῖς, καὶ ταῦτα, ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει; ἀλλὰ τῇ ἀληθείᾳ, ὦ Σώκρατες, ἣν σὺ φῂς διώκειν, ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν ἔχῃ, τοῦτ' ἐστὶν ἀρετή τε καὶ εὐδαιμονία, τὰ δὲ ἄλλα ταῦτ'

ἐστὶ τὰ καλλωπίσματα, τὰ παρὰ φύσιν ξυνθήματα, ἀνθρώπων φλυαρία, καὶ οὐδενὸς ἄξια. XLVII. ΣΩ. Οὐκ ἀγεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχῃ τῷ λόγῳ παῤῥησιαζόμενος. σαφῶς γὰρ σὺ νῦν λέγεις, ἃ οἱ ἄλλοι διανοοῦνται μέν, λέγειν δὲ οὐκ ἐθέλουσι. δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται, πῶς βιωτέον. καί μοι λέγε· τὰς μὲν ἐπιθυμίας φῂς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας, πλήρωσιν αὐταῖς ἄλλοθέν γε ποθὲν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι τὴν ἀρετήν; ΚΑΛ. Φημὶ ταῦτα ἐγώ. ΣΩ. Οὐκ ἄρα ὀρθῶς λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι. ΚΑΛ. Οἱ λίθοι γὰρ ἂν οὕτω γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι εἶεν. ΣΩ. Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις, δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ' ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖςδε λέγει, λέγων· Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, Τὸ κατθανεῖν δὲ ζῆν; καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ὅπερ ἤδη του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν σῶμα ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω καὶ κάτω· καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι, διὰ τὸ πιθανόν τε καὶ πειστικὸν, ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους, ἀμυήτους, τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανὸν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας.

τοὐναντίον δὴ οὗτός σοι, ὦ Καλλίκλεις, ἐνδείκνυται ὡς τῶν ἐν ᾅδου — τὸ ἀειδὲς δὴ λέγων — οὗτοι ἀθλιώτατοι ἂν εἶεν, οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι· τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων, ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν, δι' ἀπιστίαν τε καὶ λήθην. ταῦτ' ἐπιεικῶς μέν ἐστιν ὑπό τι ἄτοπα· δηλοῖ μήν, ὃ ἐγὼ βούλομαί σοι ἐνδειξάμενος, ἐάν πως οἷός τε ὦ πεῖσαι μεταθέσθαι, ἀντὶ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχοντος βίου τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔχοντα βίον ἑλέσθαι. ἀλλὰ πότερον πείθω τί σε καὶ μετατίθεσαι, εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων, ἢ οὐδέν; ἀλλ', ἂν καὶ πολλὰ τοιαῦτα μυθολογῶ, οὐδέν τι μᾶλλον μεταθήσῃ; ΚΑΛ. Τοῦτ' ἀληθέστερον εἴρηκας, ὦ Σώκρατες. XLVIII. ΣΩ. Φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν. σκόπει γάρ, εἰ τοιόνδε λέγεις περὶ τοῦ βίου ἑκατέρου τοῦ τε σώφρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ δυοῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν, καὶ τῷ μὲν ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις, ὁ μὲν οἴνου, ὁ δὲ μέλιτος, ὁ δὲ γάλακτος, καὶ ἄλλοι πολλοὶ πολλῶν, νάματα δὲ σπάνια καὶ χαλεπὰ ἑκάστου τούτων εἴη, καὶ μετὰ πολλῶν πόνων καὶ χαλεπῶν ἐκποριζόμενα· ὁ μὲν οὖν ἕτερος πληρωσάμενος, μήτ' ἐποχετεύοι, μήτε τι φροντίζοι, ἀλλ' ἕνεκα τούτων ἡσυχίαν ἔχοι· τῷ δ' ἑτέρῳ τὰ μὲν νάματα, ὥσπερ καὶ ἐκείνῳ,

νεται ξυμβαίνοντα, εἰ τοῦτο οὕτως ἔχει, καὶ ἄλλα πολλά. ΚΑΛ. Ὡς σύ γε οἴει, ὦ Σώκρατες. ΣΩ. Σὺ δὲ τῷ ὄντι, ὦ Καλλίκλεις, ταῦτα ἰσχυρίζῃ; ΚΑΛ. Ἔγωγε. L. ΣΩ. Ἐπιχειρῶμεν ἄρα τῷ λόγῳ ὡς σοῦ σπουδάζοντος; ΚΑΛ. Πάνυ γε σφόδρα. ΣΩ. Ἴθι δή μοι, ἐπειδή σοι οὕτω δοκεῖ, διελοῦ τάδε· ἐπιστήμην που καλεῖς τι. ΚΑΛ. Ἔγωγε. ΣΩ. Οὐ καὶ ἀνδρίαν νῦν δὴ ἔλεγές τινα εἶναι μετὰ ἐπιστήμης; ΚΑΛ. Ἔλεγον γάρ. ΣΩ. Ἄλλο τι οὖν ὡς ἕτερον τὴν ἀνδρίαν τῆς ἐπιστήμης δύο ταῦτα ἔλεγες; ΚΑΛ. Σφόδρα γε. ΣΩ. Τί δὲ ἡδονὴν καὶ ἐπιστήμην; ταυτὸν ἢ ἕτερον; ΚΑΛ. Ἕτερον δήπου, ὦ σοφώτατε σύ. ΣΩ. Ἦ καὶ ἀνδρίαν ἑτέραν ἡδονῆς; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Φέρε δὴ ὅπως μεμνησόμεθα ταῦτα, ὅτι Καλλικλῆς ἔφη ὁ Ἀχαρνεύς, ἡδὺ μὲν καὶ ἀγαθὸν ταυτὸν εἶναι, ἐπιστήμην δὲ καὶ ἀνδρίαν καὶ ἀλλήλων καὶ τοῦ ἀγαθοῦ ἕτερον· Σωκράτης δέ γε ἡμῖν ὁ Ἀλωπεκῆθεν οὐχ ὁμολογεῖ ταῦτα· ἢ ὁμολογεῖ; ΚΑΛ. Οὐχ ὁμολογεῖ. ΣΩ. Οἶμαι δέ γε οὐδὲ Καλλικλῆς, ὅταν αὐτὸς αὑτὸν θεάσηται ὀρθῶς. εἰπὲ γάρ μοι, τοὺς εὖ πράττοντας τοῖς κακῶς πράττουσιν οὐ τοὐναντίον ἡγῇ πάθος πεπονθέναι; ΚΑΛ. Ἔγωγε. ΣΩ. Ἆρ' οὖν, εἴπερ ἐναντία ἐστὶ ταῦτα ἀλλήλοις, ἀνάγκη περὶ αὐτῶν ἔχειν, ὥςπερ περὶ ὑγιείας ἔχει καὶ νόσου; οὐ γὰρ ἅμα δήπου ὑγιαίνει τε καὶ νοσεῖ ὁ ἄνθρωπος, οὐδὲ ἅμα ἀπαλλάττεται ὑγιείας τε καὶ νόσου. ΚΑΛ. Πῶς λέγεις; ΣΩ. Οἷον περὶ ὅτου βούλει τοῦ σώματος ἀπολαβὼν σκόπει. νοσεῖ που

ἄνθρωπος ὀφθαλμιῶν; ᾧ ὄνομα ὀφθαλμία; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐ δήπου καὶ ὑγιαίνει γε ἅμα τοὺς αὐτούς; ΚΑΛ. Οὐδ' ὁπωστιοῦν. ΣΩ. Τί δέ; ὅταν τῆς ὀφθαλμίας ἀπαλλάττηται, ἆρα τότε καὶ τῆς ὑγιείας ἀπαλλάττεται τῶν ὀφθαλμῶν, καὶ τελευτῶν ἅμα ἀμφοτέρων ἀπήλλακται; ΚΑΛ. Ἥκιστά γε. ΣΩ. Θαυμάσιον γάρ, οἶμαι, καὶ ἄλογον γίγνεται. ἦ γάρ; ΚΑΛ. Σφόδρα γε. ΣΩ. Ἀλλ' ἐν μέρει, οἶμαι, ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολύει; ΚΑΛ. Φημί. ΣΩ. Οὐκοῦν καὶ ἰσχὺν καὶ ἀσθένειαν ὡσαύτως; ΚΑΛ. Ναί. ΣΩ. Καὶ τάχος καὶ βραδυτῆτα; ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἦ καὶ τὰ ἀγαθὰ καὶ τὴν εὐδαιμονίαν, καὶ τἀναντία τούτων, κακά τε καὶ ἀθλιότητα, ἐν μέρει λαμβάνει, καὶ ἐν μέρει ἀπαλλάττεται ἑκατέρου; ΚΑΛ. Πάντως δήπου. ΣΩ. Ἐὰν εὕρωμεν ἄρα ἅττα, ὧν ἅμα τε ἀπαλλάττεται ἄνθρωπος καὶ ἅμα ἔχει, δῆλον ὅτι ταῦτά γε οὐκ ἂν εἴη τό τε ἀγαθὸν καὶ τὸ κακόν. ὁμολογοῦμεν ταῦτα; καὶ εὖ μάλα σκεψάμενος ἀποκρίνου. ΚΑΛ. Ἀλλ' ὑπερφυῶς ὁμολογῶ. LI. ΣΩ. Ἴθι δὴ ἐπὶ τὰ ἔμπροσθεν ὡμολογημένα. τὸ πεινῆν ἔλεγες πότερον ἡδὺ ἢ ἀνιαρὸν εἶναι; αὐτὸ λέγω τὸ πεινῆν. ΚΑΛ. Ἀνιαρὸν ἔγωγε. ΣΩ. Τὸ μέντοι πεινῶντα ἐσθίειν, ἡδύ; ΚΑΛ. Ἔγωγε. ΣΩ. Μανθάνω· ἀλλ' οὖν τό γε πεινῆν αὐτὸ ἀνιαρόν, ἢ οὐχί; ΚΑΛ. Φημί. ΣΩ. Οὐκοῦν καὶ τὸ διψῆν; ΚΑΛ. Σφόδρα γε. ΣΩ. Πότερον οὖν ἔτι πλείω ἐρωτῶ, ἢ ὁμολογεῖς ἅπασαν ἔνδειαν καὶ ἐπιθυμίαν ἀνιαρὸν εἶναι; ΚΑΛ. Ὁμολο-

γῶ, ἀλλὰ μὴ ἐρώτα. ΣΩ. Εἶεν. διψῶντα δὲ δὴ πίνειν, ἄλλο τι ἢ ἡδὺ φῂς εἶναι; ΚΑΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν τούτου, οὗ λέγεις, τὸ μὲν διψῶντα λυπούμενον δήπου ἐστί; ΚΑΛ. Ναί. ΣΩ. Τὸ δὲ πίνειν, πλήρωσίς τε τῆς ἐνδείας καὶ ἡδονή; ΚΑΛ. Ναί. ΣΩ. Οὐκοῦν κατὰ τὸ πίνειν χαίρειν λέγεις; ΚΑΛ. Μάλιστα. ΣΩ. Διψῶντα δὲ λυπούμενον; ΚΑΛ. Ναί. ΣΩ. Αἰσθάνῃ οὖν τὸ ξυμβαῖνον, ὅτι λυπούμενον χαίρειν λέγεις ἅμα, ὅταν διψῶντα πίνειν λέγῃς; ἢ οὐχ ἅμα τοῦτο γίγνεται κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον εἴτε ψυχῆς εἴτε σώματος βούλει; οὐδὲν γάρ, οἶμαι, διαφέρει. ἔστι ταῦτα, ἢ οὔ; ΚΑΛ. Ἔστιν. ΣΩ. Ἀλλὰ μὴν εὖ γε πράττοντα κακῶς πράττειν ἅμα ἀδύνατον ἔφης εἶναι. ΚΑΛ. Φημὶ γάρ. ΣΩ. Ἀνιώμενον δέ γε χαίρειν δυνατὸν ὡμολόγηκας. ΚΑΛ. Φαίνεται. ΣΩ. Οὐκ ἄρα τὸ χαίρειν ἐστὶν εὖ πράττειν· οὐδὲ τὸ ἀνιᾶσθαι, κακῶς· ὥστε ἕτερον γίγνεται τὸ ἡδὺ τοῦ ἀγαθοῦ. ΚΑΛ. Οὐκ οἶδ' ἅττα σοφίζῃ, ὦ Σώκρατες. ΣΩ. Οἶσθα, ἀλλὰ ἀκκίζῃ, ὦ Καλλίκλεις· καὶ πρόϊθί γε ἔτι εἰς τὸ ἔμπροσθεν, ὅτι ἔχων ληρεῖς, ἵνα εἰδῇς, ὡς σοφὸς ὤν με νουθετεῖς. οὐχ ἅμα διψῶν τε ἕκαστος ἡμῶν πέπαυται καὶ ἅμα ἡδόμενος διὰ τοῦ πίνειν; ΚΑΛ. Οὐκ οἶδα ὅ, τι λέγεις. ΓΟΡ. Μηδαμῶς, ὦ Καλλίκλεις· ἀλλ' ἀποκρίνου καὶ ἡμῶν ἕνεκα, ἵνα περανθῶσιν οἱ λόγοι. ΚΑΛ. Ἀλλ' ἀεὶ τοιοῦτός ἐστι Σωκράτης, ὦ Γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ καὶ ἐξελέγχει. ΓΟΡ. Ἀλλὰ τί σοι διαφέρει; πάντως οὐ σὴ αὕτη ἡ τιμή, ὦ Καλ-

λίκλεις, ἀλλ' ὑπόσχες, Σωκράτη ἐξελέγξαι ὅπως ἂν
βούληται. ΚΑΛ. Ἐρώτα δὴ σὺ τὰ σμικρά τε καὶ στε-
νὰ ταῦτα, ἐπείπερ Γοργίᾳ δοκεῖ οὕτως. LII. ΣΩ.
Εὐδαίμων εἶ, ὦ Καλλίκλεις, ὅτι τὰ μεγάλα γε με-
μύησαι πρὶν τὰ σμικρά· ἐγὼ δ' οὐκ ᾤμην θεμιτὸν
εἶναι. ὅθεν οὖν ἀπέλειπες, ἀποκρίνου, εἰ οὐχ ἅμα
παύεται διψῶν ἕκαστος ἡμῶν καὶ ἡδόμενος. ΚΑΛ. Φη-
μί. ΣΩ. Οὐκοῦν καὶ πεινῶν, καὶ τῶν ἄλλων ἐπιθυ-
μιῶν καὶ ἡδονῶν ἅμα παύεται; ΚΑΛ. Ἔστι ταῦτα.
ΣΩ. Οὐκοῦν καὶ τῶν λυπῶν καὶ τῶν ἡδονῶν ἅμα παύε-
ται; ΚΑΛ. Ναί. ΣΩ. Ἀλλὰ μὴν τῶν ἀγαθῶν καὶ τῶν
κακῶν οὐχ ἅμα παύεται, ὡς σὺ ὡμολόγεις· νῦν δὲ οὐχ
ὁμολογεῖς; ΚΑΛ. Ἔγωγε· τί οὖν δή; ΣΩ. Ὅτι οὐ ταὐ-
τὰ γίγνεται, ὦ φίλε, τἀγαθὰ τοῖς ἡδέσιν, οὐδὲ τὰ κακὰ
τοῖς ἀνιαροῖς· τῶν μὲν γὰρ ἅμα παύεται, τῶν δὲ οὔ, ὡς
ἑτέρων ὄντων· πῶς οὖν ταὐτὰ ἂν εἴη τὰ ἡδέα τοῖς
ἀγαθοῖς, ἢ τὰ ἀνιαρὰ τοῖς κακοῖσιν; ἐὰν δὲ βούλῃ,
καὶ τῇδε ἐπίσκεψαι· οἶμαι γάρ σοι οὐδὲ ταύτῃ ὁμο-
λογεῖσθαι· ἄθρει δή· τοὺς ἀγαθοὺς οὐχὶ ἀγαθῶν
παρουσίᾳ ἀγαθοὺς καλεῖς, ὥσπερ τοὺς καλούς, οἷς
ἂν κάλλος παρῇ; ΚΑΛ. Ἔγωγε. ΣΩ. Τί δέ; ἀγα-
θοὺς ἄνδρας καλεῖς ἄφρονας καὶ δειλούς; οὐ γὰρ ἄρ-
τι γε· ἀλλὰ τοὺς ἀνδρείους καὶ φρονίμους ἔλεγες· ἢ
οὐ τούτους ἀγαθοὺς καλεῖς; ΚΑΛ. Πάνυ μὲν οὖν.
ΣΩ. Τί δέ; παῖδα ἀνόητον χαίροντα ἤδη εἶδες;
ΚΑΛ. Ἔγωγε. ΣΩ. Ἄνδρα δὲ οὔπω εἶδες ἀνόητον
χαίροντα; ΚΑΛ. Οἶμαι ἔγωγε. ἀλλὰ τί τοῦτο; ΣΩ.
Οὐδέν, ἀλλ' ἀποκρίνου. ΚΑΛ. Εἶδον. ΣΩ. Τί δέ;

νοῦν ἔχοντα λυπούμενον καὶ χαίροντα; ΚΑΛ. Φημί. ΣΩ. Πότεροι δὲ μᾶλλον χαίρουσι καὶ λυποῦνται, οἱ φρόνιμοι ἢ οἱ ἄφρονες; ΚΑΛ. Οἶμαι ἔγωγε οὐ πολύ τι διαφέρειν. ΣΩ. Ἀλλ᾽ ἀρκεῖ καὶ τοῦτο. ἐν πολέμῳ δὲ ἤδη εἶδες ἄνδρα δειλόν; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Τί οὖν; ἀπιόντων τῶν πολεμίων πότεροί σοι ἐδόκουν μᾶλλον χαίρειν, οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι; ΚΑΛ. Ἀμφότεροι ἔμοιγε μᾶλλον· εἰ δὲ μή, παραπλησίως γε. ΣΩ. Οὐδὲν διαφέρει. χαίρουσι δ᾽ οὖν καὶ οἱ δειλοί; ΚΑΛ. Σφόδρα γε. ΣΩ. Καὶ οἱ ἄφρονες, ὡς ἔοικε; ΚΑΛ. Ναί. ΣΩ. Προσιόντων δέ, οἱ δειλοὶ μόνον λυποῦνται, ἢ καὶ οἱ ἀνδρεῖοι; ΚΑΛ. Ἀμφότεροι. ΣΩ. Ἆρα ὁμοίως; ΚΑΛ. Μᾶλλον ἴσως οἱ δειλοί. ΣΩ. Ἀπιόντων δ᾽ οὐ μᾶλλον χαίρουσιν; ΚΑΛ. Ἴσως. ΣΩ. Οὐκοῦν λυποῦνται μὲν καὶ χαίρουσι καὶ οἱ ἄφρονες καὶ οἱ φρόνιμοι, καὶ οἱ δειλοὶ καὶ οἱ ἀνδρεῖοι παραπλησίως, ὡς σὺ φῄς, μᾶλλον δὲ οἱ δειλοὶ τῶν ἀνδρείων; ΚΑΛ. Φημί. ΣΩ. Ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ οἱ ἀνδρεῖοι ἀγαθοί, οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί; ΚΑΛ. Ναί. ΣΩ. Παραπλησίως ἄρα χαίρουσι καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί; ΚΑΛ. Φημί. ΣΩ. Ἆρ᾽ οὖν παραπλησίως εἰσὶν ἀγαθοὶ καὶ κακοὶ οἱ ἀγαθοί τε καὶ κακοί, ἢ καὶ ἔτι μᾶλλον ἀγαθοὶ [οἱ ἀγαθοί,] καὶ κακοὶ εἰσιν οἱ κακοί; LIII. ΚΑΛ. Ἀλλὰ μὰ Δί᾽ οὐκ οἶδ᾽ ὅ τι λέγεις. ΣΩ. Οὐκ οἶσθ᾽ ὅτι τοὺς ἀγαθοὺς, ἀγαθῶν φῄς παρουσίᾳ εἶναι ἀγαθούς, κακοὺς δὲ κακῶν, τὰ δὲ ἀγαθὰ εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας;

ΚΑΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν τοῖς χαίρουσι πάρεστι τὰ ἀγαθά, αἱ ἡδοναί, εἴπερ χαίρουσι; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν ἀγαθῶν παρόντων ἀγαθοί εἰσιν οἱ χαίροντες; ΚΑΛ. Ναί. ΣΩ. Τί δέ; τοῖς ἀνιωμένοις οὐ πάρεστι τὰ κακά, αἱ λῦπαι; ΚΑΛ. Πάρεστι. ΣΩ. Κακῶν δέ γε παρουσίᾳ φῂς σὺ εἶναι κακοὺς τοὺς κακούς· ἢ οὐκέτι φῄς; ΚΑΛ. Ἔγωγε. ΣΩ. Ἀγαθοὶ ἄρα, οἳ ἂν χαίρωσι, κακοὶ δέ, οἳ ἂν ἀνιῶνται; ΚΑΛ. Πάνυ γε. ΣΩ. Οἱ μέν γε μᾶλλον, μᾶλλον, οἱ δ' ἧττον, ἧττον, οἱ δὲ παραπλησίως, παραπλησίως. ΚΑΛ. Ναί. ΣΩ. Οὐκοῦν φῂς παραπλησίως χαίρειν καὶ λυπεῖσθαι τοὺς φρονίμους καὶ τοὺς ἄφρονας; καὶ τοὺς δειλοὺς καὶ τοὺς ἀνδρείους; ἢ καὶ μᾶλλον ἔτι τοὺς δειλούς; ΚΑΛ. Ἔγωγε. ΣΩ. Ξυλλόγισαι δὴ κοινῇ μετ' ἐμοῦ, τί ἡμῖν ξυμβαίνει ἐκ τῶν ὡμολογημένων. καὶ δὶς γάρ τοι καὶ τρίς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. ἀγαθὸν μὲν εἶναι τὸν φρόνιμον καὶ ἀνδρεῖόν φαμεν· ἢ γάρ; ΚΑΛ. Ναί. ΣΩ. Κακὸν δὲ τὸν ἄφρονα καὶ δειλόν; ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἀγαθὸν δὲ αὖ τὸν χαίροντα; ΚΑΛ. Ναί. ΣΩ. Κακὸν δέ, τὸν ἀνιώμενον; ΚΑΛ. Ἀνάγκη. ΣΩ. Ἀνιᾶσθαι δὲ καὶ χαίρειν τὸν ἀγαθὸν καὶ κακὸν ὁμοίως, ἴσως δὲ καὶ μᾶλλον τὸν κακόν; ΚΑΛ. Ναί. ΣΩ. Οὐκοῦν ὁμοίως γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ ἀγαθῷ, ἢ καὶ μᾶλλον ἀγαθὸς ὁ κακός; οὐ ταῦτα ξυμβαίνει καὶ τὰ πρότερα ἐκεῖνα, ἐάν τις ταυτὰ φῇ ἡδέα τε καὶ ἀγαθὰ εἶναι; οὐ ταῦτα ἀνάγκη, ὦ Καλλίκλεις; LIV. ΚΑΛ. Πά-

λαι τοι σοῦ ἀκροῶμαι, ὦ Σώκρατες, καθομολογῶν, ἐνθυμεύμενος ὅτι, κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν, τούτου ἄσμενος ἔχῃ, ὥςπερ τὰ μειράκια. ὡς δὴ σὺ οἴει ἐμὲ, ἢ καὶ ἄλλον ὁντιναοῦν ἀνθρώπων, οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονὰς, τὰς δὲ χείρους. ΣΩ. Ἰοὺ ἰοὺ, ὦ Καλλίκλεις, ὡς πανοῦργος εἶ, καί μοι ὥςπερ παιδὶ χρῇ, τοτὲ μὲν ταῦτα φάσκων οὕτως ἔχειν, τοτὲ δὲ ἑτέρως, ἐξαπατῶν με. καίτοι οὐκ ᾤμην γε κατ' ἀρχὰς ὑπὸ σοῦ ἑκόντος εἶναι ἐξαπατηθήσεσθαι, ὡς ὄντος φίλου· νῦν δὲ ἐψεύσθην, καί, ὡς ἔοικεν, ἀνάγκη μοι, κατὰ τὸν παλαιὸν λόγον, τὸ παρὸν εὖ ποιεῖν, καὶ τοῦτο δέχεσθαι τὸ διδόμενον παρὰ σοῦ. ἔστι δὲ δή, ὡς ἔοικεν, ὃ σὺ νῦν λέγεις, ὅτι ἡδοναί τινες εἰσὶν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί. ἦ γάρ; ΚΑΛ. Ναί. ΣΩ. Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί; ΚΑΛ. Πάνυ γε. ΣΩ. Ὠφέλιμοι δέ γε αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι; ΚΑΛ. Φημί. ΣΩ. Ἆρ' οὖν τὰς τοιάςδε λέγεις; οἷον κατὰ τὸ σῶμα, ἃς νῦν δὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσιν ἐν τῷ σώματι, ἢ ἰσχὺν, ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων, κακαί; ΚΑΛ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰσιν, αἱ δὲ πονηραί; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον; ΚΑΛ. Πάνυ γε. ΣΩ. Τὰς δὲ πονηρὰς οὔ; ΚΑΛ. Δῆλον δή. ΣΩ. Ἕνεκα γάρ που τῶν αγα-

θῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ ξυνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκα δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο τῶν ἄλλων; ξύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων; ΚΑΛ. Ἔγωγε. ΣΩ. Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων. ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν, ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; ΚΑΛ. Τεχνικοῦ. LV. ΣΩ. Ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων. ἔλεγον γάρ, εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί, αἱ μὲν μέχρι ἡδονῆς, αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἱ δὲ γιγνώσκουσαι ὅ τι τε ἀγαθὸν καὶ ὅ τι κακόν· καὶ ἐτίθουν τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν [κατὰ τὸ σῶμα] ἐμπειρίαν, ἀλλ' οὐ τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην. καὶ πρὸς Φιλίου, ὦ Καλλίκλεις, μήτε αὐτὸς οἴου δεῖν πρὸς ἐμὲ παίζειν, μηδ' ὅ τι ἂν τύχοις παρὰ τὰ δοκοῦντα ἀποκρίνου, μήτ' αὖ τὰ παρ' ἐμοῦ οὕτως ἀποδέχου ὡς παίζοντος. ὁρᾷς γὰρ ὅτι περὶ τούτου ἡμῖν εἰσιν οἱ λόγοι, οὗ τί ἂν μᾶλλον σπουδάσειέ τις καὶ σμικρὸν νοῦν ἔχων ἄνθρωπος, ἢ τοῦτο, ὅντινα χρὴ τρόπον ζῆν; πότερον, ἐπὶ ὃν σὺ παρακαλεῖς ἐμέ, τὰ τοῦ ἀνδρὸς δὴ ταῦτα πράττοντα, λέγοντά τε ἐν τῷ δήμῳ καὶ ῥητορικὴν ἀσκοῦν-

-σα, καὶ πολιτευόμενον τοῦτον τὸν τρόπον, ὃν ὑμεῖς
νῦν πολιτεύεσθε, ἢ ἐπὶ τόνδε τὸν βίον τὸν ἐν φι-
λοσοφίᾳ; καὶ τί ποτ' ἐστὶν οὗτος ἐκείνου διαφέρων;
ἴσως οὖν βέλτιστόν ἐστιν, ὡς ἄρτι ἐγὼ ἐπεχείρησα,
διαιρεῖσθαι, διελομένους δὲ καὶ ὁμολογήσαντας
ἀλλήλοις, εἰ ἔστι τούτω διττὼ τὼ βίω, σκέψασθαι, τί
τε διαφέρετον ἀλλήλοιν, καὶ ὁπότερον βιωτέον αὐ-
τοῖν. ἴσως οὖν οὔπω οἶσθα, τί λέγω. ΚΑΛ. Οὐ
δῆτα. ΣΩ. Ἀλλ' ἐγώ σοι σαφέστερον ἐρῶ. ἐπειδὴ
ὡμολογήκαμεν ἐγώ τε καὶ σύ, εἶναι μέν τι ἀγα-
θόν, εἶναι δέ τι ἡδύ, ἕτερον δὲ τὸ ἡδὺ τοῦ ἀγα-
θοῦ, ἑκατέρου δὲ αὐτοῖν μελέτην τινα εἶναι καὶ παρα-
σκευὴν τῆς κτήσεως, τὴν μὲν τοῦ ἡδέος θήραν, τὴν
δὲ τοῦ ἀγαθοῦ· αὐτὸ δή μοι τοῦτο πρῶτον ἢ ξυμ-
φαθι, ἢ μὴ ξυμφῇς; ΚΑΛ. Οὕτω φημί. LVI.
ΣΩ. Ἴθι δή, ἃ καὶ πρὸς τούσδε ἐγὼ ἔλεγον, διομο-
λόγησαί μοι, εἰ ἄρα σοι ἔδοξα τότε ἀληθῆ λέγειν.
ἔλεγον δέ που ὅτι, ἡ μὲν ὀψοποιητικὴ οὔ μοι δοκεῖ
τέχνη εἶναι, ἀλλ' ἐμπειρία, ἡ δ' ἰατρική, λέγων, ὅτι
ἡ μὲν τούτου, οὗ θεραπεύει, καὶ τὴν φύσιν ἔσκεπται,
καὶ τὴν αἰτίαν ὧν πράττει, καὶ λόγον ἔχει τούτων
ἑκάστου δοῦναι, ἡ ἰατρική· ἡ δ' ἑτέρα τῆς ἡδο-
νῆς, πρὸς ἣν ἡ θεραπεία αὐτῇ ἐστιν ἅπασα, κομι-
δῇ ἀτέχνως ἐπὶ αὐτὴν ἔρχεται, οὔτε τι τὴν φύσιν
σκεψαμένη τῆς ἡδονῆς οὔτε τὴν αἰτίαν, ἀλογός τε
παντάπασιν, ὡς ἔπος εἰπεῖν, οὐδὲν διαριθμησαμένη
τριβῇ καὶ ἐμπειρίᾳ, μνήμη μόνον σωζομένη τοῦ εἰ-
ωθότος γίγνεσθαι, ᾧ δὴ καὶ πορίζεται τὰς ἡδονάς.

ταῦτ᾽ οὖν πρῶτον σκόπει εἰ δοκεῖ σοι ἱκανῶς λέγεσθαι, καὶ εἶναί τινες καὶ περὶ ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι, αἱ μὲν τεχνικαί, προμήθειάν τινα ἔχουσαι τοῦ βελτίστου περὶ τὴν ψυχήν, αἱ δὲ τούτου μὲν ὀλιγωροῦσαι, ἐσκεμμέναι δ᾽ αὖ, ὥςπερ ἐκεῖ, τὴν ἡδονὴν μόνον τῆς ψυχῆς, τίνα ἂν αὐτῇ τρόπον γίγνοιτο· ἥτις δὲ ἢ βελτίων ἢ χείρων τῶν ἡδονῶν, οὔτε σκοπούμεναι, οὔτε μέλον αὐταῖς ἄλλο ἢ χαρίζεσθαι μόνον, εἴτε βέλτιον εἴτε χεῖρον. ἐμοὶ μὲν γάρ, ὦ Καλλίκλεις, δοκοῦσί τε εἶναι, καὶ ἔγωγε φημὶ τὸ τοιοῦτον κολακείαν εἶναι καὶ περὶ σῶμα καὶ περὶ ψυχὴν καὶ περὶ ἄλλο, ὅτου ἄν τις τὴν ἡδονὴν θεραπεύῃ, ἀσκέπτως ἔχων τοῦ ἀμείνονός τε καὶ τοῦ χείρονος. σὺ δὲ δὴ πότερον ξυγκατατίθεσαι ἡμῖν περὶ τούτων τὴν αὐτὴν δόξαν, ἢ ἀντιφῄς; ΚΑΛ. Οὐκ ἔγωγε, ἀλλὰ ξυγχωρῶ, ἵνα σοι καὶ περανθῇ ὁ λόγος, καὶ Γοργίᾳ τῷδε χαρίσωμαι. ΣΩ. Πότερον δὲ περὶ μὲν μίαν ψυχήν ἐστι τοῦτο, περὶ δὲ δύο καὶ πολλὰς οὐκ ἔστιν; ΚΑΛ. Οὔκ, ἀλλὰ καὶ περὶ δύο καὶ πολλάς. ΣΩ. Οὐκοῦν καὶ ἀθρόαις ἅμα χαρίζεσθαί ἐστι μηδὲν σκοπούμενον τὸ βέλτιστον; ΚΑΛ. Οἶμαι ἔγωγε. LVII. Ἔχεις οὖν εἰπεῖν, αἵτινές εἰσιν αἱ ἐπιτηδεύσεις αἱ τοῦτο ποιοῦσαι; μᾶλλον δέ, εἰ βούλει, ἐμοῦ ἐρωτῶντος, ἣ μὲν ἄν σοι δοκῇ τούτων εἶναι, φάθι, ἣ δ᾽ ἂν μή, μὴ φάθι. πρῶτον δὲ σκεψώμεθα τὴν αὐλητικήν. οὐ δοκεῖ σοι τοιαύτη τις εἶναι, ὦ Καλλίκλεις; τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν, ἄλλο δ᾽ οὐδὲν φροντίζειν; ΚΑΛ.

Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν καὶ αἱ τοιαίδε ἅπασαι, οἷον ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσι; ΚΑΛ. Ναί. ΣΩ. Τί δέ; ἡ τῶν χορῶν διδασκαλία, καὶ ἡ τῶν διθυράμβων ποίησις, οὐ τοιαύτη τίς σοι καταφαίνεται; ἢ ἡγῇ τι φροντίζειν Κινησίαν τὸν Μέλητος, ὅπως ἐρεῖ τι τοιοῦτον ὅθεν ἂν οἱ ἀκούοντες βελτίους γίγνοιντο; ἢ ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν; ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, Κινησίου γε πέρι. ΣΩ. Τί δὲ ὁ πατὴρ αὐτοῦ Μέλης; ἢ πρὸς τὸ βέλτιστον βλέπων ἐδόκει σοι κιθαρῳδεῖν; ἢ ἐκεῖνος μὲν οὐδὲ πρὸς τὸ ἥδιστον; ἠνία γὰρ ᾄδων τοὺς θεατάς. ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς χάριν εὑρῆσθαι; ΚΑΛ. Ἔμοιγε. ΣΩ. Τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ἡ τῆς τραγῳδίας ποίησις, ἐφ' ᾧ ἐσπούδακε; πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ, χαρίζεσθαι τοῖς θεαταῖς μόνον, ἢ καὶ διαμάχεσθαι, ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον, πονηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ· εἰ δέ τι τυγχάνει ἀηδὲς καὶ ὠφέλιμον, τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται, ἐάν τε χαίρωσιν ἐάν τε μή; ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις; ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὅτι πρὸς τὴν ἡδονὴν μᾶλλον ὥρμηται, καὶ τὸ χαρίζεσθαι τοῖς θεαταῖς. ΣΩ. Οὐκοῦν τὸ τοιοῦτον, ὦ Καλλίκλεις, ἔφαμεν νῦν δὴ κολακείαν εἶναι. ΚΑΛ. Πάνυ γε. ΣΩ. Φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τὸ

τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι ἢ λόγοι γίγνονται τὸ λειπόμενον; ΚΑΛ. Ἀνάγκη. ΣΩ. Οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι λέγονται οἱ λόγοι; ΚΑΛ. Φημί. ΣΩ. Δημηγορία ἄρα τίς ἐστιν ἡ ποιητική. ΚΑΛ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἡ ῥητορικὴ δημηγορία ἂν εἴη, ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις; ΚΑΛ. Ἔμοιγε. ΣΩ. Νῦν ἄρα ἡμεῖς εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον, τοιοῦτον, οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν καὶ ἀνδρῶν, καὶ δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα· κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι. ΚΑΛ. Πάνυ γε. LVIII. ΣΩ. Εἶεν· τί δὲ ἡ πρὸς τὸν Ἀθηναίων δῆμον ῥητορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πόλεσι δήμους τοὺς τῶν ἐλευθέρων ἀνδρῶν; τί ποτε ἡμῖν αὕτη ἐστί; πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι, ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὐτῶν λόγους; ἢ καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι, καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὐτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ ὥςπερ παισὶ προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα, οὐδὲν φροντίζουσιν; ΚΑΛ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ὃ ἐρωτᾷς. εἰσὶ μὲν γάρ, οἳ κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις. ΣΩ. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἕτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία,

τὸ δ᾽ ἕτερον καλόν, τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαί, καὶ ἀεὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσιν. ἀλλ᾽ οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητορικήν· ἢ εἴ τινα ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας τίς ἐστιν; ΚΑΛ. Ἀλλὰ μὰ Δία οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα. ΣΩ. Τί δέ; τῶν παλαιῶν ἔχεις τινὰ εἰπεῖν, δι᾽ ὅντινα αἰτίαν ἔχουσιν Ἀθηναῖοι βελτίους γεγονέναι, ἐπειδὴ ἐκεῖνος ἤρξατο δημηγορεῖν, ἐν τῷ πρόσθεν χρόνῳ χείρους ὄντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδα, τίς ἐστιν οὗτος. ΚΑΛ. Τί δέ; Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα, καὶ Κίμωνα, καὶ Μιλτιάδην, καὶ Περικλέα τουτονὶ τὸν νεωστὶ τετελευτηκότα, οὗ καὶ σὺ ἀκήκοας; ΣΩ. Εἰ ἔστι γε, ὦ Καλλίκλεις, ἣν πρότερον σὺ ἔλεγες ἀρετήν, ἀληθής, τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι καὶ τὰς αὑτοῦ καὶ τὰς τῶν ἄλλων· εἰ δὲ μὴ τοῦτο, ἀλλ᾽ ὅπερ ἐν τῷ ὑστέρῳ λόγῳ ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν, ὅτι, αἳ μὲν τῶν ἐπιθυμιῶν πληρούμεναι βελτίω ποιοῦσι τὸν ἄνθρωπον, ταύτας μὲν ἀποτελεῖν, αἳ δὲ χείρω, μή· τούτου δὲ τέχνη τις εἶναι· τοιοῦτον ἄνδρα τούτων τινὰ γεγονέναι ἔχεις εἰπεῖν; ΚΑΛ. Οὐκ ἔχω ἔγωγε πῶς εἴπω. LIX. ΣΩ. Ἀλλ᾽, ἐὰν ζητῇς καλῶς, εὑρήσεις. ἴδωμεν δὴ οὑτωσὶν ἀτρέμα σκοπούμενοι, εἴ τις τούτων τοιοῦτος γέγονε. φέρε γάρ, ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων ἃ ἂν λέγῃ, ἄλλο τι ἢ οὐκ εἰκῇ ἐρεῖ, ἀλλ᾽ ἀποβλέπων

πρός τι; ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ, βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρων ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ, ἀλλ' ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται. οἷον, εἰ βούλει ἰδεῖν τοὺς ζωγράφους, τοὺς οἰκοδόμους, τοὺς ναυπηγοὺς, τοὺς ἄλλους πάντας δημιουργοὺς, ὅντινα βούλει αὐτῶν, ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν, ὃ ἂν τιθῇ, καὶ προσαναγκάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττειν, ἕως ἂν τὸ ἅπαν ξυστήσηται τεταγμένον τε καὶ κεκοσμημένον πρᾶγμα· καὶ οἵ τε δὴ ἄλλοι δημιουργοὶ, καὶ οὓς νῦν δὴ ἐλέγομεν, οἱ περὶ τὸ σῶμα παιδοτρίβαι τε καὶ ἰατροὶ, κοσμοῦσί που τὸ σῶμα καὶ ξυντάσσουσιν· ὁμολογοῦμεν οὕτω τοῦτ' ἔχειν, ἢ οὔ; ΚΑΛ. Ἔστω τοῦτο οὕτω. ΣΩ. Τάξεως ἄρα καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ, μοχθηρά; ΚΑΛ. Φημί. ΣΩ. Οὐκοῦν καὶ πλοῖον ὡσαύτως; ΚΑΛ. Ναί. ΣΩ. Καὶ μὴν καὶ τὰ σώματά φαμεν τὰ ἡμέτερα; ΚΑΛ. Πάνυ γε. ΣΩ. Τί δ' ἡ ψυχή; ἀταξίας τυχοῦσα ἔσται χρηστὴ, ἢ τάξεώς τε καὶ κόσμου τινός; ΚΑΛ. Ἀνάγκη ἐκ τῶν ἔμπροσθεν καὶ τοῦτο ξυνομολογεῖν. ΣΩ. Τί οὖν ὄνομά ἐστιν ἐν τῷ σώματι τῷ ἐκ τῆς τάξεώς τε καὶ τοῦ κόσμου γιγνομένῳ; ΚΑΛ. Ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις. ΣΩ. Ἔγωγε. Τί δὲ αὖ τῷ ἐν τῇ ψυχῇ ἐγγιγνομένῳ ἐκ τῆς τάξεως καὶ τοῦ κόσμου; πειρῶ εὑρεῖν καὶ εἰπεῖν ὥσπερ ἐκείνῳ τὸ ὄνομα. ΚΑΛ. Τί δὲ οὐκ αὐτὸς λέγεις, ὦ Σώκρατες;

ταλείπωμεν. *ΚΑΛ.* Αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον, ἢ λέγων κατὰ σαυτὸν, ἢ ἀποκρινόμενος σαυτῷ; *ΣΩ.* Ἵνα μοι τὸ τοῦ Ἐπιχάρμου γένηται, ἃ πρὸ τοῦ δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς γένωμαι; ἀτὰρ κινδυνεύει ἀναγκαιότατον εἶναι οὕτως. εἰ μέντοι ποιήσομεν, οἶμαι ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς τί ἐστι περὶ ὧν λέγομεν, καὶ τί ψεῦδος· κοινὸν γὰρ ἀγαθὸν ἅπασι, φανερὸν γενέσθαι αὐτό. δίειμι μὲν οὖν τῷ λόγῳ ἐγὼ, ὡς ἄν μοι δοκῇ ἔχειν. ἐὰν δέ τῳ ὑμῶν μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν. οὐδὲ γάρ τοι ἔγωγε εἰδὼς λέγω, ἃ λέγω, ἀλλὰ ζητῶ κοινῇ μεθ᾽ ὑμῶν· ὥστε, ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοὶ, ἐγὼ πρῶτος ξυγχωρήσομαι. λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπερανθῆναι τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν, καὶ ἀπίωμεν. *ΓΟΡ.* Ἀλλ᾽ ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σώκρατες, χρῆναί πω ἀπιέναι, ἀλλὰ διεξελθεῖν σε τὸν λόγον· φαίνεται δέ μοι καὶ τοῖς ἄλλοις δοκεῖν. βούλομαι γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαι σοῦ αὐτοῦ διϊόντος τὰ ἐπίλοιπα. *ΣΩ.* Ἀλλὰ μὲν δὴ, ὦ Γοργία, καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου· ἐπειδὴ δὲ σὺ, ὦ Καλλίκλεις, οὐκ ἐθέλεις ξυνδιαπερᾶναι τὸν λόγον, ἀλλ᾽ οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν· καί με ἐὰν ἐξελέγξῃς, οὐκ ἀχθεσθήσομαί σοι, ὥσπερ σὺ ἐμοὶ, ἀλλὰ

μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψῃ. ΚΑΛ. Λέγε, ὦ 'γαθέ, αὐτὸς καὶ πέραινε. LXII. ΣΩ. Ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον. Ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν τὸ αὐτό ἐστιν; Οὐ ταυτόν, ὡς ἐγὼ καὶ Καλλικλῆς ὡμολογήσαμεν. Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον, ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος; Τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ. Ἡδὺ δέ ἐστι τοῦτο, οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δέ, οὗ παρόντος ἀγαθοί ἐσμεν; Πάνυ γε. Ἀλλὰ μὴν ἀγαθοί γε ἐσμὲν καὶ ἡμεῖς, καὶ τὰ ἄλλα πάντα, ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινος παραγενομένης; ἔμοιγε δοκεῖ ἀναγκαῖον εἶναι, ὦ Καλλίκλεις. Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου καὶ σκεύους καὶ σώματος, καὶ ψυχῆς αὖ καὶ ζώου παντὸς οὐχ οὕτως εἰκῇ κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν. ἆρα ἔστι ταῦτα; Ἐγὼ μὲν γὰρ δή φημι. Τάξει ἄρα τεταγμένον καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου. Φαίην ἂν ἔγωγε. Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. Ἔμοιγε δοκεῖ. Καὶ ψυχὴ ἄρα κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου; Ἀνάγκη. Ἀλλὰ μὴν ἥ γε κόσμον ἔχουσα, κοσμία; Πῶς γὰρ οὐ μέλλει; Ἡ δέ γε κοσμία, σώφρων; Πολλὴ ἀνάγκη. Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή. ἐγὼ μὲν οὐκ ἔχω παρὰ ταῦτα ἄλλα φάναι, ὦ φίλε Καλλίκλεις· σὺ δ' εἰ ἔχεις, δίδασκε. ΚΑΛ. Λέγ', ὦ 'γαθέ. ΣΩ. Λέγω δή, ὅτι, εἰ ἡ σώφρων ἀγα-

ταλείπωμεν. ΚΑΛ. Αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον, ἢ λέγων κατὰ σαυτόν, ἢ ἀποκρινόμενος σαυτῷ; ΣΩ. Ἵνα μοι τὸ τοῦ Ἐπιχάρμου γένηται, ἃ πρότοῦ δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς γένωμαι; ἀτὰρ κινδυνεύει ἀναγκαιότατον εἶναι οὕτως. εἰ μέντοι ποιήσομεν, οἶμαι ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονείκως ἔχειν πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς τί ἐστι περὶ ὧν λέγομεν, καὶ τί ψεῦδος· κοινὸν γὰρ ἀγαθὸν ἅπασι, φανερὸν γενέσθαι αὐτό. δίειμι μὲν οὖν τῷ λόγῳ ἐγώ, ὡς ἄν μοι δοκῇ ἔχειν. ἐὰν δέ τῳ ὑμῶν μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν. οὐδὲ γάρ τοι ἔγωγε εἰδὼς λέγω, ἃ λέγω, ἀλλὰ ζητῶ κοινῇ μεθ᾽ ὑμῶν· ὥστε, ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοί, ἐγὼ πρῶτος ξυγχωρήσομαι. λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπερανθῆναι τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν, καὶ ἀπίωμεν. ΓΟΡ. Ἀλλ᾽ ἐμοὶ μὲν οὐ δοκεῖ, ὦ Σώκρατες, χρῆναί πω ἀπιέναι, ἀλλὰ διεξελθεῖν σε τὸν λόγον· φαίνεται δέ μοι καὶ τοῖς ἄλλοις δοκεῖν. βούλομαι γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαι σοῦ αὐτοῦ διϊόντος τὰ ἐπίλοιπα. ΣΩ. Ἀλλὰ μὲν δή, ὦ Γοργία, καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου· ἐπειδὴ δὲ σύ, ὦ Καλλίκλεις, οὐκ ἐθέλεις ξυνδιαπεραίνειν τὸν λόγον, ἀλλ᾽ οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου, ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν· καί με ἐὰν ἐξελέγξῃς, οὐκ ἀχθεσθήσομαί σοι, ὥσπερ σὺ ἐμοί, ἀλλὰ

μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψῃ. ΚΑΛ. Λέγε, ὦ 'γαθέ, αὐτὸς καὶ πέραινε. LXII. ΣΩ. Ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον. Ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν τὸ αὐτό ἐστιν; Οὐ ταυτόν, ὡς ἐγὼ καὶ Καλλικλῆς ὡμολογήσαμεν. Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον, ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος; Τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ. Ἡδὺ δέ ἐστι τοῦτο, οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δέ, οὗ παρόντος ἀγαθοί ἐσμεν; Πάνυ γε. Ἀλλὰ μὴν ἀγαθοί γε ἐσμὲν καὶ ἡμεῖς, καὶ τὰ ἄλλα πάντα, ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινος παραγενομένης; ἔμοιγε δοκεῖ ἀναγκαῖον εἶναι, ὦ Καλλίκλεις. Ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου καὶ σκεύους καὶ σώματος, καὶ ψυχῆς αὖ καὶ ζώου παντὸς οὐχ οὕτως εἰκῇ κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν. ἆρα ἔστι ταῦτα; Ἐγὼ μὲν γὰρ δή φημι. Τάξει ἄρα τεταγμένον καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου. Φαίην ἂν ἔγωγε. Κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. Ἔμοιγε δοκεῖ. Καὶ ψυχὴ ἄρα κόσμον ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου; Ἀνάγκη. Ἀλλὰ μὴν ἥ γε κόσμον ἔχουσα, κοσμία; Πῶς γὰρ οὐ μέλλει; Ἡ δέ γε κοσμία, σώφρων. Πολλὴ ἀνάγκη. Ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή. ἐγὼ μὲν οὐκ ἔχω παρὰ ταῦτα ἄλλα φάναι, ὦ φίλε Καλλίκλεις· σὺ δ' εἰ ἔχεις, δίδασκε. ΚΑΛ. Λέγ', ὦ 'γαθέ. ΣΩ. Λέγω δή, ὅτι, εἰ ἡ σώφρων ἀγα-

δή ἐστιν, ἡ τοὐναντίον τῇ σώφρονι πεπονθυῖα, κακή ἐστιν· ἦν δὲ αὕτη ἡ ἄφρων τε καὶ ἡ ἀκόλαστος. Πάνυ γε. Καὶ μὴν ὅ γε σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους; οὐ γὰρ ἂν σωφρονοῖ τὰ μὴ προσήκοντα πράττων. Ἀνάγκη ταῦτ' εἶναι οὕτω. Καὶ μὴν περὶ μὲν ἀνθρώπους τὰ προσήκοντα πράττων, δίκαι' ἂν πράττοι, περὶ δὲ θεούς, ὅσια· τὸν δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον εἶναι; Ἔστι ταῦτα. Καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη· οὐ γὰρ δὴ σώφρονος ἀνδρός ἐστιν οὔτε διώκειν οὔτε φεύγειν ἃ μὴ προσήκει, ἀλλ' ἃ δεῖ, καὶ πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας, φεύγειν καὶ διώκειν, καὶ ὑπομένοντα καρτερεῖν, ὅπου δεῖ· ὥστε πολλὴ ἀνάγκη, ὦ Καλλίκλεις, τὸν σώφρονα, ὥσπερ διήλθομεν, δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον, ἀγαθὸν ἄνδρα εἶναι τελέως, τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν, ἃ ἂν πράττῃ· τὸν δ' εὖ πράττοντα, μακάριόν τε καὶ εὐδαίμονα εἶναι, τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα, ἄθλιον. οὗτος δ' ἂν εἴη ὁ ἐναντίως ἔχων τῷ σώφρονι, ὁ ἀκόλαστος, ὃν σὺ ἐπῄνεις. LXIII. Ἐγὼ μὲν οὖν οὕτω ταῦτα τίθεμαι, καὶ φημὶ ταῦτα ἀληθῆ εἶναι. εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν, εὐδαίμονα εἶναι, σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον ἑαυτὸν μάλιστα μέν, μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν

οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ
κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. οὗτος ἔμοιγε
δοκεῖ ὁ σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ
πάντα εἰς τοῦτο τὰ αὑτοῦ ξυντείνοντα καὶ τὰ τῆς
πόλεως, ὅπως δικαιοσύνη παρέσται καὶ σωφροσύνη
τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ
ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι, καὶ ταύτας ἐπι-
χειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον
ζῶντα. οὔτε γὰρ ἂν ἄλλῳ ἀνθρώπῳ προσφιλὴς ἂν
εἴη ὁ τοιοῦτος, οὔτε θεῷ· κοινωνεῖν γὰρ ἀδύνατος·
ὅτῳ δὲ μὴ ἔνι κοινωνία, φιλία οὐκ ἂν εἴη. φασὶ δ'
οἱ σοφοί, ὦ Καλλίκλεις, καὶ οὐρανὸν καὶ γῆν, καὶ
θεοὺς καὶ ἀνθρώπους, τὴν κοινωνίαν ξυνέχειν καὶ
φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιό-
τητα, (καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦ-
σιν, ὦ ἑταῖρε,) οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. σὺ
δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις, καὶ ταῦ-
τα σοφὸς ὤν, ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεω-
μετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύνα-
ται· σὺ δὲ πλεονεξίαν οἴει δεῖν ἀσκεῖν· γεωμετρίας
γὰρ ἀμελεῖς. εἶεν· ἢ ἐξελεγκτέος δὴ οὗτος ὁ λόγος
ἡμῖν ἐστιν, ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει
εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ οἱ ἄθλιοι ἄθλιοι·
ἤ, εἰ οὗτος ἀληθής ἐστι, σκεπτέον, τί τὰ ξυμβαί-
νοντα. τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, ξυμβαί-
νει πάντα, ἐφ' οἷς σύ με ἤρου, εἰ σπουδάζων λέγοι-
μι, λέγοντα, ὅτι κατηγορητέον εἴη καὶ αὑτοῦ καὶ
υἱέος καὶ ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ

ἐπὶ τοῦτο χρηστέον· καὶ ἃ Πῶλον αἰσχύνῃ ᾤου ξυγχωρεῖν, ἀληθῆ ἄρα ἦν, τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ὅσῳπερ αἴσχιον, τοσούτῳ κάκιον· καὶ τὸν μέλλοντα ὀρθῶς ῥητορικὸν ἔσεσθαι, δίκαιον ἄρα ἔδει εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων, ὃ αὖ Γοργίαν ἔφη Πῶλος δι᾽ αἰσχύνην ὁμολογῆσαι. LXIV. Τούτων δὲ οὕτως ἐχόντων, σκεψώμεθα, τί ποτ᾽ ἐστὶν, ἃ σὺ ἐμοὶ ὀνειδίζεις, ἆρα καλῶς λέγεται ἢ οὔ, ὡς ἄρα ἐγὼ οὐχ οἷός τ᾽ εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ, οὔτε τῶν φίλων οὐδενὶ οὐδὲ τῶν οἰκείων, οὐδ᾽ ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων, εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος, ἄν τε τύπτειν βούληται — τὸ νεανικὸν δὴ τοῦτο τὸ τοῦ σοῦ λόγου — ἐπὶ κόῤῥης, ἐάν τε χρήματα ἀφαιρεῖσθαι, ἐάν τε ἐκβάλλειν ἐκ τῆς πόλεως, ἐάν τε, τὸ ἔσχατον, ἀποκτεῖναι. καὶ οὕτω διακεῖσθαι, πάντων δὴ αἴσχιστόν ἐστιν, ὡς ὁ σὸς λόγος· ὁ δὲ δὴ ἐμὸς, ὅστις πολλάκις μὲν ἤδη εἴρηται, οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι· οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόῤῥης ἀδίκως αἴσχιστον εἶναι, οὐδέ γε τὸ τέμνεσθαι οὔτε τὸ σῶμα τὸ ἐμὸν, οὔτε τὸ βαλλάντιον· ἀλλὰ τὸ τύπτειν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως καὶ τέμνειν, καὶ αἴσχιον καὶ κάκιον, καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδίζεσθαι, καὶ τοιχωρυχεῖν, καὶ ξυλλήβδην ὁτιοῦν ἀδικεῖν καὶ ἐμὲ καὶ τὰ ἐμὰ, τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι, ἢ ἐμοὶ τῷ ἀδικουμένῳ. ταῦτα ἡμῖν ἄνω ἐκεῖ ἐν τοῖς ἔμπροσθεν λόγοις οὕτω φανέντα, ὡς ἐγὼ λέγω, κατέχεται

καὶ δέδεται, καὶ εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστι, σι-
δηροῖς καὶ ἀδαμαντίνοις λόγοις, ὡς γοῦν ἂν δόξειεν
οὑτωσίν· οὓς σὺ εἰ μὴ λύσεις, ἢ σοῦ τις νεανικώτε-
ρος, οὐχ οἷόν τε, ἄλλως λέγοντα, ἢ ὡς ἐγὼ νῦν λέγω,
καλῶς λέγειν. ἐπεὶ ἔμοιγε ὁ αὐτὸς λόγος ἐστὶν ἀεί,
ὅτι ἐγὼ ταῦτα οὐκ οἶδα ὅπως ἔχει· ὅτι μέντοι, ὧν
ἐγὼ ἐντετύχηκα, ὥσπερ νῦν, οὐδεὶς οἷός τ' ἐστὶν ἄλ-
λως λέγων μὴ οὐ καταγέλαστος εἶναι. ἐγὼ μὲν οὖν
αὖ τίθημι ταῦτα οὕτως ἔχειν. εἰ δὲ οὕτως ἔχει, καὶ
μέγιστον τῶν κακῶν ἐστιν ἡ ἀδικία τῷ ἀδικοῦντι,
καὶ ἔτι τούτου μεῖζον μεγίστου ὄντος, εἰ οἷόν τε, τὸ
ἀδικοῦντα μὴ διδόναι δίκην· τίνα ἂν βοήθειαν μὴ
δυνάμενος ἄνθρωπος βοηθεῖν ἑαυτῷ καταγέλαστος
ἂν τῇ ἀληθείᾳ εἴη; ἆρα οὐ ταύτην, ἥτις ἀποτρέψει
τὴν μεγίστην ἡμῶν βλάβην; ἀλλὰ πολλὴ ἀνάγκη
ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν μὴ δύνασθαι
βοηθεῖν μήτε ἑαυτῷ μήτε τοῖς αὑτοῦ φίλοις τε καὶ
οἰκείοις· δευτέραν δέ, τὴν τοῦ δευτέρου κακοῦ, καὶ
τρίτην, τὴν τοῦ τρίτου· καὶ τἄλλα οὕτως, ὡς ἑκάστου
κακοῦ μέγεθος πέφυκεν. οὕτω καὶ κάλλος τοῦ δυνα-
τὸν εἶναι ἐφ' ἕκαστα βοηθεῖν· καὶ αἰσχύνη τοῦ μή.
ἆρα ἄλλως ἢ οὕτως ἔχει, ὦ Καλλίκλεις; ΚΑΛ. Οὐκ
ἄλλως. LXV. ΣΩ. Δυοῖν οὖν ὄντοιν, τοῦ ἀδικεῖν
τε καὶ ἀδικεῖσθαι, μεῖζον μὲν κακόν φαμεν τὸ ἀδι-
κεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι. τί οὖν ἂν παρα-
σκευασάμενος ἄνθρωπος βοηθήσειεν αὑτῷ, ὥστε ἀμ-
φοτέρας τὰς ὠφελίας ταύτας ἔχειν, τήν τε ἀπὸ τοῦ
μὴ ἀδικεῖν καὶ τὴν ἀπὸ τοῦ μὴ ἀδικεῖσθαι; πότερα

δύναμιν ἢ βούλησιν; ὧδε δὲ λέγω· πότερον, ἐὰν μὴ
βούληται ἀδικεῖσθαι, οὐκ ἀδικήσεται, ἢ, ἐὰν δύ-
ναμιν παρασκευάσηται τοῦ μὴ ἀδικεῖσθαι, οὐκ ἀδι-
κήσεται; ΚΑΛ. Δῆλον δὴ τοῦτό γε, ὅτι ἐὰν δύνα-
μιν. ΣΩ. Τί δὲ δὴ τοῦ ἀδικεῖν; πότερον, ἐὰν μὴ
βούληται ἀδικεῖν, ἱκανὸν τοῦτ' ἐστίν; οὐ γὰρ ἀδι-
κήσει· ἢ καὶ ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέχνην
παρασκευάσασθαι, ὡς, ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκή-
σῃ, ἀδικήσει; τί οὐκ αὐτό γέ μοι τοῦτο ἀπεκρίνω, ὦ
Καλλίκλεις; πότερόν σοι δοκοῦμεν ὀρθῶς ἀναγκασθῆ-
ναι ὁμολογεῖν ἐν τοῖς ἔμπροσθεν λόγοις ἐγώ τε καὶ
Πῶλος, ἢ οὔ, ἡνίκα ὡμολογήσαμεν μηδένα βουλόμενον
ἀδικεῖν, ἀλλ' ἄκοντας τοὺς ἀδικοῦντας πάντας ἀδικεῖν;
ΚΑΛ. Ἔστω σοι τοῦτο, ὦ Σώκρατες, οὕτως, ἵνα δια-
περάνῃς τὸν λόγον. ΣΩ. Καὶ ἐπὶ τοῦτο ἄρα, ὡς ἔοικε,
παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην, ὅπως
μὴ ἀδικήσομεν. ΚΑΛ. Πάνυ γε. ΣΩ. Τίς οὖν ποτ'
ἐστὶ τέχνη τῆς παρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι ἢ
ὡς ὀλίγιστα; σκέψαι, εἰ σοὶ δοκεῖ ἥπερ ἐμοί. ἐμοὶ μὲν
γὰρ δοκεῖ ἥδε· ἢ αὐτὸν ἄρχειν δεῖν ἐν τῇ πόλει, ἢ τυ-
ραννεῖν, ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι.
ΚΑΛ. Ὁρᾷς, ὦ Σώκρατες, ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαι-
νεῖν, ἄν τι καλῶς λέγῃς; τοῦτό μοι δοκεῖς πάνυ καλῶς
εἰρηκέναι. LXVI. ΣΩ. Σκόπει δὴ καὶ τόδε ἐάν σοι δο-
κῶ εὖ λέγειν. φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς
οἷόν τε μάλιστα, ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγου-
σιν, ὁ ὅμοιος τῷ ὁμοίῳ. οὐ καὶ σοί; ΚΑΛ. Ἔμοιγε.
ΣΩ. Οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ

ἀπαίδευτος, εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη, φοβοῖτο δήπου ἂν αὐτὸν ὁ τύραννος, καὶ τούτῳ ἐξ ἅπαντος τοῦ νοῦ οὐκ ἄν ποτε δύναιτο φίλος γενέσθαι; ΚΑΛ. Ἔστι ταῦτα. ΣΩ. Οὐδέ γε, εἴ τις πολὺ φαυλότερος εἴη, οὐδ' ἂν οὗτος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος, καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειε. ΚΑΛ. Καὶ ταῦτ' ἀληθῆ. ΣΩ. Λείπεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ, ὃς ἂν ὁμοήθης ὤν, ταυτὰ ψέγων καὶ ἐπαινῶν, ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι τῷ ἄρχοντι. οὗτος μέγα ἐν ταύτῃ τῇ πόλει δυνήσεται· τοῦτον οὐδεὶς χαίρων ἀδικήσει. οὐχ οὕτως ἔχει; ΚΑΛ. Ναί. ΣΩ. Εἰ ἄρα τις ἐννοήσειεν ἐν ταύτῃ τῇ πόλει τῶν νέων, τίνα ἂν τρόπον ἐγὼ μέγα δυναίμην, καὶ μηδείς με ἀδικοίη, αὕτη, ὡς ἔοικεν, ὁδὸς αὐτῷ ἐστιν, εὐθὺς ἐκ νέου ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ, καὶ παρασκευάζειν, ὅπως ὅτι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ· οὐχ οὕτω; ΚΑΛ. Ναί. ΣΩ. Οὐκοῦν τούτῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέγα δύνασθαι, ὡς ὁ ὑμέτερος λόγος, ἐν τῇ πόλει διαπεπράξεται. ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν; ἢ πολλοῦ δεῖ, εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ, καὶ παρὰ τούτῳ μέγα δυνήσεται; ἀλλ', οἶμαι ἔγωγε, πᾶν τοὐναντίον οὑτωσὶν ἡ παρασκευὴ ἔσται αὐτῷ, ἐπὶ τὸ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν, καὶ ἀδικοῦντα μὴ διδόναι δίκην· ἢ γάρ; ΚΑΛ. Φαίνεται. ΣΩ. Οὐκοῦν τὸ μέγιστον κακὸν αὐτῷ ὑπάρξει, μοχθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ, διὰ τὴν μίμησιν τοῦ δεσπό-

του καὶ δύναμιν; ΚΑΛ. Οὐκ οἶδ' ὅπη στρέφεις ἑκάστοτε τοὺς λόγους ἄνω καὶ κάτω, ὦ Σώκρατες· ἢ οὐκ οἶσθα, ὅτι οὗτος ὁ μιμούμενος τὸν μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται, καὶ ἀφαιρήσεται τὰ ὄντα; ΣΩ. Οἶδα, ὦ 'γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' εἰμί, καὶ σοῦ ἀκούων καὶ Πώλου ἄρτι πολλάκις, καὶ τῶν ἄλλων ὀλίγου πάντων τῶν ἐν τῇ πόλει. ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀποκτενεῖ μέν, ἂν βούληται, ἀλλὰ πονηρὸς ὢν καλὸν κἀγαθὸν ὄντα. ΚΑΛ. Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν; ΣΩ. Οὐ νοῦν γε ἔχοντι, ὡς ὁ λόγος σημαίνει· ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον, ὡς πλεῖστον χρόνον ζῆν, καὶ μελετᾷν τὰς τέχνας ταύτας, αἳ ἡμᾶς αἰεὶ ἐκ τῶν κινδύνων σώζουσιν, ὥσπερ καὶ ἣν σὺ κελεύεις ἐμὲ μελετᾷν τὴν ῥητορικὴν τὴν ἐν τοῖς δικαστηρίοις διασώζουσαν; ΚΑΛ. Ναὶ μὰ Δία ὀρθῶς γέ σοι ξυμβουλεύω. LXVII. ΣΩ. Τί δέ, ὦ βέλτιστε; ἦ καὶ ἡ τοῦ νεῖν ἐπιστήμη σεμνή τίς σοι δοκεῖ εἶναι; ΚΑΛ. Μὰ Δί' οὐκ ἔμοιγε. ΣΩ. Καὶ μὴν σώζει γε καὶ αὕτη ἐκ θανάτου τοὺς ἀνθρώπους, ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν, οὗ δεῖ ταύτης τῆς ἐπιστήμης. εἰ δ' αὕτη σοι δοκεῖ σμικρὰ εἶναι, ἐγώ σοι μείζονα ταύτης ἐρῶ, τὴν κυβερνητικήν, ἣ οὐ μόνον τὰς ψυχὰς σώζει, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα ἐκ τῶν ἐσχάτων κινδύνων, ὥσπερ ἡ ῥητορική· καὶ αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία, καὶ οὐ σεμνύνεται ἐσχηματισμένη, ὡς ὑπερήφανόν τι διαπραττομένη, ἀλλὰ ταὐτὰ διαπραττομένη τῇ δικανικῇ, ἐὰν μὲν ἐξ Αἰγί-

νης δεῦρο σώσῃ, οἶμαι, δύ' ὀβολοὺς ἐπράξατο· ἐὰν δὲ ἐξ Αἰγύπτου ἢ ἐκ τοῦ Πόντου, ἐὰν πάμπολυ, ταύτης τῆς μεγάλης εὐεργεσίας, σώσασα ἃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας, ἀποβιβάσασα εἰς τὸν λιμένα δύο δραχμὰς ἐπράξατο· καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην, καὶ ταῦτα διαπραξάμενος, ἐκβὰς, παρὰ τὴν θάλατταν καὶ τὴν ναῦν περιπατεῖ ἐν μετρίῳ σχήματι. λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται, ὅτι ἄδηλόν ἐστιν, οὕςτινάς τε ὠφέληκε τῶν ξυμπλεόντων, οὐκ ἐάσας καταποντωθῆναι, καὶ οὕςτινας ἔβλαψεν, εἰδὼς, ὅτι οὐδὲν αὐτοὺς βελτίους ἐξεβίβασεν ἢ οἷοι ἐνέβησαν, οὔτε τὰ σώματα οὔτε τὰς ψυχάς. λογίζεται οὖν, ὅτι οὐκ, εἰ μέν τις μεγάλοις καὶ ἀνιάτοις νοσήμασι κατὰ τὸ σῶμα ξυνεχόμενος μὴ ἀπεπνίγη, οὗτος μὲν ἄθλιός ἐστιν, ὅτι οὐκ ἀπέθανε, καὶ οὐδὲν ὑπ' αὐτοῦ ὠφέληται· εἰ δέ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ τῇ ψυχῇ πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ βιωτέον ἐστὶ, καὶ τοῦτον ὀνήσειεν, ἄν τε ἐκ θαλάττης, ἄν τε ἐκ δικαστηρίου, ἐάν τε ἄλλοθεν ὁποθενοῦν σώζῃ· ἀλλ' οἶδεν ὅτι οὐκ ἄμεινόν ἐστι ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς γὰρ ἀνάγκη ἐστὶ ζῆν. LXVIII. Διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν κυβερνήτην, καίπερ σώζοντα ἡμᾶς· οὐδέ γε, ὦ θαυμάσιε, τὸν μηχανοποιόν, ὃς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν· πόλεις γὰρ ἔστιν ὅτε ὅλας σώζει· μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶναι; καίτοι εἰ βούλοιτο λέγειν, ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς,

σεμνύνων τὸ πρᾶγμα, καταχώσειεν ἂν ὑμᾶς τοῖς λόγοις, λέγων καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποιούς, ὡς οὐδὲν τἆλλα ἐστίν· ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος. ἀλλὰ σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς ἐκείνου, καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν, καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις, οὔτ' ἂν αὐτὸς λαβεῖν τὴν ἐκείνου. καίτοι, ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ καταφρονεῖς καὶ τῶν ἄλλων, ὧν νῦν δὴ ἔλεγον; οἶδ' ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων. τὸ δὲ βέλτιον εἰ μὴ ἔστιν ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτο ἐστὶν ἀρετή, τὸ σώζειν αὑτὸν καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχε, καταγέλαστός σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν ἄλλων τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πεποίηνται. ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν ᾖ τοῦ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα εὐκτέον ἐστί, καὶ οὐ φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίν' ἂν τρόπον τοῦτον, ὃν μέλλει χρόνον βιῶναι, ὡς ἄριστα βιῴη· ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ, ἐν ᾗ ἂν οἰκῇ; καὶ νῦν δὲ ἄρα δεῖ σε ὡς ὁμοιότατον γίγνεσθαι τῷ δήμῳ τῶν Ἀθηναίων, εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ πόλει· τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ δαιμόνιε,

πεισόμεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας τὰς Θετταλίδας· ξὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει. εἰ δὲ σὺ οἴει ὁντινοῦν ἀνθρώπων παραδώσειν τέχνην τινα τοιαύτην, ἥτις σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε, ἀνόμοιον ὄντα τῇ πολιτείᾳ, εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ δοκεῖ, οὐκ ὀρθῶς βουλεύῃ, ὦ Καλλίκλεις. οὐ γὰρ μιμητὴν δεῖ εἶναι, ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις, εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ, καί, ναὶ μὰ Δία, τῷ Πυριλάμπους γε πρός. ὅστις οὖν σε τούτοις ὁμοιότατον ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς πολιτικὸς εἶναι, πολιτικὸν καὶ ῥητορικόν· τῷ αὐτῶν γὰρ ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι, τῷ δὲ ἀλλοτρίῳ, ἄχθονται, εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή. λέγομέν τι πρὸς ταῦτα, ὦ Καλλίκλεις; LXIX. *ΚΑΛ.* Οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες, πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι. *ΣΩ.* Ὁ δήμου γὰρ ἔρως ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ, ὦ Καλλίκλεις, ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλτιον ταυτὰ ταῦτα διασκοπώμεθα, πεισθήσῃ. ἀναμνήσθητι δ' οὖν, ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν· μίαν μέν, πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δέ, πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον, ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν, ἃ τότε ὡριζόμεθα; *ΚΑΛ.* Πάνυ γε. *ΣΩ.* Οὐκοῦν ἡ μὲν ἑτέρα, ἡ πρὸς ἡδονήν, ἀγεν-

σεμνύνων τὸ πρᾶγμα, καταχώσειεν ἂν ὑμᾶς τοῖς λόγοις, λέγων καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποιούς, ὡς οὐδὲν τἄλλα ἐστίν· ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος. ἀλλὰ σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς ἐκείνου, καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν, καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις, οὔτ' ἂν αὐτὸς λαβεῖν τὴν ἐκείνου. καίτοι, ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ καταφρονεῖς καὶ τῶν ἄλλων, ὧν νῦν δὴ ἔλεγον; οἶδ' ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων. τὸ δὲ βέλτιον εἰ μὴ ἔστιν ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτο ἐστὶν ἀρετή, τὸ σώζειν αὑτὸν καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχε, καταγέλαστός σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν ἄλλων τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πεποίηνται. ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν ᾖ τοῦ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα εὐκτέον ἐστί, καὶ οὐ φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίν' ἂν τρόπον τοῦτον, ὃν μέλλει χρόνον βιῶναι, ὡς ἄριστα βιῴη· ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ, ἐν ᾗ ἂν οἰκῇ; καὶ νῦν δὲ ἄρα δεῖ σε ὡς ὁμοιότατον γίγνεσθαι τῷ δήμῳ τῶν Ἀθηναίων, εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ πόλει· τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ δαιμόνιε,

πεισόμεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας τὰς Θετταλίδας· ξὺν τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει. εἰ δὲ σὺ οἴει ὁντινοῦν ἀνθρώπων παραδώσειν τέχνην τινα τοιαύτην, ἥτις σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε, ἀνόμοιον ὄντα τῇ πολιτείᾳ, εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ δοκεῖ, οὐκ ὀρθῶς βουλεύῃ, ὦ Καλλίκλεις. οὐ γὰρ μιμητὴν δεῖ εἶναι, ἀλλ' αὐτοφυῶς ὅμοιον τούτοις, εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ, καί, ναὶ μὰ Δία, τῷ Πυριλάμπους γε πρός. ὅστις οὖν σε τούτοις ὁμοιότατον ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς πολιτικὸς εἶναι, πολιτικὸν καὶ ῥητορικόν· τῷ αὐτῶν γὰρ ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι, τῷ δὲ ἀλλοτρίῳ, ἄχθονται, εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή. λέγομέν τι πρὸς ταῦτα, ὦ Καλλίκλεις; LXIX. *ΚΑΛ.* Οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες, πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι. *ΣΩ.* Ὁ δήμου γὰρ ἔρως ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ, ὦ Καλλίκλεις, ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλτιον ταυτὰ ταῦτα διασκοπώμεθα, πεισθήσῃ. ἀναμνήσθητι δ' οὖν, ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν· μίαν μέν, πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δέ, πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον, ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν, ἃ τότε ὡριζόμεθα; *ΚΑΛ.* Πάνυ γε. *ΣΩ.* Οὐκοῦν ἡ μὲν ἑτέρα, ἡ πρὸς ἡδονήν, ἀγεν-

νής, καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα; ἢ γάρ; ΚΑΛ. Ἔστω, εἰ βούλει, σοι, οὕτως. ΣΩ. Ἡ δέ γε ἑτέρα, ὅπως ὡς βέλτιστον ἔσται τοῦτο, εἴτε σῶμα τυγχάνει ὂν, εἴτε ψυχὴ, ὃ θεραπεύομεν; ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ᾽ οὖν οὕτως ἡμῖν ἐπιχειρητέον ἐστὶ τῇ πόλει καὶ τοῖς πολίταις, θεραπεύειν ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας; ἄνευ γὰρ δὴ τούτου, ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν, οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν προσφέρειν, ἐὰν μὴ καλὴ κἀγαθὴ ἡ διάνοια ᾖ τῶν μελλόντων ἢ χρήματα πολλὰ λαμβάνειν, ἢ ἀρχήν τινων, ἢ ἄλλην δύναμιν ἡντινοῦν. θῶμεν οὕτως ἔχειν; ΚΑΛ. Πάνυ γε, εἴ σοι ἥδιον. ΣΩ. Εἰ οὖν παρεκαλοῦμεν ἀλλήλους, ὦ Καλλίκλεις, δημοσίᾳ πράξοντες τῶν πολιτικῶν πραγμάτων, ἐπὶ τὰ οἰκοδομικὰ, ἢ τειχῶν ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα, πότερον ἔδει ἂν ἡμᾶς σκέψασθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετάσαι, πρῶτον μὲν, εἰ ἐπιστάμεθα τὴν τέχνην ἢ οὐκ ἐπιστάμεθα τὴν οἰκοδομικὴν καὶ παρὰ τοῦ ἐμάθομεν; ἔδει ἂν, ἢ οὔ; ΚΑΛ. Πάνυ γε. ΣΩ. Οὐκοῦν δεύτερον αὖ τόδε, εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν ἰδίᾳ ἢ τῶν φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν, καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν ἐστι· καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι, διδασκάλους τε ἡμῶν ἀγαθοὺς καὶ ἐλλογίμους γεγονότας, καὶ οἰκοδομήματα πολλὰ μὲν καὶ καλὰ μετὰ τῶν διδασκάλων ᾠκοδομημένα ἡμῖν, πολλὰ δὲ καὶ ἴδια ἡμῶν, ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν, οὕτω μὲν διακειμένων, νοῦν ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια

ἔργα· εἰ δὲ μήτε διδάσκαλον εἴχομεν ἡμῶν αὐτῶν ἐπιδεῖξαι, οἰκοδομήματά τε, ἢ μηδέν, ἢ πολλὰ καὶ μηδενὸς ἄξια, οὕτω δὴ ἀνόητον ἦν δήπου ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις, καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά. φῶμεν ταῦτα ὀρθῶς λέγεσθαι, ἢ οὔ; ΚΑΛ. Πάνυ γε. LXX. ΣΩ. Οὐκοῦν οὕτω πάντα τά τε ἄλλα, κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν, παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεψάμεθα δήπου ἂν ἐγώ τε σὲ καὶ σὺ ἐμέ, φέρε πρὸς θεῶν, αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν; ἢ εἰ δή τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος ἢ ἐλεύθερος· κἂν ἐγώ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν· καὶ εἰ μὴ εὑρίσκομεν δι' ἡμᾶς μηδένα βελτίω γεγονότα τὸ σῶμα μήτε τῶν ξένων μήτε τῶν ἀστῶν, μήτε ἄνδρα μήτε γυναῖκα, πρὸς Διός, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὥστε πρὶν ἰδιωτεύοντας πολλὰ μέν, ὅπως ἐτύχομεν, ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι, καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον δὴ τοῦτο, ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν, καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν; ΚΑΛ. Ἔμοιγε. ΣΩ. Νῦν δέ, ὦ βέλτιστε ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐτὸς ἄρτι ἄρχῃ πράττειν τὰ τῆς πόλεως πράγματα, ἐμὲ δὲ παρακαλεῖς, καὶ ὀνειδίζεις, ὅτι οὐ πράττω, οὐκ ἐπισκεψόμεθα ἀλλήλους, φέρε, Καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκε τῶν πολιτῶν; ἔστιν ὅστις

πρότερον πονηρὸς ὤν, ἄδικός τε καὶ ἀκόλαστος, καὶ ἄφρων, διὰ Καλλικλέα καλός τε κἀγαθὸς γέγονεν, ἢ ξένος ἢ ἀστὸς ἢ δοῦλος ἢ ἐλεύθερος; λέγε μοι, ἐάν τίς σε ταῦτα ἐξετάζῃ, ὦ Καλλίκλεις, τί ἐρεῖς; τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ ξυνουσίᾳ τῇ σῇ; ὀκνεῖς ἀποκρίνασθαι, εἴπερ ἐστὶ τοιόνδε τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος, πρὶν δημοσιεύειν ἐπιχειρεῖν; ΚΑΛ. Φιλόνεικος εἶ, ὦ Σώκρατες. LXXI. ΣΩ. Ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι, ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν. ἢ ἄλλου του ἄρα ἐπιμελήσῃ ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως πράγματα, ἢ ὅπως ὅτι βέλτιστοι οἱ πολῖται ὦμεν· ἢ οὐ πολλάκις ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν ἄνδρα; ὡμολογήκαμεν ἢ οὔ; ἀποκρίνου. Ὡμολογήκαμεν· ἐγὼ ὑπὲρ σοῦ ἀποκρινοῦμαι. Εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα παρασκευάζειν τῇ ἑαυτοῦ πόλει, νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ ἐκείνων τῶν ἀνδρῶν, ὧν ὀλίγῳ πρότερον ἔλεγες, εἰ ἔτι σοι δοκοῦσιν ἀγαθοὶ πολῖται γεγονέναι, Περικλῆς καὶ Κίμων καὶ Μιλτιάδης καὶ Θεμιστοκλῆς. ΚΑΛ. Ἔμοιγε. ΣΩ. Οὐκοῦν, εἴπερ ἀγαθοί, δῆλον ὅτι ἕκαστος αὐτῶν βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων; ἐποίει ἢ οὔ; ΚΑΛ. Ἐποίει. ΣΩ. Οὐκοῦν, ὅτε Περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ, χείρους ἦσαν οἱ Ἀθηναῖοι, ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν; ΚΑΛ. Ἴσως. ΣΩ. Οὐκ ἴσως δή, ὦ βέλτιστε, ἀλλ' ἀνάγκη ἐκ τῶν ὡμολογημένων, εἴπερ ἀγαθός γ' ἦν ἐκεῖνος πολίτης. ΚΑΛ. Τί οὖν

δή; ΣΩ. Οὐδέν. ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον διαφθαρῆναι ὑπ' ἐκείνου. ταυτὶ γὰρ ἔγωγε ἀκούω, Περικλέα πεποιηκέναι Ἀθηναίους ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φιλαργύρους, εἰς μισθοφορὰν πρῶτον καταστήσαντα. ΚΑΛ. Τῶν τὰ ὦτα κατεαγότων ἀκούεις ταῦτα, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ τάδε οὐκέτι ἀκούω, ἀλλὰ οἶδα σαφῶς καὶ ἐγὼ καὶ σύ, ὅτι τὸ μὲν πρῶτον εὐδοκίμει Περικλῆς, καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ Ἀθηναῖοι, ἡνίκα χείρους ἦσαν· ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ γεγόνεσαν ὑπ' αὐτοῦ, ἐπὶ τελευτῇ τοῦ βίου Περικλέους, κλοπὴν αὐτοῦ κατεψηφίσαντο, ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν, δηλονότι ὡς πονηροῦ ὄντος. LXXII. ΚΑΛ. Τί οὖν; τούτου ἕνεκα κακὸς ἦν Περικλῆς; ΣΩ. Ὄνων γοῦν ἂν ἐπιμελητὴς καὶ ἵππων καὶ βοῶν, τοιοῦτος ὤν, κακὸς ἂν ἐδόκει εἶναι, εἰ παραλαβὼν μὴ λακτίζοντας αὐτοὺς μηδὲ κυρίττοντας μηδὲ δάκνοντας, ἀπέδειξε ταῦτα ἅπαντα ποιοῦντας δι' ἀγριότητα· ἢ οὐ δοκεῖ σοι κακὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζώου, ὃς ἂν παραλαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβε; δοκεῖ, ἢ οὔ; ΚΑΛ. Πάνυ γε, ἵνα σοὶ χαρίσωμαι. ΣΩ. Καὶ τόδε τοίνυν μοι χάρισαι ἀποκρινάμενος, πότερον καὶ ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστὶν ἢ οὔ; ΚΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν ἀνθρώπων Περικλῆς ἐπεμέλετο; ΚΑΛ. Ναί. ΣΩ. Τί οὖν; οὐκ ἔδει αὐτούς, ὡς ἄρτι ὡμολογοῦμεν, δικαιοτέρους γεγονέ-

ναι ἀντὶ ἀδικωτέρων ὑπ᾽ ἐκείνου, εἴπερ ἐκεῖνος ἐπεμελεῖτο αὐτῶν, ἀγαθὸς ὢν τὰ πολιτικά; ΚΑΛ. Πάνυ γε. ΣΩ. Οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος; σὺ δὲ τί φῄς; οὐχ οὕτω; ΚΑΛ. Ναί. ΣΩ. Ἀλλὰ μὴν ἀγριωτέρους γε αὐτοὺς ἀπέφηνεν ἢ οἵους παρέλαβε, καὶ ταῦτ᾽ εἰς αὐτόν, ὃν ἥκιστ᾽ ἂν ἐβούλετο. ΚΑΛ. Βούλει σοι ὁμολογήσω; ΣΩ. Εἰ δοκῶ γέ σοι ἀληθῆ λέγειν. ΚΑΛ. Ἔστω δὴ ταῦτα. ΣΩ. Οὐκοῦν, εἴπερ ἀγριωτέρους, ἀδικωτέρους τε καὶ χείρους; ΚΑΛ. Ἔστω. ΣΩ. Οὐκ ἄρ᾽ ἀγαθὸς τὰ πολιτικὰ Περικλῆς ἦν, ἐκ τούτου τοῦ λόγου. ΚΑΛ. Οὐ σύ γε φῄς. ΣΩ. Μὰ Δί᾽ οὐδέ γε σύ, ἐξ ὧν ὁμολογεῖς. πάλιν δὲ λέγε μοι περὶ Κίμωνος. οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι οὓς ἐθεράπευεν, ἵνα αὐτοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς; καὶ Θεμιστοκλέα ταυτὰ ταῦτα ἐποίησαν, καὶ φυγῇ προσεζημίωσαν; Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο, καὶ εἰ μὴ διὰ τὸν πρύτανιν, ἐνέπεσεν ἄν. καίτοι οὗτοι, εἰ ἦσαν ἄνδρες ἀγαθοί, ὡς σὺ φῄς, οὐκ ἄν ποτε ταῦτα ἔπασχον. οὔκουν οἵ γε ἀγαθοὶ ἡνίοχοι κατ᾽ ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους, καὶ αὐτοὶ ἀμείνους γένωνται ἡνίοχοι, τότ᾽ ἐκπίπτουσιν· οὐκ ἔστι ταῦτ᾽ οὔτ᾽ ἐν ἡνιοχείᾳ, οὔτ᾽ ἐν ἄλλῳ ἔργῳ οὐδενί· ἢ δοκεῖ σοι; ΚΑΛ. Οὐκ ἔμοιγε. ΣΩ. Ἀληθεῖς ἄρα, ὡς ἔοικεν, οἱ ἔμπροσθεν λόγοι ἦσαν, ὅτι οὐδένα ἡμεῖς ἴσμεν ἄνδρα ἀγαθὸν γεγονότα τὰ πολιτικὰ ἐν τῇδε τῇ πόλει· σὺ δὲ ὡμολόγεις

τῶν γε νῦν οὐδένα, τῶν μέντοι ἔμπροσθεν, καὶ προείλου τούτους τοὺς ἄνδρας· οὗτοι δὲ ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες· ὥστε, εἰ οὗτοι ῥήτορες ἦσαν, οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο, — οὐ γὰρ ἂν ἐξέπεσον — οὔτε τῇ κολακικῇ. LXXIII. *ΚΑΛ.* Ἀλλὰ μέντοι πολλοῦ γε δεῖ, ὦ *Σώκρατες*, μήποτέ τις τῶν νῦν ἔργα τοιαῦτα ἐργάσηται, οἷα τούτων ὃς βούλει εἴργασται. *ΣΩ.* Ὦ δαιμόνιε, οὐδ' ἐγὼ ψέγω τούτους, ὥς γε διακόνους εἶναι πόλεως, ἀλλά μοι δοκοῦσι τῶν γε νῦν διακονικώτεροι γεγονέναι, καὶ μᾶλλον οἷοί τε ἐκπορίζειν τῇ πόλει ὧν ἐπεθύμει· ἀλλὰ γὰρ μεταβιβάζειν τὰς ἐπιθυμίας, καὶ μὴ ἐπιτρέπειν, πείθοντες καὶ βιαζόμενοι ἐπὶ τοῦτο, ὅθεν ἔμελλον ἀμείνους ἔσεσθαι οἱ πολῖται, ὡς ἔπος εἰπεῖν, οὐδὲν τούτων διέφερον ἐκεῖνοι, ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου· ναῦς δὲ καὶ τείχη καὶ νεώρια καὶ ἄλλα πολλὰ τοιαῦτα καὶ ἐγώ σοι ὁμολογῶ δεινοτέρους εἶναι ἐκείνους τούτων ἐκπορίζειν. Πρᾶγμα οὖν γελοῖον ποιοῦμεν ἐγώ τε καὶ σὺ ἐν τοῖς λόγοις. ἐν παντὶ γὰρ τῷ χρόνῳ, ὃν διαλεγόμεθα, οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι, καὶ ἀγνοοῦντες ἀλλήλων ὅ τι λέγομεν. ἐγὼ οὖν σε πολλάκις οἶμαι ὡμολογηκέναι καὶ ἐγνωκέναι, ὡς ἄρα διττὴ αὕτη τις ἡ πραγματεία ἐστὶ καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχήν, καὶ ἡ μὲν ἑτέρα διακονική ἐστιν, ᾗ δυνατὸν εἶναι ἐκπορίζειν, ἐὰν μὲν πεινῇ τὰ σώματα ἡμῶν, σιτία, ἐὰν δὲ διψῇ, ποτά, ἐὰν δὲ ῥιγῷ, ἱμάτια, στρώματα, ὑποδήματα, ἄλλα ὧν ἔρχεται σώματα εἰς

ἐπιθυμίαν· καὶ ἐξεπίτηδές σοι διὰ τῶν αὐτῶν εἰκόνων λέγω, ἵνα ῥᾷον καταμάθῃς. τούτων γὰρ ποριστικὸν εἶναι, ἢ κάπηλον ὄντα ἢ ἔμπορον ἢ δημιουργόν του αὐτῶν τούτων, σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάντην ἢ σκυτοτόμον ἢ σκυτοδεψόν, οὐδὲν θαυμαστόν ἐστιν, ὄντα τοιοῦτον, δόξαι καὶ αὐτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος, παντὶ τῷ μὴ εἰδότι, ὅτι ἔστι τις παρὰ ταύτας ἁπάσας τέχνη γυμναστική τε καὶ ἰατρική, ἣ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία, ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν, καὶ χρῆσθαι τοῖς τούτων ἔργοις, διὰ τὸ εἰδέναι, ὅ τι τὸ χρηστὸν καὶ πονηρὸν τῶν σιτίων ἢ ποτῶν ἐστιν εἰς ἀρετὴν σώματος, τὰς δ' ἄλλας πάσας ταύτας ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγματείαν, τὰς ἄλλας τέχνας· τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν, κατὰ τὸ δίκαιον, δεσποίνας εἶναι τούτων. ταυτὰ οὖν ταῦτα ὅτι ἐστὶ καὶ περὶ ψυχὴν, τοτὲ μέν μοι δοκεῖς μανθάνειν, ὅτι λέγω, καὶ ὁμολογεῖς, ὡς εἰδὼς ὅ τι ἐγὼ λέγω· ἥκεις δὲ ὀλίγον ὕστερον λέγων, ὅτι ἄνθρωποι καλοὶ κἀγαθοὶ γεγόνασι πολῖται ἐν τῇ πόλει· καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ, οἵτινες, δοκεῖς μοι ὁμοιοτάτους προτείνεσθαι ἀνθρώπους περὶ τὰ πολιτικὰ, ὥσπερ ἂν εἰ περὶ τὰ γυμναστικὰ ἐμοῦ ἐρωτῶντος, οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταὶ, ἔλεγές μοι πάνυ σπουδάζων, ὅτι Θεαρίων ὁ ἀρτοκόπος, καὶ Μίθαικος ὁ τὴν ὀψοποιΐαν ξυγγεγραφὼς τὴν Σικελικὴν, καὶ Σά-

ραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. LXXIV. Ἴσως ἂν οὖν ἠγανάκτεις, εἴ σοι ἔλεγον ἐγώ, ὅτι, ἄνθρωπε, ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς· διακόνους μοι λέγεις καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους, οὐκ ἐπαΐοντας καλὸν κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἵ, ἂν οὕτω τύχωσιν, ἐμπλήσαντες καὶ παχύναντες τὰ σώματα τῶν ἀνθρώπων, ἐπαινούμενοι ὑπ' αὐτῶν, προσαπολλύουσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας· οἱ δ' αὖ δι' ἀπειρίαν οὐ τοὺς ἑστιῶντας αἰτιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς ἀποβολῆς τῶν ἀρχαίων σαρκῶν, ἀλλ', οἳ ἂν αὐτοῖς τύχωσι τότε παρόντες καὶ ξυμβουλεύοντές τι. ὅταν δὲ αὐτοῖς ἥκῃ ἡ τότε πλησμονὴ νόσον φέρουσα συχνῷ ὕστερον χρόνῳ, ἅτε ἄνευ τοῦ ὑγιεινοῦ γεγονυῖα, τούτους αἰτιάσονται καὶ ψέξουσι, καὶ κακόν τι ποιήσουσιν, ἂν οἷοί τ' ὦσι· τοὺς δὲ προτέρους ἐκείνους καὶ αἰτίους τῶν κακῶν ἐγκωμιάσουσι. καὶ σὺ νῦν, ὦ Καλλίκλεις, ὁμοιότατον τούτῳ ἐργάζῃ· ἐγκωμιάζεις ἀνθρώπους, οἳ τούτους εἱστιάκασιν εὐωχοῦντες ὧν ἐπεθύμουν, καί φασι μεγάλην τὴν πόλιν πεποιηκέναι αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστι δι' ἐκείνους τοὺς παλαιούς, οὐκ αἰσθάνονται· ἄνευ γὰρ σωφροσύνης καὶ δικαιοσύνης, λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν. ὅταν οὖν ἔλθῃ ἡ καταβολὴ αὕτη τῆς ἀσθενείας, τοὺς τότε παρόντας αἰτιάσονται

ἐπιθυμίαν· καὶ ἐξεπίτηδές σοι διὰ τῶν αὐτῶν εἰκόνων λέγω, ἵνα ῥᾷον καταμάθῃς. τούτων γὰρ ποριστικὸν εἶναι, ἢ κάπηλον ὄντα ἢ ἔμπορον ἢ δημιουργόν του αὐτῶν τούτων, σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάντην ἢ σκυτοτόμον ἢ σκυτοδεψόν, οὐδὲν θαυμαστόν ἐστιν, ὄντα τοιοῦτον, δόξαι καὶ αὐτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος, παντὶ τῷ μὴ εἰδότι, ὅτι ἔστι τις παρὰ ταύτας ἁπάσας τέχνη γυμναστική τε καὶ ἰατρική, ἣ δὴ τῷ ὄντι ἐστὶ σώματος θεραπεία, ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν, καὶ χρῆσθαι τοῖς τούτων ἔργοις, διὰ τὸ εἰδέναι, ὅ τι τὸ χρηστὸν καὶ πονηρὸν τῶν σιτίων ἢ ποτῶν ἐστιν εἰς ἀρετὴν σώματος, τὰς δ' ἄλλας πάσας ταύτας ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγματείαν, τὰς ἄλλας τέχνας· τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν, κατὰ τὸ δίκαιον, δεσποίνας εἶναι τούτων. ταυτὰ οὖν ταῦτα ὅτι ἐστὶ καὶ περὶ ψυχήν, τοτὲ μέν μοι δοκεῖς μανθάνειν, ὅτι λέγω, καὶ ὁμολογεῖς, ὡς εἰδὼς ὅ τι ἐγὼ λέγω· ἥκεις δὲ ὀλίγον ὕστερον λέγων, ὅτι ἄνθρωποι καλοὶ κἀγαθοὶ γεγόνασι πολῖται ἐν τῇ πόλει· καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ, οἵτινες, δοκεῖς μοι ὁμοιοτάτους προτείνεσθαι ἀνθρώπους περὶ τὰ πολιτικά, ὥσπερ ἂν εἰ περὶ τὰ γυμναστικὰ ἐμοῦ ἐρωτῶντος, οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, ὅτι Θεαρίων ὁ ἀρτοκόπος, καὶ Μίθαικος ὁ τὴν ὀψοποιΐαν ξυγγεγραφὼς τὴν Σικελικήν, καὶ Σά-

ραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. LXXIV. Ἴσως ἂν οὖν ἠγανάκτεις, εἴ σοι ἔλεγον ἐγώ, ὅτι, ἄνθρωπε, ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς· διακόνους μοι λέγεις καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους, οὐκ ἐπαΐοντας καλὸν κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἵ, ἂν οὕτω τύχωσιν, ἐμπλήσαντες καὶ παχύναντες τὰ σώματα τῶν ἀνθρώπων, ἐπαινούμενοι ὑπ' αὐτῶν, προσαπολλύουσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας· οἱ δ' αὖ δι' ἀπειρίαν οὐ τοὺς ἑστιῶντας αἰτιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς ἀποβολῆς τῶν ἀρχαίων σαρκῶν, ἀλλ', οἳ ἂν αὐτοῖς τύχωσι τότε παρόντες καὶ ξυμβουλεύοντές τι. ὅταν δὲ αὐτοῖς ἥκῃ ἡ τότε πλησμονὴ νόσον φέρουσα συχνῷ ὕστερον χρόνῳ, ἅτε ἄνευ τοῦ ὑγιεινοῦ γεγονυῖα, τούτους αἰτιάσονται καὶ ψέξουσι, καὶ κακόν τι ποιήσουσιν, ἂν οἷοί τ' ὦσι· τοὺς δὲ προτέρους ἐκείνους καὶ αἰτίους τῶν κακῶν ἐγκωμιάσουσι. καὶ σὺ νῦν, ὦ Καλλίκλεις, ὁμοιότατον τούτῳ ἐργάζῃ· ἐγκωμιάζεις ἀνθρώπους, οἳ τούτους εἱστιάκασιν εὐωχοῦντες ὧν ἐπεθύμουν, καί φασι μεγάλην τὴν πόλιν πεποιηκέναι αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστι δι' ἐκείνους τοὺς παλαιούς, οὐκ αἰσθάνονται· ἄνευ γὰρ σωφροσύνης καὶ δικαιοσύνης, λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν. ὅταν οὖν ἔλθῃ ἡ καταβολὴ αὕτη τῆς ἀσθενείας, τοὺς τότε παρόντας αἰτιάσονται

ξυμβούλους, Θεμιστοκλέα δὲ καὶ Κίμωνα καὶ Περικλέα εγκωμιάσουσι, τοὺς αἰτίους τῶν κακῶν· σοῦ δὲ ἴσως ἐπιλήψονται, ἐὰν μὴ εὐλαβῇ, καὶ τοῦ ἐμοῦ ἑταίρου Ἀλκιβιάδου, ὅταν καὶ τὰ ἀρχαῖα προσαπολλύωσι πρὸς οἷς ἐκτήσαντο, οὐκ αἰτίων ὄντων τῶν κακῶν, ἀλλ' ἴσως ξυναιτίων. καίτοι ἔγωγε ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμενον, καὶ ἀκούω τῶν παλαιῶν ἀνδρῶν πέρι. αἰσθάνομαι γάρ, ὅταν ἡ πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα, ἀγανακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ πάσχουσι, πολλὰ καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες. ἆρα ἀδίκως ὑπ' αὐτῆς ἀπόλλυνται, ὡς ὁ τούτων λόγος; τὸ δὲ ὅλον ψεῦδός ἐστι. προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπ' αὐτῆς τῆς πόλεως, ἧς προστατεῖ. κινδυνεύει γὰρ ταυτὸν εἶναι, ὅσοι τε πολιτικοὶ προςποιοῦνται εἶναι, καὶ ὅσοι σοφισταί. καὶ γὰρ οἱ σοφισταί, τἆλλα σοφοὶ ὄντες, τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς διδάσκαλοι εἶναι, πολλάκις κατηγοροῦσι τῶν μαθητῶν, ὡς ἀδικοῦσι σφᾶς αὐτούς, τούς τε μισθοὺς ἀποστεροῦντες καὶ ἄλλην χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν· καὶ τούτου τοῦ λόγου τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, ἀνθρώπους ἀγαθοὺς καὶ δικαίους γενομένους ἐξαιρεθέντας μὲν ἀδικίαν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην, ἀδικεῖν τούτῳ ὃ οὐκ ἔχουσιν; οὐ δοκεῖ σοι τοῦτο ἄτοπον εἶναι, ὦ ἑταῖρε; ὡς ἀληθῶς δημηγορεῖν με ἠνάγκασας, ὦ Καλλίκλεις, οὐκ ἐθέλων ἀποκρίνασθαι.

LXXV. *ΚΑΛ.* Σὺ δ' οὐκ ἂν οἷός τ' εἴης λέγειν, εἰ μή τίς σοι ἀποκρίνοιτο. *ΣΩ.* Ἔοικά γε· νῦν γοῦν συχνοὺς τείνω τῶν λόγων, ἐπειδή μοι οὐκ ἐθέλεις ἀποκρίνασθαι. ἀλλ', ὠ'γαθέ, εἰπὲ πρὸς Φιλίου, οὐ δοκεῖ σοι ἄλογον εἶναι, ἀγαθὸν φάσκοντα πεποιηκέναι τινὰ, μέμφεσθαι τούτῳ, ὅτι ὑφ' ἑαυτοῦ ἀγαθὸς γεγονώς τε καὶ ὢν ἔπειτα πονηρός ἐστιν; *ΚΑΛ.* Ἐμοιγε δοκεῖ. *ΣΩ.* Οὐκοῦν ἀκούεις τοιαῦτα λεγόντων τῶν φασκόντων παιδεύειν ἀνθρώπους εἰς ἀρετήν; *ΚΑΛ.* Ἔγωγε· ἀλλὰ τί ἂν λέγοις ἀνθρώπων πέρι οὐδενὸς ἀξίων; *ΣΩ.* Τί δ' ἂν περὶ ἐκείνων λέγοις, οἳ φάσκοντες προεστάναι τῆς πόλεως, καὶ ἐπιμελεῖσθαι ὅπως ὡς βελτίστη ἔσται, πάλιν αὐτῆς κατηγοροῦσιν, ὅταν τύχωσιν, ὡς πονηροτάτης; οἴει τι διαφέρειν τούτους ἐκείνων; ταυτόν, ὦ μακάριε, ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον, ὥσπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον· σὺ δὲ δι' ἄγνοιαν τὸ μὲν πάγκαλόν τι οἴει εἶναι, τὴν ῥητορικὴν, τοῦ δὲ καταφρονεῖς. τῇ δὲ ἀληθείᾳ κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς, ὅσωπερ νομοθετικὴ δικαστικῆς, καὶ γυμναστικὴ ἰατρικῆς. μόνοις δ' ἔγωγε καὶ ᾤμην τοῖς δημηγόροις τε καὶ σοφισταῖς οὐκ ἐγχωρεῖν μέμφεσθαι τούτῳ τῷ πράγματι, ὃ αὐτοὶ παιδεύουσιν, ὡς πονηρόν ἐστιν εἰς σφᾶς, ἢ τῷ αὐτῷ λόγῳ τούτῳ ἅμα καὶ ἑαυτῶν κατηγορεῖν, ὅτι οὐδὲν ὠφελήκασιν, οὕς φασιν ὠφελεῖν. οὐχ οὕτως ἔχει; *ΚΑΛ.* Πάνυ γε. *ΣΩ.* Καὶ προέσθαι γε δήπου τὴν εὐεργεσίαν ἄνευ μισθοῦ, ὡς τὸ εἰκός, μόνοις τούτοις ἐνεχώρει, εἴπερ

ἀληθῆ ἔλεγον. ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετηθεὶς, οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην, ἴσως ἂν ἀποστερήσειε τὴν χάριν, εἰ προόιτο αὐτῷ ὁ παιδοτρίβης, καὶ μὴ ξυνθέμενος αὐτῷ μισθὸν, ὅτι μάλιστα ἅμα μεταδιδοὺς τοῦ τάχους, λαμβάνοι τὸ ἀργύριον· οὐ γὰρ τῇ βραδυτῆτι, οἶμαι, ἀδικοῦσιν οἱ ἄνθρωποι, ἀλλ' ἀδικίᾳ· ἦ γάρ; ΚΑΛ. Ναί. ΣΩ. Οὐκοῦν εἴ τις αὐτὸ τοῦτο ἀφαιρεῖ, τὴν ἀδικίαν, οὐδὲν δεινὸν αὐτῷ, μήποτε ἀδικηθῇ, ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν. οὐχ οὕτω; ΚΑΛ. Φημί. LXXVI. ΣΩ. Διὰ ταῦτ' ἄρα, ὡς ἔοικε, τὰς μὲν ἄλλας ξυμβουλὰς ξυμβουλεύειν λαμβάνοντα ἀργύριον, οἷον οἰκοδομίας πέρι ἢ τῶν ἄλλων τεχνῶν, οὐδὲν αἰσχρόν. ΚΑΛ. Ἔοικέ γε. ΣΩ. Περὶ δέ γε ταύτης τῆς πράξεως, ὅντιν' ἄν τις τρόπον ὡς βέλτιστος εἴη, καὶ ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοίη ἢ πόλιν, αἰσχρὸν νενόμισται μὴ φάναι ξυμβουλεύειν, ἐὰν μή τις αὐτῷ ἀργύριον διδῷ· ἦ γάρ; ΚΑΛ. Ναί. ΣΩ. Δῆλον γὰρ ὅτι τοῦτο αἴτιόν ἐστιν, ὅτι μόνη αὕτη τῶν εὐεργεσιῶν τὸν εὖ παθόντα ἐπιθυμεῖν ποιεῖ ἀντευποιεῖν· ὥστε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι, εἰ ὁ εὖ ποιήσας ταύτην τὴν εὐεργεσίαν ἀντευπείσεται· εἰ δὲ μή, οὔ. ἔστι ταῦτα οὕτως ἔχοντα; ΚΑΛ. Ἔστιν. ΣΩ. Ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως, διόρισόν μοι, τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις ὅπως ὡς βέλτιστοι ἔσονται, ὡς ἰατρὸν, ἢ ὡς διακονήσοντα καὶ πρὸς χάριν ὁμι-

λήσοντα; τἀληθῆ μοι εἰπέ, Καλλίκλεις. δίκαιος γὰρ εἶ, ὥσπερ ἤρξω παῤῥησιάζεσθαι πρὸς ἐμέ, διατελεῖν ἃ νοεῖς λέγων. καὶ νῦν εὖ καὶ γενναίως εἰπέ. ΚΑΛ. Λέγω τοίνυν, ὅτι ὡς διακονήσοντα. ΣΩ. Κολακεύσοντα ἄρα με, ὦ γενναιότατε, παρακαλεῖς. ΚΑΛ. Εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες· ὡς εἰ μὴ ταῦτά γε ποιήσεις — ΣΩ. Μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας, ὅτι ἀποκτενεῖ με ὁ βουλόμενος, ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω, ὅτι πονηρός γε ὢν ἀγαθὸν ὄντα· μηδ', ὅτι ἀφαιρήσεται ἐάν τι ἔχω, ἵνα μὴ αὖ [καὶ] ἐγὼ εἴπω, ὅτι, ἀλλ' ἀφελόμενος οὐχ ἕξει, ὅ τι χρήσεται αὐτοῖς, ἀλλ' ὥσπερ με ἀδίκως ἀφείλετο, οὕτω καὶ λαβὼν ἀδίκως χρήσεται· εἰ δὲ ἀδίκως, αἰσχρῶς· εἰ δὲ αἰσχρῶς, κακῶς. LXXVII. ΚΑΛ. Ὥς μοι δοκεῖς, ὦ Σώκρατες, πιστεύεις μηδ' ἂν ἓν τούτων παθεῖν, ὡς οἰκῶν ἐκποδών, καὶ οὐκ ἂν εἰσαχθεὶς εἰς δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου. ΣΩ. Ἀνόητος ἄρα εἰμί, ὦ Καλλίκλεις, ὡς ἀληθῶς, εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει ὁντινοῦν ἂν ὅ τι ἂν τύχοι, τοῦτο παθεῖν. τόδε μέντοι εὖ οἶδ' ὅτι, ἐάνπερ εἰσίω εἰς δικαστήριον περὶ τούτων τινὸς κινδυνεύων, ὃ σὺ λέγεις, πονηρός τις με ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄνθρωπον εἰσάγοι· καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθάνοιμι. βούλει σοι εἴπω διότι ταῦτα προσδοκῶ; ΚΑΛ. Πάνυ γε. ΣΩ. Οἶμαι μετ' ὀλίγων Ἀθηναίων, ἵνα μὴ εἴπω μόνος, ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ, καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν. ἅτε οὖν οὐ πρὸς χάριν λέγων

τοὺς λόγους οὓς λέγω ἑκάστοτε, ἀλλὰ πρὸς τὸ βέλ-
τιστον, οὐ πρὸς τὸ ἥδιστον, καὶ οὐκ ἐθέλων ποιεῖν
ἃ σὺ νῦν παραινεῖς, τὰ κομψὰ ταῦτα, οὐχ ἕξω ὅ
τι λέγω ἐν τῷ δικαστηρίῳ. ὁ αὐτὸς δέ μοι ἥκει λό-
γος, ὅνπερ πρὸς Πῶλον ἔλεγον· κρινοῦμαι γάρ, ὡς ἐν
παιδίοις ἰατρὸς ἂν κρίνοιτο, κατηγοροῦντος ὀψο-
ποιοῦ. σκόπει γάρ, τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄν-
θρωπος ἐν τούτοις ληφθείς, εἰ αὐτοῦ κατηγοροῖ τις
λέγων, ὅτι, ὦ παῖδες, πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴρ-
γασται ἀνὴρ καὶ αὐτούς, καὶ τοὺς νεωτάτους ὑμῶν
διαφθείρει, τέμνων τε καὶ κάων καὶ ἰσχναίνων καὶ
πνίγων ἀπορεῖν ποιεῖ, πικρότατα πόματα διδοὺς
καὶ πεινῆν καὶ διψῆν ἀναγκάζων, οὐχ ὥσπερ ἐγὼ
πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν ὑμᾶς· τί ἂν
οἴει ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα ἰατρὸν ἔχειν εἰ-
πεῖν; ἢ εἰ εἴποι τὴν ἀλήθειαν, ὅτι ταῦτα πάντα ἐγὼ
ἐποίουν, ὦ παῖδες, ὑγιεινῶς, ὁπόσον οἴει ἂν ἀνα-
βοῆσαι τοὺς τοιούτους δικαστάς; οὐ μέγα; ΚΑΛ.
Ἴσως οἴεσθαί γε χρή. ΣΩ. Οὐκοῦν οἴει ἐν πάσῃ ἀπο-
ρίᾳ ἂν αὐτὸν ἔχεσθαι ὅ τι χρὴ εἰπεῖν; ΚΑΛ. Πάνυ
γε. LXXVIII. ΣΩ. Τοιοῦτον μέντοι καὶ ἐγὼ οἶδα
ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον.
οὔτε γὰρ ἡδονάς, ἃς ἐκπεπόρικα, ἕξω αὐτοῖς λέγειν,
ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν, ἐγὼ
δὲ οὔτε τοὺς πορίζοντας ζηλῶ, οὔτε οἷς πορίζεται·
ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν, ἀπορεῖν
ποιοῦντα, ἢ τοὺς πρεσβυτέρους κατηγορεῖν, λέγον-
τα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ, οὔτε τὸ ἀληθὲς

ἔξω εἰπεῖν, ὅτι δικαίως πάντα ταῦτα ἐγὼ λέγω καὶ πράττω τὸ ὑμέτερον δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, οὔτε ἄλλο οὐδέν· ὥστε ἴσως, ὅ τι ἂν τύχω, τοῦτο πείσομαι. ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτω διακείμενος, καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν; ΣΩ. Εἰ ἐκεῖνό γε ἓν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας, εἰ βεβοηθηκὼς εἴη αὑτῷ, μήτε περὶ ἀνθρώπους μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος. αὕτη γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος, καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ διὰ ταύτην τὴν ἀδυναμίαν ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν· εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε, εὖ οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον. αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἄνανδρός ἐστι· τὸ δὲ ἀδικεῖν φοβεῖται. πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς ᾅδου ἀφικέσθαι, πάντων ἔσχατον κακῶν ἐστιν. εἰ δὲ βούλει, σοὶ ἐγὼ ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον λέξαι. ΚΑΛ. Ἀλλ' ἐπειδήπερ καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον. LXXIX. ΣΩ. Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον. ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρ-

χὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς δίκης τε καὶ τίσεως δεσμωτήριον, ὃ δὴ τάρταρον καλοῦσιν, ἰέναι. τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου, καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος, ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς, Ἀλλ' ἐγώ, ἔφη, παύσω τοῦτο γιγνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν, ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες, ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν. οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὐτῶν ὀφθαλμούς τι καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὐτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς

τὸν θάνατον· νῦν γὰρ προΐσασι. τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ αὐτὸ [αὐτῶν.] ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου, ἔρημον πάντων τῶν ξυγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν, ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς, ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον· καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω, ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις. LXXX. Ταῦτ' ἐστίν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι, καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε τι λογίζομαι ξυμβαίνειν· ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν. ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα, ἔνδηλα πάντα. οἷον, εἴ τινος μέγα

ἦν τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶντος, τούτου, καὶ ἐπειδὰν ἀποθάνῃ, ὁ νεκρὸς μέγας, καὶ εἰ παχύς, παχὺς καὶ ἀποθανόντος, καὶ τἄλλα οὕτω· καὶ εἰ αὖ ἐπετήδευε κομᾷν, κομήτης τούτου καὶ ὁ νεκρός· μαστιγίας αὖ εἴ τις ἦν, καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον· κατεαγότα εἴ του ἦν μέλη ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταῦτα ἔνδηλα. ἐνὶ δὲ λόγῳ, οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἢ πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. ταυτὸν δή μοι δοκεῖ τοῦτ᾽ ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας, θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος, ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου, κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστῳ ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας, καὶ οὐδὲν εὐθύ, διὰ τὸ ἄνευ ἀληθείας τετράφθαι, καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρασίας τῶν πράξεων ἀξυμμε-

τρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν. ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη. LXXXI. Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι, ἢ παράδειγμά τι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα, ἃ ἂν πάσχῃ, φοβούμενοι βελτίους γίγνωνται. εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ θεῶν τε καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν· ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν ᾅδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται, οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν ᾅδου ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθετήματα. ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι, εἰ ἀληθῆ λέγει Πῶλος, καὶ ἄλλον, ὅστις ἂν τοιοῦτος τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι τούτων τῶν παραδειγμάτων τοὺς ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ τῶν πόλεων πραξάντων γεγονότας. οὗτοι γάρ, διὰ τὴν ἐξουσίαν, μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρ-

τάνουσι. μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος. βασιλέας γὰρ καὶ δυνάστας ἐκεῖνος πεποίηκε τοὺς ἐν ᾅδου τὸν ἀεὶ χρόνον τιμωρουμένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν· Θερσίτην δέ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγάλαις τιμωρίαις ξυνεχόμενον, ὡς ἀνίατον· οὐ γάρ, οἶμαι, ἐξῆν αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. ἀλλὰ γάρ, ὦ Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι. οὐδὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι, καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων. χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον, ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι· ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι. ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δικαίως διαχειρίζειν ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου· οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν. LXXXII. Ὅπερ οὖν ἔλεγον, ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὔθ᾽ ὅστις οὔθ᾽ ὧν τινων, ὅτι δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς τάρταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι· ὁ δέ, ἐκεῖσε ἀφικόμενος, τὰ προσήκοντα πάσχει. ἐνίοτε δ᾽ ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ᾽ ἀληθείας ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινὸς ψυχήν, μάλιστα μέν, ἔγωγέ φημι, ὦ Καλλι-

κλέους, φιλοσόφου, τὰ αὑτοῦ πράξαντος, καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ εἰς μακάρων νήσους ἀπέπεμψε. ταυτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός. ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται μόνος, ἔχων χρυσοῦν σκῆπτρον, ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσιν. Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι, καὶ σκοπῶ, ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην ἔχων τὴν ψυχήν. χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων, τὴν ἀλήθειαν σκοπῶν, πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν, καὶ ἐπειδὰν ἀποθνήσκω, ἀποθνήσκειν. παρακαλῶ δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους, καθ᾽ ὅσον δύναμαι, καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγώ φημι ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι· καὶ ὀνειδίζω σοι, ὅτι οὐχ οἷός τ᾽ ἔσῃ σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις, ἣν νῦν δὴ ἐγὼ ἔλεγον, ἀλλὰ ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς Αἰγίνης υἱόν, ἐπειδάν σου ἐπιλαβόμενος ἄγῃ, χασμήσῃ καὶ ἰλιγγιάσεις οὐδὲν ἧττον, ἢ ἐγὼ ἐνθάδε, σὺ ἐκεῖ, καί σε ἴσως τυπτήσει τις ἐπὶ κόρρης ἀτίμως καὶ πάντως προπηλακιεῖ. τάχα δ᾽ οὖν ταῦτα μῦθός σοι δοκεῖ λέγεσθαι, ὥςπερ γραός, καὶ καταφρονεῖς αὐτῶν· καὶ οὐδέν γ᾽ ἂν θαυμαστὸν ἦν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐτῶν βελτίω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς, ὅτι τρεῖς ὄντες ὑμεῖς,

οἵπερ σοφώτατοί ἐστε τῶν νῦν Ἑλλήνων, σύ τε καὶ Πῶλος καὶ Γοργίας, οὐκ ἔχετε ἀποδεῖξαι ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅςπερ καὶ ἐκεῖσε φαίνεται ξυμφέρων· ἀλλ' ἐν τοσούτοις λόγοις, τῶν ἄλλων ἐλεγχομένων, μόνος οὗτος ἠρεμεῖ ὁ λόγος, ὡς εὐλαβητέον ἐστὶ τὸ ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον, οὐ, τὸ δοκεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, κολαστέος ἐστί. καὶ τοῦτο δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δίκαιον, τὸ γίγνεσθαι, καὶ κολαζόμενον διδόναι δίκην· καὶ πᾶσαν κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς ἄλλους, καὶ περὶ ὀλίγους καὶ περὶ πολλούς, φευκτέον, καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον ἐπὶ τὸ δίκαιον ἀεὶ καὶ τῇ ἄλλῃ πάσῃ πράξει. LXXXIII. Ἐμοὶ μὲν οὖν πειθόμενος ἀκολούθησον ἐνταῦθα, οἷ ἀφικόμενος εὐδαιμονήσεις καὶ ζῶν καὶ τελευτήσας, ὡς ὁ λόγος σημαίνει, καὶ ἔασόν τινα σοῦ καταφρονῆσαι, ὡς ἀνοήτου, καὶ προπηλακίσαι ἐὰν βούληται, καί, νὴ μὰ Δία, σύ γε θαῤῥῶν πατάξαι τὴν ἄτιμον ταύτην πληγήν· οὐδὲν γὰρ δεινὸν πείσῃ, ἐὰν τῷ ὄντι ᾖς καλὸς κἀγαθός, ἀσκῶν ἀρετήν· κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες, τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς, ἤ, ὁποῖον ἄν τι δοκῇ ἡμῖν, τότε βουλευσόμεθα, βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν. αἰσχρὸν γάρ, ἔχοντάς γε ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα νεανιεύεσθαι ὥς τι ὄντας, οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν, καὶ ταῦτα, περὶ τῶν μεγί-

στων· εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. ὥσπερ οὖν ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει, ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα, καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκείνῳ, ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς. ἔστι γὰρ οὐδενὸς ἄξιος, ὦ Καλλίκλεις.

ΙΩΝ

Η ΠΕΡΙ ΙΛΙΑΔΟΣ

Η ΠΕΡΙ ΠΟΙΗΤΙΚΟΥ ΧΑΡΑΚΤΗΡΟΣ

Η ΠΕΡΙ ΠΟΙΗΤΙΚΗΣ ΕΡΜΗΝΕΙΑΣ.

ΛΟΓΙΚΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΙΩΝΟΣ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΙΩΝ.

Τὸν Ἴωνα χαίρειν. πόθεν τανῦν ἡμῖν ἐπιδεδήμηκας; ἢ οἴκοθεν, ἐξ Ἐφέσου; ΙΩΝ. Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ' ἐξ Ἐπιδαύρου, ἐκ τῶν Ἀσκληπιείων. ΣΩ. Μῶν καὶ ῥαψῳδῶν ἀγῶνα τιθέασι τῷ θεῷ οἱ Ἐπιδαύριοι; ΙΩΝ. Πάνυ γε, καὶ τῆς ἄλλης γε μουσικῆς. ΣΩ. Τί οὖν; ἠγωνίζου τι ἡμῖν; καὶ πῶς τι ἠγωνίσω; ΙΩΝ. Τὰ πρῶτα τῶν ἄθλων ἠνεγκάμεθα, ὦ Σώκρατες. ΣΩ. Εὖ λέγεις. ἄγε δὴ ὅπως καὶ τὰ Παναθήναια νικήσομεν. ΙΩΝ. Ἀλλ' ἔσται ταῦτα, ἐὰν θεὸς ἐθέλῃ. ΣΩ. Καὶ μὴν πολλάκις γε ἐζήλωσα ὑμᾶς τοὺς ῥαψῳδούς, ὦ Ἴων, τῆς τέχνης.

τὸ γὰρ ἅμα μὲν τὸ σῶμα κεκοσμῆσθαι ἀεὶ πρέπον ὑμῶν εἶναι τῇ τέχνῃ, καὶ ὡς καλλίστοις φαίνεσθαι, ἅμα δὲ ἀναγκαῖον εἶναι ἔν τε ἄλλοις ποιηταῖς διατρίβειν πολλοῖς καὶ ἀγαθοῖς, καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ, τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶν, καὶ τὴν τούτου διάνοιαν ἐκμανθάνειν, μὴ μόνον τὰ ἔπη, ζηλωτόν ἐστιν. οὐ γὰρ ἂν γένοιτό ποτε ῥαψῳδός, εἰ μὴ ξυνίη τὰ λεγόμενα ὑπὸ τοῦ ποιητοῦ· τὸν γὰρ ῥαψῳδὸν ἑρμηνέα δεῖ τοῦ ποιητοῦ τῆς διανοίας γίγνεσθαι τοῖς ἀκούουσι· τοῦτο δὲ καλῶς ποιεῖν μὴ γιγνώσκοντα ὅ τι λέγει ὁ ποιητὴς ἀδύνατον. ταῦτα οὖν πάντα ἄξια ζηλοῦσθαι. ΙΩΝ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες. ἔμοιγ' οὖν τοῦτο πλεῖστον ἔργον παρέσχε τῆς τέχνης, καὶ οἶμαι κάλλιστα ἀνθρώπων λέγειν περὶ Ὁμήρου, ὡς οὔτε Μητρόδωρος ὁ Λαμψακηνός, οὔτε Στησίμβροτος ὁ Θάσιος, οὔτε Γλαύκων, οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων ἔσχεν εἰπεῖν οὕτω πολλὰς καὶ καλὰς διανοίας περὶ Ὁμήρου, ὅσας ἐγώ. ΣΩ. Εὖ λέγεις, ὦ Ἴων· δῆλον γάρ, ὅτι οὐ φθονήσεις μοι ἐπιδεῖξαι. ΙΩΝ. Καὶ μὴν ἄξιόν γε ἀκοῦσαι, ὦ Σώκρατες, ὡς εὖ κεκόσμηκα τὸν Ὅμηρον, ὥστε, οἶμαι, ὑπὸ Ὁμηριδῶν ἄξιος εἶναι χρυσῷ στεφάνῳ στεφανωθῆναι. II. ΣΩ. Καὶ μὴν ἐγὼ ἔτι ποιήσομαι σχολὴν ἀκροάσασθαι σοῦ. νῦν δέ μοι τοσόνδε ἀπόκριναι, πότερον περὶ Ὁμήρου μόνον δεινὸς εἶ, ἢ καὶ περὶ Ἡσιόδου καὶ Ἀρχιλόχου; ΙΩΝ. Οὐδαμῶς, ἀλλὰ περὶ Ὁμήρου μόνον· ἱκανὸν γάρ μοι δοκεῖ εἶναι. ΣΩ. Ἔστι δὲ περὶ ὅτου Ὅμηρός τε

καὶ Ἡσίοδος ταυτὰ λέγετον; ΙΩΝ. Οἶμαι ἔγωγε καὶ πολλά. ΣΩ. Πότερον οὖν περὶ τούτων κάλλιον ἂν ἐξηγήσαιο, ἃ Ὅμηρος λέγει, ἢ ἃ Ἡσίοδος; ΙΩΝ. Ὁμοίως ἂν περί γε τούτων, ὦ Σώκρατες, περὶ ὧν ταυτὰ λέγουσι. ΣΩ. Τί δέ; ὧν πέρι μὴ ταυτὰ λέγουσιν, οἷον περὶ μαντικῆς λέγει τι Ὅμηρός τε καὶ Ἡσίοδος; ΙΩΝ. Πάνυ γε. ΣΩ. Τί οὖν; ὅσα τε ὁμοίως καὶ ὅσα διαφόρως περὶ μαντικῆς λέγετον τὼ ποιητὰ τούτω, πότερον σὺ κάλλιον ἂν ἐξηγήσαιο ἢ τῶν μάντεων τις τῶν ἀγαθῶν; ΙΩΝ. Τῶν μάντεων. ΣΩ. Εἰ δὲ σὺ ἦσθα μάντις, οὐκ, εἴπερ περὶ τῶν ὁμοίως λεγομένων οἷός τ' ἦσθα ἐξηγήσασθαι, καὶ περὶ τῶν διαφόρως λεγομένων ἠπίστω ἂν ἐξηγεῖσθαι; ΙΩΝ. Δῆλον ὅτι. ΣΩ. Τί οὖν ποτε περὶ μὲν Ὁμήρου δεινὸς εἶ, περὶ δὲ Ἡσιόδου οὔ, οὐδὲ τῶν ἄλλων ποιητῶν; ἢ Ὅμηρος περὶ ἄλλων τινῶν λέγει ἢ ὧνπερ ξύμπαντες οἱ ἄλλοι ποιηταί; οὐ περὶ πολέμου τε τὰ πολλὰ διελήλυθε, καὶ περὶ ὁμιλιῶν πρὸς ἀλλήλους ἀνθρώπων ἀγαθῶν τε καὶ κακῶν, καὶ ἰδιωτῶν καὶ δημιουργῶν, καὶ περὶ θεῶν πρὸς ἀλλήλους καὶ πρὸς ἀνθρώπους ὁμιλούντων, ὡς ὁμιλοῦσι, καὶ περὶ τῶν οὐρανίων παθημάτων, καὶ περὶ τῶν ἐν ᾅδου, καὶ γενέσεις θεῶν τε καὶ ἡρώων; οὐ ταῦτά ἐστι περὶ ὧν Ὅμηρος τὴν ποίησιν πεποίηκεν; ΙΩΝ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες. ΣΩ. Τί δέ; οἱ ἄλλοι ποιηταὶ οὐ περὶ τῶν αὐτῶν τούτων; ΙΩΝ. Ναί· ἀλλ', ὦ Σώκρατες, οὐχ ὁμοίως πεποιήκασι καὶ Ὅμηρος. ΣΩ. Τί μήν; κάκιον; ΙΩΝ. Πολύ γε. ΣΩ. Ὅμηρος

δὲ ἄμεινον; ΙΩΝ. Ἄμεινον μέντοι, νὴ Δία. III. ΣΩ. Οὐκοῦν, ὦ φίλη κεφαλὴ Ἴων, ὅταν περὶ ἀριθμοῦ πολλῶν λεγόντων εἷς τις ἄριστα λέγῃ, γνώσεται δήπου τις τὸν εὖ λέγοντα; ΙΩΝ. Φημί. ΣΩ. Πότερον οὖν ὁ αὐτός, ὅσπερ καὶ τοὺς κακῶς λέγοντας, ἢ ἄλλος; ΙΩΝ. Ὁ αὐτὸς δήπου. ΣΩ. Οὐκοῦν ὁ τὴν ἀριθμητικὴν τέχνην ἔχων οὗτός ἐστι; ΙΩΝ. Ναί. ΣΩ. Τί δ'; ὅταν πολλῶν λεγόντων περὶ ὑγιεινῶν σιτίων, ὁποῖά ἐστιν, εἷς τις ἄριστα λέγῃ, πότερον ἕτερος μέν τις τὸν ἄριστα λέγοντα γνώσεται, ὅτι ἄριστα λέγει, ἕτερος δὲ τὸν κάκιον, ὅτι κάκιον, ἢ ὁ αὐτός; ΙΩΝ. Δῆλον δήπου, ὁ αὐτός. ΣΩ. Τίς οὗτος; τί ὄνομα αὐτῷ; ΙΩΝ. Ἰατρός. ΣΩ. Οὐκοῦν ἐν κεφαλαίῳ λέγομεν, ὡς ὁ αὐτὸς γνώσεται ἀεὶ περὶ τῶν αὐτῶν, πολλῶν λεγόντων, ὅστις τε εὖ λέγει καὶ ὅστις κακῶς, ἤ, εἰ μὴ γνώσεται τὸν κακῶς λέγοντα, δῆλον ὅτι οὐδὲ τὸν εὖ, περί γε τοῦ αὐτοῦ; ΙΩΝ. Οὕτως. ΣΩ. Οὐκοῦν ὁ αὐτὸς γίγνεται δεινὸς περὶ ἀμφοτέρων; ΙΩΝ. Ναί. ΣΩ. Οὐκοῦν σὺ φῂς καὶ Ὅμηρον καὶ τοὺς ἄλλους ποιητάς, ἐν οἷς καὶ Ἡσίοδος καὶ Ἀρχίλοχός ἐστι, περί γε τῶν αὐτῶν λέγειν, ἀλλ' οὐχ ὁμοίως; ἀλλὰ τὸν μὲν εὖ γε, τοὺς δὲ χεῖρον; ΙΩΝ. Καὶ ἀληθῆ λέγω. ΣΩ. Οὐκοῦν, εἴπερ τὸν εὖ λέγοντα γιγνώσκεις, καὶ τοὺς χεῖρον λέγοντας γιγνώσκοις ἂν ὅτι χεῖρον λέγουσιν; ΙΩΝ. Ἔοικέ γε. ΣΩ. Οὐκοῦν, ὦ βέλτιστε, ὁμοίως τὸν Ἴωνα λέγοντες περὶ Ὁμήρου τε δεινὸν εἶναι καὶ περὶ τῶν ἄλλων ποιητῶν οὐχ ἁμαρτησόμεθα; ἐπειδή γε αὐ-

τὸς ὁμολογεῖ, τὸν αὐτὸν ἔσεσθαι κριτὴν ἱκανὸν πάντων, ὅσοι ἂν περὶ τῶν αὐτῶν λέγωσι, τοὺς δὲ ποιητὰς σχεδὸν ἅπαντας τὰ αὐτὰ ποιεῖν. ΙΩΝ. Τί οὖν ποτε τὸ αἴτιον, ὦ Σώκρατες, ὅτι, ὅταν μέν τις περὶ ἄλλου του ποιητοῦ διαλέγηται, οὔτε προσέχω τὸν νοῦν, ἀδυνατῶ τε καὶ ὁτιοῦν ξυμβαλέσθαι λόγου ἄξιον, ἀλλ' ἀτεχνῶς νυστάζω, ἐπειδὰν δέ τις περὶ Ὁμήρου μνησθῇ, εὐθύς τε ἐγρήγορα καὶ προσέχω τὸν νοῦν καὶ εὐπορῶ ὅ τι λέγω; ΣΩ. Οὐ χαλεπὸν τοῦτό γε εἰκάσαι, ὦ ἑταῖρε, ἀλλὰ παντὶ δῆλον, ὅτι τέχνῃ καὶ ἐπιστήμῃ περὶ Ὁμήρου λέγειν ἀδύνατος εἶ· εἰ γὰρ τέχνῃ οἷός τε ἦσθα, καὶ περὶ τῶν ἄλλων ποιητῶν ἁπάντων λέγειν οἷός τ' ἂν ἦσθα· ποιητικὴ γάρ πού ἐστι τὸ ὅλον· ἢ οὔ; ΙΩΝ. Ναί. IV. ΣΩ. Οὐκοῦν ἐπειδὰν λάβῃ τις καὶ ἄλλην τέχνην ἡντινοῦν ὅλην, ὁ αὐτὸς τρόπος τῆς σκέψεως ἐστὶ περὶ ἁπασῶν τῶν τεχνῶν; πῶς τοῦτο λέγω, δέῃ τί μου ἀκοῦσαι, ὦ Ἴων; ΙΩΝ. Ναὶ μὰ τὸν Δία, ὦ Σώκρατες, ἔγωγε· χαίρω γὰρ ἀκούων ὑμῶν τῶν σοφῶν. ΣΩ. Βουλοίμην ἄν σε ἀληθῆ λέγειν, ὦ Ἴων. ἀλλὰ σοφοὶ μέν που ἐστὲ ὑμεῖς οἱ ῥαψῳδοὶ καὶ ὑποκριταὶ καὶ ὧν ὑμεῖς ᾄδετε τὰ ποιήματα· ἐγὼ δὲ οὐδὲν ἄλλο ἢ τἀληθῆ λέγω, οἷον εἰκὸς ἰδιώτην ἄνθρωπον. ἐπεὶ καὶ περὶ τούτου, οὗ νῦν ἠρόμην σε, θέασαι ὡς φαῦλον καὶ ἰδιωτικόν ἐστι καὶ παντὸς ἀνδρὸς γνῶναι, ὃ ἔλεγον τὴν αὐτὴν εἶναι σκέψιν, ἐπειδάν τις ὅλην τέχνην λάβῃ· λάβωμεν γὰρ τῷ λόγῳ. γραφικὴ γάρ τίς ἐστι τέχνη τὸ ὅλον; ΙΩΝ. Ναί. ΣΩ. Οὐκοῦν καὶ γρα-

φεῖς πολλοὶ καὶ εἰσὶ καὶ γεγόνασιν ἀγαθοὶ καὶ φαῦλοι; ΙΩΝ. Πάνυ γε. ΣΩ. Ἤδη οὖν τινα εἶδες, ὅστις περὶ μὲν Πολυγνώτου τοῦ Ἀγλαοφῶντος δεινός ἐστιν ἀποφαίνειν ἃ εὖ τε γράφει καὶ ἃ μή, περὶ δὲ τῶν ἄλλων γραφέων ἀδύνατος; καὶ ἐπειδὰν μέν τις τὰ τῶν ἄλλων ζωγράφων ἔργα ἐπιδεικνύῃ, νυστάζει τε καὶ ἀπορεῖ, καὶ οὐκ ἔχει ὅ τι ξυμβάληται, ἐπειδὰν δὲ περὶ Πολυγνώτου ἢ ἄλλου ὅτου βούλει τῶν γραφέων, ἑνὸς μόνου, δέῃ ἀποφήνασθαι γνώμην, ἐγρήγορέ τε καὶ προσέχει τὸν νοῦν, καὶ εὐπορεῖ ὅ τι εἴπῃ; ΙΩΝ. Οὐ μὰ τὸν Δία, οὐ δῆτα. ΣΩ. Τί δέ; ἐν ἀνδριαντοποιΐᾳ ἤδη τιν' εἶδες, ὅστις περὶ μὲν Δαιδάλου τοῦ Μητίωνος, ἢ Ἐπειοῦ τοῦ Πανοπέως, ἢ Θεοδώρου τοῦ Σαμίου, ἢ ἄλλου τινὸς ἀνδριαντοποιοῦ, ἑνὸς πέρι, δεινός ἐστιν ἐξηγεῖσθαι ἃ εὖ πεποίηκεν, ἐν δὲ τοῖς τῶν ἄλλων ἀνδριαντοποιῶν ἔργοις ἀπορεῖ τε καὶ νυστάζει, οὐχ ἔχων ὅ τι εἴπῃ; ΙΩΝ. Οὐ μὰ τὸν Δία οὐδὲ τοῦτον ἑώρακα. ΣΩ. Ἀλλὰ μήν, ὥς γ' ἐγὼ οἶμαι, οὐδ' ἐν αὐλήσει γε, οὐδὲ ἐν κιθαρίσει, οὐδὲ ἐν κιθαρῳδίᾳ, οὐδὲ ἐν ῥαψῳδίᾳ, οὐδεπώποτ' εἶδες ἄνδρα, ὅστις περὶ μὲν Ὀλύμπου δεινός ἐστιν ἐξηγεῖσθαι, ἢ περὶ Θαμύρου, ἢ περὶ Ὀρφέως, ἢ περὶ Φημίου τοῦ Ἰθακησίου ῥαψῳδοῦ· περὶ δὲ Ἴωνος τοῦ Ἐφεσίου ἀπορεῖ καὶ οὐκ ἔχει ξυμβάλλεσθαι, ἅ τε εὖ ῥαψῳδεῖ καὶ ἃ μή. ΙΩΝ. Οὐκ ἔχω σοι περὶ τούτου ἀντιλέγειν, ὦ Σώκρατες, ἀλλ' ἐκεῖνο ἐμαυτῷ ξύνοιδα, ὅτι περὶ Ὁμήρου κάλλιστ' ἀνθρώπων λέγω καὶ εὐπορῶ, καὶ οἱ ἄλλοι πάντες με φασὶν

εὖ λέγειν, περὶ δὲ τῶν ἄλλων, οὔ· καίτοι ὅρα, τοῦτο τί ἐστι. V. ΣΩ. Καὶ ὁρῶ, ὦ Ἴων, καὶ ἔρχομαί γέ σοι ἀποφαινόμενος, ὅ μοι δοκεῖ τοῦτο εἶναι. ἔστι γὰρ τοῦτο τέχνη μὲν, οὐκ ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν· καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥστε δύνασθαι ταυτὸν τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥστ' ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων ἤρτηται, πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοί, οὐκ ἐκ τέχνης, ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα· καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύττονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι, οὔ. καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅπερ αὐτοὶ λέγουσι. λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταί, ὅτι ἀπὸ κρηνῶν μελιρρύτων

ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν, ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ οὕτω πετόμενοι, καὶ ἀληθῆ λέγουσι. κοῦφον γὰρ χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερόν, καὶ οὐ πρότερον οἷός τε ποιεῖν πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων, καὶ ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ. ἕως δ' ἂν τουτὶ ἔχῃ τὸ κτῆμα, ἀδύνατος πᾶν ποιεῖν ἐστὶν ἄνθρωπος καὶ χρησμῳδεῖν· ἅτε οὖν οὐ τέχνῃ ποιοῦντες καὶ πολλὰ λέγουσι καὶ καλὰ περὶ τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου, ἀλλὰ θείᾳ μοίρᾳ, τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν καλῶς, ἐφ' ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησεν, ὁ μὲν διθυράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ ὑπορχήματα, ὁ δ' ἔπη, ὁ δ' ἰάμβους· τὰ δ' ἄλλα φαῦλος αὐτῶν ἕκαστός ἐστιν. οὐ γὰρ τέχνῃ ταῦτα λέγουσιν, ἀλλὰ θείᾳ δυνάμει. ἐπεὶ εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ τῶν ἄλλων ἁπάντων. διὰ ταῦτα δὲ ὁ θεός, ἐξαιρούμενος τούτων τὸν νοῦν, τούτοις χρῆται ὑπηρέταις, καὶ τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοι εἰσὶν οἱ ταῦτα λέγοντες, οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ' ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς. μέγιστον δὲ τεκμήριον τῷ λόγῳ Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώποτ' ἐποίησε ποίημα, ὅτου τις ἂν ἀξιώσειε μνησθῆναι, τὸν δὲ Παίωνα, ὃν πάντες ᾄδουσι, σχεδόν τι πάντων μελῶν κάλλιστον, ἀτεχνῶς, ὅπερ αὐτὸς λέγει, εὕρημά τι Μουσᾶν. ἐν τούτῳ γὰρ δὴ μάλιστά μοι δο-

εὖ λέγειν, περὶ δὲ τῶν ἄλλων, οὔ· καίτοι ὅρα, τοῦτο τί ἐστι. V. ΣΩ. Καὶ ὁρῶ, ὦ Ἴων, καὶ ἔρχομαί γέ σοι ἀποφαινόμενος, ὅ μοι δοκεῖ τοῦτο εἶναι. ἔστι γὰρ τοῦτο τέχνη μὲν, οὐκ ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν· καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥστε δύνασθαι ταυτὸν τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥστ' ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων ἤρτηται, πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοί, οὐκ ἐκ τέχνης, ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα· καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι, οὔ. καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅπερ αὐτοὶ λέγουσι. λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταί, ὅτι ἀπὸ κρηνῶν μελιῤῥύτων

ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ
μέλη ἡμῖν φέρουσιν, ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ
οὕτω πετόμενοι, καὶ ἀληθῆ λέγουσι. κοῦφον γὰρ
χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερόν, καὶ οὐ
πρότερον οἷός τε ποιεῖν πρὶν ἂν ἔνθεός τε γένηται
καὶ ἔκφρων, καὶ ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ. ἕως δ' ἂν
τουτὶ ἔχῃ τὸ κτῆμα, ἀδύνατος πᾶν ποιεῖν ἐστὶν ἄν-
θρωπος καὶ χρησμῳδεῖν· ἅτε οὖν οὐ τέχνῃ ποιοῦν-
τες καὶ πολλὰ λέγουσι καὶ καλὰ περὶ τῶν πραγ-
μάτων, ὥσπερ σὺ περὶ Ὁμήρου, ἀλλὰ θείᾳ μοίρᾳ
τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν καλῶς, ἐφ' ὃ ἡ
Μοῦσα αὐτὸν ὥρμησεν, ὁ μὲν διθυράμβους, ὁ δὲ
ἐγκώμια, ὁ δὲ ὑπορχήματα, ὁ δ' ἔπη, ὁ δ' ἰάμβους·
τὰ δ' ἄλλα φαῦλος αὐτῶν ἕκαστός ἐστιν. οὐ γὰρ τέ-
χνῃ ταῦτα λέγουσιν, ἀλλὰ θείᾳ δυνάμει. ἐπεὶ εἰ
περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ
τῶν ἄλλων ἁπάντων. διὰ ταῦτα δὲ ὁ θεός, ἐξαιρού-
μενος τούτων τὸν νοῦν, τούτοις χρῆται ὑπηρέταις, καὶ
τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα
ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοι εἰσὶν οἱ
ταῦτα λέγοντες, οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρ-
εστιν, ἀλλ' ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων
δὲ φθέγγεται πρὸς ἡμᾶς. μέγιστον δὲ τεκμήριον τῷ
λόγῳ Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώ-
ποτ' ἐποίησε ποίημα, ὅτου τις ἂν ἀξιώσειε μνησθῆ-
ναι, τὸν δὲ Παίωνα, ὃν πάντες ᾄδουσι, σχεδόν τι πάν-
των μελῶν κάλλιστον, ἀτεχνῶς, ὅπερ αὐτὸς λέγει, εὕ-
ρημά τι Μουσᾶν. ἐν τούτῳ γὰρ δὴ μάλιστά μοι δο-

κεῖ ὁ θεὸς ἐνδείξασθαι ἡμῖν, ἵνα μὴ διστάζωμεν, ὅτι οὐκ ἀνθρώπινά ἐστι τὰ καλὰ ταῦτα ποιήματα οὐδὲ ἀνθρώπων, ἀλλὰ θεῖα καὶ θεῶν, οἱ δὲ ποιηταὶ οὐδὲν ἄλλ' ἢ ἑρμηνεῖς εἰσὶ τῶν θεῶν, κατεχόμενοι ἐξ ὅτου ἂν ἕκαστος κατέχηται. ταῦτα ἐνδεικνύμενος ὁ θεὸς ἐξεπίτηδες διὰ τοῦ φαυλοτάτου ποιητοῦ τὸ κάλλιστον μέλος ᾖσεν. ἢ οὐ δοκῶ σοι ἀληθῆ λέγειν, ὦ Ἴων; ΙΩΝ. Ναὶ μὰ τὸν Δία, ἔμοιγε. ἅπτῃ γάρ πως μου τοῖς λόγοις τῆς ψυχῆς, ὦ Σώκρατες, καί μοι δοκοῦσι θείᾳ μοίρᾳ ἡμῖν παρὰ τῶν θεῶν ταῦτα οἱ ἀγαθοὶ ποιηταὶ ἑρμηνεύειν. VI. ΣΩ. Οὐκοῦν ὑμεῖς αὖ οἱ ῥαψῳδοὶ τὰ τῶν ποιητῶν ἑρμηνεύετε; ΙΩΝ. Καὶ τοῦτο ἀληθὲς λέγεις. ΣΩ. Οὐκοῦν ἑρμηνέων ἑρμηνεῖς γίγνεσθε; ΙΩΝ. Παντάπασί γε. ΣΩ. Ἔχε δὴ καί μοι τόδε εἰπέ, ὦ Ἴων, καὶ μὴ ἀποκρύψῃ ὅ τι ἄν σε ἔρωμαι· ὅταν εὖ εἴπῃς ἔπη, καὶ ἐκπλήξῃς μάλιστα τοὺς θεωμένους, ἢ τὸν Ὀδυσσέα ὅταν ἐπὶ τὸν οὐδὸν ἐφαλλόμενον ᾄδῃς, ἐκφανῆ γιγνόμενον τοῖς μνηστῆρσι καὶ ἐκχέοντα τοὺς ὀϊστοὺς πρὸ τῶν ποδῶν, ἢ Ἀχιλλέα ἐπὶ τὸν Ἕκτορα ὁρμῶντα, ἢ καὶ τῶν περὶ Ἀνδρομάχην ἐλεεινῶν τι ἢ περὶ Ἑκάβην ἢ περὶ Πρίαμον, τότε πότερον ἔμφρων εἶ, ἢ ἔξω σαυτοῦ γίγνῃ; καὶ παρὰ τοῖς πράγμασιν οἴεταί σου εἶναι ἡ ψυχή, οἷς λέγεις, ἐνθουσιάζουσα, ἢ ἐν Ἰθάκῃ οὖσιν ἢ ἐν Τροίᾳ ἢ ὅπως ἂν καὶ τὰ ἔπη ἔχῃ; ΙΩΝ. Ὡς ἐναργές μοι τοῦτο, ὦ Σώκρατες, τὸ τεκμήριον εἶπες· οὐ γάρ σε ἀποκρυψάμενος ἐρῶ. ἐγὼ γὰρ ὅταν ἐλεεινόν τι λέγω, δακρύων ἐμπίπλανταί μου οἱ

ὀφθαλμοί, ὅταν τε φοβερὸν ἢ δεινόν, ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ τοῦ φόβου καὶ ἡ καρδία πηδᾷ. ΣΩ. Τί οὖν φῶμεν, ὦ Ἴων; ἔμφρονα εἶναι τότε τοῦτον τὸν ἄνθρωπον, ὃς ἂν κεκοσμημένος ἐσθῆτι ποικίλῃ καὶ χρυσοῖς στεφάνοις κλαίῃ τ' ἐν θυσίαις καὶ ἑορταῖς, μηδὲν ἀπολωλεκὼς τούτων, ἢ φοβῆται, πλέον ἢ ἐν δισμυρίοις ἀνθρώποις ἑστηκὼς φιλίοις, μηδενὸς ἀποδύοντος μηδὲ ἀδικοῦντος; ΙΩΝ. Οὐ μὰ τὸν Δία οὐ πάνυ, ὦ Σώκρατες, ὥς γε τἀληθὲς εἰρῆσθαι. ΣΩ. Οἶσθα οὖν ὅτι καὶ τῶν θεατῶν τοὺς πολλοὺς ταυτὰ ταῦτα ὑμεῖς ἐργάζεσθε; ΙΩΝ. Καὶ μάλα καλῶς οἶδα. καθορῶ γὰρ ἑκάστοτε αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλαίοντάς τε καὶ δεινὸν ἐμβλέποντας. καὶ ξυνθαμβοῦντας τοῖς λεγομένοις. δεῖ γάρ με καὶ σφόδρ' αὐτοῖς τὸν νοῦν προσέχειν, ὡς ἐὰν μὲν κλαίοντας αὐτοὺς καθίσω, αὐτὸς γελάσομαι, ἀργύριον λαμβάνων, ἐὰν δὲ γελῶντας, αὐτὸς κλαύσομαι, ἀργύριον ἀπολλύς. VII. ΣΩ. Οἶσθα οὖν, ὅτι οὗτός ἐστιν ὁ θεατὴς τῶν δακτυλίων ὁ ἔσχατος, ὧν ἐγὼ ἔλεγον ὑπὸ τῆς Ἡρακλεώτιδος λίθου ἀπ' ἀλλήλων τὴν δύναμιν λαμβάνειν, ὁ δὲ μέσος σὺ ὁ ῥαψῳδὸς καὶ ὑποκριτής, ὁ δὲ πρῶτος αὐτὸς ὁ ποιητής; ὁ δὲ θεὸς διὰ πάντων τούτων ἕλκει τὴν ψυχήν, ὅποι ἂν βούληται τῶν ἀνθρώπων, ἀνακρεμαννὺς ἐξ ἀλλήλων τὴν δύναμιν, καί, ὥσπερ ἐκ τῆς λίθου ἐκείνης, ὁρμαθὸς πάμπολυς ἐξήρτηται χορευτῶν τε καὶ διδασκάλων καὶ ὑποδιδασκάλων, ἐκ πλαγίου ἐξηρτημένων, τῶν τῆς μούσης ἐκκρεμαμένων δακτυλίων; καὶ ὁ μὲν τῶν ποιητῶν

ἐξ ἄλλης Μούσης, ὁ δὲ ἐξ ἄλλης ἐξήρτηται· ὀνομάζομεν δὲ αὐτό, κατέχεται· τὸ δέ ἐστι παραπλήσιον· ἔχεται γάρ. ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι εἰσὶ καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου· οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται, ὧν σύ, ὦ Ἴων, εἷς εἶ, καὶ κατέχῃ ἐξ Ὁμήρου. καὶ ἐπειδὰν μέν τις ἄλλου του ποιητοῦ ᾄδῃ, καθεύδεις τε καὶ ἀπορεῖς ὅ τι λέγῃς, ἐπειδὰν δὲ τούτου τοῦ ποιητοῦ φθέγξηταί τις μέλος, εὐθὺς ἐγρήγορας, καὶ ὀρχεῖταί σου ἡ ψυχή, καὶ εὐπορεῖς ὅ τι λέγῃς. οὐ γὰρ τέχνῃ οὐδ' ἐπιστήμῃ περὶ Ὁμήρου λέγεις, ἃ λέγεις, ἀλλὰ θείᾳ μοίρᾳ καὶ κατακωχῇ, ὥσπερ οἱ κορυβαντιῶντες ἐκείνου μόνου αἰσθάνονται τοῦ μέλους ὀξέως, ὃ ἂν ᾖ τοῦ θεοῦ ἐξ ὅτου ἂν κατέχωνται, καὶ εἰς ἐκεῖνο τὸ μέλος καὶ σχημάτων καὶ ῥημάτων εὐποροῦσι, τῶν δὲ ἄλλων οὐ φροντίζουσιν. οὕτω καὶ σύ, ὦ Ἴων, περὶ μὲν Ὁμήρου ὅταν τις μνησθῇ, εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων ἀπορεῖς. τούτου δ' ἔστι τὸ αἴτιον, ὅ μ' ἐρωτᾷς, διότι σὺ περὶ μὲν Ὁμήρου εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων οὔ, ὅτι οὐ τέχνῃ, ἀλλὰ θείᾳ μοίρᾳ, Ὁμήρου δεινὸς εἶ ἐπαινέτης. ΙΩΝ. Σὺ μὲν εὖ λέγεις, ὦ Σώκρατες· θαυμάζοιμι μέντ' ἂν εἰ οὕτως εὖ εἴποις, ὥστε με ἀναπεῖσαι, ὡς ἐγὼ κατεχόμενος καὶ μαινόμενος Ὅμηρον ἐπαινῶ, οἶμαι δέ, οὐδ' ἂν σοι δόξαιμι, εἴ μου ἀκούσαις λέγοντος περὶ Ὁμήρου. VIII. ΣΩ. Καὶ μὴν ἐθέλω γε ἀκοῦσαι, οὐ μέντοι πρότερον πρὶν ἄν μοι ἀποκρίνῃ τόδε· ὧν

Ὅμηρος λέγει, περὶ τίνος εὖ λέγεις; οὐ γὰρ δήπου περὶ ἁπάντων γε. ΙΩΝ. Εὖ ἴσθι, ὦ Σώκρατες, οὐδὲν ὂν περὶ ὅτου οὔ. ΣΩ. Οὐ δήπου καὶ περὶ τούτων, ὧν σὺ μὲν τυγχάνεις οὐκ εἰδώς, Ὅμηρος δὲ λέγει. ΙΩΝ. Καὶ ταῦτα ποῖά ἐστιν, ἃ Ὅμηρος μὲν λέγει, ἐγὼ δὲ οὐκ οἶδα; ΣΩ. Οὐ καὶ περὶ τεχνῶν μέντοι λέγει πολλαχοῦ Ὅμηρος καὶ πολλά; οἷον καὶ περὶ ἡνιοχείας· ἐὰν μνησθῶ τὰ ἔπη ἐγώ σοι φράσω. ΙΩΝ. Ἀλλ᾽ ἐγὼ ἐρῶ· ἐγὼ γὰρ μέμνημαι. ΣΩ. Εἰπὲ δή μοι, ἃ λέγει Νέστωρ Ἀντιλόχῳ τῷ υἱεῖ, παραινῶν εὐλαβηθῆναι τὴν καμπὴν ἐν τῇ ἱπποδρομίᾳ τῇ ἐπὶ Πατρόκλῳ. ΙΩΝ.

> Κλινθῆναι δὲ (φησὶ) καὶ αὐτὸς ἐϋξέστῳ ἐνὶ δίφρῳ,
> Ἦκ᾽ ἐπ᾽ ἀριστερὰ τοῖϊν· ἀτὰρ τὸν δεξιὸν ἵππον
> Κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
> Ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
> Ὡς μή τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
> Κύκλου ποιητοῖο; λίθου δ᾽ ἀλέασθαι ἐπαυρεῖν.

ΣΩ. Ἀρκεῖ. ταῦτα δή, ὦ Ἴων, τὰ ἔπη εἴτε ὀρθῶς λέγει Ὅμηρος, εἴτε μή, πότερος ἂν γνοίη ἄμεινον, ἰατρὸς ἢ ἡνίοχος; ΙΩΝ. Ἡνίοχος δήπου. ΣΩ. Πότερον, ὅτι τέχνην ταύτην ἔχει, ἢ κατ᾽ ἄλλο τι; ΙΩΝ. Οὔκ, ἀλλ᾽ ὅτι τέχνην. ΣΩ. Οὐκοῦν ἑκάστῃ τῶν τεχνῶν ἀποδέδοταί τι ὑπὸ τοῦ θεοῦ ἔργον οἵᾳ τε εἶναι γιγνώσκειν; οὐ γάρ που, ἃ κυβερνητικῇ γιγνώσκομεν, γνωσόμεθα καὶ ἰατρικῇ. ΙΩΝ. Οὐ δῆτα. ΣΩ. Οὐδέ γε ἃ ἰατρικῇ, ταῦτα καὶ τεκτονικῇ. ΙΩΝ. Οὐ δῆτα. ΣΩ. Οὐκοῦν οὕτω καὶ κατὰ πασῶν τῶν

τεχνῶν, ἃ τῇ ἑτέρᾳ τέχνῃ γιγνώσκομεν, οὐ γνωσόμεθα τῇ ἑτέρᾳ; τόδε δέ μοι πρότερον τούτου ἀποκρίναι· τὴν μὲν ἑτέραν φῂς εἶναί τινα τέχνην, τὴν δ' ἑτέραν; ΙΩΝ. Ναί. ΣΩ. Ἆρα, ὥςπερ ἐγὼ τεκμαιρόμενος, ὅταν ἡ μὲν ἑτέρων πραγμάτων ᾖ ἐπιστήμη, ἡ δ' ἑτέρων, οὕτω καλῶ τὴν μὲν ἄλλην, τὴν δὲ ἄλλην τέχνην, οὕτω καὶ σύ; ΙΩΝ. Ναί. ΣΩ. Εἰ γάρ που τῶν αὐτῶν πραγμάτων ἐπιστήμη εἴη τις, τί ἂν τὴν μὲν, ἑτέραν φαῖμεν εἶναι, τὴν δ', ἑτέραν, ὁπότε γε ταυτὰ εἴη εἰδέναι ἀπ' ἀμφοτέρων; ὥςπερ ἐγώ τε γιγνώσκω, ὅτι πέντε εἰσὶν οὗτοι οἱ δάκτυλοι, καὶ σὺ ὥςπερ ἐγὼ περὶ τούτων ταυτὰ γιγνώσκεις· καὶ εἴ σε ἐγὼ ἐροίμην, εἰ τῇ αὐτῇ τέχνῃ γιγνώσκομεν τῇ ἀριθμητικῇ τὰ αὐτὰ ἐγώ τε καὶ σὺ ἢ ἄλλῃ; φαίης ἂν δήπου, τῇ αὐτῇ. ΙΩΝ. Ναί. IX. ΣΩ. Ὃ τοίνυν ἄρτι ἔμελλον ἐρήσεσθαί σε, νυνὶ εἰπέ, εἰ κατὰ πασῶν τῶν τεχνῶν οὕτω σοι δοκεῖ, τῇ μὲν αὐτῇ τέχνῃ τὰ αὐτὰ ἀναγκαῖον εἶναι γιγνώσκειν, τῇ δ' ἑτέρᾳ, μὴ τὰ αὐτά, ἀλλ' εἴπερ ἄλλη ἐστὶν, ἀναγκαῖον καὶ ἕτερα γιγνώσκειν. ΙΩΝ. Οὕτω μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν, ὅςτις ἂν μὴ ἔχῃ τινα τέχνην, ταύτης τῆς τέχνης τὰ λεγόμενα ἢ πραττόμενα καλῶς γιγνώσκειν οὐχ οἷός τ' ἔσται; ΙΩΝ. Ἀληθῆ λέγεις. ΣΩ. Πότερον οὖν περὶ τῶν ἐπῶν, ὧν εἶπες, εἴτε καλῶς λέγει Ὅμηρος εἴτε μή, σὺ κάλλιον γνώσῃ ἢ ἡνίοχος; ΙΩΝ. Ἡνίοχος. ΣΩ. Ῥαψῳδὸς γάρ που εἶ, ἀλλ' οὐχ ἡνίοχος. ΙΩΝ. Ναί. ΣΩ. Ἡ δὲ ῥαψῳδικὴ τέχνη ἑτέρα ἐστὶ τῆς ἡνιοχικῆς; ΙΩΝ. Ναί. ΣΩ. Εἰ ἄρα

ἑτέρα, περὶ ἑτέρων καὶ ἐπιστήμη πραγμάτων ἐστί. ΙΩΝ. Ναί. ΣΩ. Τί δὲ δή, ὅταν Ὅμηρος λέγῃ, ὡς τετρωμένῳ τῷ Μαχάονι Ἑκαμήδη ἡ Νέστορος παλλακὴ κυκεῶνα πίνειν δίδωσι; καὶ λέγει πως οὕτως· Οἴνῳ Πραμνείῳ (φησὶν) ἐπὶ δ' αἴγειον κνῆ τυρὸν Κνήστι χαλκείῃ, παρὰ δὲ κρόμυον ποτῷ ὄψον· ταῦτα εἴτε ὀρθῶς λέγει Ὅμηρος εἴτε μή, πότερον ἰατρικῆς ἐστὶ διαγνῶναι καλῶς, ἢ ῥαψῳδικῆς; ΙΩΝ. Ἰατρικῆς. ΣΩ. Τί δέ; ὅταν λέγῃ Ὅμηρος·

Ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ἵκανεν,
Ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμμεμαυῖα
Ἔρχεται, ὠμηστῇσι μετ' ἰχθύσι πῆμα φέρουσα·

ταῦτα πότερον φῶμεν ἁλιευτικῆς εἶναι τέχνης μᾶλλον κρῖναι ἢ ῥαψῳδικῆς, ἅττα λέγει, εἴτε καλῶς εἴτε μή; ΙΩΝ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι ἁλιευτικῆς. X. ΣΩ. Σκέψαι δή, σοῦ ἐρομένου, εἰ ἔροιό με, ἐπειδὴ τοίνυν, ὦ Σώκρατες, τούτων τῶν τεχνῶν ἐν Ὁμήρῳ εὑρίσκεις, ἃ προσήκει ἑκάστῃ διακρίνειν, ἴθι, μοι ἔξευρε καὶ τὰ τοῦ μάντεώς τε καὶ μαντικῆς, ποῖά ἐστιν ἃ προσήκει αὐτῷ οἵῳ τ' εἶναι διαγιγνώσκειν, εἴτε εὖ εἴτε κακῶς πεποίηται· σκέψαι, ὡς ῥᾳδίως τε καὶ ἀληθῆ ἐγώ σοι ἀποκρινοῦμαι. πολλαχοῦ μὲν γὰρ καὶ ἐν Ὀδυσσείᾳ λέγει· οἷον καὶ ἃ ὁ τῶν Μελαμποδιδῶν λέγει μάντις πρὸς τοὺς μνηστῆρας Θεοκλύμενος,

Δαιμόνιοι, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
Εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γυῖα·
Οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·
Εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ

Ἱεμένων ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
Οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.

Πολλαχοῦ δὲ καὶ ἐν Ἰλιάδι· οἷον καὶ ἐπὶ τειχομαχίᾳ· λέγει γὰρ καὶ ἐνταῦθα·

Ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν,
Αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐέργων,
Φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον,
Ζωόν, ἔτ' ἀσπαίροντα, καὶ οὔπω λήθετο χάρμης.
Κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρήν,
Ἰδνωθεὶς ὀπίσω. ὁ δ' ἀπὸ ἕθεν ἧκε χαμᾶζε,
Ἀλγήσας ὀδύνῃσι· μέσῳ δ' ἐγκάββαλ' ὁμίλῳ·
Αὐτὸς δὲ κλάγξας ἔπετο πνοιῆς ἀνέμοιο.

Ταῦτα φήσω καὶ τὰ τοιαῦτα τῷ μάντει προσήκειν καὶ σκοπεῖν καὶ κρίνειν; ΙΩΝ. Ἀληθῆ γε σὺ λέγων, ὦ Σώκρατες. ΣΩ. Καὶ σύ γε, ὦ Ἴων, ἀληθῆ ταῦτα λέγεις. ἴθι δή, καὶ σὺ ἐμοί, ὥςπερ ἐγὼ σοὶ ἐξέλεξα καὶ ἐξ Ὀδυσσείας καὶ ἐξ Ἰλιάδος, ὁποῖα τοῦ μάντεώς ἐστι, καὶ ὁποῖα τοῦ ἰατροῦ, καὶ ὁποῖα τοῦ ἁλιέως, οὕτω καὶ σὺ ἐμοὶ ἔκλεξον, ἐπειδὴ καὶ ἐμπειρότερος εἶ ἐμοῦ τῶν Ὁμήρου, ὁποῖα τοῦ ῥαψῳδοῦ ἐστιν, ὦ Ἴων, καὶ τῆς τέχνης τῆς ῥαψῳδικῆς, ἃ τῷ ῥαψῳδῷ προσήκει καὶ σκοπεῖσθαι καὶ διακρίνειν παρὰ τοὺς ἄλλους ἀνθρώπους. ΙΩΝ. Ἐγὼ μέν φημι, ὦ Σώκρατες, ἅπαντα. ΣΩ. Οὐ σύ γε ἔφης, ὦ Ἴων, ἅπαντα· ἢ οὕτως ἐπιλήσμων εἶ; καίτοι οὐκ ἂν πρέποι γε ἐπιλήσμονα εἶναι ῥαψῳδὸν ἄνδρα. ΙΩΝ. Τί δὲ δὴ ἐπιλανθάνομαι; ΣΩ. Οὐ μέμνησαι, ὅτι ἔφησθα τὴν ῥαψῳδικὴν τέχνην ἑτέραν εἶναι τῆς ἡνιοχικῆς; ΙΩΝ. Μέμνημαι.

ΣΩ. Οὐκοῦν καὶ ἑτέραν οὖσαν ἕτερα γνώσεσθαι ὡμολόγεις; ΙΩΝ. Ναί. XI. ΣΩ. Οὐκ ἄρα πάντα γε γνώσεται ἡ ῥαψῳδική, κατὰ τὸν σὸν λόγον, οὐδὲ ὁ ῥαψῳδός. ΙΩΝ. Πλήν γε ἴσως τὰ τοιαῦτα, ὦ Σώκρατες. ΣΩ. Τὰ τοιαῦτα δὲ λέγεις πλὴν τὰ τῶν ἄλλων τεχνῶν σχεδόν τι· ἀλλὰ ποῖα δὴ γνώσεται, ἐπειδὴ οὐχ ἅπαντα; ΙΩΝ. Ἃ πρέπει, οἶμαι ἔγωγε, ἀνδρὶ εἰπεῖν, καὶ ὁποῖα γυναικί, καὶ ὁποῖα δούλῳ καὶ ὁποῖα ἐλευθέρῳ, καὶ ὁποῖα ἀρχομένῳ καὶ ὁποῖα ἄρχοντι. ΣΩ. Ἆρα ὁποῖα ἄρχοντι, λέγεις, ἐν θαλάττῃ χειμαζομένου πλοίου, πρέπει εἰπεῖν, ὁ ῥαψῳδὸς γνώσεται κάλλιον ἢ ὁ κυβερνήτης; ΙΩΝ. Οὔκ, ἀλλὰ ὁ κυβερνήτης τοῦτό γε. ΣΩ. Ἀλλ' ὁποῖα ἄρχοντι κάμνοντος πρέπει εἰπεῖν, ὁ ῥαψῳδὸς γνώσεται κάλλιον ἢ ὁ ἰατρός; ΙΩΝ. Οὐδὲ τοῦτο. ΣΩ. Ἀλλ' οἷα δούλῳ πρέπει, λέγεις; ΙΩΝ. Ναί. ΣΩ. Οἷον βουκόλῳ λέγεις δούλῳ ἃ πρέπει εἰπεῖν, ἀγριαινουσῶν βοῶν παραμυθουμένῳ, ὁ ῥαψῳδὸς γνώσεται, ἀλλ' οὐχ ὁ βουκόλος; ΙΩΝ. Οὐ δῆτα. ΣΩ. Ἀλλ' οἷα γυναικὶ πρέποντα ἐστὶν εἰπεῖν ταλασιουργῷ περὶ ἐρίων ἐργασίας; ΙΩΝ. Οὔ. ΣΩ. Ἀλλ' οἷα ἀνδρὶ πρέπει εἰπεῖν, γνώσεται, στρατηγῷ, στρατιώταις παραινοῦντι; ΙΩΝ. Ναί, τὰ τοιαῦτα γνώσεται ὁ ῥαψῳδός. ΣΩ. Τί δέ; ἡ ῥαψῳδικὴ τέχνη στρατηγική ἐστι; ΙΩΝ. Γνοίην γοῦν ἄν' ἐγὼ οἷα στρατηγὸν πρέπει εἰπεῖν. ΣΩ. Ἴσως γὰρ εἶ καὶ στρατηγικός, Ἴων· καὶ γὰρ εἰ ἐτύγχανες ἱππικὸς ὢν ἅμα καὶ κιθαριστικός, ἔγνως ἂν ἵππους εὖ καὶ κακῶς ἱππαζομένους· ἀλλ'

εἴ σε ἐγὼ ἠρόμην, ποτέρᾳ δὴ τέχνῃ, ὦ Ἴων, γιγνώσκεις τοὺς εὖ ἱππαζομένους ἵππους; ᾗ ἱππεὺς εἶ ἢ ᾗ κιθαριστής; τί ἄν μοι ἀπεκρίνου; ΙΩΝ. Ἧι ἱππεύς, ἔγωγ' ἄν. ΣΩ. Οὐκοῦν, εἰ καὶ τοὺς εὖ κιθαρίζοντας διεγίγνωσκες, ὡμολόγεις ἄν, ᾗ κιθαριστὴς εἶ, ταύτῃ διαγιγνώσκειν, ἀλλ' οὐχ ᾗ ἱππεύς; ΙΩΝ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ τὰ στρατιωτικὰ γιγνώσκεις, πότερον, ᾗ στρατηγικὸς εἶ, γιγνώσκεις, ἢ ᾗ ῥαψῳδὸς ἀγαθός; ΙΩΝ. Οὐδὲν ἔμοιγε δοκεῖ διαφέρειν. ΣΩ. Πῶς οὐδὲν λέγεις διαφέρειν; μίαν λέγεις τέχνην εἶναι τὴν ῥαψῳδικὴν καὶ τὴν στρατηγικήν, ἢ δύο; ΙΩΝ. Μία ἔμοιγε δοκεῖ. ΣΩ. Ὅστις ἄρα ἀγαθὸς ῥαψῳδός ἐστιν, οὗτος καὶ ἀγαθὸς στρατηγὸς τυγχάνει ὤν. ΙΩΝ. Μάλιστα, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν καὶ ὅστις ἀγαθὸς στρατηγὸς τυγχάνει ὤν, ἀγαθὸς καὶ ῥαψῳδός ἐστιν; ΙΩΝ. Οὐκ αὖ μοι δοκεῖ τοῦτο. ΣΩ. Ἀλλ' ἐκεῖνο μὴν δοκεῖ σοι, ὅστις γε ἀγαθὸς ῥαψῳδός, καὶ στρατηγὸς ἀγαθὸς εἶναι; ΙΩΝ. Πάνυ γε. ΣΩ. Οὐκοῦν σὺ τῶν Ἑλλήνων ἄριστος ῥαψῳδὸς εἶ; ΙΩΝ. Πολύ γε, ὦ Σώκρατες. ΣΩ. Ἦ καὶ στρατηγός, ὦ Ἴων, τῶν Ἑλλήνων ἄριστος εἶ; ΙΩΝ. Εὖ ἴσθι, ὦ Σώκρατες, καὶ ταῦτά γε ἐκ τῶν Ὁμήρου μαθών. XII. ΣΩ. Τί δή ποτ' οὖν, πρὸς τῶν θεῶν, ὦ Ἴων, ἀμφότερα ἄριστος ὢν τῶν Ἑλλήνων καὶ στρατηγὸς καὶ ῥαψῳδός, ῥαψῳδεῖς μὲν περιιὼν τοῖς Ἕλλησι, στρατηγεῖς δ' οὔ; ἢ ῥαψῳδοῦ μὲν δοκεῖ σοι χρυσῷ στεφάνῳ ἐστεφανωμένου πολλὴ χρεία εἶναι τοῖς Ἕλλησι, στρατηγοῦ δὲ οὐδεμία; ΙΩΝ. Ἡ μὲν γὰρ

ἡμέτερα, ὦ Σώκρατες, πόλις ἄρχεται ὑπὸ ὑμῶν καὶ στρατηγεῖται, καὶ οὐδὲν δεῖται στρατηγοῦ, ἡ δὲ ὑμετέρα καὶ ἡ Λακεδαιμονίων οὐκ ἄν με ἕλοιτο στρατηγόν· αὐτοὶ γὰρ οἴεσθε ἱκανοί εἶναι. ΣΩ. Ὦ βέλτιστε Ἴων, Ἀπολλόδωρον οὐ γιγνώσκεις τὸν Κυζικηνόν; ΙΩΝ. Ποῖον τοῦτον; ΣΩ. Ὃν Ἀθηναῖοι πολλάκις ἑαυτῶν στρατηγὸν ᾕρηνται, ξένον ὄντα, καὶ Φανοσθένη τὸν Ἄνδριον, καὶ Ἡρακλείδην τὸν Κλαζομένιον, οὓς ἥδε ἡ πόλις ξένους ὄντας, ἐνδειξαμένους ὅτι ἄξιοι λόγου εἰσίν, καὶ εἰς στρατηγίας καὶ εἰς τὰς ἄλλας ἀρχὰς ἄγει· Ἴωνα δ' ἄρα τὸν Ἐφέσιον οὐχ αἱρήσεται στρατηγὸν καὶ τιμήσει, ἐὰν δοκῇ ἄξιος λόγου εἶναι; τί δέ; οὐκ Ἀθηναῖοι μέν ἐστε οἱ Ἐφέσιοι τὸ ἀρχαῖον, καὶ ἡ Ἔφεσος οὐδεμιᾶς ἐλάττων πόλεως; Ἀλλὰ σὺ γάρ, ὦ Ἴων, εἰ μὲν ἀληθῆ λέγεις, ὡς τέχνῃ καὶ ἐπιστήμῃ οἷός τε εἶ Ὅμηρον ἐπαινεῖν, ἀδικεῖς, ὅστις ἐμοὶ ὑποσχόμενος, ὡς πολλὰ καὶ καλὰ περὶ Ὁμήρου ἐπίστασαι, καὶ φάσκων ἐπιδείξειν, ἐξαπατᾷς με, καὶ πολλοῦ δεῖ σ' ἐπιδεῖξαι, ὅς γε οὐδέ, ἅττα ἐστι ταῦτα περὶ ὧν δεινὸς εἶ, ἐθέλεις εἰπεῖν, πάλαι ἐμοῦ λιπαροῦντος, ἀλλ' ἀτεχνῶς, ὥσπερ ὁ Πρωτεύς, παντοδαπὸς γίγνῃ, στρεφόμενος ἄνω καὶ κάτω, ἕως τελευτῶν διαφυγών με στρατηγὸς ἀνεφάνης, ἵνα μὴ ἐπιδείξῃς, ὡς δεινὸς εἶ τὴν περὶ Ὁμήρου σοφίαν. εἰ μὲν οὖν τεχνικὸς ὤν, ὅπερ νῦν δὴ ἔλεγον, περὶ Ὁμήρου ὑποσχόμενος ἐπιδείξειν ἐξαπατᾷς με, ἄδικος εἶ· εἰ δὲ μὴ τεχνικὸς εἶ, ἀλλὰ θείᾳ μοίρᾳ κατεχόμενος ἐξ Ὁμήρου, μηδὲν εἰδώς, πολλὰ καὶ καλὰ λέγεις περὶ τοῦ

ποιητοῦ, ὥσπερ ἐγὼ εἶπον περὶ σοῦ, οὐδὲν ἀδικεῖς. ἑλοῦ οὖν, πότερα βούλει νομίζεσθαι ὑπὸ ἡμῶν ἄδικος ἀνὴρ εἶναι, ἢ θεῖος. ΙΩΝ. Πολὺ διαφέρει, ὦ Σώκρατες· πολὺ γὰρ κάλλιον τὸ θεῖον νομίζεσθαι. ΣΩ. Τοῦτα τοίνυν τὸ κάλλιον ὑπάρχει σοι παρ᾽ ἡμῖν, ὦ Ἴων, θεῖον εἶναι καὶ μὴ τεχνικὸν περὶ Ὁμήρου ἐπαινέτην.

ΦΙΛΗΒΟΣ

Η

ΠΕΡΙ ΗΔΟΝΗΣ.

ΗΘΙΚΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΦΙΛΗΒΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΠΡΩΤΑΡΧΟΣ, ΦΙΛΗΒΟΣ.

Ὅρα δή, Πρώταρχε, τίνα λόγον μέλλεις παρὰ Φιλήβου δέχεσθαι νῦν, καὶ πρὸς τίνα τῶν παρ' ἡμῖν ἀμφισβητεῖν, ἂν μή σοι κατὰ νοῦν ᾖ λεγόμενος. βούλει ξυγκεφαλαιωσώμεθα ἑκάτερον; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Φίληβος μὲν τοίνυν ἀγαθὸν εἶναί φησι τὸ χαίρειν πᾶσι ζώοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν, καὶ ὅσα τοῦ γένους ἐστὶ τούτου ξύμφωνα· τὸ δὲ παρ' ἡμῶν ἀμφισβήτημά ἐστι, μὴ ταῦτα, ἀλλὰ τὸ φρονεῖν καὶ τὸ νοεῖν καὶ μεμνῆσθαι καὶ τὰ τούτων αὖ ξυγγενῆ, δόξαν τε ὀρθὴν καὶ ἀληθεῖς λογισμούς, τῆς γε ἡδονῆς ἀμείνω καὶ λῴω γίγνεσθαι ξύμπασιν, ὅσα περ αὐτῶν δυνατὰ μεταλαβεῖν· δυνατοῖς δὲ μετασχεῖν ὠφελιμώτατον ἁπάντων εἶναι, πᾶσι τοῖς οὖσί τε καὶ

ἐσομένοις, μῶν οὐχ οὕτω πως λέγομεν, ὦ Φίληβε, ἑκάτεροι; ΦΙ. Πάντων μὲν οὖν μάλιστα, ὦ Σώκρατες. ΣΩ. Δέχῃ δὴ τοῦτον τὸν νῦν διδόμενον, ὦ Πρώταρχε, λόγον; ΠΡΩ. Ἀνάγκη δέχεσθαι· Φίληβος γὰρ ἡμῖν ὁ καλὸς ἀπείρηκε. ΣΩ. Δεῖ δὴ περὶ αὐτῶν τρόπῳ παντὶ τἀληθές πῃ περανθῆναι. ΠΡΩ. Δεῖ γὰρ οὖν. II. ΣΩ. Ἴθι δή, πρὸς τούτοις διομολογησώμεθα καὶ τόδε. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς νῦν αὐτῶν ἑκάτερος ἕξιν ψυχῆς καὶ διάθεσιν ἀποφαίνειν τινὰ ἐπιχειρήσει, τὴν δυναμένην ἀνθρώποις πᾶσι τὸν βίον εὐδαίμονα παρέχειν. ἆρ' οὐχ οὕτω; ΠΡΩ. Οὕτω μὲν οὖν. ΣΩ. Οὐκοῦν ὑμεῖς μὲν τὴν τοῦ χαίρειν, ἡμεῖς δ' αὖ τὴν τοῦ φρονεῖν; ΠΡΩ. Ἔστι ταῦτα. ΣΩ. Τί δ', ἂν ἄλλη τις κρείττων τούτων φανῇ; μῶν οὐκ, ἂν μὲν ἡδονῇ μᾶλλον φαίνηται ξυγγενής, ἡττώμεθα μὲν ἀμφότεροι τοῦ ταῦτα ἔχοντος βεβαίως βίου, κρατεῖ δὲ ὁ τῆς ἡδονῆς τὸν τῆς φρονήσεως; ΠΡΩ. Ναί. ΣΩ. Ἂν δέ γε φρονήσει, νικᾷ μὲν φρόνησις τὴν ἡδονήν, ἡ δὲ ἡττᾶται; ταῦθ' οὕτως ὁμολογούμενα φατέ; ἢ πῶς; ΠΡΩ. Ἔμοιγ' οὖν δοκεῖ. ΣΩ. Τί δὲ Φιλήβῳ; τί φῄς; ΦΙ. Ἐμοὶ μὲν πάντως νικᾶν ἡδονὴ δοκεῖ καὶ δόξει, σὺ δ', ὦ Πρώταρχε, αὐτὸς γνώσῃ. ΠΡΩ. Παραδούς, ὦ Φίληβε, ἡμῖν τὸν λόγον, οὐκ ἂν ἔτι κύριος εἴης τῆς πρὸς Σωκράτη ὁμολογίας, ἢ καὶ τοὐναντίον. ΦΙ. Ἀληθῆ λέγεις. ἀλλὰ γὰρ ἀφοσιοῦμαι, καὶ μαρτύρομαι νῦν αὐτὴν τὴν θεόν. ΠΡΩ. Καὶ ἡμεῖς σοι τούτων αὐτῶν ξυμμάρτυρες ἂν εἶμεν, ὡς ταῦτα ἔλεγες ἃ λέγεις. ἀλλὰ δὴ τὰ μετὰ

ταῦτα ἑξῆς, ὦ Σώκρατες, ὅμως καὶ μετὰ Φιλήβου ἑκόντος, ἢ ὅπως ἂν ἐθέλῃ, πειρώμεθα περαίνειν.
III. ΣΩ. Πειρατέον ἀπ' αὐτῆς δὴ τῆς θεοῦ, ἣν ὅδε Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ' ἀληθέστατον αὐτῆς ὄνομα, Ἡδονὴν εἶναι. ΠΡΩ. Ὀρθότατα. ΣΩ. Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου· καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα ὡς ἔστι ποικίλον, καὶ, ὅπερ εἶπον, ἀπ' ἐκείνης ἡμᾶς ἀρχομένους ἐνθυμεῖσθαι δεῖ καὶ σκοπεῖν, ἥντινα φύσιν ἔχει. ἔστι γὰρ ἀκούειν μὲν οὕτως ἁπλῶς ἕν τι, μορφὰς δὲ δήπου παντοίας εἴληφε, καί τινα τρόπον ἀνομοίους ἀλλήλαις. ἴδε γάρ· ἥδεσθαι μὲν φαμὲν τὸν ἀκολασταίνοντα ἄνθρωπον, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν, ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα, καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν, ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν· καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πῶς ἄν τις, ὁμοίας ἀλλήλαις εἶναι λέγων, οὐκ ἀνόητος φαίνοιτ' ἂν ἐνδίκως; ΠΡΩ. Εἰσὶ μὲν γὰρ ἀπ' ἐναντίων, ὦ Σώκρατες, αὗται πραγμάτων, οὐ μὴν αὐταί γε ἀλλήλαις ἐναντίαι. πῶς γὰρ ἡδονή γε ἡδονῇ μὴ οὐχ ὁμοιότατον ἂν εἴη, τοῦτο αὐτὸ ἑαυτῷ, πάντων χρημάτων; ΣΩ. Καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτο οὐδὲν διοίσει τὸ χρῶμα εἶναι τὸ πᾶν· τό γε μὴν μέλαν τῷ λευκῷ πάντες γιγνώσκο-

ἐσομένοις, μῶν οὐχ οὕτω πως λέγομεν, ὦ Φίληβε, ἑκάτεροι; ΦΙ. Πάντων μὲν οὖν μάλιστα, ὦ Σώκρατες. ΣΩ. Δέχῃ δὴ τοῦτον τὸν νῦν διδόμενον, ὦ Πρώταρχε, λόγον; ΠΡΩ. Ἀνάγκη δέχεσθαι· Φίληβος γὰρ ἡμῖν ὁ καλὸς ἀπείρηκε. ΣΩ. Δεῖ δὴ περὶ αὐτῶν τρόπῳ παντὶ τἀληθές πῃ περανθῆναι. ΠΡΩ. Δεῖ γὰρ οὖν. II. ΣΩ. Ἴθι δή, πρὸς τούτοις διομολογησώμεθα καὶ τόδε. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς νῦν αὐτῶν ἑκάτερος ἕξιν ψυχῆς καὶ διάθεσιν ἀποφαίνειν τινὰ ἐπιχειρήσει, τὴν δυναμένην ἀνθρώποις πᾶσι τὸν βίον εὐδαίμονα παρέχειν. ἆρ' οὐχ οὕτω; ΠΡΩ. Οὕτω μὲν οὖν. ΣΩ. Οὐκοῦν ὑμεῖς μὲν τὴν τοῦ χαίρειν, ἡμεῖς δ' αὖ τὴν τοῦ φρονεῖν; ΠΡΩ. Ἔστι ταῦτα. ΣΩ. Τί δ', ἂν ἄλλη τις κρείττων τούτων φανῇ; μῶν οὐχ, ἂν μὲν ἡδονῇ μᾶλλον φαίνηται ξυγγενής, ἡττώμεθα μὲν ἀμφότεροι τοῦ ταῦτα ἔχοντος βεβαίως βίου, κρατεῖ δὲ ὁ τῆς ἡδονῆς τὸν τῆς φρονήσεως; ΠΡΩ. Ναί. ΣΩ. Ἂν δέ γε φρονήσει, νικᾷ μὲν φρόνησις τὴν ἡδονήν, ἡ δὲ ἡττᾶται; ταῦθ' οὕτως ὁμολογούμενα φατέ; ἢ πῶς; ΠΡΩ. Ἔμοιγ' οὖν δοκεῖ. ΣΩ. Τί δὲ Φιλήβῳ; τί φής; ΦΙ. Ἐμοὶ μὲν πάντως νικᾶν ἡδονὴ δοκεῖ καὶ δόξει, σὺ δ', ὦ Πρώταρχε, αὐτὸς γνώσῃ. ΠΡΩ. Παραδούς, ὦ Φίληβε, ἡμῖν τὸν λόγον, οὐκ ἂν ἔτι κύριος εἴης τῆς πρὸς Σωκράτη ὁμολογίας, ἢ καὶ τοὐναντίον. ΦΙ. Ἀληθῆ λέγεις. ἀλλὰ γὰρ ἀφοσιοῦμαι, καὶ μαρτύρομαι νῦν αὐτὴν τὴν θεόν. ΠΡΩ. Καὶ ἡμεῖς σοι τούτων αὐτῶν ξυμμάρτυρες ἂν εἶμεν, ὡς ταῦτα ἔλεγες ἃ λέγεις. ἀλλὰ δὴ τὰ μετὰ

ταῦτα ἑξῆς, ὦ Σώκρατες, ὅμως καὶ μετὰ Φιλήβου ἑκόντος, ἢ ὅπως ἂν ἐθέλῃ, πειρώμεθα περαίνειν.
III. ΣΩ. Πειρατέον ἀπ' αὐτῆς δὴ τῆς θεοῦ, ἣν ὅδε Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ' ἀληθέστατον αὐτῆς ὄνομα, Ἡδονὴν εἶναι. ΠΡΩ. Ὀρθότατα. ΣΩ. Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου· καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα ὡς ἔστι ποικίλον, καὶ, ὅπερ εἶπον, ἀπ' ἐκείνης ἡμᾶς ἀρχομένους ἐνθυμεῖσθαι δεῖ καὶ σκοπεῖν, ἥντινα φύσιν ἔχει. ἔστι γὰρ ἀκούειν μὲν οὕτως ἁπλῶς ἕν τι, μορφὰς δὲ δήπου παντοίας εἴληφε, καί τινα τρόπον ἀνομοίους ἀλλήλαις. ἴδε γάρ· ἥδεσθαι μὲν φαμὲν τὸν ἀκολασταίνοντα ἄνθρωπον, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν, ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα, καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστὸν, ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν· καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πῶς ἄν τις, ὁμοίας ἀλλήλαις εἶναι λέγων, οὐκ ἀνόητος φαίνοιτ' ἂν ἐνδίκως; ΠΡΩ. Εἰσὶ μὲν γὰρ ἀπ' ἐναντίων, ὦ Σώκρατες, αὗται πραγμάτων, οὐ μὴν αὐταί γε ἀλλήλαις ἐναντίαι. πῶς γὰρ ἡδονή γε ἡδονῇ μὴ οὐχ ὁμοιότατον ἂν εἴη, τοῦτο αὐτὸ ἑαυτῷ, πάντων χρημάτων; ΣΩ. Καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτο οὐδὲν διοίσει τὸ χρῶμα εἶναι τὸ πᾶν· τό γε μὴν μέλαν τῷ λευκῷ πάντες γιγνώσκο-

μεν ὡς πρὸς τῷ διάφορον εἶναι καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι κατὰ ταυτὸν γένει μέν ἐστι πᾶν ἕν, τὰ δὲ μέρη τοῖς μέρεσιν αὐτοῦ, τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν που τυγχάνει· καὶ πολλ' ἕτερα οὕτως ἔχονθ' εὑρήσομεν. ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. φοβοῦμαι δέ, μή τινας ἡδονὰς ἡδοναῖς εὑρήσομεν ἐναντίας. ΠΡΩ. Ἴσως· ἀλλὰ τί τοῦθ' ἡμῖν βλάψει τὸν λόγον; ΣΩ. Ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι· λέγεις γὰρ ἀγαθὰ πάντα εἶναι τὰ ἡδέα. τὸ μὲν οὖν μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα, λόγος οὐδεὶς ἀμφισβητεῖ· κακὰ δὲ ὄντα αὐτῶν τὰ πολλὰ, καὶ ἀγαθὰ δέ, ὡς ἡμεῖς φαμέν, ὅμως πάντα σὺ προσαγορεύεις ἀγαθά, αὐτὰ ὁμολογῶν ἀνόμοια εἶναι τῷ λόγῳ, εἴ τίς σε προσαναγκάζοι. τί οὖν δὴ ταυτὸν ἐν ταῖς κακαῖς ὁμοίως καὶ ἐν ἀγαθαῖς ἐνόν, πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις; ΠΡΩ. Πῶς λέγεις, ὦ Σώκρατες; οἴει γάρ τινα ξυγχωρήσεσθαι, θέμενον ἡδονὴν εἶναι τἀγαθόν, εἶτα ἀνέξεσθαί σου λέγοντος, τὰς μὲν εἶναί τινας ἡδονὰς ἀγαθάς, τὰς δέ τινας ἑτέρας αὐτῶν κακάς; ΣΩ. Ἀλλ' οὖν ἀνομοίους γε φήσεις αὐτὰς ἀλλήλαις εἶναι καί τινας ἐναντίας. ΠΡΩ. Οὔ τι, καθόσον γε ἡδοναί. ΣΩ. Πάλιν εἰς τὸν αὐτὸν φερόμεθα λόγον, ὦ Πρώταρχε. οὐδ' ἄρα ἡδονὴν ἡδονῆς διάφορον, ἀλλὰ πάσας ὁμοίας εἶναι φήσομεν, καὶ τὰ παραδείγματα ἡμᾶς δὴ τὰ νῦν λεχθέντα

οὐδὲν τιτρώσκει. πειρασόμεθα δὲ καὶ ἐροῦμεν, ἅπερ οἱ πάντων φαυλότατοί τε καὶ περὶ λόγους ἅμα νέοι. ΠΡΩ. Τὰ ποῖα δὴ λέγεις; ΣΩ. Ὅτι σὲ μιμούμενος ἐγὼ καὶ ἀμυνόμενος, ἐὰν τολμῶ λέγειν ὡς τὸ ἀνομοιότατόν ἐστι τῷ ἀνομοιοτάτῳ πάντων ὁμοιότατον, ἕξω τὰ αὐτά σοι λέγειν, καὶ φανούμεθά γε νεώτεροι τοῦ δέοντος, καὶ ὁ λόγος ἐκπεσὼν ἡμῖν οἰχήσεται. πάλιν οὖν αὐτὸν ἀνακρουώμεθα, καὶ τάχ' ἀνιόντες εἰς τὰς ὁμοίας ἴσως ἄν πως ἀλλήλοις ξυγχωρήσαιμεν. ΠΡΩ. Λέγε, πῶς; IV. ΣΩ. Ἐμὲ θὲς ὑπὸ σοῦ πάλιν ἐρωτώμενον, ὦ Πρώταρχε. ΠΡΩ. Τὸ ποῖον δή; ΣΩ. Φρόνησίς τε καὶ ἐπιστήμη καὶ νοῦς καὶ πάνθ', ὁπόσα δὴ κατ' ἀρχὰς ἐγὼ θέμενος εἶπον ἀγαθά, διερωτώμενος ὅ τί ποτέ ἐστιν τἀγαθόν, ἆρ' οὐ ταυτὸν πείσονται τοῦτο, ὅπερ ὁ σὸς λόγος; ΠΡΩ. Πῶς; ΣΩ. Πολλαί τε αἱ ξυνάπασαι ἐπιστῆμαι δόξουσιν εἶναι καὶ ἀνόμοιοί τινες αὐτῶν ἀλλήλαις· εἰ δὲ καὶ ἐναντίαι πῃ γίγνονται τινές, ἆρα ἄξιος ἂν εἴην τοῦ διαλέγεσθαι νῦν, εἰ φοβηθεὶς τοῦτο αὐτὸ, μηδεμίαν ἂν ἀνόμοιον φαίην ἐπιστήμην γίγνεσθαι, κἄπειθ' ἡμῖν οὗτος ὁ λόγος, ὥσπερ μῦθος, ἀπολόμενος οἴχοιτο, αὐτοὶ δὲ σωζοίμεθα ἐπί τινος ἀλογίας; ἀλλ' οὐ μὴν τοῦτο δεῖ γενέσθαι, πλὴν τοῦ σωθῆναι. τό γε μὴν μοι ἴσον τοῦ σοῦ τε καὶ ἐμοῦ λόγου ἀρέσκει· πολλαὶ μὲν ἡδοναὶ καὶ ἀνόμοιοι γιγνέσθων, πολλαὶ δὲ ἐπιστῆμαι καὶ διάφοροι. τὴν τοίνυν διαφορότητα, ὦ Πρώταρχε, τοῦ ἀγαθοῦ τοῦ τ' ἐμοῦ καὶ τοῦ σοῦ

μὴ ἀποκρυπτόμενοι, κατατιθέντες δὲ εἰς τὸ μέσον, τολμῶμεν, ἄν πῃ ἐλεγχόμενοι μηνύσωσι, πότερον ἡδονὴν τἀγαθὸν δεῖ λέγειν ἢ φρόνησιν ἤ τι τρίτον ἄλλο εἶναι· νῦν γὰρ οὐ δήπου πρός γε αὐτὸ τοῦτο φιλονεικοῦμεν, ὅπως, ἃ 'γὼ τίθεμαι, ταῦτ' ἔσται τὰ νικῶντα, ἢ ταῦθ' ἃ σύ· τῷ δ' ἀληθεστάτῳ δεῖ που ξυμμαχεῖν ἡμᾶς ἄμφω. ΠΡΩ. Δεῖ γὰρ οὖν. V. ΣΩ. Τοῦτον τοίνυν τὸν λόγον ἔτι μᾶλλον δι' ὁμολογίας βεβαιωσώμεθα. ΠΡΩ. Τὸν ποῖον δή; ΣΩ. Τὸν πᾶσι παρέχοντα ἀνθρώποις πράγματα ἑκοῦσί τε καὶ ἄκουσιν ἐνίοις καὶ ἐνίοτε. ΠΡΩ. Λέγε σαφέστερον. ΣΩ. Τὸν νῦν δὴ παραπεσόντα λέγω, φύσει πως πεφυκότα θαυμαστόν. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι καὶ τὸ ἓν πολλά, θαυμαστὸν λεχθὲν καὶ ῥᾴδιον ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. ΠΡΩ. Ἆρ' οὖν λέγεις, ὅταν τις ἐμὲ φῇ Πρώταρχον, ἕνα γεγονότα φύσει, πολλοὺς εἶναι, πάλιν τοὺς ἐμὲ καὶ ἐναντίους ἀλλήλοις, μέγαν καὶ σμικρόν, τιθέμενος, καὶ βαρὺν καὶ κοῦφον τὸν αὐτόν, καὶ ἄλλα μυρία; ΣΩ. Σὺ μέν, ὦ Πρώταρχε, εἴρηκας τὰ δεδημευμένα τῶν θαυμαστῶν περὶ τὸ ἓν καὶ πολλά, ξυγκεχωρημένα δέ, ὡς ἔπος εἰπεῖν, ὑπὸ πάντων ἤδη, μὴ δεῖν τῶν τοιούτων ἅπτεσθαι, παιδαριώδη καὶ ῥᾴδια, καὶ σφόδρα τοῖς λόγοις ἐμπόδια ὑπολαμβανόντων γίγνεσθαι. ἐπεὶ μηδὲ τὰ τοιάδε, ὅταν τις ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελὼν τῷ λόγῳ, πάντα ταῦτα τὸ ἓν ἐκεῖνο εἶναι διομολογησάμενον ἐλέγχῃ καταγελῶν, ὅτι τέ-

ρατα διηνάγκασται φάναι, τό τε ἓν ὡς πολλά ἐστι καὶ ἄπειρα, καὶ τὰ πολλὰ ὡς ἓν μόνον. ΠΡΩ. Σὺ δὲ δὴ ποῖα ἕτερα, ὦ Σώκρατες, λέγεις, ἃ μήπω ξυγκεχωρημένα δεδήμευται περὶ τὸν αὐτὸν τοῦτον λόγον; ΣΩ. Ὁπόταν, ὦ παῖ, τὸ ἓν μὴ τῶν γιγνομένων τε καὶ ἀπολλυμένων τις τιθῆται, καθάπερ ἀρτίως ἡμεῖς εἴπομεν· ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅπερ εἴπομεν νῦν δή, ξυγκεχώρηται, τὸ μὴ δεῖν ἐλέγχειν. ὅταν δέ τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα, καὶ τὸ καλὸν ἓν καὶ τἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων ἡ πολλὴ σπουδή, μετὰ διαιρέσεως ἀμφισβήτησις γίγνεται. ΠΡΩ. Πῶς; ΣΩ. Πρῶτον μέν, εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν, ἀληθῶς οὔσας, εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην, οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότητα μίαν ταύτην, μετὰ δὲ τοῦτ', ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἴθ' ὅλην αὐτὴν αὑτῆς χωρίς· ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ' ἄν, ταυτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς γίγνεσθαι. ταῦτ' ἔστι τὰ περὶ τὰ τοιαῦτα ἓν καὶ πολλά, ἀλλ' οὐκ ἐκεῖνα, ὦ Πρώταρχε, ἁπάσης ἀπορίας αἴτια, μὴ καλῶς ὁμολογηθέντα, καὶ εὐπορίας ἂν αὖ, καλῶς. ΠΡΩ. Οὐκοῦν χρή που τοῦθ' ἡμᾶς, ὦ Σώκρατες, ἐν τῷ νῦν πρῶτον διαπονήσασθαι; ΣΩ. Ὡς γοῦν ἐγὼ φαίην ἄν. ΠΡΩ. Καὶ πάντας τοίνυν ἡμᾶς ὑπόλαβε ξυγχωρεῖν σοι

μὴ ἀποκρυπτόμενοι, κατατιθέντες δὲ εἰς τὸ μέσον, τολμῶμεν, ἄν πῃ ἐλεγχόμενοι μηνύσωσι, πότερον ἡδονὴν τἀγαθὸν δεῖ λέγειν ἢ φρόνησιν ἤ τι τρίτον ἄλλο εἶναι· νῦν γὰρ οὐ δήπου πρός γε αὐτὸ τοῦτο φιλονεικοῦμεν, ὅπως, ἃ 'γὼ τίθεμαι, ταῦτ' ἔσται τὰ νικῶντα, ἢ ταῦθ' ἃ σύ· τῷ δ' ἀληθεστάτῳ δεῖ που ξυμμαχεῖν ἡμᾶς ἄμφω. ΠΡΩ. Δεῖ γὰρ οὖν. V. ΣΩ. Τοῦτον τοίνυν τὸν λόγον ἔτι μᾶλλον δι' ὁμολογίας βεβαιωσώμεθα. ΠΡΩ. Τὸν ποῖον δή; ΣΩ. Τὸν πᾶσι παρέχοντα ἀνθρώποις πράγματα ἑκοῦσί τε καὶ ἄκουσιν ἐνίοις καὶ ἐνίοτε. ΠΡΩ. Λέγε σαφέστερον. ΣΩ. Τὸν νῦν δὴ παραπεσόντα λέγω, φύσει πως πεφυκότα θαυμαστόν. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι καὶ τὸ ἓν πολλά, θαυμαστὸν λεχθὲν καὶ ῥᾴδιον ἂν ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. ΠΡΩ. Ἆρ' οὖν λέγεις, ὅταν τὶς ἐμὲ φῇ Πρώταρχον, ἕνα γεγονότα φύσει, πολλοὺς εἶναι, πάλιν τοὺς ἐμὲ καὶ ἐναντίους ἀλλήλοις, μέγαν καὶ σμικρόν, τιθέμενος, καὶ βαρὺν καὶ κοῦφον τὸν αὐτόν, καὶ ἄλλα μυρία; ΣΩ. Σὺ μέν, ὦ Πρώταρχε, εἴρηκας τὰ δεδημευμένα τῶν θαυμαστῶν περὶ τὸ ἓν καὶ πολλά, ξυγκεχωρημένα δέ, ὡς ἔπος εἰπεῖν, ὑπὸ πάντων ἤδη, μὴ δεῖν τῶν τοιούτων ἅπτεσθαι, παιδαριώδη καὶ ῥᾴδια, καὶ σφόδρα τοῖς λόγοις ἐμπόδια ὑπολαμβανόντων γίγνεσθαι. ἐπεὶ μηδὲ τὰ τοιάδε, ὅταν τις ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελὼν τῷ λόγῳ, πάντα ταῦτα τὸ ἓν ἐκεῖνο εἶναι διομολογησάμενον ἐλέγχῃ καταγελῶν, ὅτι τέ-

ρατα διηνάγκασται φάναι, τό τε ἓν ὡς πολλά ἐστι καὶ ἄπειρα, καὶ τὰ πολλὰ ὡς ἓν μόνον. ΠΡΩ. Σὺ δὲ δὴ ποῖα ἕτερα, ὦ Σώκρατες, λέγεις, ἃ μήπω ξυγκεχωρημένα δεδήμευται περὶ τὸν αὐτὸν τοῦτον λόγον; ΣΩ. Ὁπόταν, ὦ παῖ, τὸ ἓν μὴ τῶν γιγνομένων τε καὶ ἀπολλυμένων τις τιθῆται, καθάπερ ἀρτίως ἡμεῖς εἴπομεν· ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅπερ εἴπομεν νῦν δή, ξυγκεχώρηται, τὸ μὴ δεῖν ἐλέγχειν. ὅταν δέ τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα, καὶ τὸ καλὸν ἓν καὶ τἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων ἡ πολλὴ σπουδή, μετὰ διαιρέσεως ἀμφισβήτησις γίγνεται. ΠΡΩ. Πῶς; ΣΩ. Πρῶτον μέν, εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν, ἀληθῶς οὔσας, εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην, οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότητα μίαν ταύτην, μετὰ δὲ τοῦτ', ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἴθ' ὅλην αὐτὴν αὑτῆς χωρίς· ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ' ἄν, ταυτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς γίγνεσθαι. ταῦτ' ἔστι τὰ περὶ τὰ τοιαῦτα ἓν καὶ πολλά, ἀλλ' οὐκ ἐκεῖνα, ὦ Πρώταρχε, ἁπάσης ἀπορίας αἴτια, μὴ καλῶς ὁμολογηθέντα, καὶ εὐπορίας ἂν αὖ, καλῶς. ΠΡΩ. Οὐκοῦν χρὴ πού τοῦθ' ἡμᾶς, ὦ Σώκρατες, ἐν τῷ νῦν πρῶτον διαπονήσασθαι; ΣΩ. Ὡς γοῦν ἐγὼ φαίην ἄν. ΠΡΩ. Καὶ πάντας τοίνυν ἡμᾶς ὑπόλαβε ξυγχωρεῖν σοι

τούςδε τὰ τοιαῦτα, Φίληβον δ' ἴσως κράτιστον ἐν τῷ νῦν ἐπερωτῶντα μὴ κινεῖν εὖ κείμενον. VI. ΣΩ. Εἶεν. πόθεν οὖν ἄν τις ταύτης ἄρξηται πολλῆς οὔσης καὶ παντοίας περὶ τὰ ἀμφισβητούμενα μάχης; ἆρ' ἐνθένδε; ΠΡΩ. Πόθεν; ΣΩ. Φαμέν που ταυτὸν ἓν καὶ πολλὰ ὑπὸ λόγων γιγνόμενα περιτρέχειν πάντη καθ' ἕκαστον τῶν λεγομένων ἀεὶ καὶ πάλαι καὶ νῦν, καὶ τοῦτο οὔτε μὴ παύσηταί ποτε, οὔτε ἤρξατο νῦν, ἀλλ' ἔστι τὸ τοιοῦτον, ὡς ἐμοὶ φαίνεται, τῶν λόγων αὐτῶν ἀθάνατόν τι καὶ ἀγήρων πάθος ἐν ἡμῖν. ὁ δὲ πρῶτον αὐτοῦ γευσάμενος ἑκάστοτε τῶν νέων, ἡσθεὶς ὥς τινα σοφίας εὑρηκὼς θησαυρόν, ὑφ' ἡδονῆς ἐνθουσιᾷ τε καὶ πάντα κινεῖ λόγον ἄσμενος, τοτὲ μὲν ἐπὶ θάτερα κυκλῶν καὶ ξυμφύρων εἰς ἕν, τοτὲ δὲ πάλιν ἀνελίττων καὶ διαμερίζων, εἰς ἀπορίαν αὑτὸν μὲν πρῶτον καὶ μάλιστα καταβάλλων, δεύτερον δ' ἀεὶ τὸν ἐχόμενον, ἄν τε νεώτερος ἄν τε πρεσβύτερος ἄν τε ἧλιξ ὢν τυγχάνῃ, φειδόμενος οὔτε πατρὸς οὔτε μητρὸς οὔτε ἄλλου τῶν ἀκουόντων οὐδενός, ὀλίγου δὲ καὶ τῶν ἄλλων ζώων, οὐ μόνον τῶν ἀνθρώπων· ἐπεὶ βαρβάρων γε οὐδενὸς ἂν φείσαιτο, εἴπερ ἑρμηνέα μόνον ποθὲν ἔχοι. ΠΡΩ. Ἆρ', ὦ Σώκρατες, οὐχ ὁρᾷς ἡμῶν τὸ πλῆθος, ὅτι νέοι πάντες ἐσμέν, καὶ οὐ φοβῇ μή σοι μετὰ Φιλήβου ξυνεπιθώμεθα, ἐὰν ἡμᾶς λοιδορῇς; ὅμως δὲ — μανθάνομεν γὰρ ὃ λέγεις — εἴ τις τρόπος ἐστὶ καὶ μηχανή, τὴν μὲν τοιαύτην ταραχὴν ἡμῖν ἔξω τοῦ λόγου εὐμενῶς πως ἀπελ-

θεῖν, ὁδὸν δέ τινα καλλίω ταύτης ἐπὶ τὸν λόγον ἀνευρεῖν, σύ τε προθυμοῦ τοῦτο καὶ ἡμεῖς ξυνακολουθήσομεν εἰς δύναμιν· οὐ γὰρ σμικρὸς ὁ παρὼν λόγος, ὦ Σώκρατες. ΣΩ. Οὐ γὰρ οὖν, ὦ παῖδες, ὥς φησιν ὑμᾶς προσαγορεύων Φίληβος, οὐ μὴν ἔστι καλλίων ὁδὸς οὐδ' ἂν γίγνοιτο, ἧς ἐγὼ ἐραστὴς μέν εἰμι ἀεί, πολλάκις δέ με ἤδη διαφυγοῦσα ἔρημον καὶ ἄπορον κατέστησε. ΠΡΩ. Τίς αὕτη; λεγέσθω μόνον. ΣΩ. Ἣν δηλῶσαι μὲν οὐ πάνυ χαλεπὸν, χρῆσθαι δὲ παγχάλεπον· πάντα γὰρ, ὅσα τέχνης ἐχόμενα ἂν εὑρεθῇ πώποτε, διὰ ταύτης φανερὰ γέγονε. σκόπει δὲ ἣν λέγω. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὥς γε καταφαίνεται, ἐμοὶ ποθὲν ἐκ θεῶν ἐῤῥίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί· καὶ οἱ μὲν παλαιοὶ, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην τὴν φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ πολλῶν, ὄντων τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων· δεῖν οὖν ἡμᾶς, τούτων οὕτω διακεκοσμημένων, ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν· εὑρήσειν γὰρ ἐνοῦσαν· ἐὰν οὖν καταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσί, σκοπεῖν, εἰ δὲ μή, τρεῖς ἤ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων ἕκαστον πάλιν ὡσαύτως, μέχρι περ ἂν τὸ κατ' ἀρχὰς ἓν μὴ, ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι, μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα· τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ προσφέρειν, πρὶν ἄν τις τὸν ἀριθμὸν αὐτοῦ

πάντα κατίδῃ, τὸν μεταξὺ τοῦ ἀπείρου τε καὶ τοῦ ἑνός· τότε δ' ἤδη τὸ ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν. οἱ μὲν οὖν θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους· οἱ δὲ νῦν τῶν ἀνθρώπων σοφοὶ ἓν μέν, ὅπως ἂν τύχωσι, καὶ πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ τὸ ἓν ἄπειρα εὐθύς, τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει, οἷς διακεχώρισται τό, τε διαλεκτικῶς πάλιν καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους. VII. ΠΡΩ. Τὰ μέν πως, ὦ Σώκρατες, δοκῶ σου μανθάνειν, τὰ δὲ ἔτι δέομαι σαφέστερον, ἃ λέγεις, ἀκοῦσαι. ΣΩ. Σαφὲς μήν, ὦ Πρώταρχε, ἐστὶν ἐν τοῖς γράμμασιν, ὃ λέγω, καὶ λάμβανε αὐτὸ ἐν τούτοις, οἷςπερ καὶ πεπαίδευσαι. ΠΡΩ. Πῶς; ΣΩ. Φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα καὶ ἄπειρος αὖ πλήθει, πάντων τε καὶ ἑκάστου. ΠΡΩ. Τί μήν; ΣΩ. Καὶ οὐδὲν ἑτέρῳ γε τούτων ἐσμέν πω σοφοί, οὔτε ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν οὔτε ὅτι τὸ ἕν, ἀλλ' ὅτι, πόσα τέ ἐστι καὶ ὁποῖα, τοῦτ' ἔστι τὸ γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Καὶ μὴν καὶ τὸν μουσικὸν ὃ τυγχάνει ποιοῦν, τοῦτ' ἔστι ταυτόν. ΠΡΩ. Πῶς; ΣΩ. Φωνὴ μέν που καὶ τὸ κατ' ἐκείνην τὴν τέχνην ἐστὶ μία ἐν αὐτῇ. ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Δύο δὲ θῶμεν, βαρὺ καὶ ὀξύ, καὶ τρίτον ὁμότονον, ἢ πῶς; ΠΡΩ. Οὕτως. ΣΩ. Ἀλλ' οὔπω σοφὸς ἂν εἴης τὴν μουσικήν, εἰδὼς ταῦτα μόνα,

μὴ εἰδὼς δὲ, ὡς γ᾽ ἔπος εἰπεῖν, εἰς ταῦτα οὐδενὸς ἄξιος ἔσῃ. ΠΡΩ. Οὐ γὰρ οὖν. ΣΩ. Ἀλλ᾽, ὦ φίλε, ἐπειδὰν λάβῃς τὰ διαστήματα ὁπόσα ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς, ὀξύτητός τε πέρι καὶ βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων, καὶ τὰ ἐκ τούτων ὅσα ξυστήματα γέγονεν· — ἃ κατιδόντες οἱ πρόσθεν παρέδοσαν ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις, καλεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δὴ δι᾽ ἀριθμῶν μετρηθέντα, δεῖν αὖ τά φασι ῥυθμοὺς καὶ μέτρα ἐπονομάζειν, καὶ ἅμα ἐννοεῖν, ὡς οὕτω δεῖ περὶ παντὸς ἑνὸς καὶ πολλῶν σκοπεῖν· — ὅταν γὰρ ταῦτά τε λάβῃς οὕτω, τότε ἐγένου σοφός, ὅταν δὲ ἄλλο τῶν ὄντων ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τοῦτο γέγονας. τὸ δ᾽ ἄπειρόν σε ἑκάστων καὶ ἐν ἑκάστοις πλῆθος ἄπειρον ἑκάστοτε ποιεῖ τοῦ φρονεῖν, καὶ οὐκ ἐλλόγιμον οὐδ᾽ ἐνάριθμον, ἅτ᾽ οὐκ εἰς ἀριθμὸν οὐδένα ἐν οὐδενὶ πώποτε ἀπιδόντα. VIII. ΠΡΩ. Κάλλιστα, ὦ Φίληβε, ἔμοιγε τὰ νῦν λεγόμενα εἰρηκέναι φαίνεται Σωκράτης. ΦΙ. Καὶ ἐμοὶ ταῦτά γε αὐτά. ἀλλὰ τί δήποτε πρὸς ἡμᾶς ὁ λόγος οὗτος νῦν εἴρηται; καὶ τί ποτε βουλόμενος; ΣΩ. Ὀρθῶς μέντοι τοῦθ᾽ ἡμᾶς, ὦ Πρώταρχε, ἠρώτηκε Φίληβος. ΠΡΩ. Πάνυ μὲν οὖν· καὶ ἀποκρίνου γε αὐτῷ. ΣΩ. Δράσω ταῦτα, διελθὼν σμικρὸν ἔτι περὶ αὐτῶν τούτων. ὥσπερ γὰρ ἓν ὁτιοῦν εἴ τίς ποτε λάβοι, τοῦτον, ὥς φαμέν, οὐκ ἐπ᾽ ἀπείρου δεῖ φύσιν βλέπειν

εὐθὺς, ἀλλ᾽ ἐπί τινα ἀριθμόν, οὕτω καὶ τοὐναντίον, ὅταν τις τὸ ἄπειρον ἀναγκασθῇ πρῶτον λαμβάνειν, μὴ ἐπὶ τὸ ἓν εὐθύς, ἀλλ᾽ ἐπ᾽ ἀριθμὸν αὖ τινα πλῆθος ἕκαστον ἔχοντά τι κατανοεῖν, τελευτᾷν τε ἐκ πάντων εἰς ἕν. πάλιν δὲ ἐν τοῖς γράμμασι τὸ νῦν λεγόμενον λάβωμεν. ΠΡΩ. Πῶς; ΣΩ. Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τις θεὸς εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς λόγος, ἐν Αἰγύπτῳ Θεῦθ τινὰ τοῦτον γενέσθαι λέγων, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν οὐχ ἓν ὄντα ἀλλὰ πλείω, καὶ πάλιν ἕτερα φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντα τινός, ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι, τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο, τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν· τὸ μετὰ τοῦτο διῄρει τά τε ἄφθογγα καὶ ἄφωνα, μέχρι ἑνὸς ἑκάστου, καὶ τὰ φωνήεντα καὶ τὰ μέσα, κατὰ τὸν αὐτὸν τρόπον, ἕως αὐτῶν ἀριθμὸν λαβὼν ἑνί τε ἑκάστῳ καὶ ξύμπασι στοιχεῖον ἐπωνόμασε· καθορῶν δέ, ὡς οὐδεὶς ἡμῶν οὐδ᾽ ἂν ἓν αὐτὸ καθ᾽ αὑτὸ ἄνευ πάντων αὐτῶν μάθοι, τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος, ὡς ὄντα ἕνα καὶ ταῦτα πάντα ἕν πως ποιοῦντα, μίαν ἐπ᾽ αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών. ΦΙ. Ταῦτ᾽ ἔτι σαφέστερον ἐκείνων αὐτά τε καὶ πρὸς ἄλληλα, ὦ Πρώταρχε, ἔμαθον· τὸ δ᾽ αὐτό μοι τοῦ λόγου νῦν τε καὶ σμικρὸν ἔμπροσθεν ἐλλείπεται. ΣΩ. Μῶν, ὦ Φίληβε, τό, τί πρὸς ἔπος αὖ ταῦτ᾽ ἐστι; ΦΙ. Ναί, τοῦτ᾽ ἔστιν ὃ πάλαι ζητοῦμεν ἐγώ τε καὶ Πρώταρχος. ΣΩ. Π

μὴν ἐπ' αὐτῷ γε ἤδη γεγονότες ἐζητεῖτε, ὡς φῄς, πάλαι; ΦΙ. Πῶς; IX. ΣΩ. Ἆρ' οὐ περὶ φρονήσεως ἦν καὶ ἡδονῆς ἡμῖν ἐξ ἀρχῆς ὁ λόγος, ὁπότερον αὐτοῖν αἱρετέον; ΦΙ. Πῶς γὰρ οὔ; ΣΩ. Καὶ μὴν ἕν γε ἑκάτερον αὐτοῖν εἶναι φαμέν. ΦΙ. Πάνυ μὲν οὖν. ΣΩ. Τοῦτ' αὐτὸ τοίνυν ἡμᾶς ὁ πρόσθεν λόγος ἀπαιτεῖ, πῶς ἔστιν ἓν καὶ πολλὰ αὐτῶν ἑκάτερον, καὶ πῶς μὴ ἄπειρα εὐθύς, ἀλλά τινά ποτε ἀριθμὸν ἑκάτερον ἔμπροσθεν κέκτηται, τοῦ ἄπειρα αὐτῶν ἕκαστα γεγονέναι; ΠΡΩ. Οὐκ εἰς φαῦλόν γε ἐρώτημα, ὦ Φίληβε, οὐκ οἶδ' ὅντινα τρόπον κύκλῳ πως περιαγαγὼν ἡμᾶς ἐμβέβληκε Σωκράτης, καὶ σκόπει δή, πότερος ἡμῶν ἀποκρινεῖται τὸ νῦν ἐρωτώμενον. ἴσως δὴ γελοῖον τὸ ἐμὲ τοῦ λόγου διάδοχον, παντελῶς ὑποστάντα, διὰ τὸ μὴ δύνασθαι τὸ νῦν ἐρωτηθὲν ἀποκρίνασθαι, σοὶ πάλιν τοῦτο προστάττειν, γελοιότερον δ' οἶμαι πολὺ τὸ μηδέτερον ἡμῶν δύνασθαι. σκόπει δή, τί δράσομεν. εἴδη γάρ μοι δοκεῖ νῦν ἐρωτᾷν ἡδονῆς ἡμᾶς Σωκράτης εἴτ' ἔστιν εἴτε μή, καὶ ὁπόσα ἐστι, καὶ ὁποῖα, τῆς τ' αὖ φρονήσεώς περι κατὰ τὰ αὐτὰ ὡσαύτως. ΣΩ. Ἀληθέστατα λέγεις, ὦ παῖ Καλλίου. μὴ γὰρ δυνάμενοι τοῦτο κατὰ παντὸς ἑνὸς καὶ ὁμοίου καὶ ταυτοῦ δρᾷν, καὶ τοῦ ἐναντίου, ὡς ὁ παρελθὼν λόγος ἐμήνυσεν, οὐδεὶς εἰς οὐδὲν οὐδενὸς ἂν ἡμῶν οὐδέποτε γένοιτο ἄξιος. ΠΡΩ. Σχεδὸν ἔοικεν οὕτως, ὦ Σώκρατες, ἔχειν. ἀλλὰ καλὸν μὲν τὸ ξύμπαντα γιγνώσκειν τῷ σώφρονι, δεύτερος δ' εἶναι πλοῦς δο-

κεῖ, μὴ λανθάνειν αὐτὸν αὐτόν. τί δή μοι τοῦτο εἴρηται τανῦν, ἐγώ σοι φράσω. σὺ τήνδε ἡμῖν τὴν ξυνουσίαν, ὦ Σώκρατες, ἐπέδωκας πᾶσι καὶ σαυτόν, πρὸς τὸ διελέσθαι, τί τῶν ἀνθρωπίνων κτημάτων ἄριστον. Φιλήβου γὰρ εἰπόντος ἡδονὴν καὶ τέρψιν καὶ χαρὰν καὶ πάνθ᾽ ὁπόσα τοιαῦτά ἐστι, σὺ πρὸς αὐτὰ ἀντεῖπες, ὡς οὐ ταῦτα, ἀλλ᾽ ἐκεῖνά ἐστιν, ἃ πολλάκις ἡμᾶς αὐτοὺς ἀναμιμνήσκομεν ἑκόντες, ὀρθῶς δρῶντες, ἵν᾽ ἐν μνήμῃ παρακείμενα ἑκάτερα βασανίζηται. φῂς δ᾽, ὡς ἔοικε, σὺ τὸ προσρηθησόμενον ὀρθῶς ἄμεινον ἡδονῆς γε ἀγαθὸν εἶναι, νοῦν, ἐπιστήμην, ξύνεσιν, τέχνην, καὶ πάντα αὖ τὰ τούτων ξυγγενῆ κτᾶσθαι δεῖν, ἀλλ᾽ οὐχὶ ἐκεῖνα· τούτων δὴ μετ᾽ ἀμφισβητήσεως ἑκατέρων λεχθέντων, ἡμεῖς σοι μετὰ παιδιᾶς ἠπειλήσαμεν, ὡς οὐκ ἀφήσομεν οἴκαδέ σε, πρὶν ἂν τούτων τῶν λόγων πέρας ἱκανὸν γένηταί τι διορισθέντων, σὺ δὲ ξυνεχώρησας καὶ ἔδωκας εἰς ταῦθ᾽ ἡμῖν σαυτόν. ἡμεῖς δὲ δὴ λέγομεν, καθάπερ οἱ παῖδες, ὅτι τῶν ὀρθῶς δοθέντων ἀφαίρεσις οὐκ ἔστι· παῦσαι δὴ τὸν τρόπον ἡμῖν ἀπαντῶν τοῦτον ἐπὶ τὰ νῦν λεγόμενα. ΣΩ. Τίνα λέγεις; ΠΡΩ. Εἰς ἀπορίαν ἐμβάλλων, καὶ ἀνερωτῶν, ὧν μὴ δυναίμεθ᾽ ἂν ἱκανὴν ἀπόκρισιν ἐν τῷ παρόντι διδόναι σοι. μὴ γὰρ οἰώμεθα τέλος ἡμῖν εἶναι τῶν νῦν, τὴν πάντων ἡμῶν ἀπορίαν, ἀλλ᾽, εἰ δρᾶν τοῦθ᾽ ἡμεῖς ἀδυνατοῦμεν, σοὶ δραστέον· ὑπέσχου γάρ. βουλεύου δὴ πρὸς ταῦτα αὐτός, πότερον ἡδονῆς εἴδη σοι καὶ ἐπιστήμης διαιρετέον, ἢ καὶ

ἐατέον, εἴ πῃ καθ᾽ ἕτερόν τινα τρόπον οἷός τ᾽ εἶ καὶ βούλει δηλῶσαί πως ἄλλως τὰ νῦν ἀμφισβητούμενα παρ᾽ ἡμῖν. ΣΩ. Δεινὸν μὲν τοίνυν ἔτι προσδοκᾷν οὐδὲν δεῖ τὸν ἐμέ, ἐπειδὴ τοῦθ᾽ οὕτως εἶπες· τὸ γὰρ, εἰ βούλει, ῥηθὲν λύει πάντα φόβον ἑκάστων πέρι. πρὸς δὲ αὖ τούτοις μνήμην τινὰ δοκεῖ τίς μοι δεδωκέναι θεῶν ἡμῖν. ΠΡΩ. Πῶς δή, καὶ τίνων; X. ΣΩ. Λόγων ποτέ τινων πάλαι ἀκούσας, ὄναρ ἢ καὶ ἐγρηγορώς, νῦν ἐννοῶ περί τε ἡδονῆς καὶ φρονήσεως, ὡς οὐδέτερον αὐτοῖν ἐστὶν ἀγαθὸν, ἀλλ᾽ ἄλλο τι τρίτον, ἕτερον μὲν τούτων, ἄμεινον δὲ ἀμφοῖν. καίτοι τοῦτο ἐὰν ἐναργῶς ἡμῖν φανῇ νῦν, ἀπήλλακται μὲν ἡδονὴ τοῦ νικᾷν. τὸ γὰρ ἀγαθὸν οὐκ ἂν ἔτι ταυτὸν αὐτῇ γίγνηται· ἢ πῶς; ΠΡΩ. Οὕτω. ΣΩ. Τῶν δέ γε εἰς τὴν διαίρεσιν εἰδῶν ἡδονῆς οὐδὲν ἔτι προσδεησόμεθα, κατ᾽ ἐμὴν δόξαν· προϊὼν δ᾽ ἔτι ὁ λόγος σαφέστερον δείξει. ΠΡΩ. Κάλλιστα εἰπὼν οὕτω καὶ διαπέραινε. ΣΩ. Σμικρὰ ἄττα τοίνυν ἔμπροσθεν ἔτι διομολογησώμεθα. ΠΣΩ. Τὰ ποῖα; ΣΩ. Τὴν τἀγαθοῦ μοῖραν πότερον ἀνάγκη τέλεον ἢ μὴ τέλεον εἶναι; ΠΡΩ. Πάντων δήπου τελεώτατον, ὦ Σώκρατες. ΣΩ. Τί δέ; ἱκανὸν τἀγαθόν; ΠΡΩ. Πῶς γὰρ οὔ; καὶ πάντων γε εἰς τοῦτο διαφέρει τῶν ὄντων. ΣΩ. Τὸ δέ γε μὴν, ὡς οἶμαι, περὶ αὐτοῦ ἀναγκαιότατον εἶναι λέγειν, ὡς πᾶν τὸ γιγνῶσκον αὐτὸ θηρεύει καὶ ἐφίεται βουλόμενον ἑλεῖν καὶ περὶ αὑτὸ κτήσασθαι, καὶ τῶν ἄλλων οὐδὲν φροντίζει, πλὴν τῶν ἀποτε-

λουμένων ἅμα ἀγαθοῖς. ΠΡΩ. Οὐκ ἔστι τούτοις ἀντειπεῖν. ΣΩ. Σκοπῶμεν δὴ καὶ κρίνωμεν τόν τε ἡδονῆς καὶ τὸν φρονήσεως βίον, ἰδόντες χωρίς. ΠΡΩ. Πῶς εἶπες; ΣΩ. Μήτε ἐν τῷ τῆς ἡδονῆς ἐνέστω φρόνησις, μήτε ἐν τῷ τῆς φρονήσεως ἡδονή. δεῖ γὰρ, εἴπερ ὁπότερον αὐτῶν ἔστ' ἀγαθὸν, μηδενὸς μηδὲν ἔτι προςδεῖσθαι· δεόμενον δ' ἂν φανῇ ὁπότερον, οὐκ ἔστι που τοῦτ' ἔτι τὸ ὄντως ἡμῖν ἀγαθόν. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐκοῦν ἐν σοὶ πειρώμεθα βασανίζοντες ταῦτα; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Ἀποκρίνου δή. ΠΡΩ. Λέγε. ΣΩ. Δέξαιο ἂν σὺ, Πρώταρχε, ζῆν τὸν βίον ἅπαντα ἡδόμενος ἡδονὰς τὰς μεγίστας; ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Ἆρ' οὖν ἔτι τινὸς ἄν σοι προςδεῖν ἡγοῖο, εἰ τοῦτ' ἔχοις παντελῶς; ΠΡΩ. Οὐδαμῶς. ΣΩ. Ὅρα δή, τοῦ φρονεῖν καὶ νοεῖν καὶ λογίζεσθαι τὰ δέοντα, καὶ ὅσα τούτων ἀδελφά, μῶν μηδὲ ὁρᾷν τι; ΠΡΩ. Καὶ τί; πάντα γὰρ ἔχοιμ' ἄν που, τὸ χαίρειν ἔχων. ΣΩ. Οὐκοῦν οὕτω ζῶν, ἀεὶ μὲν διὰ βίου ταῖς μεγίσταις ἡδοναῖς χαίροις ἄν; ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Νοῦν δέ γε καὶ μνήμην καὶ ἐπιστήμην καὶ δόξαν μὴ κεκτημένος; ΠΡΩ. Ἀληθῆ. ΣΩ. Πρῶτον μὲν τοῦτο αὐτό, εἰ χαίρεις ἢ μὴ χαίρεις, ἀνάγκη δήπου σε ἀγνοεῖν, κενόν γε ὄντα πάσης φρονήσεως. ΠΡΩ. Ἀνάγκη. ΣΩ. Καὶ μὴν ὡσαύτως μνήμην μὴ κεκτημένον ἀνάγκη δήπου μηδ' ὅτι ποτὲ ἔχαιρες μεμνῆσθαι, τῆς τ' ἐν τῷ παραχρῆμα ἡδονῆς προςπιπτούσης μνήμην μηδ' ἡντινοῦν ὑπομένειν, δόξαν δ'

αὖ μὴ κεκτημένον ἀληθῆ, μὴ δοξάζειν χαίρειν χαίροντα, λογισμοῦ δὲ στερόμενον, μηδὲ εἰς τὸν ἔπειτα χρόνον, ὡς χαιρήσεις, δυνατὸν εἶναι λογίζεσθαι· ζῆν δὲ οὐκ ἀνθρώπου βίον, ἀλλά τινος πλεύμονος, ἢ τῶν ὅσα θαλάττια μετ' ὀστρεΐνων ἔμψυχά ἐστι σωμάτων. ἔστι ταῦτα, ἢ παρὰ ταῦτα ἔχομεν ἄλλως πως διανοηθῆναι; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Ἆρ' οὖν αἱρετὸς ἡμῖν βίος ὁ τοιοῦτος; ΠΡΩ. Εἰς ἀφασίαν παντάπασί με, ὦ Σώκρατες, οὗτος ὁ λόγος ἐμβέβληκε τανῦν. ΣΩ. Μήπω τοίνυν μαλθακιζώμεθα, τὸν δὲ τοῦ νοῦ μεταλαβόντες αὖ βίον ἴδωμεν; XI. ΠΡΩ. Τὸν ποῖον δὴ λέγεις; ΣΩ. Εἴ τις δέξαιτ' ἂν αὖ ζῆν ἡμῶν φρόνησιν μὲν καὶ νοῦν καὶ ἐπιστήμην καὶ μνήμην πᾶσαν πάντων κεκτημένος; ἡδονῆς δὲ μετέχων μήτε μέγα μήτε σμικρόν, μηδ' αὖ λύπης, ἀλλὰ τοπαράπαν ἀπαθὴς πάντων τῶν τοιούτων. ΠΡΩ. Οὐδέτερος ὁ βίος, ὦ Σώκρατες, ἔμοιγε τούτων αἱρετός, οὐδ' ἄλλῳ μήποτε, ὡς ἐγῷμαι, φανῇ. ΣΩ. Τί δ' ὁ ξυναμφότερος, ὦ Πρώταρχε, ἐξ ἀμφοῖν ξυμμιχθείς, κοινὸς γενόμενος; ΠΡΩ. Ἡδονῆς λέγεις καὶ νοῦ καὶ φρονήσεως; ΣΩ. Οὕτω, καὶ τὸν τοιοῦτον λέγω ἔγωγε. ΠΡΩ. Πᾶς δήπου τοῦτόν γε αἱρήσεται πρότερον ἢ ἐκείνων ὁποτερονοῦν, καὶ πρὸς τούτοις οὐχ ὁ μέν, ὁ δ' οὔ. ΣΩ. Μανθάνομεν οὖν, ὅ τι νῦν ἡμῖν ἐστι τὸ ξυμβαῖνον ἐν τοῖς παροῦσι λόγοις; ΠΡΩ. Πάνυ μὲν οὖν, ὅτι γε τρεῖς μὲν βίοι προὐτέθησαν, τοῖν δυοῖν δ' οὐδέτερος ἱκανὸς οὐδὲ αἱρετός, οὔτ' ἀνθρώπων οὔτε ζώων οὐ-

δενί. ΣΩ. Μῶν οὖν οὐκ ἤδη τούτων γε πέρι δῆλον, ὡς οὐδέτερος αὐτοῖν εἶχε τἀγαθόν; ἦν γὰρ ἂν ἱκανὸς καὶ τέλεος, καὶ πᾶσι φυτοῖς καὶ ζώοις αἱρετὸς, οἷσπερ δυνατὸν ἦν οὕτως ἀεὶ διὰ βίου ζῆν· εἰ δέ τις ἄλλα ἡρεῖθ' ἡμῶν, παρὰ φύσιν ἂν τὴν τοῦ ἀληθοῦς αἱρετοῦ ἐλάμβανεν ἄκων ἐξ ἀγνοίας, ἤ τινος ἀνάγκης οὐκ εὐδαίμονος. ΠΡΩ. Ἔοικε γοῦν ταῦθ' οὕτως ἔχειν. ΣΩ. Ὡς μὲν τοίνυν τήν γε Φιλήβου θεὸν οὐ δεῖ διανοεῖσθαι ταὐτὸν καὶ τἀγαθὸν, ἱκανῶς εἰρῆσθαί μοι δοκεῖ. ΦΙ. Οὐδὲ γὰρ ὁ σὸς νοῦς, ὦ Σώκρατες, ἔστι τἀγαθόν, ἀλλ' ἕξει που ταῦτα τὰ ἐγκλήματα. ΣΩ. Τάχ' ἄν, ὦ Φίληβε, ὅγ' ἐμός· οὐ μέντοι τόν γε ἀληθινὸν ἅμα καὶ θεῖον οἶμαι νοῦν, ἀλλὰ ἄλλως πως ἔχειν. τῶν μὲν οὖν νικητηρίων πρὸς τὸν κοινὸν βίον οὐκ ἀμφισβητῶ πω ὑπὲρ νοῦ, τῶν δὲ δὴ δευτερείων ὁρᾶν καὶ σκοπεῖν χρὴ πέρι, τί δράσομεν. τάχα γὰρ ἂν τοῦ κοινοῦ τούτου βίου αἰτιώμεθ' ἂν ἑκάτερος, ὁ μὲν τὸν νοῦν αἴτιον, ὁ δ' ἡδονὴν εἶναι, καὶ οὕτω τὸ μὲν ἀγαθὸν τούτων ἀμφοτέρων οὐδέτερον ἂν εἴη· τάχα δ' ἂν αἴτιόν τις ὑπολάβοι ὁπότερον αὐτῶν εἶναι. τούτου δὴ πέρι καὶ μᾶλλον ἔτι πρὸς Φίληβον διαμαχοίμην ἄν, ὡς ἐν τῷ μικτῷ τούτῳ βίῳ, ὅ τι ποτ' ἐστὶ τοῦτο, ὃ λαβὼν ὁ βίος οὗτος γέγονεν αἱρετὸς ἅμα καὶ ἀγαθός, οὐχ ἡδονὴ, ἀλλὰ νοῦς τούτῳ ξυγγενέστερον καὶ ὁμοιότερόν ἐστι· καὶ κατὰ τοῦτον τὸν λόγον, οὔτ' αὖ τῶν πρωτείων, οὐδ' αὖ τῶν δευτερείων ἡδονῇ μετὸν ἀληθῶς ἄν ποτε λέγοιτο. πορρωτέρω δέ ἐστι

τῶν τριτείων, εἴ τι τῷ ἐμῷ νῷ δεῖ πιστεύειν ἡμᾶς τανῦν. ΠΡΩ. Ἀλλὰ μήν, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ νῦν μὲν ἡδονή σοι πεπτωκέναι καθαπερεὶ πληγεῖσα ὑπὸ τῶν νῦν δὴ λόγων· τῶν γὰρ νικητηρίων πέρι μαχομένη κεῖται· τὸν δὲ νοῦν, ὡς ἔοικε, λεκτέον ὡς ἐμφρόνως οὐκ ἀντεποιεῖτο τῶν νικητηρίων. τὰ γὰρ αὐτὰ ἔπαθεν ἄν. τῶν δὲ δὴ δευτερείων στερηθεῖσα ἡδονὴ παντάπασιν ἄν τινα καὶ ἀτιμίαν σχοίη πρὸς τῶν αὑτῆς ἐραστῶν· οὐδὲ γὰρ ἐκείνοις ἔτ' ἂν ὁμοίως φαίνοιτο καλή. ΣΩ. Τί οὖν; οὐκ ἄμεινον αὐτὴν ἐᾶν ἤδη, καὶ μὴ τὴν ἀκριβεστάτην αὐτῇ προσφέροντα βάσανον καὶ ἐξελέγχοντα λυπεῖν; ΠΡΩ. Οὐδὲν λέγεις, ὦ Σώκρατες. ΣΩ. Ἆρ' ὅτι τὸ ἀδύνατον εἶπον, λυπεῖν ἡδονήν; ΠΡΩ. Οὐ μόνον γε, ἀλλ' ὅτι καὶ ἀγνοεῖς, ὡς οὐδείς πώ σε ἡμῶν μεθήσει, πρὶν ἂν εἰς τέλος ἐπεξέλθῃς τούτων τῷ λόγῳ. ΣΩ. Βαβαὶ ἄρα, ὦ Πρώταρχε, συχνοῦ μὲν λόγου τοῦ λοιποῦ· σχεδὸν δὲ οὐδὲ ῥᾴδιον πάνυ τι νῦν. καὶ γὰρ δὴ φαίνεται δεῖν ἄλλης μηχανῆς ἐπὶ τὰ δευτερεῖα ὑπὲρ νοῦ πορευόμενον οἷον βέλη ἔχειν ἕτερα τῶν ἔμπροσθεν λόγων· ἔστι δὲ ἴσως ἔνια καὶ ταυτά. οὐκοῦν χρή; ΠΡΩ. Πῶς γὰρ οὔ; XII. ΣΩ. Τὴν δέ γε ἀρχὴν αὐτοῦ διευλαβεῖσθαι πειρώμεθα τιθέμενοι. ΠΡΩ. Ποίαν δὴ λέγεις; ΣΩ. Πάντα τὰ νῦν ὄντα ἐν τῷ παντὶ διχῇ διαλάβωμεν, μᾶλλον δ', εἰ βούλει, τριχῇ. ΠΡΩ. Καθ' ὅ τι φράζοις ἄν; ΣΩ. Λάβωμεν ἄττα τῶν νῦν δὴ λόγων. ΠΡΩ. Ποῖα; ΣΩ. Τὸν θεὸν ἐλέγομέν που, τὸ μέν, ἄπειρον δεῖξαι τῶν ὄντων, τὸ δέ, πέρας; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Τούτων δὴ τῶν

εἰδῶν τὰ δύο τιθώμεθα, τὸ δὲ τρίτον, ἐξ ἀμφοῖν τούτοιν ἕν τι ξυμμισγόμενον. εἰμὶ δ', ὡς ἔοικεν, ἐγὼ γελοῖός τις ἱκανῶς κατ' εἴδη διϊστὰς καὶ ξυναριθμούμενος. ΠΡΩ. Τί φῄς, ὦ 'γαθέ; ΣΩ. Τετάρτου μοι γένους αὖ προσδεῖν φαίνεται. ΠΡΩ. Λέγε τίνος; ΣΩ. Τῆς ξυμμίξεως τούτων πρὸς ἄλληλα τὴν αἰτίαν ὅρα, καὶ τίθει μοι πρὸς τρισὶν ἐκείνοις τέταρτον τοῦτο. ΠΡΩ. Μῶν οὖν σοι καὶ πέμπτου προσδεήσει διάκρισίν τινος δυναμένου; ΣΩ. Τάχ' ἄν· οὐ μὴν οἶμαί γε ἐν τῷ νῦν· ἐὰν δέ τι δέῃ, ξυγγνώσῃ πού μοι σὺ μεταδιώκοντι πέμπτον [βίον.] ΠΡΩ. Τί μήν; ΣΩ. Πρῶτον μὲν δὴ τῶν τεσσάρων τὰ τρία διελόμενοι τὰ δύο τούτων πειρώμεθα, πολλὰ ἑκάτερον ἐσχισμένον καὶ διεσπασμένον ἰδόντες, εἰς ἓν πάλιν ἑκάτερον ξυναγαγόντες, νοῆσαι πῇ ποτε ἦν αὐτῶν ἓν καὶ πολλὰ ἑκάτερον. ΠΡΩ. Εἴ μοι σαφέστερον ἔτι περὶ αὐτῶν εἴποις, τάχ' ἂν ἑποίμην. ΣΩ. Λέγω τοίνυν τὰ δύο, ἃ προτίθεμαι, ταῦτ' εἶναι, ἅπερ νῦν δή, τὸ μὲν ἄπειρον, τὸ δὲ πέρας ἔχον. ὅτι δὲ τρόπον τινὰ τὸ ἄπειρον πολλά ἐστι, πειράσομαι φράζειν· τὸ δὲ πέρας ἔχον ἡμᾶς περιμενέτω. ΠΡΩ. Μένει. ΣΩ. Σκέψαι δή· χαλεπὸν μὲν γὰρ καὶ ἀμφισβητήσιμον, ὃ κελεύω σε σκοπεῖν· ὅμως δὲ σκόπει. Θερμοτέρου καὶ ψυχροτέρου πέρι πρῶτον ὅρα, πέρας εἴ ποτέ τι νοήσαις ἄν, ἢ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς οἰκοῦν τοῖς γένεσιν, ἕωσπερ ἂν ἐνοικεῖτον, τέλος οὐκ ἂν ἐπιτρεψαίτην γίγνεσθαι· γενομένης γὰρ τελευτῆς καὶ αὐτὼ τετελευτήκατον. ΠΡΩ. Ἀληθέστατα

λέγεις. ΣΩ. Ἀεὶ δέ γε φαμὲν, ἔν τε τῷ ψυχροτέρῳ καὶ τῷ θερμοτέρῳ τὸ μᾶλλόν τε καὶ ἧττον ἔνι. ΠΡΩ. Καὶ μάλα. ΣΩ. Ἀεὶ τοίνυν ὁ λόγος ἡμῖν σημαίνει τούτω μὴ τέλος ἔχειν· ἀτελῆ δ' ὄντε δήπου, παντάπασιν ἀπείρω γίγνεσθον. ΠΡΩ. Καὶ σφόδρα γε, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' εὖ γε, ὦ φίλε Πρώταρχε, ὑπέλαβες καὶ ἀνέμνησας, ὅτι καὶ τὸ σφόδρα τοῦτο, ὃ σὺ νῦν ἐφθέγξω, καὶ τό γε ἠρέμα τὴν αὐτὴν δύναμιν ἔχετον τῷ τε μᾶλλον καὶ ἧττον· ὅπου γὰρ ἐνῆτον, οὐκ ἐᾶτον εἶναι ποσὸν ἕκαστον, ἀλλ' ἀεὶ σφοδρότερον ἡσυχαιτέρου, καὶ τοὐναντίον ἑκάσταις πράξεσιν ἐμποιοῦντε τὸ πλέον καὶ τὸ ἔλαττον ἀπεργάζεσθον, τὸ δὲ ποσὸν ἀφανίζετον. ὃ γὰρ ἐλέχθη νῦν δὴ, μὴ ἀφανίσαντε τὸ ποσὸν, ἀλλ' ἐάσαντε αὐτό τε καὶ τὸ μέτριον ἐν τῇ τοῦ μᾶλλον καὶ ἧττον καὶ σφόδρα καὶ ἠρέμα ἕδρᾳ ἐγγενέσθαι αὐτά, ἔῤῥει ταῦτα ἐκ τῆς αὐτῶν χώρας, ἐν ᾗ ἐνῆν. οὐ γὰρ ἔτι θερμοτέρω οὐδὲ ψυχροτέρω ἤτην ἂν, λαβόντε τὸ ποσόν. προχωρεῖ γὰρ καὶ οὐ μένει τό τε θερμότερον ἀεὶ καὶ τὸ ψυχρότερον ὡσαύτως. τὸ δὲ ποσὸν ἔστη, καὶ προϊὸν ἐπαύσατο. κατὰ δὴ τοῦτον τὸν λόγον ἄπειρον γίγνοιτ' ἂν τὸ θερμότερον, καὶ τοὐναντίον ἅμα. ΠΡΩ. Φαίνεται γοῦν, ὦ Σώκρατες· ἔστι δ', ὅπερ εἶπες, οὐ ῥάδια ταῦτα ξυνέπεσθαι. τὸ δὲ εἰσαῦθίς τε καὶ αὖθις ἴσως λεχθέντα τόν τε ἐρωτῶντα καὶ τὸν ἐρωτώμενον ἱκανῶς ἂν ξυμφωνοῦντας ἀποφήναιεν. ΣΩ. Ἀλλ' εὖ μὲν λέγεις, καὶ πειρατέον οὕτω ποιεῖν. νῦν μέντοι ἄθρει, τῆς τοῦ ἀπείρου φύσεως εἰ τοῖτο δεξόμεθα σημεῖον,

ἵνα μὴ πάντ᾽ ἐπεξιόντες μηκύνωμεν. ΠΡΩ. Τὸ ποῖον δὴ λέγεις; ΣΩ. Ὁπόσ᾽ ἂν ἡμῖν φαίνηται μᾶλλόν τε καὶ ἧττον γιγνόμενα, καὶ τὸ σφόδρα καὶ ἠρέμα δεχόμενα, καὶ τὸ λίαν, καὶ ὅσα τοιαῦτα, πάντα εἰς τὸ τοῦ ἀπείρου γένος ὡς εἰς ἓν δεῖ πάντα ταῦτα τιθέναι, κατὰ τὸν ἔμπροσθεν λόγον, ὃν ἔφαμεν, ὅσα διέσπασται καὶ διέσχισται ξυναγαγόντας χρῆναι κατὰ δύναμιν μίαν ἐπισημαίνεσθαί τινα φύσιν, εἰ μέμνησαι. ΠΡΩ. Μέμνημαι. ΣΩ. Οὐκοῦν τὰ μὴ δεχόμενα ταῦτα, τούτων δὲ τὰ ἐναντία πάντα δεχόμενα, πρῶτον μὲν τὸ ἴσον καὶ ἰσότητα, μετὰ δὲ τὸ ἴσον, τὸ διπλάσιον, καὶ πᾶν ὅ τι περ ἂν πρὸς ἀριθμὸν ἀριθμὸς ἢ μέτρον πρὸς μέτρον, ταῦτα ξύμπαντα εἰς τὸ πέρας ἀπολογιζόμενοι, καλῶς ἂν δοκοῖμεν δρᾶν τοῦτο, ἢ πῶς σὺ φῄς; ΠΡΩ. Κάλλιστά γε, ὦ Σώκρατες.

XIII. ΣΩ. Εἶεν. τὸ δὲ τρίτον τὸ μικτὸν ἐκ τούτοιν ἀμφοῖν τίνα ἰδέαν φήσομεν ἔχειν; ΠΡΩ. Σὺ καὶ ἐμοὶ φράσεις, ὡς οἶμαι. ΣΩ. Θεὸς μὲν οὖν, ἄν περ γε ἐμαῖς εὐχαῖς ἐπήκοος γίγνηταί τις θεῶν. ΠΡΩ. Εὔχου δὴ καὶ σκόπει. ΣΩ. Σκοπῶ· καί μοι δοκεῖ τις, ὦ Πρώταρχε, αὐτῶν φίλος ἡμῖν νῦν δὴ γεγονέναι. ΠΡΩ. Πῶς λέγεις τοῦτο; καὶ τίνι τεκμηρίῳ χρῇ; ΣΩ. Φράσω δηλονότι· σὺ δέ μοι ξυνακολούθησον τῷ λόγῳ. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Θερμότερον ἐφθεγγόμεθά νῦν δήπου τι καὶ ψυχρότερον· ἦ γάρ; ΠΡΩ. Ναί. ΣΩ. Πρόσθες δὴ ξηρότερον καὶ ὑγρότερον αὐτοῖς, καὶ πλέον καὶ ἔλαττον, καὶ θᾶττον καὶ βραδύτερον, καὶ μεῖζον καὶ σμικρότερον, καὶ

ὁπόσα ἐν τῷ πρόσθεν τῆς τὸ μᾶλλόν τε καὶ ἧττον δεχομένης ἐτίθεμεν εἰς ἓν φύσεως. ΠΡΩ. Τῆς τοῦ ἀπείρου λέγεις; ΣΩ. Ναί. ξυμμίγνυε δέ γε εἰς αὐτὴν τὸ μετὰ ταῦτα τὴν αὐτοῦ πέρατος γένναν. ΠΡΩ. Ποίαν; ΣΩ. Ἣν καὶ νῦν δὴ δέον ἡμᾶς, καθάπερ τὴν τοῦ ἀπείρου ξυνηγάγομεν εἰς ἕν, οὕτω καὶ τὴν τοῦ περατοειδοῦς ξυναγαγεῖν, οὐ ξυνηγάγομεν· ἀλλ' ἴσως καὶ νῦν ταυτὸν δράσει· τούτων ἀμφοτέρων ξυναγομένων καταφανὴς κἀκείνη γενήσεται. ΠΡΩ. Ποίαν καὶ πῶς λέγεις; ΣΩ. Τὴν τοῦ ἴσου καὶ διπλασίου, καὶ ὁπόση παύει πρὸς ἄλληλα τἀναντία διαφόρως ἔχοντα, ξύμμετρα δὲ καὶ ξύμφωνα ἐνθεῖσα ἀριθμὸν ἀπεργάζεται. ΠΡΩ. Μανθάνω. φαίνῃ γάρ μοι λέγειν, μιγνὺς ταῦτα, γενέσεις τινὰς ἐφ' ἑκάστων αὐτῶν ξυμβαίνειν. ΣΩ. Ὀρθῶς γὰρ φαίνομαι. ΠΡΩ. Λέγε τοίνυν. ΣΩ. Ἆρ' οὐκ ἐν μὲν νόσοις ἡ τούτων ὀρθὴ κοινωνία τὴν ὑγιείας φύσιν ἐγέννησε; ΠΡΩ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἐν δὲ ὀξεῖ καὶ βαρεῖ καὶ ταχεῖ καὶ βραδεῖ, ἀπείροις οὖσιν, ἆρ' οὐ ταὐτὰ ἐγγιγνόμενα τὰ αὐτὰ ἅμα πέρας τε ἀπειργάσατο καὶ μουσικὴν ξύμπασαν τελεώτατα ξυνεστήσατο; ΠΡΩ. Μάλιστά γε. ΣΩ. Καὶ μὴν ἔν γε χειμῶσι καὶ πνίγεσιν ἐγγενομένη τὸ μὲν πολὺ λίαν καὶ ἄπειρον ἀφείλετο, τὸ δὲ ἔμμετρον καὶ ἅμα ξύμμετρον ἀπειργάσατο. ΠΡΩ. Τί μήν; ΣΩ. Οὐκοῦν ἐκ τούτων ὧραί τε καὶ ὅσα καλὰ πάντα ἡμῖν γέγονε, τῶν τε ἀπείρων καὶ τῶν πέρας ἐχόντων ξυμμιχθέντων; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Καὶ ἄλλα γε δὴ μυρία ἐπιλείπω λέγων,

οἷον μεθ᾽ ὑγιείας κάλλος καὶ ἰσχὺν, καὶ ἐν ψυχαῖς αὖ πάμπολλα ἕτερα καὶ πάγκαλα. ὕβριν γάρ που καὶ ξύμπασαν πάντων πονηρίαν αὕτη κατιδοῦσα ἡ θεός, ὦ καλὲ Φίληβε, πέρας οὐδὲν οὔτε ἡδονῶν οὔτε πλησμονῶν ἐνὸν ἐν αὐτοῖς, νόμον καὶ τάξιν πέρας ἔχοντ᾽ ἔθετο, καὶ σὺ μὲν ἀποκναῖν ἔφης αὐτήν, ἐγὼ δὲ τοὐναντίον ἀποσῶσαι λέγω. σοὶ δέ, ὦ Πρώταρχε, πῶς φαίνεται; ΠΡΩ. Καὶ μάλα, ὦ Σώκρατες, ἔμοιγε κατὰ νοῦν. ΣΩ. Οὐκοῦν τὰ μὲν τρία ταῦτα εἴρηκα, εἰ ξυννοεῖς; ΠΡΩ. Ἀλλ᾽ οἶμαι κατανοεῖν· ἓν μὲν γάρ μοι δοκεῖς τὸ ἄπειρον λέγειν, ἓν δὲ καὶ δεύτερον, τὸ πέρας, ἐν τοῖς οὖσι, τρίτον δέ οὐ σφόδρα κατέχω τί βούλει φράζειν. ΣΩ. Τὸ γὰρ πλῆθός σε, ὦ θαυμάσιε, ἐξέπληξε τῆς τοῦ τρίτου γενέσεως. καίτοι πολλά γε καὶ τὸ ἄπειρον παρέσχετο γένη· ὅμως δ᾽ ἐπισφραγισθέντα τῷ τοῦ μᾶλλον καὶ ἐναντίου γένει, ἓν ἐφάνη. ΠΡΩ. Ἀληθῆ. ΣΩ. Καὶ μὴν τόγε πέρας οὔτε πολλὰ εἶχεν, οὔτ᾽ ἐδυςκολαίνομεν, ὡς οὐκ ἦν ἓν φύσει. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐδαμῶς. ἀλλὰ τρίτον φάθι με λέγειν, ἓν τοῦτο τιθέντα τὸ τούτων ἔκγονον ἅπαν, γένεσιν εἰς οὐσίαν ἐκ τῶν μετὰ τοῦ πέρατος ἀπειργασμένων μέτρων. ΠΡΩ. Ἔμαθον. XIV. ΣΩ. Ἀλλὰ δὴ πρὸς τρισὶ τέταρτόν τί ποτε ἔφαμεν εἶναι γένος σκεπτέον· κοινὴ δ᾽ ἡ σκέψις. ὅρα γάρ, εἴ σοι δοκεῖ ἀναγκαῖον εἶναι, πάντα τὰ γιγνόμενα, διά τινα αἰτίαν γίγνεσθαι; ΠΡΩ. Ἔμαιγε. πῶς γὰρ ἂν χωρὶς τούτων γίγνοιτο; ΣΩ. Οὐκοῦν ἡ τοῦ ποιοῦντος φύσις οὐδέν, πλὴν ὀνόματι, τῆς αἰτίας

διαφέρει, τὸ δὲ ποιοῦν καὶ τὸ αἴτιον, ὀρθῶς ἂν εἴη λεγόμενον ἕν; ΠΡΩ. Ὀρθῶς. ΣΩ. Καὶ μὴν τό γε ποιούμενον αὖ καὶ τὸ γιγνόμενον οὐδὲν, πλὴν ὀνόματι, καθάπερ τὸ νῦν δὴ, διαφέρον εὑρήσομεν, ἢ πῶς; ΠΡΩ. Οὕτως. ΣΩ. Ἆρ᾽ οὖν ἡγεῖται μὲν τὸ ποιοῦν ἀεὶ κατὰ φύσιν, τὸ δὲ ποιούμενον ἐπακολουθεῖ γιγνόμενον ἐκείνῳ; ΠΡΩ. Πάνυ γε. ΣΩ. Ἄλλο ἄρα, καὶ οὐ ταυτὸν, αἰτία τ᾽ ἐστὶ καὶ τὸ δουλεῦον εἰς γένεσιν αἰτίᾳ. ΠΡΩ. Τί μήν; ΣΩ. Οὐκοῦν τὰ μὲν γιγνόμενα, καὶ ἐξ ὧν γίγνεται, πάντα τὰ τρία παρέσχετο ἡμῖν γένη; ΠΡΩ. Καὶ μάλα. ΣΩ. Τὸ δὲ δὴ πάντα ταῦτα δημιουργοῦν λέγωμεν τέταρτον, τὴν αἰτίαν, ὡς ἱκανῶς ἕτερον ἐκείνων δεδηλωμένον; ΠΡΩ. Λέγωμεν γὰρ οὖν. ΣΩ. Ὀρθῶς μὴν ἔχει, διωρισμένων τῶν τεττάρων, ἑνὸς ἑκάστου μνήμης ἕνεκα ἐφεξῆς αὐτὰ καταριθμήσασθαι. ΠΡΩ. Τί μήν; ΣΩ. Πρῶτον μὲν τοίνυν ἄπειρον λέγω, δεύτερον δὲ, πέρας, ἔπειτ᾽ ἐκ τούτων τρίτον μικτὴν καὶ γεγενημένην οὐσίαν· τὴν δὲ τῆς μίξεως αἰτίαν καὶ γενέσεως τετάρτην λέγων, ἆρα μὴ πλημμελοίην ἄν τι; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Φέρε δὴ, τὸ μετὰ τοῦθ᾽ ἡμῖν τίς ὁ λόγος; καὶ τί ποτε βουληθέντες εἰς ταῦτα ἀφικόμεθα; ἆρ᾽ οὐ τόδε ἦν; δευτερεῖα ἐζητοῦμεν πότερον ἡδονῆς γίγνοιτ᾽ ἂν, ἢ φρονήσεως· οὐχ οὕτως ἦν; ΠΡΩ. Οὕτω μὲν οὖν. ΣΩ. Ἆρ᾽ οὖν νῦν, ἐπειδὴ ταῦτα οὕτω διειλόμεθα, κάλλιον ἂν ἴσως καὶ τὴν κρίσιν ἐπιτελεσαίμεθα πρώτου πέρι καὶ δευτέρου, περὶ ὧν δὴ τὸ πρῶτον ἠμφισβητήσαμεν; ΠΡΩ. Ἴσως. ΣΩ. Ἴθι

οἷον μεθ᾽ ὑγιείας κάλλος καὶ ἰσχὺν, καὶ ἐν ψυχαῖς αὖ πάμπολλα ἕτερα καὶ πάγκαλα. ὕβριν γάρ που καὶ ξύμπασαν πάντων πονηρίαν αὕτη κατιδοῦσα ἡ θεός, ὦ καλὲ Φίληβε, πέρας οὐδὲν οὔτε ἡδονῶν οὔτε πλησμονῶν ἐνὸν ἐν αὐτοῖς, νόμον καὶ τάξιν πέρας ἔχοντ᾽ ἔθετο, καὶ σὺ μὲν ἀποκναῖν ἔφης αὐτήν, ἐγὼ δὲ τοὐναντίον ἀποσῶσαι λέγω. σοὶ δέ, ὦ Πρώταρχε, πῶς φαίνεται; ΠΡΩ. Καὶ μάλα, ὦ Σώκρατες, ἔμοιγε κατὰ νοῦν. ΣΩ. Οὐκοῦν τὰ μὲν τρία ταῦτα εἴρηκα, εἰ ξυννοεῖς; ΠΡΩ. Ἀλλ᾽ οἶμαι κατανοεῖν· ἓν μὲν γάρ μοι δοκεῖς τὸ ἄπειρον λέγειν, ἓν δὲ καὶ δεύτερον, τὸ πέρας, ἐν τοῖς οὖσι, τρίτον δὲ οὐ σφόδρα κατέχω τί βούλει φράζειν. ΣΩ. Τὸ γὰρ πλῆθός σε, ὦ θαυμάσιε, ἐξέπληξε τῆς τοῦ τρίτου γενέσεως. καίτοι πολλά γε καὶ τὸ ἄπειρον παρέσχετο γένη· ὅμως δ᾽ ἐπισφραγισθέντα τῷ τοῦ μᾶλλον καὶ ἐναντίου γένει, ἓν ἐφάνη. ΠΡΩ. Ἀληθῆ. ΣΩ. Καὶ μὴν τόγε πέρας οὔτε πολλὰ εἶχεν, οὔτ᾽ ἐδυσκολαίνομεν, ὡς οὐκ ἦν ἓν φύσει. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐδαμῶς. ἀλλὰ τρίτον φάθι με λέγειν, ἓν τοῦτο τιθέντα τὸ τούτων ἔκγονον ἅπαν, γένεσιν εἰς οὐσίαν ἐκ τῶν μετὰ τοῦ πέρατος ἀπειργασμένων μέτρων. ΠΡΩ. Ἔμαθον.

XIV. ΣΩ. Ἀλλὰ δὴ πρὸς τρισὶ τέταρτόν τί ποτε ἔφαμεν εἶναι γένος σκεπτέον· κοινὴ δ᾽ ἡ σκέψις. ὅρα γάρ, εἴ σοι δοκεῖ ἀναγκαῖον εἶναι, πάντα τὰ γιγνόμενα, διά τινα αἰτίαν γίγνεσθαι; ΠΡΩ. Ἔμαιγε. πῶς γὰρ ἂν χωρὶς τούτων γίγνοιτο; ΣΩ. Οὐκοῦν ἡ τοῦ ποιοῦντος φύσις οὐδέν, πλὴν ὀνόματι, τῆς αἰτίας

διαφέρει, τὸ δὲ ποιοῦν καὶ τὸ αἴτιον, ὀρθῶς ἂν εἴη λεγόμενον ἕν; ΠΡΩ. Ὀρθῶς. ΣΩ. Καὶ μὴν τό γε ποιούμενον αὖ καὶ τὸ γιγνόμενον οὐδὲν, πλὴν ὀνόματι, καθάπερ τὸ νῦν δὴ, διαφέρον εὑρήσομεν, ἢ πῶς; ΠΡΩ. Οὕτως. ΣΩ. Ἆρ' οὖν ἡγεῖται μὲν τὸ ποιοῦν ἀεὶ κατὰ φύσιν, τὸ δὲ ποιούμενον ἐπακολουθεῖ γιγνόμενον ἐκείνῳ; ΠΡΩ. Πάνυ γε. ΣΩ. Ἄλλο ἄρα, καὶ οὐ ταὐτὸν, αἰτία τ' ἐστὶ καὶ τὸ δουλεῦον εἰς γένεσιν αἰτίᾳ. ΠΡΩ. Τί μήν; ΣΩ. Οὐκοῦν τὰ μὲν γιγνόμενα, καὶ ἐξ ὧν γίγνεται, πάντα τὰ τρία παρέσχετο ἡμῖν γένη; ΠΡΩ. Καὶ μάλα. ΣΩ. Τὸ δὲ δὴ πάντα ταῦτα δημιουργοῦν λέγωμεν τέταρτον, τὴν αἰτίαν, ὡς ἱκανῶς ἕτερον ἐκείνων δεδηλωμένον; ΠΡΩ. Λέγωμεν γὰρ οὖν. ΣΩ. Ὀρθῶς μὴν ἔχει, διωρισμένων τῶν τεττάρων, ἑνὸς ἑκάστου μνήμης ἕνεκα ἐφεξῆς αὐτὰ καταριθμήσασθαι. ΠΡΩ. Τί μήν; ΣΩ. Πρῶτον μὲν τοίνυν ἄπειρον λέγω, δεύτερον δὲ, πέρας, ἔπειτ' ἐκ τούτων τρίτον μικτὴν καὶ γεγενημένην οὐσίαν· τὴν δὲ τῆς μίξεως αἰτίαν καὶ γενέσεως τετάρτην λέγων, ἆρα μὴ πλημμελοίην ἄν τι; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Φέρε δὴ, τὸ μετὰ τοῦθ' ἡμῖν τίς ὁ λόγος; καὶ τί ποτε βουληθέντες εἰς ταῦτα ἀφικόμεθα; ἆρ' οὐ τόδε ἦν; δευτερεῖα ἐζητοῦμεν πότερον ἡδονῆς γίγνοιτ' ἂν, ἢ φρονήσεως· οὐχ οὕτως ἦν; ΠΡΩ. Οὕτω μὲν οὖν. ΣΩ. Ἆρ' οὖν νῦν, ἐπειδὴ ταῦτα οὕτω διειλόμεθα, κάλλιον ἂν ἴσως καὶ τὴν κρίσιν ἐπιτελεσαίμεθα πρώτου πέρι καὶ δευτέρου, περὶ ὧν δὴ τὸ πρῶτον ἠμφισβητήσαμεν; ΠΡΩ. Ἴσως. ΣΩ. Ἴθι

δή, νικῶντα ἔθεμέν που τὸν μικτὸν βίον ἡδονῆς τε καὶ φρονήσεως· ἦν οὕτω; ΠΡΩ. Ἦν. ΣΩ. Οὐκοῦν τοῦτον μὲν τὸν βίον ὁρῶμέν που, τίς ἐστι καὶ ὁποίου γένους; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Καὶ μέρος γ᾽ αὐτὸν φήσομεν εἶναι τοῦ τρίτου, οἶμαι, γένους. οὐ γὰρ ὁ δυοῖν τινοῖν ἐστὶ μικτὸς ἐκεῖνος, ἀλλ᾽ ὁ ξυμπάντων ἀπείρων ὑπὸ τοῦ πέρατος δεδεμένων· ὥστε ὀρθῶς ὁ νικηφόρος οὗτος βίος μέρος ἐκείνου γίγνοιτ᾽ ἄν. ΠΡΩ. Ὀρθότατα μὲν οὖν. XV. ΣΩ. Εἶεν. τί δὲ ὁ σός, ὦ Φίληβε, ἡδὺς καὶ ἄμικτος ὤν, ἐν τίνι γένει τῶν εἰρημένων λεγόμενος ὀρθῶς ἄν ποτε λέγοιτο; ὧδε δ᾽ ἀπόκριναί μοι, πρὶν ἀποφήνασθαι. ΦΙ. Λέγε μόνον. ΣΩ. Ἡδονὴ καὶ λύπη πέρας ἔχετον, ἢ τῶν τὸ μᾶλλόν τε καὶ ἧττον δεχομένων ἐστόν; ΦΙ. Ναί, τῶν τὸ μᾶλλον, ὦ Σώκρατες. οὐ γὰρ ἂν ἡδονὴ πᾶν ἀγαθὸν ἦν, εἰ μὴ ἄπειρον ἐτύγχανε πεφυκὸς καὶ πλήθει καὶ τῷ μᾶλλον. ΣΩ. Οὐδέ γ᾽ ἄν, ὦ Φίληβε, λύπη πᾶν κακόν. ὥστ᾽ ἄλλο τι νῷϊν σκεπτέον, ἢ τὴν τοῦ ἀπείρου φύσιν, ὡς παρέχεταί τι μέρος· ταῖς ἡδοναῖς ἀγαθοῦ· τούτων δή σοι τῶν ἀπεράντων γεγονὸς ἔστω. φρόνησιν δὲ καὶ ἐπιστήμην καὶ νοῦν εἰς τί ποτε τῶν προειρημένων, ὦ Πρώταρχέ τε καὶ Φίληβε, νῦν θέντες οὐκ ἂν ἀσεβοῖμεν· οὐ γάρ μοι δοκεῖ σμικρὸς ἡμῖν ὁ κίνδυνος εἶναι καὶ κατορθώσασι καὶ μὴ περὶ τὸ νῦν ἐρωτώμενον. ΦΙ. Σεμνύνεις γάρ, ὦ Σώκρατες, τὸν σεαυτοῦ θεόν. ΣΩ. Καὶ γὰρ σύ, ὦ ἑταῖρε, τὴν σεαυτοῦ· τὸ δ᾽ ἐρωτώμενον ὅμως ἡμῖν λεκτέον. ΠΡΩ. Ὀρθῶς τοι λέγει Σωκράτης, ὦ Φίληβε, καὶ

αὐτῷ πειστέον. ΦΙ. Οὐκοῦν ὑπὲρ ἐμοῦ σύ, Πρώταρχε, προῄρησαι λέγειν; ΠΡΩ. Πάνυ γε. νῦν μέντοι σχεδὸν ἀπορῶ, καὶ δέομαί γε, ὦ Σώκρατες, αὐτὸν σὲ ἡμῖν γενέσθαι προφήτην, ἵνα μηδὲν ἡμεῖς σοι περὶ τὸν ἀγωνιστὴν ἐξαμαρτάνοντες, παρὰ μέλος φθεγξώμεθά τι. ΣΩ. Πειστέον, ὦ Πρώταρχε· οὐδὲ γὰρ χαλεπὸν οὐδὲν ἐπιτάττεις, ἀλλ' ὄντως σὲ ἐγώ, καθάπερ εἶπε Φίληβος, σεμνύνων ἐν τῷ παίζειν ἐθορύβησα, νοῦν καὶ ἐπιστήμην ἐρόμενος ὁποίου γένους εἴεν. ΠΡΩ. Παντάπασί γε, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ μὴν ῥᾴδιον. πάντες γὰρ ξυμφωνοῦσιν οἱ σοφοί, ἑαυτοὺς οὕτω σεμνύνοντες, ὡς νοῦς ἐστὶ βασιλεὺς ἡμῖν οὐρανοῦ καὶ γῆς· καὶ ἴσως εὖ λέγουσι. διὰ μακροτέρων δ', εἰ βούλει, τὴν σκέψιν αὐτοῦ τοῦ γένους ποιησώμεθα. ΠΡΩ. Λέγ' ὅπως βούλει, μηδὲν μῆκος ἡμῖν ὑπολογιζόμενος, ὦ Σώκρατες, ὡς οὐκ ἀπεχθησόμενος. XVI. ΣΩ. Καλῶς εἶπες. ἀρξώμεθα δέ πως ὧδε ἐπανερωτῶντες. ΠΡΩ. Πῶς; ΣΩ. Πότερον, ὦ Πρώταρχε, τὰ ξύμπαντα, καὶ τόδε τὸ καλούμενον ὅλον, ἐπιτροπεύειν φῶμεν τὴν τοῦ ἀλόγου καὶ εἰκῇ δύναμιν, καὶ τὰ ὅπῃ ἔτυχεν; ἢ τἀναντία, καθάπερ οἱ πρόσθεν ἡμῶν ἔλεγον, νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν ξυντάττουσαν διακυβερνᾶν; ΠΡΩ. Οὐδὲν τῶν αὐτῶν, ὦ θαυμάσιε Σώκρατες. ὃ μὲν γὰρ σὺ λέγεις νῦν, οὐδ' ὅσιον εἶναί μοι φαίνεται, τὸ δὲ νοῦν πάντα διακοσμεῖν αὐτὰ φάναι, καὶ τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ πάσης τῆς περιφορᾶς ἄξιον· καὶ οὐκ ἄλλως ἔγωγ' ἂν

ποτε περὶ αὐτῶν εἴποιμι, οὐδ' ἂν δοξάσαιμι. ΣΩ. Βούλει δῆτα καὶ ἡμεῖς τοῖς ἔμπροσθεν ὁμολογουμένοις ξυμφήσωμεν, ὡς ταῦθ' οὕτως ἔχει; καὶ μὴ μόνον οἰώμεθα δεῖν τἀλλότρια ἄνευ κινδύνου λέγειν, ἀλλὰ καὶ ξυγκινδυνεύωμεν καὶ μετέχωμεν τοῦ ψόγου, ὅταν ἀνὴρ δεινὸς φῇ ταῦτα μὴ οὕτως, ἀλλ' ἀτάκτως, ἔχειν; ΠΡΩ. Πῶς γὰρ οὐκ ἂν βουλοίμην; ΣΩ. Ἴθι δή, τὸν ἐπιόντα περὶ τούτων νῦν ἡμῖν λόγον ἄθρει. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Τὰ περὶ τὴν τῶν σωμάτων φύσιν ἁπάντων τῶν ζώων, πῦρ καὶ ὕδωρ καὶ πνεῦμα, καθορῶμέν που, καὶ γῆν, καθάπερ οἱ χειμαζόμενοί φασιν, ἐνόντα ἐν τῇ ξυστάσει. ΠΡΩ. Καὶ μάλα. χειμαζόμεθα γὰρ ὄντως ὑπ' ἀπορίας ἐν τοῖς νῦν λόγοις. ΣΩ. Φέρε δή, περὶ ἑκάστου τῶν παρ' ἡμῖν λάβε τὸ τοιόνδε. ΠΡΩ. Ποῖον; ΣΩ. Ὅτι σμικρόν τε τούτων ἕκαστον παρ' ἡμῖν ἔνεστι καὶ φαῦλον, καὶ οὐδαμῇ οὐδαμῶς εἰλικρινὲς ὄν, καὶ τὴν δύναμιν οὐκ ἀξίαν τῆς φύσεως ἔχον. ἐν ἑνὶ δὲ λαβὼν περὶ πάντων νόει ταυτόν. οἷον, πῦρ ἔστι μέν που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί. ΠΡΩ. Τί μήν; ΣΩ. Οὐκοῦν σμικρὸν μέν τι τὸ παρ' ἡμῖν καὶ ἀσθενὲς καὶ φαῦλον, τὸ δ' ἐν τῷ παντί, πλήθει τε θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὔσῃ; ΠΡΩ. Καὶ μάλα ἀληθές, ὃ λέγεις. ΣΩ. Τί δέ; τρέφεται καὶ γίγνεται ἐκ τούτου, καὶ ἄρχεται τὸ τοῦ παντὸς πῦρ ὑπὸ τοῦ παρ' ἡμῖν πυρός; ἢ τοὐναντίον ὑπ' ἐκείνου τό, τ' ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζώων ἅπαντ' ἴσχει ταῦτα; ΠΡΩ. Τοῦτο μὲν

οὐδ᾽ ἀποκρίσεως ἄξιον ἐρωτᾷς. ΣΩ. Ὀρθῶς· ταυτά γ᾽ ἂν ἐρεῖς, οἶμαι, περί τε τῆς ἐν τοῖς ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντὶ καὶ τῶν ἄλλων δή, ὅσων ἠρώτησα ὀλίγον ἔμπροσθεν. οὕτως ἀποκρινῇ; ΠΡΩ. Τίς γὰρ ἀποκρινόμενος ἄλλως ὑγιαίνων ἄν ποτε φανείη; ΣΩ. Σχεδὸν οὐδ᾽ ὁστισοῦν. ἀλλὰ τὸ μετὰ τοῦτο ἑξῆς ἕπου. πάντα γὰρ ἡμεῖς ταῦτα τὰ νῦν δὴ λεχθέντα ἆρ᾽ οὐκ εἰς ἓν ξυγκείμενα ἰδόντες ἐπωνομάσαμεν σῶμα; ΠΡΩ. Τί μήν; ΣΩ. Ταυτὸν δὴ λάβε καὶ περὶ τοῦδε, ὃν κόσμον λέγομεν. διὰ τὸν αὐτὸν γὰρ τρόπον ἂν εἴη που σῶμα ξύνθετον ὂν ἐκ τῶν αὐτῶν. ΠΡΩ. Ὀρθότατον λέγεις. ΣΩ. Πότερον οὖν ἐκ τούτου τοῦ σώματος ὅλως τὸ παρ᾽ ἡμῖν σῶμα, ἢ ἐκ τοῦ παρ᾽ ἡμῖν τοῦτο τρέφεταί τε καί, ὅσα νῦν δὴ περὶ αὐτῶν εἴπομεν, εἴληφέ τε καὶ ἔχει; ΠΡΩ. Καὶ τοῦθ᾽ ἕτερον, ὦ Σώκρατες, οὐκ ἄξιον ἐρωτήσεως. ΣΩ. Τί δέ; τόδε ἆρα ἄξιον, ἢ πῶς ἐρεῖς; ΠΡΩ. Λέγε τὸ ποῖον. ΣΩ. Τὸ παρ᾽ ἡμῖν σῶμα ἆρ᾽ οὐ ψυχὴν φήσομεν ἔχειν; ΠΡΩ. Δῆλον ὅτι φήσομεν. ΣΩ. Πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν, εἴπερ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταυτά γε ἔχον τούτῳ καὶ ἔτι καλλίονα; ΠΡΩ. Δῆλον, ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες. ΣΩ. Οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρα ἐκεῖνα, πέρας καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας γένος, ἐν ἅπασι τέταρτον ἐνὸν τοῦτο, ἐν μὲν τοῖς παρ᾽ ἡμῖν ψυχήν τε παρέχον καὶ σῶμα, σκιὰν ἐμποιοῦν, καὶ πταίσαντος σώματος ἰατρικήν, καὶ ἐν ἄλλοις ἄλλα

ξυντιθὲν καὶ ἀκούμενον, πᾶσαν καὶ παντοίαν σοφίαν ἐπικαλεῖσθαι· τῶν δ' αὐτῶν τούτων ὄντων ἐν ὅλῳ τε οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δ' οὐκ ἄρα μεμηχάνῆσθαι τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν. ΠΡΩ. Ἀλλ' οὐδαμῶς τοῦτό γ' ἂν λόγον ἔχοι. ΣΩ. Οὐκοῦν, εἰ μὴ τοῦτο, μετ' ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι, βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολὺ καὶ πέρας ἱκανόν, καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ ξυντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ' ἄν. ΠΡΩ. Δικαιότατα δῆτα. ΣΩ. Σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην. ΠΡΩ. Οὐ γὰρ οὖν. ΣΩ. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι, διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δὲ ἄλλοις ἄλλα καλά, καθότι φίλον ἑκάστοις λέγεσθαι; ΠΡΩ. Μάλα γε. ΣΩ. Τοῦτον δὴ τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς, ὦ Πρώταρχε, εἰρηκέναι, ἀλλ' ἔστι τοῖς μὲν πάλαι ἀποφηναμένοις, ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει, ξύμμαχος ἐκείνοις. ΠΡΩ. Ἔστι γὰρ οὖν. ΣΩ. Τῇ δέ γε ἐμῇ ζητήσει πεπορικὼς ἀπόκρισιν, ὅτι νοῦς ἐστι γενούστης τοῦ πάντων αἰτίου λεχθέντος τῶν τεττάρων, ὧν ἦν ἡμῖν ἓν τοῦτο· ἔχεις γάρ δήπου νῦν ἡμῶν ἤδη τὴν ἀπόκρισιν. ΠΡΩ. Ἔχω καὶ μάλα ἱκανῶς· καίτοι με ἀποκρινάμενος ἔλαθες. ΣΩ. Ἀνάπαυλα γὰρ τῆς σπουδῆς, ὦ Πρώταρχε, γίγνεται ἐνίοτε ἡ παιδιά. ΠΡΩ. Καλῶς εἶπες. ΣΩ.

Νῦν δήπου, ὦ ἑταῖρε, οὗ μὲν γένους ἐστὶ, καὶ τίνα ποτὲ δύναμιν κέκτηται, σχεδὸν ἐπιεικῶς ἡμῖν τανῦν δεδήλωται. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ μὴν ἡδονῆς γε ὡσαύτως πάλαι τὸ γένος ἐφάνη. ΠΡΩ. Καὶ μάλα. ΣΩ. Μεμνώμεθα δὴ καὶ ταῦτα περὶ ἀμφοῖν, ὅτι νοῦς μὲν αἰτίας ἦν ξυγγενὴς, καὶ τούτου σχεδὸν τοῦ γένους, ἡδονὴ δὲ ἄπειρός τε αὐτὴ καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε τέλος ἀφ' ἑαυτοῦ ἐν ἑαυτῷ ἔχοντος, μηδὲ ἕξοντός ποτε, γένους. ΠΡΩ. Μεμνησόμεθα· πῶς γὰρ οὔ; XVII. ΣΩ. Δεῖ δὴ τὸ μετὰ τοῦτο, ἐν ᾧ τέ ἐστιν ἑκάτερον αὐτοῖν καὶ διὰ τί πάθος γίγνεσθον, ὁπόταν γίγνησθον, ἰδεῖν ἡμᾶς· πρῶτον τὴν ἡδονήν· ὥσπερ τὸ γένος αὐτῆς πρότερον ἐβασανίσαμεν, οὕτω καὶ ταῦτα πρότερα· λύπης δ' αὖ χωρὶς τὴν ἡδονὴν οὐκ ἄν ποτε δυναίμεθα ἱκανῶς βασανίσαι. ΠΡΩ. Ἀλλ' εἰ ταύτῃ χρὴ πορεύεσθαι, ταύτῃ πορευώμεθα. ΣΩ. Ἆρ' οὖν σοι, καθάπερ ἐμοί, φαίνεται τῆς γενέσεως αὐτῶν πέρι; ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ἐν τῷ κοινῷ μοι γένει φαίνεσθον ἅμα λύπη τε καὶ ἡδονὴ γίγνεσθαι κατὰ φύσιν. ΠΡΩ. Κοινὸν δέ γε, ὦ φίλε Σώκρατες, ὑπομίμνησκε ἡμᾶς, τί ποτε τῶν προειρημένων βούλει δηλοῦν. ΣΩ. Ἔσται ταῦτ' εἰς δύναμιν, ὦ θαυμάσιε. ΠΡΩ. Καλῶς εἶπες. ΣΩ. Κοινὸν τοίνυν ὑπακούωμεν, ὃ δὴ τῶν τεττάρων τρίτον ἐλέγομεν. ΠΡΩ. Ὃ μετὰ τὸ ἄπειρον καὶ πέρας ἔλεγες, ἐν ᾧ καὶ ὑγίειαν, οἶμαι δὲ καὶ ἁρμονίαν, ἐτίθεσο. ΣΩ. Κάλλιστ' εἶπες. Τὸν νοῦν δὲ ὅτι μάλιστ' ἤδη πρόσεχε. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Λέγω τοίνυν, τῆς

ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν τοῖς ζώοις, ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ. ΠΡΩ. Πάνυ λέγεις εἰκός. ΣΩ. Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὑτῆς φύσιν ἀπιούσης, ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι᾽ ὀλίγων περὶ μεγίστων ὅτι τάχιστα ῥηθῆναι. ΠΡΩ. Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι τὰ αὐτὰ ταῦτα πειρώμεθα λέγειν. ΣΩ. Οὐκοῦν τὰ δημόσιά που καὶ περιφανῆ ῥᾷστον ξυννοεῖν; ΠΡΩ. Ποῖα; ΣΩ. Πείνη μέν που, λύσις καὶ λύπη. ΠΡΩ. Ναί. ΣΩ. Ἐδωδὴ δέ, πλήρωσις γιγνομένη πάλιν, ἡδονή. ΠΡΩ. Ναί. ΣΩ. Δίψος δ᾽ αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις, ἡδονή· διάκρισις δέ γ᾽ αὖ καὶ διάλυσις, ἡ παρὰ φύσιν τοῦ πνίγους πάθη, λύπη, κατὰ φύσιν δὴ πάλιν ἀπόδοσίς τε καὶ ψῦξις, ἡδονή. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζώου τῆς ὑγρότητος πῆξις, λύπη, πάλιν δ᾽ εἰς ταυτὸν ἀπιόντων καὶ διακρινομένων, ἡ κατὰ φύσιν ὁδός, ἡδονή. καὶ ἑνὶ λόγῳ σκόπει, εἴ σοι μέτριος ὁ λόγος, ὃς ἂν φῇ τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅπερ ἔλεγον ἐν τῷ πρόσθεν, ὅταν μὲν τοῦτο φθείρηται, τὴν μὲν φθορὰν λύπην εἶναι, τὴν δ᾽ εἰς τὴν αὑτῶν οὐσίαν ὁδόν, ταύτην δ᾽ αὖ πάλιν τὴν ἀναχώρησιν πάντων, ἡδονήν. ΠΡΩ. Ἔστω. δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν. ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις

ΠΡΩ. Κείσθω. XVIII. ΣΩ. Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν παθημάτων προσδόκημα, τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον, ἡδὺ καὶ θαῤῥαλέον, τὸ δὲ πρὸ τῶν λυπηρῶν, φοβερὸν καὶ ἀλγεινόν. ΠΡΩ. Ἔστι γὰρ οὖν τοῦθ᾽ ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίαν γιγνόμενον. ΣΩ. Ὀρθῶς ὑπέλαβες. ἐν γὰρ τούτοις, οἶμαι, κατά γε τὴν ἐμὴν δόξαν, εἰλικρινέσι τε ἑκατέροις γιγνομέναις, ὡς δοκεῖ, καὶ ἀμίκτοις λύπης τε καὶ ἡδονῆς, ἐμφανὲς ἔσεσθαι τὸ περὶ τὴν ἡδονήν, πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν, ἢ τοῦτο μὲν ἑτέρῳ τινὶ τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ τε καὶ λύπῃ, καθάπερ θερμῷ καὶ ψυχρῷ καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν ἀσπαστέον αὐτά, τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα, ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τῶν ἀγαθῶν ἔστιν ὅτε φύσιν. ΠΡΩ. Ὀρθότατα λέγεις, ὅτι ταύτῃ πῃ δεῖ διαθηρευθῆναι τὸ νῦν μεταδιωκόμενον. ΣΩ. Πρῶτον μὲν τοίνυν τόδε ξυνίδωμεν, ὡς, εἴπερ ὄντως ἐστὶ τὸ λεγόμενον διαφθειρομένων μὲν αὐτῶν ἀλγηδών, ἀνασωζομένων δὲ ἡδονή, τῶν μήτε διαφθειρομένων μήτε ἀνασωζομένων ἐννοήσωμεν πέρι, τίνα ποτὲ ἕξιν δεῖ τότε ἐν ἑκάστοις εἶναι τοῖς ζώοις, ὅταν οὕτως ἴσχῃ. σφόδρα δὲ προσέχων τὸν νοῦν εἰπέ· ἆρ᾽ οὐ πᾶσα ἀνάγκη, πᾶν ἐν τῷ τότε χρόνῳ ζῶον μήτε τι λυπεῖσθαι, μήτε ἥδεσθαι, μήτε μέγα μήτε σμικρόν; ΠΡΩ. Ἀνάγκη μὲν οὖν. ΣΩ. Οὐκοῦν ἔστι τις τρίτη ἡμῶν ἡ τοιαύτη διάθεσις παρά τε

ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν τοῖς ζώοις, ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ. ΠΡΩ. Πάνυ λέγεις εἰκός. ΣΩ. Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὑτῆς φύσιν ἀπιούσης, ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι᾽ ὀλίγων περὶ μεγίστων ὅτιτάχιστα ῥηθῆναι. ΠΡΩ. Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι τὰ αὐτὰ ταῦτα πειρώμεθα λέγειν. ΣΩ. Οὐκοῦν τὰ δημόσιά που καὶ περιφανῆ ῥᾷστον ξυννοεῖν; ΠΡΩ. Ποῖα; ΣΩ. Πείνη μέν που, λύσις καὶ λύπη. ΠΡΩ. Ναί. ΣΩ. Ἐδωδὴ δέ, πλήρωσις γιγνομένη πάλιν, ἡδονή. ΠΡΩ. Ναί. ΣΩ. Δίψος δ᾽ αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις, ἡδονή· διάκρισις δέ γ᾽ αὖ καὶ διάλυσις, ἡ παρὰ φύσιν τοῦ πνίγους πάθη, λύπη, κατὰ φύσιν δὴ πάλιν ἀπόδοσίς τε καὶ ψῦξις, ἡδονή. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζώου τῆς ὑγρότητος πῆξις, λύπη, πάλιν δ᾽ εἰς ταυτὸν ἀπιόντων καὶ διακρινομένων, ἡ κατὰ φύσιν ὁδός, ἡδονή. καὶ ἑνὶ λόγῳ σκόπει, εἴ σοι μέτριος ὁ λόγος, ὃς ἂν φῇ τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅπερ ἔλεγον ἐν τῷ πρόσθεν, ὅταν μὲν τοῦτο φθείρηται, τὴν μὲν φθορὰν λύπην εἶναι, τὴν δ᾽ εἰς τὴν αὑτῶν οὐσίαν ὁδόν, ταύτην δ᾽ αὖ πάλιν τὴν ἀναχώρησιν πάντων, ἡδονήν. ΠΡΩ. Ἔστω. δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν. ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις.

ΠΡΩ. Κείσθω. XVIII. ΣΩ. Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν παθημάτων προσδόκημα, τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον, ἡδὺ καὶ θαῤῥαλέον, τὸ δὲ πρὸ τῶν λυπηρῶν, φοβερὸν καὶ ἀλγεινόν. ΠΡΩ. Ἔστι γὰρ οὖν τοῦθ' ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίαν γιγνόμενον. ΣΩ. Ὀρθῶς ὑπέλαβες. ἐν γὰρ τούτοις, οἶμαι, κατά γε τὴν ἐμὴν δόξαν, εἰλικρινέσι τε ἑκατέροις γιγνομένοις, ὡς δοκεῖ, καὶ ἀμίκτοις λύπης τε καὶ ἡδονῆς, ἐμφανὲς ἔσεσθαι τὸ περὶ τὴν ἡδονὴν, πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν, ἢ τοῦτο μὲν ἑτέρῳ τινὶ τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ τε καὶ λύπῃ, καθάπερ θερμῷ καὶ ψυχρῷ καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν ἀσπαστέον αὐτά, τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα, ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τῶν ἀγαθῶν ἔστιν ὅτε φύσιν. ΠΡΩ. Ὀρθότατα λέγεις, ὅτι ταύτῃ πῃ δεῖ διαθηρευθῆναι τὸ νῦν μεταδιωκόμενον. ΣΩ. Πρῶτον μὲν τοίνυν τόδε ξυνίδωμεν, ὡς, εἴπερ ὄντως ἐστὶ τὸ λεγόμενον διαφθειρομένων μὲν αὐτῶν ἀλγηδών, ἀνασωζομένων δὲ ἡδονή, τῶν μήτε διαφθειρομένων μήτε ἀνασωζομένων ἐννοήσωμεν πέρι, τίνα ποτὲ ἕξιν δεῖ τότε ἐν ἑκάστοις εἶναι τοῖς ζώοις, ὅταν οὕτως ἴσχῃ. σφόδρα δὲ προσέχων τὸν νοῦν εἰπέ· ἆρ' οὐ πᾶσα ἀνάγκη, πᾶν ἐν τῷ τότε χρόνῳ ζῶον μήτε τι λυπεῖσθαι, μήτε ἥδεσθαι, μήτε μέγα μήτε σμικρόν; ΠΡΩ. Ἀνάγκη μὲν οὖν. ΣΩ. Οὐκοῦν ἔστι τις τρίτη ἡμῶν ἡ τοιαύτη διάθεσις παρά τε

τὴν τοῦ χαίροντος καὶ παρὰ τὴν τοῦ λυπουμένου; ΠΡΩ. Τί μήν; ΣΩ. Ἄγε δὴ τοίνυν, ταύτης προθυμοῦ μεμνῆσθαι· πρὸς γὰρ τὴν τῆς ἡδονῆς κρίσιν οὐ σμικρὸν μεμνῆσθαι ταύτην ἔσθ' ἡμῖν, ἢ μή. βραχὺ δέ τι περὶ αὐτῆς, εἰ βούλει, διαπεράνωμεν. ΠΡΩ. Λέγε ποῖον. ΣΩ. Τῷ τὸν τοῦ φρονεῖν ἑλομένῳ βίον οἶσθ' ὡς τοῦτον τὸν τρόπον οὐδὲν ἀποκωλύει ζῆν. ΠΡΩ. Τὸν τοῦ μὴ χαίρειν, μηδὲ λυπεῖσθαι, λέγεις; ΣΩ. Ἐῤῥήθη γάρ που τότε ἐν τῇ παραβολῇ τῶν βίων, μηδὲν δεῖν μήτε μέγα μήτε σμικρὸν χαίρειν τῷ τὸν τοῦ νοεῖν καὶ φρονεῖν βίον ἑλομένῳ. ΠΡΩ. Καὶ μάλα οὕτως ἐῤῥήθη. ΣΩ. Οὐκοῦν οὕτως ἂν ἐκείνῳ γε ὑπάρχοι; καὶ ἴσως οὐδὲν ἄτοπον, εἰ πάντων τῶν βίων ἐστὶ θειότατος. ΠΡΩ. Οὔκουν εἰκός γε, οὔτε χαίρειν θεοὺς οὔτε τὸ ἐναντίον. ΣΩ. Πάνυ μὲν οὖν οὐκ εἰκός· ἄσχημον γοῦν αὐτῶν ἑκάτερον γιγνόμενόν ἐστιν. ἀλλὰ δὴ τοῦτο μὲν ἔτι καὶ εἰσαῦθις ἐπισκεψώμεθα, ἐὰν πρὸς λόγον τι ᾖ, καὶ τῷ νῷ πρὸς τὰ δευτερεῖα, ἐὰν μὴ πρὸς τὰ πρωτεῖα δυνώμεθα προσθεῖναι, προσθήσομεν. ΠΡΩ. Ὀρθότατα λέγεις. XIX. ΣΩ. Καὶ μὴν τόγε ἕτερον εἶδος τῶν ἡδονῶν, ὃ τῆς ψυχῆς αὐτῆς ἔφαμεν εἶναι, διὰ μνήμης πᾶν ἐστι γεγονός. ΠΡΩ. Πῶς; ΣΩ. Μνήμην, ὡς ἔοικεν, ὅ τι ποτέ ἐστι, πρότερον ἀναληπτέον· καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν μνήμης, εἰ μέλλει περὶ ταῦθ' ἡμῖν κατὰ τρόπον φανερά πη γενήσεσθαι. ΠΡΩ. Πῶς φῄς; ΣΩ. Θὲς τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων τὰ μὲν ἐν τῷ σώ-

μπτι κατασβεννύμενα, πρὶν ἐπὶ τὴν ψυχὴν διεξελθεῖν, ἀπαθῆ ἐκείνην ἐάσαντα, τὰ δὲ δι᾽ ἀμφοῖν ἰόντα, καὶ τινα ὥςπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. ΠΡΩ. Κείσθω. ΣΩ. Τὰ μὲν δὴ μὴ δι᾽ ἀμφοῖν ἰόντα ἐὰν τὴν ψυχὴν ἡμῶν φῶμεν λανθάνειν, τὰ ἃ δὲ δι᾽ ἀμφοῖν μὴ λανθάνειν, ἆρ᾽ ὀρθότατα ἐροῦμεν; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Τὸ τοίνυν λεληθέναι, μηδαμῶς ὑπολάβῃς, ὡς λέγω λήθης ἐνταῦθά που γένεσιν. ἔστι γὰρ λήθη μνήμης ἔξοδος, ἡ δ᾽ ἐν τῷ λεγομένῳ νῦν, οὔπω γέγονε· τοῦ δὲ μήτε ὄντος, μήτε γεγονότος πως, γίγνεσθαι φάναι τινὰ ἀποβολήν, ἄτοπον. ἦ γάρ; ΠΡΩ. Τί μήν; ΣΩ. Τὰ τοίνυν ὀνόματα μετάβαλε μόνον. ΠΡΩ. Πῶς; ΣΩ. Ἀντὶ μὲν τοῦ λεληθέναι τὴν ψυχήν, ὅταν ἀπαθὴς αὕτη γίγνηται τῶν σεισμῶν τῶν τοῦ σώματος, ἣν νῦν λήθην καλεῖς, ἀναισθησίαν ἐπονόμασον. ΠΡΩ. Ἔμαθον. ΣΩ. Τὸ δὲ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δ᾽ αὖ τὴν κίνησιν ὀνομάζων αἴσθησιν, οὐκ ἀπὸ τρόπου φθέγγοι᾽ ἄν. ΠΡΩ. Ἀληθέστατα λέγεις. ΣΩ. Οὐκοῦν ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν; ΠΡΩ. Τί μήν; ΣΩ. Σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων ὀρθῶς ἄν τις λέγοι, κατά γε τὴν ἐμὴν δόξαν. ΠΡΩ. Ὀρθῶς γὰρ οὖν. ΣΩ. Μνήμης δὲ ἀνάμνησιν ἆρ᾽ οὐ διαφέρουσαν λέγομεν; ΠΡΩ. Ἴσως. ΣΩ. Ἆρ᾽ οὖν οὐ τόδε; ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὅταν ἃ μετὰ τοῦ

σώματος ἔπασχέ ποθ' ἡ ψυχή, ταῦτ' ἄνευ τοῦ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτιμάλιστα ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἦ γάρ; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην εἴτε αἰσθήσεως, εἴτ' αὖ μαθήματος, αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα ξύμπαντα ἀναμνήσεις καὶ μνήμας που λέγομεν. ΠΡΩ. Ὀρθῶς λέγεις. ΣΩ. Οὗ δὴ χάριν ἅπαντ' εἴρηται ταῦτα, ἔστι τόδε. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ἵνα πη τὴν ψυχῆς ἡδονὴν χωρὶς σώματος ὅτιμάλιστα καὶ ἐναργέστατα λάβοιμεν, καὶ ἅμα ἐπιθυμίαν· διὰ γὰρ τούτων πως ταῦτα ἀμφότερα ἔοικε δηλοῦσθαι. XX. ΠΡΩ. Λέγωμεν τοίνυν, ὦ Σώκρατες, ἤδη τὸ μετὰ ταῦτα. ΣΩ. Πολλά γε περὶ γένεσιν ἡδονῆς καὶ πᾶσαν τὴν μορφὴν αὐτῆς, ἀναγκαῖον, ὡς ἔοικε, λέγοντας σκοπεῖν. καὶ γὰρ νῦν πρότερον ἔτι φαίνεται ληπτέον ἐπιθυμίαν εἶναι, τί ποτ' ἐστὶ καὶ ποῦ γίγνεται. ΠΡΩ. Σκοπῶμεν τοίνυν· οὐδὲν γὰρ ἀπολοῦμεν. ΣΩ. Ἀπολοῦμεν οὖν καὶ ταῦτά γε, ὦ Πρώταρχε, εὑρόντες ὃ νῦν ζητοῦμεν, τὴν περὶ αὐτὰ ταῦτα ἀπορίαν. ΠΡΩ. Ὀρθῶς ἠμύνω· τὸ δ' ἐφεξῆς τούτοις πειρώμεθα λέγειν. ΣΩ. Οὐκοῦν νῦν δὴ πεῖνήν τε καὶ δίψος, καὶ πόλλ' ἕτερα τοιαῦτα ἔφαμεν εἶναι τινὰς ἐπιθυμίας; ΠΡΩ. Σφόδρα γε. ΣΩ. Πρὸς τί ποτε ἄρα ταυτὸν βλέψαντες, οὕτω πολὺ διαφέροντα ταῦθ' ἑνὶ προσαγορεύομεν ὀνόματι; ΠΡΩ. Μὰ Δί' οὐ ῥᾴδιον ἴσως εἰπεῖν, ὦ Σώκρατες· ἀλλ' ὅμως λεκτέον. ΣΩ. Ἐκεῖθεν δὴ πάλιν ἐκ τῶν

αὐτῶν ἀναλάβωμεν. ΠΡΩ. Πόθεν δή; ΣΩ. Διψῆν που λέγομεν ἑκάστοτέ τι; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Τοῦτο δέ γ' ἐστὶ κενοῦσθαι; ΠΡΩ. Τί μήν; ΣΩ. Ἆρ' οὖν τὸ δίψος ἐστὶν ἐπιθυμία; ΠΡΩ. Ναί. ΣΩ. Πόματός γε; ΠΡΩ. Πόματος. ΣΩ. Ἢ πληρώσεως πόματος; ΠΡΩ. Οἶμαι μὲν πληρώσεως. ΣΩ. Ὁ κενούμενος ἡμῶν ἄρα, ὡς ἔοικεν, ἐπιθυμεῖ τῶν ἐναντίων ἢ πάσχει? κενούμενος γὰρ ἐρᾷ πληροῦσθαι. ΠΡΩ. Σαφέστατά γε. ΣΩ. Τί οὖν; ὁ τοπρῶτον κενούμενος ἔστιν ὁπόθεν εἴτ' αἰσθήσει πληρώσεως ἐφάπτοιτ' ἄν, εἴτε μνήμῃ, τούτου ὃ μήτ' ἐν τῷ νῦν χρόνῳ πάσχει, μήτε ἐν τῷ πρόσθεν πώποτ' ἔπαθε; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Ἀλλὰ μὴν ὅ γ' ἐπιθυμῶν τινὸς ἐπιθυμεῖ· φαμέν; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκ ἄρα ὅ γε πάσχει, τούτου ἐπιθυμεῖ· διψῇ γάρ· τοῦτο δὲ κένωσις· ὁ δὲ ἐπιθυμεῖ πληρώσεως. ΠΡΩ. Ναί. ΣΩ. Πληρώσεως ἄρα πῃ τὶ τῶν τοῦ διψῶντος ἂν ἐφάπτοιτο. ΠΡΩ. Ἀναγκαῖον. ΣΩ. Τὸ μὲν δὴ σῶμα ἀδύνατον· κενοῦται γάρ που. ΠΡΩ. Ναί. ΣΩ. Τὴν ψυχὴν ἄρα τῆς πληρώσεως ἐφάπτεσθαι λοιπὸν τῇ μνήμῃ. ΠΡΩ. Δῆλον ὅτι. ΣΩ. τῷ τίνι γὰρ ἂν ἄλλῳ ἐφάψαιτο; ΠΡΩ. Σχεδὸν οὐδενί. ΣΩ. Μανθάνομεν γοῦν, ὃ ξυμβέβηκ' ἡμῖν ἐκ τούτων τῶν λόγων; ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Σώματος ἐπιθυμίαν οὔ φησιν ἡμῖν οὗτος ὁ λόγος γίγνεσθαι. ΠΡΩ. Πῶς; ΣΩ. Ὅτι τοῖς ἐκείνου παθήμασιν ἐναντίαν ἀεὶ παντὸς ζώου μηνύει τὴν ἐπιχείρησιν. ΠΡΩ. Καὶ μάλα. ΣΩ. Ἡ

δ' ὁρμή γε ἐπὶ τοὐναντίον ἄγουσα ἢ τὰ παθήματα, δηλοῖ που μνήμην οὖσαν τῶν τοῖς παθήμασιν ἐναντίων. ΠΡΩ. Πάνυ γε. ΣΩ. Τὴν ἄρα ἐπάγουσαν ἐπὶ τὰ ἐπιθυμούμενα ἀποδείξας μνήμην ὁ λόγος ψυχῆς ξύμπασαν τήν τε ὁρμὴν καὶ ἐπιθυμίαν, καὶ τὴν ἀρχὴν τοῦ ζώου παντὸς ἀπέφηνεν. ΠΡΩ. Ὀρθότατα. ΣΩ. Διψῆν ἄρα τὸ σῶμα ἡμῶν ἢ πεινῆν, ἤ τι τῶν τοιούτων πάσχειν, οὐδαμῇ ὁ λόγος αἱρεῖ, ΠΡΩ. Ἀληθέστατα. XXI. ΣΩ. Ἔτι δὴ καὶ τόδε περὶ τὰ αὐτὰ ταῦτα κατανοήσωμεν. βίου γάρ εἶδός τί μοι φαίνεται βούλεσθαι δηλοῦν ὁ λόγος ἡμῖν ἐν τούτοις αὐτοῖς. ΠΡΩ. Ἐν τίσι καὶ ποίου βίου πέρι φράζεις; ΣΩ. Ἐν τῷ πληροῦσθαι καὶ κενοῦσθαι καὶ πᾶσιν, ὅσα περὶ σωτηρίαν τ' ἐστὶ τῶν ζώων καὶ τὴν φθοράν· καὶ εἴ τις τούτων ἐν ἑκατέρῳ γιγνόμενος ἡμῶν ἀλγεῖ, τότε δὲ χαίρει κατὰ τὰς μεταβολάς. ΠΡΩ. Ἔστι ταῦτα. ΣΩ. Τί δ' ὅταν ἐν μέσῳ τούτων γίγνηται; ΠΡΩ. Πῶς ἐν μέσῳ; ΣΩ. Διὰ μὲν τὸ πάθος ἀλγεῖ, μέμνηται δὲ τῶν ἡδέων γενομένων, παύοιτ' ἂν τῆς ἀλγηδόνος, πεπλήρωται δὲ μήπω· τί τότε; φῶμεν ἢ μὴ φῶμεν αὐτὸν ἐν μέσῳ τῶν παθημάτων εἶναι; ΠΡΩ. Φῶμεν μὲν οὖν. ΣΩ. Πότερον ἀλγοῦνθ' ὅλως, ἢ χαίροντα; ΠΡΩ. Μὰ Δί' ἀλλὰ διπλῇ τινι λύπῃ λυπούμενον, κατὰ μὲν τὸ σῶμα, ἐν τῷ παθήματι, κατὰ δὲ τὴν ψυχήν, προσδοκίας τινὶ πόθῳ. ΣΩ. Πῶς, ὦ Πρώταρχε, τὸ διπλοῦν τῆς λύπης εἶπες; ἆρ' οὐκ ἔστι μὲν ὅτε τις ἡμῶν κενούμενος ἐν ἐλ-

πιδι φανερᾷ τοῦ πληρωθήσεσθαι καθέστηκε, τοτὲ δὲ τοὐναντίον ἀνελπίστως ἔχει; ΠΡΩ. Καὶ μάλα γε. ΣΩ. Μῶν οὖν οὐχὶ ἐλπίζων μὲν πληρωθήσεσθαι τῷ μεμνῆσθαι δοκεῖ σοι χαίρειν, ἅμα δὲ κενούμενος ἐν τούτοις τοῖς χρόνοις ἀλγεῖ; ΠΡΩ. Ἀνάγκη. ΣΩ. Τότ' ἄρα ἄνθρωπος καὶ τἄλλα ζῶα λυπεῖταί τε ἅμα καὶ χαίρει. ΠΡΩ. Κινδυνεύει. ΣΩ. Τί δ'; ὅταν ἀνελπίστως ἔχῃ κενούμενος τεύξεσθαι πληρώσεως, ἆρ' οὐ τότε τὸ διπλοῦν γίγνοιτ' ἂν περὶ τὰς λύπας πάθος, ὃ σὺ νῦν κατιδὼν ᾠήθης ἁπλῶς εἶναι διπλοῦν; ΠΡΩ. Ἀληθέστατα, ὦ Σώκρατες. ΣΩ. Ταύτῃ δὴ τῇ σκέψει τούτων τῶν παθημάτων τόδε χρησώμεθα. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Πότερον ἀληθεῖς ταύτας τὰς λύπας τε καὶ ἡδονὰς ἢ ψευδεῖς εἶναι λέξομεν, ἢ τὰς μὲν τινας ἀληθεῖς, τὰς δ' οὔ; ΠΡΩ. Πῶς δ', ὦ Σώκρατες, ἂν εἶεν ψευδεῖς ἡδοναὶ ἢ λύπαι; ΣΩ. Πῶς δέ, ὦ Πρώταρχε, φόβοι ἂν ἀληθεῖς ἢ ψευδεῖς, ἢ προσδοκίαι ἀληθεῖς ἢ μή, ἢ δόξαι ἀληθεῖς ἢ ψευδεῖς; ΠΡΩ. Δόξας μὲν ἔγωγ' ἄν που ξυγχωροίην, τὰ δ' ἕτερα ταῦτ' οὐκ ἄν. ΣΩ. Πῶς φής; λόγον μέντοι τινὰ κινδυνεύομεν οὐ πάνυ σμικρὸν ἐπεγείρειν. ΠΡΩ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλ' εἰ πρὸς τὰ παρεληλυθότα, ὦ παῖ 'κείνου τοῦ ἀνδρός, προσήκοντα, τοῦτο σκεπτέον. ΠΡΩ. Ἴσως τοῦτό γε. ΣΩ. Χαίρειν τοίνυν δεῖ λέγειν τοῖς ἄλλοις μήκεσιν, ἢ καὶ ὁτῳοῦν τῶν παρὰ τὸ προσῆκον λεγομένων. ΠΡΩ. Ὀρθῶς. ΣΩ. Λέγε δή μοι. θαῦμα γάρ ἐμέ γ' ἔχει διὰ τέλους ἀεὶ περὶ

τὰ αὐτὰ ἃ νῦν δὴ προεθέμεθα ἀπορήματα. ΠΡΩ. Πῶς δὴ φής; ΣΩ. Ψευδεῖς, αἱ δ᾽ ἀληθεῖς, οὐκ εἰσὶν ἡδοναί; ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὔτε δὴ ὄναρ οὔθ᾽ ὕπαρ, ὡς φής, ἐστὶν, οὔτ᾽ ἐν μανίαις οὔτ᾽ ἐν πάσαις ἀφροσύναις οὐδεὶς ἔσθ᾽ ὅστις ποτὲ δοκεῖ μὲν χαίρειν, χαίρει δὲ οὐδαμῶς, οὐδ᾽ αὖ δοκεῖ μὲν λυπεῖσθαι, λυπεῖται δ᾽ οὔ. ΠΡΩ. Πάνθ᾽ οὕτω ταῦτα, ὦ Σώκρατες, ἔχειν πάντες ὑπειλήφαμεν. ΣΩ. Ἆρ᾽ οὖν ὀρθῶς; ἢ σκεπτέον, εἴτ᾽ ὀρθῶς εἴτε μὴ ταῦτα λέγεται; ΠΡΩ. Σκεπτέον, ὡς ἐγὼ φαίην ἄν. XXII. ΣΩ. Διορισώμεθα δὴ σαφέστερον ἔτι τὸ νῦν δὴ λεγόμενον ἡδονῆς τε πέρι καὶ δόξης· ἔστι γάρ πού τι δοξάζειν ἡμῖν; ΠΡΩ. Ναί. ΣΩ. Καὶ ἥδεσθαι; ΠΡΩ. Ναί. ΣΩ. Καὶ μὴν καὶ τὸ δοξαζόμενον ἐστί τι; ΠΡΩ. Πῶς δ᾽ οὔ; ΣΩ. Καὶ τό γε, ᾧ τὸ ἡδόμενον ἥδεται; ΠΡΩ. Καὶ πάνυ γε. ΣΩ. Οὐκοῦν τὸ δοξάζον, ἐάν τε ὀρθῶς ἐάν τε μὴ ὀρθῶς δοξάζῃ, τό γε δοξάζειν ὄντως οὐδέποτε ἀπόλλυσι. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐκοῦν καὶ τὸ ἡδόμενον, ἐάν τε ὀρθῶς ἐάν τε μὴ ὀρθῶς ἥδηται, τό γε ὄντως ἥδεσθαι δῆλον ὡς οὐδέποτε ἀπολεῖ; ΠΡΩ. Ναί, καὶ ταῦθ᾽ οὕτως ἔχει. ΣΩ. Τῷ ποτε οὖν τρόπῳ δόξα ψευδής τε καὶ ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι, τὸ δὲ τῆς ἡδονῆς μόνον ἀληθές; δοξάζειν δ᾽ ὄντως καὶ χαίρειν ἀμφότερα ὁμοίως εἴληφε; ΠΡΩ. Σκεπτέον. ΣΩ. Ἆρα, ὅτι δόξῃ μὲν ἐπιγίγνεσθον ψεῦδός τε καὶ ἀληθές; καὶ ἐγένετο οὐ μόνον δόξα διὰ ταῦτα, ἀλλὰ καὶ ὁποία τις ἑκα-

τέρα; ἀκεπτέον φῂς τοῦτ᾽ εἶναι; ΠΡΩ. Ναί. ΣΩ. Πρὸς δέ γε τούτοις, εἰ καὶ τοπαράπαν ἡμῖν, τὰ μὲν ἔστι ποι᾽ ἄττα, ἡδονὴ δὲ καὶ λύπη, μόνον ἅπερ ἔστι, ποιὼ τινὲ δὲ οὐ γίγνεσθον, καὶ ταῦθ᾽ ἡμῖν διομολογητέον. ΠΡΩ. Δῆλον. ΣΩ. Ἀλλ᾽ οὐδὲν τοῦτό γε χαλεπὸν ἰδεῖν ὅτι καὶ ποιὼ τινέ· πάλαι γὰρ εἴπομεν, ὅτι μεγάλαι τε καὶ σμικραὶ καὶ σφοδραὶ καὶ ἡσυχαίτεραι ἑκάτεραι γίγνονται λῦπαί τε καὶ ἡδοναί. ΠΡΩ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἂν δέ γε πονηρία τούτων, ὦ Πρώταρχε, προσγίγνηται τινί, πονηρὰν μὲν φήσομεν οὕτω γίγνεσθαι δόξαν, πονηρὰν δὲ καὶ ἡδονήν; ΠΡΩ. Ἀλλὰ τί μήν, ὦ Σώκρατες; ΣΩ. Τί δ᾽, ἂν ὀρθότης ἢ τοὐναντίον ὀρθότητι τινὶ τούτων προσγίγνηται, μῶν οὐκ ὀρθὴν μὲν δόξαν ἐροῦμεν, ἐὰν ὀρθότητα ἴσχῃ, ταυτὸν δέ, ἡδονήν; ΠΡΩ. Ἀναγκαῖον. ΣΩ. Ἂν δέ γε ἁμαρτανόμενον τὸ δοξαζόμενον ᾖ, τὴν δόξαν τότε ἁμαρτάνουσάν γε οὐκ ὀρθὴν ὁμολογητέον, οὐδ᾽ ὀρθῶς δοξάζουσαν· ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Τί δ᾽, ἂν αὖ λύπην ἤ τινα ἡδονὴν περὶ τὸ ἐφ᾽ ᾧ λυπεῖται, ἢ τοὐναντίον ἁμαρτάνουσαν ἐφορῶμεν, ὀρθὴν ἢ χρηστὴν ἤ τι τῶν καλῶν ὀνομάτων αὐτῇ προσθήσομεν; ΠΡΩ. Ἀλλ᾽ οὐχ οἷόν τε, εἴπερ ἁμαρτήσεταί γε ἡδονή. ΣΩ. Καὶ μὴν ἔοικέ γε ἡδονὴ πολλάκις οὐ μετὰ δόξης ὀρθῆς, ἀλλὰ μετὰ ψεύδους, ἡμῖν γίγνεσθαι. ΠΡΩ. Πῶς γὰρ οὔ; καὶ τὴν μὲν δόξαν γε, ὦ Σώκρατες, ἐν τῷ τοιούτῳ καὶ τότε ἐλέγομεν ψευδῆ, τὴν δ᾽ ἡδονὴν αὐτὴν οὐδεὶς ἄν ποτε προσείποι ψευδῆ. ΣΩ. Ἀλλὰ

προθύμως ἀμύνεις τῷ τῆς ἡδονῆς, ὦ Πρώταρχε, λόγῳ τανῦν. ΠΡΩ. Οὐδέν γε, ἀλλ' ἅπερ ἀκούω, λέγω. ΣΩ. Διαφέρει δ' ἡμῖν οὐδὲν, ὦ ἑταῖρε, ἡ μετὰ δόξης τε ὀρθῆς καὶ μετ' ἐπιστήμης ἡδονὴ τῆς μετὰ τοῦ ψεύδους καὶ ἀγνοίας πολλάκις ἑκάστοις ἡμῶν ἐγγιγνομένης. ΠΡΩ. Εἰκὸς γοῦν μὴ σμικρὸν διαφέρειν. XXIII. ΣΩ. Τῆς δὴ διαφορᾶς αὐτοῖν ἐπὶ θεωρίαν ἔλθωμεν. ΠΡΩ. Ἄγε, ὅπῃ σοι φαίνεται. ΣΩ. Τῇ δὲ δὴ ἄγω; ΠΡΩ. Πῇ; ΣΩ. Δόξα, φαμὲν, ἡμῖν ἔστι μὲν ψευδής, ἔστι δὲ καὶ ἀληθής. ΠΡΩ. Ἔστι. ΣΩ. Ἕπεται μὴν ταύταις, ὃ νῦν δὴ ἐλέγομεν, ἡδονὴ καὶ λύπη πολλάκις, ἀληθεῖ καὶ ψευδεῖ δόξῃ λέγω. ΠΡΩ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἐκ μνήμης τε καὶ αἰσθήσεως δόξα ἡμῖν καὶ τὸ διαδοξάζειν ἐγχωρεῖν γίγνεται ἑκάστοτε; ΠΡΩ. Καὶ μάλα. ΣΩ. Ἆρ' οὖν ἡμᾶς ὧδε περὶ ταῦτα ἀναγκαῖον ἡγούμεθα ἴσχειν; ΠΡΩ. Πῶς; ΣΩ. Πολλάκις ἰδόντι τινὶ πόῤῥωθεν μὴ πάνυ σαφῶς τὰ καθορώμενα ξυμβαίνειν βούλεσθαι κρίνειν φαίης ἂν ταῦθ', ἅπερ ὁρᾷ; ΠΡΩ. Φαίην ἄν. ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο αὐτὸς αὑτὸν οὗτος ἀνέροιτ' ἂν ὧδε; ΠΡΩ. Πῶς; ΣΩ. Τί ποτε ἄρα ἐστὶ τὸ παρὰ τὴν πέτραν τοῦθ' ἑστάναι φανταζόμενον ὑπό τινι δένδρῳ; ταῦτ' εἰπεῖν ἄν τις πρὸς ἑαυτὸν δοκῇ σοι, τοιαῦτ' ἄττα κατιδὼν φαντασθέντα ἑαυτῷ ποτέ; ΠΡΩ. Τί μήν; ΣΩ. Ἆρ' οὖν μετὰ ταῦτα ὁ τοιοῦτος, ὡς ἀποκρινόμενος ἂν πρὸς αὑτὸν εἴποι τοῦτο, ὡς ἔστιν ἄνθρωπος, ἐπιτυχῶς εἰπών. ΠΡΩ. Καὶ πάνυ γε. ΣΩ.

Καὶ παρενεχθεὶς γ᾽ αὖ τάχ᾽ ἂν ὡς ἔστι τινῶν ποιμένων ἔργον τὸ καθορώμενον ἄγαλμα προσείποι. ΠΡΩ. Μάλιστά γε. ΣΩ. Κἂν μέν τίς γ᾽ αὐτῷ παρῇ, τά τε πρὸς αὐτὸν ῥηθέντα ἐντείνας εἰς φωνὴν πρὸς τὸν παρόντα, αὐτὰ ταῦτ᾽ ἂν πάλιν φθέγξαιτο, καὶ λόγος δὴ γέγονεν οὕτως, ὃ τότε δόξαν ἐκαλοῦμεν; ΠΡΩ. Τί μήν; ΣΩ. Ἂν δ᾽ ἄρα μόνος ᾖ τοῦτο ταὐτὸν πρὸς αὐτὸν διανοούμενος, ἐνίοτε καὶ πλείω χρόνον ἔχων ἐν αὐτῷ πορεύεται. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Τί οὖν; ἆρα σοὶ φαίνεται τὸ περὶ τούτων, ὅπερ ἐμοί; ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Δοκεῖ μοι τότε ἡμῶν ἡ ψυχὴ βιβλίῳ τινὶ προσεοικέναι. ΠΡΩ. Πῶς; ΣΩ. Ἡ μνήμη ταῖς αἰσθήσεσι ξυμπίπτουσα εἰς ταυτόν, κἀκεῖνα ἃ περὶ ταῦτά ἐστι τὰ παθήματα, φαίνονταί μοι σχεδὸν οἷον γράφειν ἡμῶν ἐν ταῖς ψυχαῖς τότε λόγους, καὶ ὅταν μὲν ἀληθῆ γράφῃ, τοῦτο τὸ πάθημα δόξα τε ἀληθὴς καὶ λόγοι ἀπ᾽ αὐτοῦ ξυμβαίνουσιν ἀληθεῖς ἐν ἡμῖν γιγνόμενοι, ψευδῆ δ᾽ ὅταν ὁ τοιοῦτος παρ᾽ ἡμῖν γραμματεὺς γράφῃ, τἀναντία τοῖς ἀληθέσιν ἀπέβη. ΠΡΩ. Πάνυ μὲν οὖν δοκεῖ μοι, καὶ ἀποδέχομαι τὰ ῥηθέντα οὕτως. ΣΩ. Ἀποδέχου δὴ καὶ ἕτερον δημιουργὸν ἡμῶν ἐν ταῖς ψυχαῖς ἐν τῷ τότε χρόνῳ γιγνόμενον. ΠΡΩ. Τίνα; ΣΩ. Ζωγράφον, ὃς μετὰ τὸν γραμματιστὴν τῶν λεγομένων εἰκόνας ἐν τῇ ψυχῇ τούτων γράφει. ΠΡΩ. Πῶς δὴ τοῦτον αὖ καὶ πότε λέγομεν; ΣΩ. Ὅταν ἀπ᾽ ὄψεως ἤ τινος ἄλλης αἰσθήσεως τὰ τότε δοξαζόμενα καὶ λεγόμενα ἀπα-

γαγών τις τὰς τῶν δοξασθέντων καὶ λεχθέντων εἰκόνας ἐν αὑτῷ ὁρᾷ πως· ἢ τοῦτο οὐκ ἔστι γιγνόμενον παρ' ἡμῖν; *ΠΡΩ.* Σφόδρα μὲν οὖν. *ΣΩ.* Οὐκοῦν αἱ μὲν τῶν ἀληθῶν δοξῶν καὶ λόγων εἰκόνες ἀληθεῖς, αἱ δὲ τῶν ψευδῶν ψευδεῖς; *ΠΡΩ.* Παντάπασι. *ΣΩ.* Εἰ δὴ ταῦτ' ὀρθῶς εἰρήκαμεν, ἔτι καὶ τόδε ἐπὶ τούτοις σκεψώμεθα. *ΠΡΩ.* Τὸ ποῖον; *ΣΩ.* Εἰ περὶ μὲν τῶν ὄντων καὶ τῶν γεγονότων ταῦτα ἡμῖν οὕτω πάσχειν ἀναγκαῖον, περὶ δὲ τῶν μελλόντων, οὔ. *ΠΡΩ.* Περὶ ἁπάντων μὲν οὖν τῶν χρόνων ὡσαύτως. *ΣΩ.* Οὐκοῦν αἵ γε διὰ τῆς ψυχῆς αὐτῆς ἡδοναὶ καὶ λῦπαι ἐλέχθησαν ἐν τοῖς πρόσθεν ὡς πρὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ λυπῶν προγίγνοιντ' ἄν; ὥσθ' ἡμῖν ξυμβαίνει τὸ προχαίρειν τε καὶ προλυπεῖσθαι περὶ τὸν μέλλοντα χρόνον εἶναι γιγνόμενον. *ΠΡΩ.* Ἀληθέστατα. *ΣΩ.* Πότερον οὖν τὰ γράμματά τε καὶ ζωγραφήματα, ἃ σμικρῷ πρότερον ἐτίθεμεν ἐν ἡμῖν γίγνεσθαι, περὶ μὲν τὸν γεγονότα καὶ τὸν παρόντα χρόνον ἐστὶ, περὶ δὲ τὸν μέλλοντα οὐκ ἔστι; *ΠΡΩ.* Σφόδρα γε. *ΣΩ.* Ἆρα σφόδρα λέγεις, ὅτι πάντ' ἐστὶ ταῦτα ἐλπίδες εἰς τὸν ἔπειτα χρόνον οὖσαι, ἡμεῖς δ' αὖ διὰ παντὸς τοῦ βίου ἀεὶ γέμομεν ἐλπίδων; *ΠΡΩ.* Παντάπασι μὲν οὖν. XXIV. *ΣΩ.* Ἄγε δή, πρὸς τοῖς νῦν εἰρημένοις καὶ τόδε ἀπόκριναι. *ΠΡΩ.* Τὸ ποῖον; *ΣΩ.* Δίκαιος ἀνὴρ καὶ εὐσεβὴς καὶ ἀγαθὸς πάντως ἆρ' οὐ θεοφιλής ἐστι; *ΠΡΩ.* Τί μήν; *ΣΩ.* Τί δέ; ἄδικός τε καὶ παντάπασι κακὸς ἆρ' οὐ τοὐναντίον

ἐκείνῳ; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Πολλῶν μὴν ἐλπίδων, ὡς ἐλέγομεν ἄρτι, πᾶς ἄνθρωπος γέμει. ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Λόγοι μὴν εἰσιν ἐν ἑκάστοις ἡμῶν, ἃς ἐλπίδας ὀνομάζομεν; ΠΡΩ. Ναί. ΣΩ. Καὶ δὴ καὶ τὰ φαντάσματα ἐζωγραφημένα, καί τις ὁρᾷ πολλάκις ἑαυτῷ χρυσὸν γιγνόμενον ἄφθονον, καὶ ἐπ' αὐτῷ πολλὰς ἡδονάς, καὶ δὴ καὶ ἐζωγραφημένον αὐτὸν ἐφ' ἑαυτῷ χαίροντα σφόδρα καθορᾷ. ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Τούτων οὖν πότερα φῶμεν τοῖς μὲν ἀγαθοῖς ὡς τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ, διὰ τὸ θεοφιλεῖς εἶναι, τοῖς δὲ κακοῖς ὡς αὖ πολὺ τοὐναντίον, ἢ μὴ φῶμεν; ΠΡΩ. Καὶ μάλα φατέον. ΣΩ. Οὐκοῦν καὶ τοῖς κακοῖς ἡδοναί γε οὐδὲν ἧττον πάρεισιν ἐζωγραφημέναι, ψευδεῖς δὲ αὗταί που; ΠΡΩ. Τί μήν; ΣΩ. Ψευδέσιν ἄρα ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, οἱ δ' ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσι. ΠΡΩ. Ἀναγκαιότατα λέγεις. ΣΩ. Εἰσὶ δὴ κατὰ τοὺς νῦν λόγους ψευδεῖς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἡδοναί, μεμιμημέναι μέντοι τὰς ἀληθεῖς ἐπὶ τὰ γελοιότερα, καὶ λῦπαι δὲ ὡσαύτως. ΠΡΩ. Εἰσί. ΣΩ. Οὐκοῦν ἦν δοξάζειν μὲν ὄντως ἀεὶ τῷ τοπαράπαν δοξάζοντι, μὴ ἐπ' οὖσι δὲ μηδὲ ἐπὶ γεγονόσι μηδ' ἐπ' ἐσομένοις ἐνίοτε; ΠΡΩ. Πάνυ γε. ΣΩ. Καὶ ταῦτά γε ἦν, οἶμαι, τὰ ἀπεργαζόμενα δόξαν ψευδῆ τότε καὶ τὸ ψευδῶς δοξάζειν· ἦν γάρ; ΠΡΩ. Ναί. ΣΩ. Τί οὖν; οὐκ ἀνταποδοτέον ταῖς λύπαις τε καὶ ἡδοναῖς τὴν τούτων ἀντίστροφον ἕξιν ἐν ἐκείνοις; ΠΡΩ. Πῶς; ΣΩ.

γαγὼν τις τὰς τῶν δοξασθέντων καὶ λεχθέντων εἰκόνας ἐν αὐτῷ ὁρᾷ πως· ἢ τοῦτο οὐκ ἔστι γιγνόμενον παρ' ἡμῖν; ΠΡΩ. Σφόδρα μὲν οὖν. ΣΩ. Οὐκοῦν αἱ μὲν τῶν ἀληθῶν δοξῶν καὶ λόγων εἰκόνες ἀληθεῖς, αἱ δὲ τῶν ψευδῶν ψευδεῖς; ΠΡΩ. Παντάπασι. ΣΩ. Εἰ δὴ ταῦτ' ὀρθῶς εἰρήκαμεν, ἔτι καὶ τόδε ἐπὶ τούτοις σκεψώμεθα. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Εἰ περὶ μὲν τῶν ὄντων καὶ τῶν γεγονότων ταῦτα ἡμῖν οὕτω πάσχειν ἀναγκαῖον, περὶ δὲ τῶν μελλόντων, οὔ. ΠΡΩ. Περὶ ἁπάντων μὲν οὖν τῶν χρόνων ὡσαύτως. ΣΩ. Οὐκοῦν αἵ γε διὰ τῆς ψυχῆς αὐτῆς ἡδοναὶ καὶ λῦπαι ἐλέχθησαν ἐν τοῖς πρόσθεν ὡς πρὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ λυπῶν προγίγνοιντ' ἄν; ὥσθ' ἡμῖν ξυμβαίνει τὸ προχαίρειν τε καὶ προλυπεῖσθαι περὶ τὸν μέλλοντα χρόνον εἶναι γιγνόμενον. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Πότερον οὖν τὰ γράμματά τε καὶ ζωγραφήματα, ἃ σμικρῷ πρότερον ἐτίθεμεν ἐν ἡμῖν γίγνεσθαι, περὶ μὲν τὸν γεγονότα καὶ τὸν παρόντα χρόνον ἐστί, περὶ δὲ τὸν μέλλοντα οὐκ ἔστι; ΠΡΩ. Σφόδρα γε. ΣΩ. Ἆρα σφόδρα λέγεις, ὅτι πάντ' ἐστὶ ταῦτα ἐλπίδες εἰς τὸν ἔπειτα χρόνον οὖσαι, ἡμεῖς δ' αὖ διὰ παντὸς τοῦ βίου ἀεὶ γέμομεν ἐλπίδων; ΠΡΩ. Παντάπασι μὲν οὖν. — XXIV. ΣΩ. Ἄγε δή, πρὸς τοῖς νῦν εἰρημένοις καὶ τόδε ἀπόκριναι. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Δίκαιος ἀνὴρ καὶ εὐσεβὴς καὶ ἀγαθὸς πάντως ἆρ' οὐ θεοφιλής ἐστι; ΠΡΩ. Τί μήν; ΣΩ. Τί δέ; ἄδικός τε καὶ παντάπασι κακὸς ἆρ' οὐ τοὐναντίον

ἐκείνῳ; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Πολλῶν μὴν ἐλπίδων, ὡς ἐλέγομεν ἄρτι, πᾶς ἄνθρωπος γέμει. ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Λόγοι μήν εἰσιν ἐν ἑκάστοις ἡμῶν, ἃς ἐλπίδας ὀνομάζομεν; ΠΡΩ. Ναί. ΣΩ. Καὶ δὴ καὶ τὰ φαντάσματα ἐζωγραφημένα, καί τις ὁρᾷ πολλάκις ἑαυτῷ χρυσὸν γιγνόμενον ἄφθονον, καὶ ἐπ' αὐτῷ πολλὰς ἡδονάς, καὶ δὴ καὶ ἐζωγραφημένον αὐτὸν ἐφ' ἑαυτῷ χαίροντα σφόδρα καθορᾷ. ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Τούτων οὖν πότερα φῶμεν τοῖς μὲν ἀγαθοῖς ὡς τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ, διὰ τὸ θεοφιλεῖς εἶναι, τοῖς δὲ κακοῖς ὡς αὖ πολὺ τοὐναντίον, ἢ μὴ φῶμεν; ΠΡΩ. Καὶ μάλα φατέον. ΣΩ. Οὐκοῦν καὶ τοῖς κακοῖς ἡδοναί γε οὐδὲν ἧττον πάρεισιν ἐζωγραφημέναι, ψευδεῖς δὲ αὗταί που; ΠΡΩ. Τί μήν; ΣΩ. Ψευδέσιν ἄρα ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, οἱ δ' ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσι. ΠΡΩ. Ἀναγκαιότατα λέγεις. ΣΩ. Εἰσὶ δὴ κατὰ τοὺς νῦν λόγους ψευδεῖς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἡδοναί, μεμιμημέναι μέντοι τὰς ἀληθεῖς ἐπὶ τὰ γελοιότερα, καὶ λῦπαι δὲ ὡσαύτως. ΠΡΩ. Εἰσί. ΣΩ. Οὐκοῦν ἦν δοξάζειν μὲν ὄντως ἀεὶ τῷ τοπαράπαν δοξάζοντι, μὴ ἐπ' οὖσι δὲ μηδὲ ἐπὶ γεγονόσι μηδ' ἐπ' ἐσομένοις ἐνίοτε; ΠΡΩ. Πάνυ γε. ΣΩ. Καὶ ταῦτά γε ἦν, οἶμαι, τὰ ἀπεργαζόμενα δόξαν ψευδῆ τότε καὶ τὸ ψευδῶς δοξάζειν· ἦν γάρ; ΠΡΩ. Ναί. ΣΩ. Τί οὖν; οὐκ ἀνταποδοτέον ταῖς λύπαις τε καὶ ἡδοναῖς τὴν τούτων ἀντίστροφον ἕξιν ἐν ἐκείνοις; ΠΡΩ. Πῶς; ΣΩ.

Ὡς ἦν μὲν χαίρειν ὄντως ἀεὶ τῷ τοπαράπαν ὁπωσοῦν καὶ εἰκῇ χαίροντι, μὴ μέντοι ἐπὶ τοῖς οὖσι, μηδ' ἐπὶ τοῖς γεγονόσιν ἐνίοτε, πολλάκις δὲ καὶ ἴσως πλειστάκις ἐπὶ τοῖς μηδὲ μέλλουσί ποτε γενήσεσθαι. ΠΡΩ. Καὶ ταῦθ' οὕτως, ὦ Σώκρατες, ἀναγκαῖον ἔχειν. ΣΩ. Οὐκοῦν ὁ αὐτὸς λόγος ἂν εἴη περὶ φόβων τε καὶ θυμῶν καὶ πάντων τῶν τοιούτων, ὡς ἔστι καὶ ψευδῆ πάντα τὰ τοιαῦτα ἐνίοτε; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Τί δέ; πονηρὰς δόξας καὶ χρηστὰς ἄλλως ἢ ἀληθεῖς καὶ ψευδεῖς γιγνομένας ἔχομεν εἰπεῖν; ΠΡΩ. Οὐκ ἄλλως. ΣΩ. Οὐδ' ἡδονὰς δ', οἶμαι, κατανοοῦμεν ὡς ἄλλον τινὰ τρόπον εἰσὶ πονηραί, πλὴν τῷ ψευδεῖς γ' εἶναι. ΠΡΩ. Πάνυ μὲν οὖν τοὐναντίον, ὦ Σώκρατες, εἴρηκας· σχεδὸν γὰρ τῷ ψεύδει μὲν οὐ πάνυ πονηρὰς ἄν τις λύπας τε καὶ ἡδονὰς θείη, μεγάλῃ δὲ ἄλλῃ καὶ πολλῇ ξυμπιπτούσας πονηρίᾳ. ΣΩ. Τὰς μὲν τοίνυν πονηρὰς ἡδονὰς καὶ διὰ πονηρίαν οὔσας τοιαύτας ὀλίγον ὕστερον ἐροῦμεν, ἂν ἔτι δοκῇ νῷν, τὰς δὲ ψευδεῖς ἔτι κατ' ἄλλον τρόπον ἐν ἡμῖν πολλὰς καὶ πολλάκις ἐνούσας τε καὶ ἐγγιγνομένας λεκτέον· τούτῳ γὰρ ἴσως χρησόμεθα πρὸς τὰς κρίσεις. ΠΡΩ. Πῶς γὰρ οὐκ; εἴπερ γε εἰσί. ΣΩ. Ἀλλ', ὦ Πρώταρχε, εἰσί, κατά γε τὴν ἐμήν. τοῦτο δὲ τὸ δόγμα, ἕως ἂν κέηται παρ' ἡμῖν, ἀδύνατον ἀνέλεγκτον δήπου γίγνεσθαι. ΠΡΩ. Καλῶς. XXV. ΣΩ. Προσιστώμεθα δή, καθάπερ ἀθληταί, πρὸς τοῦτον αὖ τὸν λόγον. ΠΡΩ. Ἴωμεν. ΣΩ. Ἀλλὰ μὴν εἴπομεν, εἴπερ μεμνήμεθα, ὀλί-

γον ἐν τοῖς ἔμπροσθεν, ἕως αἱ λεγόμεναι ἐπιθυμίαι ἐν ἡμῖν ὦσι δίχα, ὅτι ἄρα τότε τὸ σῶμα καὶ χωρὶς τῆς ψυχῆς τοῖς παθήμασι διείληπται. ΠΡΩ. Μεμνήμεθα καὶ προεῤῥήθη ταῦτα. ΣΩ. Οὐκοῦν τὸ μὲν ἐπιθυμοῦν ἦν ἡ ψυχὴ τῶν τοῦ σώματος ἐναντίων ἕξεων, τὸ δὲ τὴν ἀλγηδόνα ἤ τινα διὰ πάθος ἡδονὴν τὸ σῶμα ἦν τὸ παραδεχόμενον; ΠΡΩ. Ἦν γὰρ οὖν. ΣΩ. Ξυλλογίζου δὴ τὸ γιγνόμενον ἐν τούτοις. ΠΡΩ. Λέγε. ΣΩ. Γίγνεται τοίνυν, ὁπόταν ᾖ ταῦτα, ἅμα παρακεῖσθαι λύπας τε καὶ ἡδονάς, καὶ τούτων αἰσθήσεις ἅμα παρ' ἀλλήλας ἐναντίων οὐσῶν γίγνεσθαι, ὃ καὶ νῦν δὴ ἐφάνη. ΠΡΩ. Φαίνεται γοῦν. ΣΩ. Οὐκοῦν καὶ τόδε εἴρηται καὶ ξυνωμολογημένον ἡμῖν ἔμπροσθεν κεῖται; ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς τὸ μᾶλλόν τε καὶ ἧττον ἄμφω τούτω δέχεσθον λύπη τε καὶ ἡδονή, καὶ ὅτι τῶν ἀπείρων ἤτην. ΠΡΩ. Εἴρηται· τί μήν; ΣΩ. Τίς οὖν μηχανὴ ταῦτ' ὀρθῶς κρίνεσθαι; ΠΡΩ. Ποῖα δὴ καὶ πῶς; ΣΩ. Εἰ τὸ βούλημα ἡμῖν τῆς κρίσεως τούτων ἐν τοιούτοις τισὶ διαγνῶναι βούλεται ἑκάστοτε, τίς τούτων πρὸς ἀλλήλας μείζων καὶ τίς ἐλάττων, καὶ τίς μᾶλλον, καὶ τίς σφοδροτέρα λύπη τε πρὸς ἡδονὴν καὶ λύπη πρὸς λύπην καὶ ἡδονὴ πρὸς ἡδονήν. ΠΡΩ. Ἀλλ' ἔστι ταῦτά τε τοιαῦτα, καὶ ἡ βούλησις τῆς κρίσεως αὕτη. ΣΩ. Τί οὖν; ἐν μὲν ὄψει, τὸ πόῤῥωθεν καὶ ἐγγύθεν ὁρᾶν τὰ μεγέθη τὴν ἀλήθειαν ἀφανίζει, καὶ ψευδῆ ποιεῖ δοξάζειν, ἐν λύπαις δ' ἄρα καὶ ἡδοναῖς οὐκ ἔστι ταυτὸν τοῦτο

γιγνόμενον; ΠΡΩ. Πολὺ μὲν οὖν μᾶλλον, ὦ Σώκρατες. ΣΩ. Ἐναντίον δὴ τὸ νῦν τῷ σμικρὸν ἔμπροσθεν γέγονε. ΠΡΩ. Τὸ ποῖον λέγεις; ΣΩ. Τότε μὲν αἱ δόξαι ψευδεῖς τε καὶ ἀληθεῖς αὗται γιγνόμεναι τὰς λύπας τε ἅμα καὶ ἡδονὰς τοῦ παρ᾽ αὐταῖς παθήματος ἀνεπίμπλασαν. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Νῦν δέ γε αὗται, διὰ τὸ πόῤῥωθέν τε καὶ ἐγγύθεν ἑκάστοτε μεταβαλλόμεναι θεωρεῖσθαι καὶ ἅμα τιθέμεναι παρ᾽ ἀλλήλας, αἱ μὲν ἡδοναὶ παρὰ τὸ λυπηρὸν μείζους φαίνονται καὶ σφοδρότεραι, λῦπαι δ᾽ αὖ, διὰ τὸ παρ᾽ ἡδονάς, τοὐναντίον ἐκείναις. ΠΡΩ. Ἀνάγκη γίγνεσθαι τὰ τοιαῦτα διὰ ταῦτα. ΣΩ. Οὐκοῦν, ὅσῳ μείζους τῶν οὐσῶν ἑκάτεραι καὶ ἐλάττους φαίνονται, τοῦτο ἀποτεμόμενος ἑκατέρων τὸ φαινόμενον ἀλλ᾽ οὐκ ὂν οὔτε αὐτὸ ὀρθῶς φαινόμενον ἐρεῖς, οὔτ᾽ αὖ ποτε τὸ ἐπὶ τοῦτο μέρος τῆς ἡδονῆς καὶ λύπης γιγνόμενον ὀρθόν τε καὶ ἀληθὲς τολμήσεις λέγειν; ΠΡΩ. Οὐ γὰρ οὖν. ΣΩ. Τούτων τοίνυν ἑξῆς ὀψόμεθα, ἐὰν τῇδε ἀπαντῶμεν, ἡδονὰς καὶ λύπας ψευδεῖς ἔτι μᾶλλον ἢ ταύτας φαινομένας τε καὶ οὔσας ἐν τοῖς ζώοις. ΠΡΩ. Ποίας δὴ καὶ πῶς λέγεις; XXVI. ΣΩ. Εἴρηταί που πολλάκις, ὅτι τῆς φύσεως ἑκάστων διαφθειρομένης μὲν ξυγκρίσεσι καὶ κενώσεσι καὶ τισιν αὔξεσι καὶ φθίσεσι, λῦπαί τε καὶ ἀλγηδόνες καὶ ὀδύναι καὶ πάνθ᾽, ὁπόσα τοιαῦτ᾽ ὀνόματ᾽ ἔχει, ξυμβαίνει γιγνόμενα. ΠΡΩ. Ναί, ταῦτα εἴρηται πολλάκις. ΣΩ. Εἰς δέ γε τὴν αὐτῶν φύσιν ὅταν καθίστηται, ταύ-

την αὖ τὴν κατάστασιν ἡδονὴν ἀπεδεξάμεθα παρ' ἡμῶν αὐτῶν. ΠΡΩ. Ὀρθῶς. ΣΩ. Τί δ', ὅταν περὶ τὸ σῶμα μηδὲν τούτων γιγνόμενον ἡμῶν ᾖ; ΠΡΩ. Πότε δὲ τοῦτ' ἂν γένοιτο, ὦ Σώκρατες; ΣΩ. Οὐδὲν πρὸς λόγον, ὦ Πρώταρχε, ὃ σὺ νῦν ἤρου τὸ ἐρώτημα. ΠΡΩ. Τί δή; ΣΩ. Διότι τὴν ἐμὴν ἐρώτησιν οὐ κωλύσεις με διέρεσθαί σε πάλιν. ΠΡΩ. Ποίαν; ΣΩ. Εἰ δ' οὖν μὴ γίγνοιτο, ὦ Πρώταρχε, φήσω, τὸ τοιοῦτον, τί ποτε ἀναγκαῖον ἐξ αὐτοῦ ξυμβαίνειν ἡμῖν; ΠΡΩ. Μὴ κινουμένου τοῦ σώματος ἐφ' ἑκάτερα φῄς; ΣΩ. Οὕτω. ΠΡΩ. Δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, ὡς οὔτε ἡδονὴ γίγνοιτ' ἂν ἐν τῷ τοιούτῳ ποτέ, οὔτ' ἄν τις λύπη. ΣΩ. Κάλλιστ' εἶπες· ἀλλὰ γάρ, οἶμαι, τόδε λέγεις, ὡς ἀεί τι τούτων ἀναγκαῖον ἡμῖν ξυμβαίνειν, ὡς οἱ σοφοὶ φασίν· ἀεὶ γὰρ ἅπαντα ἄνω τε καὶ κάτω ῥεῖ. ΠΡΩ. Λέγουσι γὰρ οὖν, καὶ δοκοῦσί γε οὐ φαύλως λέγειν. ΣΩ. Πῶς γὰρ ἄν, μὴ φαῦλοί γε ὄντες; ἀλλὰ γὰρ ὑπεκστῆναι τὸν λόγον ἐπιφερόμενον τοῦτον βούλομαι. τῇδ' οὖν διανοοῦμαι φεύγειν, καί σύ μοι ξύμφευγε. ΠΡΩ. Λέγε ὅπῃ. ΣΩ. Ταῦτα μὲν τοίνυν οὕτως ἔστω, φῶμεν πρὸς τούτους. σὺ δ' ἀπόκριναι, πότερον ἀεὶ πάντα, ὅσα πάσχει τι τῶν ἐμψύχων, ταῦτ' αἰσθάνεται τὸ πάσχον, καὶ οὔτ' αὐξανόμενοι λανθάνομεν ἡμᾶς αὐτούς, οὔτε τι τῶν τοιούτων οὐδὲν πάσχοντες; ἢ πᾶν τοὐναντίον; ὀλίγου γὰρ τά γε τοιαῦτα λέληθε πάνθ' ἡμᾶς. ΠΡΩ. Ἅπαν δήπου τοὐναντίον. ΣΩ. Οὐ τοίνυν καλῶς

ἡμῖν εἴρηται τὸ νῦν δὴ ῥηθὲν, ὡς αἱ μεταβολαὶ κάτω τε καὶ ἄνω γιγνόμεναι λύπας τε καὶ ἡδονὰς ἀπεργάζονται. ΠΡΩ. Τί μήν; ΣΩ. Ὧδ' ἔσται κάλλιον καὶ ἀνεπιληπτότερον τὸ λεγόμενον. ΠΡΩ. Πῶς; ΣΩ. Αἱ μὲν μεγάλαι μεταβολαὶ λύπας τε καὶ ἡδονὰς ποιοῦσιν ἡμῖν, αἱ δ' αὖ μέτριαί τε καὶ σμικραὶ τοπαράπαν οὐδέτερα τούτων. ΠΡΩ. Ὀρθότερον οὕτως ἢ ἐκείνως, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν, εἰ ταῦτα οὕτω, πάλιν ὁ νῦν δὴ ῥηθεὶς βίος ἂν ἥκοι; ΠΡΩ. Ποῖος; ΣΩ. Ὃν ἄλυπόν τε καὶ ἄνευ χαρμονῶν ἔφαμεν εἶναι. ΠΡΩ. Ἀληθέστατα λέγεις. ΣΩ. Ἐκ δὴ τούτων τιθῶμεν τριττοὺς ἡμῖν βίους, ἕνα μὲν ἡδύν, τὸν δ' αὖ, λυπηρόν, τὸν δ' ἕνα, μηδέτερα· ἢ πῶς ἂν φαίης σὺ περὶ τούτων; ΠΡΩ. Οὐκ ἄλλως ἔγωγε ἢ ταύτῃ, τρεῖς εἶναι τοὺς βίους. ΣΩ. Οὐκοῦν οὐκ ἂν εἴη τὸ μὴ λυπεῖσθαι ποτὲ ταυτὸν τῷ χαίρειν; ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Ὁπόταν οὖν ἀκούσῃς, ὡς ἥδιστον πάντων ἐστὶ διατελεῖν ἀλύπως τὸν βίον ἅπαντα, τί τόθ' ὑπολαμβάνεις λέγειν τὸν τοιοῦτον; ΠΡΩ. Ἡδὺ λέγειν φαίνεται ἔμοιγε οὗτος τὸ μὴ λυπεῖσθαι. ΣΩ. Τριῶν οὖν ὄντων ἡμῖν ὧντινων βούλει, τίθει, καλλίοσιν ἵνα ὀνόμασι χρώμεθα, τὸ μὲν χρυσόν, τὸ δ' ἄργυρον, τρίτον δὲ τὸ μηδέτερα τούτων. ΠΡΩ. Κεῖται. ΣΩ. Τὸ δὲ μηδέτερα τούτων ἔσθ' ἡμῖν ὅπως θάτερα γένοιτ' ἄν, χρυσὸς ἢ ἄργυρος; ΠΡΩ. Καὶ πῶς ἄν; ΣΩ. Οὐδ' ἄρα ὁ μέσος βίος, ἡδὺς ἢ λυπηρὸς λεγόμενος, ὀρθῶς ἄν ποτε

ούτ' εἰ δοξάζοι τις, δοξάζοιτο, οὔτ' εἰ λέγοι, λεχθείη, κατά γε τὸν ὀρθὸν λόγον. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Ἀλλὰ μὴν, ὦ ἑταῖρε, λεγόντων γε ταῦτα καὶ δοξαζόντων αἰσθανόμεθα. ΠΡΩ. Καὶ μάλα. ΣΩ. Πότερον οὖν χαίρειν οἴονται τότε, ὅταν μὴ λυπῶνται; ΠΡΩ. Φασὶ γοῦν. ΣΩ. Οὐκοῦν οἴονται τότε χαίρειν; οὐ γὰρ ἂν ἔλεγόν πού. ΠΡΩ. Κινδυνεύει. ΣΩ. Ψευδῆ μὴν δοξάζουσι περὶ τοῦ χαίρειν, εἴπερ χωρὶς τοῦ μὴ λυπεῖσθαι καὶ τοῦ χαίρειν ἡ φύσις ἑκατέρου. ΠΡΩ. Καὶ μὴν χωρίς γοῦν. ΣΩ. Πότερον οὖν αἱρώμεθα παρ' ἡμῖν ταῦτ' εἶναι, καθάπερ ἄρτι, τρία, ἢ δύο μόνα; λύπην μὲν κακὸν τοῖς ἀνθρώποις, τὴν δ' ἀπαλλαγὴν τῶν λυπῶν, αὐτὸ τοῦτο ἀγαθὸν ὄν, ἡδὺ προσαγορεύεσθαι; XXVII. ΠΡΩ. Πῶς δὴ νῦν τοῦτο, ὦ Σώκρατες, ἐρωτώμεθα ὑφ' ἡμῶν αὐτῶν; οὐ γὰρ μανθάνω. ΣΩ. Ὄντως γὰρ τοὺς πολεμίους Φιλήβου τοῦδε, ὦ Πρώταρχε, οὐ μανθάνεις. ΠΡΩ. Λέγεις δὲ αὐτοὺς τίνας; ΣΩ. Καὶ μάλα δεινοὺς λεγομένους τὰ περὶ φύσιν, οἳ τοπαράπαν ἡδονὰς οὔ φασιν εἶναι. ΠΡΩ. Τί μήν; ΣΩ. Λυπῶν ταύτας εἶναι πάσας ἀποφυγάς, ἃς νῦν οἱ περὶ Φίληβον ἡδονὰς ἐπονομάζουσι. ΠΡΩ. Τούτοις οὖν ἡμᾶς πότερα πείθεσθαι ξυμβουλεύεις, ἢ πῶς, ὦ Σώκρατες; ΣΩ. Οὔκ, ἀλλ' ὥσπερ μάντεσι προσχρῆσθαί τισι, μαντευομένοις οὐ τέχνῃ, ἀλλά τινι δυσχερείᾳ φύσεως οὐκ ἀγεννοῦς, λίαν μεμισηκότων τὴν τῆς ἡδονῆς δύναμιν καὶ νενομικότων οὐδὲν ὑγιές· ὥστε καὶ αὐτὸ τοῦτο αὐτῆς τὸ ἐπαγωγόν, γοήτευμα, ἀλλ' οὐχ ἡδο-

την εἶναι. τούτοις μὲν οὖν ταῦτα ἂν προςχρήσαιο, σκεψάμενος ἔτι καὶ τἆλλα αὐτῶν δυςχεράσματα. μετὰ δὲ ταῦτα αἵ γέ μοι δοκοῦσιν ἡδοναὶ ἀληθεῖς εἶναι, πεύσῃ, ἵνα ἐξ ἀμφοῖν τοῖν λόγοιν σκεψάμενοι τὴν δύναμιν αὐτῆς παραθώμεθα πρὸς τὴν κρίσιν. ΠΡΩ. Ὀρθῶς λέγεις. ΣΩ. Μεταδιώκωμεν δὴ τούτους, ὥςπερ ξυμμάχους, κατὰ τὸ τῆς δυςχερείας αὐτῶν ἴχνος. οἶμαι γὰρ τοιόνδε τι λέγειν αὐτούς, ἀρχομένους ποθὲν ἄνωθεν, ὡς, εἰ βουληθεῖημεν ὁτουοῦν εἴδους τὴν φύσιν ἰδεῖν, οἷον, τὴν τοῦ σκληροῦ, πότερον εἰς τὰ σκληρότατα ἀποβλέποντες οὕτως ἂν μᾶλλον ξυννοήσαιμεν, ἢ πρὸς τὰ πολλοστὰ σκληρότητι; δεῖ δή σε, ὦ Πρώταρχε, καθάπερ ἐμοί, καὶ τούτοις τοῖς δυςχερέσιν ἀποκρίνεσθαι. ΠΡΩ. Πάνυ μὲν οὖν, καὶ λέγω γε αὐτοῖς, ὅτι πρὸς τὰ πρῶτα μεγέθη. ΣΩ. Οὐκοῦν, εἰ καὶ τὸ τῆς ἡδονῆς γένος ἰδεῖν ἥντινά ποτε ἔχει φύσιν βουληθείημεν, οὐκ εἰς τὰς πολλοστὰς ἡδονὰς ἀποβλεπτέον, ἀλλ' εἰς τὰς ἀκροτάτας καὶ σφοδροτάτας λεγομένας; ΠΡΩ. Πᾶς ἄν σοι ταύτῃ ξυγχωροίη τανῦν. ΣΩ. Ἆρ' οὖν αἱ πρόχειροί γε, αἵπερ καὶ μέγισται τῶν ἡδονῶν, ὃ λέγομεν πολλάκις, αἱ περὶ τὸ σῶμα εἰσὶν αὗται; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Πότερον οὖν καὶ μείζους εἰσὶ καὶ γίγνονται περὶ τοὺς κάμνοντας ἐν ταῖς νόσοις, ἢ περὶ τοὺς ὑγιαίνοντας; εὐλαβηθῶμεν δή, μὴ προπετῶς ἀποκρινόμενοι πταίσωμεν. ΠΡΩ. Πῇ; ΣΩ. Τάχα γὰρ ἴσως φαῖμεν ἂν περὶ ὑγιαίνοντας. ΠΡΩ. Εἰκός γε. ΣΩ. Τί δ'; οὐχ αὗται τῶν ἡδονῶν ὑπερβάλλουσιν, ὧν ἂν καὶ ἐπιθυ-

μίαι μέγισται προσγίγνονται; ΠΡΩ. Τοῦτο μὲν ἀλη-
θές. ΣΩ. Ἆρ' οὖν, ὅτι οἱ πυρέττοντες καὶ ἐν τοιού-
τοις νοσήμασιν ἐχόμενοι μᾶλλον διψῶσι καὶ ῥιγοῦ-
σι, καὶ πάντα, ὁπόσα διὰ τοῦ σώματος εἰώθασι πά-
σχειν, μᾶλλον δὲ ἐνδείᾳ ξυγγίγνονται, καὶ ἀποπλη-
ρουμένων μείζους ἡδονὰς ἴσχουσιν, ἢ τοῦτο οὐ φή-
σομεν ἀληθὲς εἶναι; ΠΡΩ. Πάνυ μὲν οὖν ῥηθὲν
φαίνεται. ΣΩ. Τί οὖν; ὀρθῶς ἂν φαινοίμεθα λέγον-
τες, ὡς, εἴ τις τὰς μεγίστας ἡδονὰς ἰδεῖν βούλοιτο,
οὐκ εἰς ὑγίειαν ἀλλ' εἰς νόσον ἰόντας δεῖ σκοπεῖν;
ὅρα δέ, μή με ἡγῇ διανοούμενον ἐρωτᾶν σε, εἰ πλείω
χαίρουσιν οἱ σφόδρα νοσοῦντες τῶν ὑγιαινόντων,
ἀλλ' οἴου μέγεθός με ζητεῖν ἡδονῆς, καὶ τὸ σφόδρα
περὶ τοῦ τοιούτου ποῦ ποτε γίγνεται ἑκάστοτε. νοῆ-
σαι γάρ δεῖ, φαμέν, ἥντινα φύσιν ἔχει, καὶ τίνα λέ-
γουσιν οἱ φάσκοντες μηδ' εἶναι τοπαράπαν αὐτήν.
ΠΡΩ. Ἀλλὰ σχεδὸν ἕπομαι τῷ λόγῳ σου. XXVIII.
ΣΩ. Τάχα, ὦ Πρώταρχε, οὐχ ἧττον δείξεις· ἀποκρι-
νῇ γάρ. ἐν ὕβρει μείζους ἡδονάς, οὐ πλείους λέγω, τῷ
σφόδρα δὲ καὶ τῷ μᾶλλον ὑπερεχούσας, ὁρᾷς ἢ ἐν τῷ
σώφρονι βίῳ; λέγε δὲ προσέχων τὸν νοῦν. ΠΡΩ.
Ἀλλ' ἔμαθον, ὃ λέγεις, καὶ πολὺ τὸ διάφορον ὁρῶ.
τοὺς μὲν γάρ σώφρονάς που καὶ ὁ παροιμιαζόμενος
ἐπίσχει λόγος, ἑκάστοτε τὸ Μηδὲν ἄγαν παρακελευό-
μενος, ᾧ πείθονται· τὸ δὲ τῶν ἀφρόνων τε καὶ ὑβρι-
στῶν μέχρι μανίας ἡ σφοδρὰ ἡδονὴ κατέχουσα περι-
βοήτους ἀπεργάζεται. ΣΩ. Καλῶς, καί, εἴ γε τοῦθ'
οὕτως ἔχει, δῆλον, ὡς ἔν τινι πονηρίᾳ ψυχῆς καὶ τοῦ

σώματος, ἀλλ' οὐκ ἀρετῇ, μέγισται μὲν ἡδοναὶ, μέγισται δὲ καὶ λῦπαι, γίγνονται. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τούτων τινὰς προελόμενον δεῖ σκοπεῖσθαι, τίνα ποτὲ τρόπον ἐχούσας λέγομεν αὐτὰς εἶναι μεγίστας; ΠΡΩ. Ἀνάγκη. ΣΩ. Σκόπει δὴ τὰς τῶν τοιῶνδε νοσημάτων ἡδονὰς, τίνα ποτὲ ἔχουσι τρόπον. ΠΡΩ. Ποίων; ΣΩ. Τὰς τῶν ἀσχημόνων, ἃς οὓς εἴπομεν δυσχερεῖς μισοῦσι παντελῶς. ΠΡΩ. Ποίας; ΣΩ. Οἷον τὰς τῆς ψώρας ἰάσεις τῷ τρίβειν, καὶ ὅσα τοιαῦτα, οὐκ ἄλλης δεόμενα φαρμάξεως. τοῦτο γὰρ δὴ τὸ πάθος ἡμῖν, ὦ πρὸς θεῶν, τί ποτε φῶμεν ἐγγίγνεσθαι; πότερον ἡδονὴν ἢ λύπην; ΠΡΩ. Ἔμμικτον τοῦτό γε, ὦ Σώκρατες, ἔοικε γίγνεσθαί τι κακόν. ΣΩ. Οὐ μὲν δὴ Φιλήβου γε ἕνεκα παρεθέμην τὸν λόγον, ἀλλ' ἄνευ τούτων, ὦ Πρώταρχε, τῶν ἡδονῶν, καὶ τῶν ταύταις ἑπομένων, ἂν μὴ κατοφθῶσι, σχεδὸν οὐκ ἄν ποτε δυναίμεθα διακρίνασθαι τὸ νῦν ζητούμενον. ΠΡΩ. Οὐκοῦν ἰτέον ἐπὶ τὰς τούτων ξυγγενεῖς; ΣΩ. Τὰς ἐν τῇ μίξει κοινωνούσας λέγεις; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Εἰσὶ τοίνυν μίξεις, αἱ μὲν κατὰ τὸ σῶμα ἐν αὐτοῖς τοῖς σώμασιν, αἱ δ' αὐτῆς τῆς ψυχῆς ἐν τῇ ψυχῇ· τὰς δ' αὖ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀνευρήσομεν λύπας ἡδοναῖς μιχθείσας, τοτὲ μὲν ἡδονάς, τὰ ξυναμφότερα, τοτὲ δὲ λύπας ἐπικαλουμένας. ΠΡΩ. Πῶς; ΣΩ. Ὁπόταν ἐν τῇ καταστάσει τις ἢ τῇ διαφθορᾷ τἀναντία ἅμα πάθη πάσχῃ, ῥιγῶν ποτὲ θέρηται, καὶ θερμαινόμενος ἐνίοτε ψύχηται, ζητῶν, οἶμαι, τὸ μὲν ἔχειν,

τοῦ δ' ἀπαλλάττεσθαι, τὸ δὴ λεγόμενον, πικρῷ γλυκὺ μεμιγμένον, μετὰ δυσαπαλλακτίας παρόν, ἀγανάκτησιν καὶ ὕστερον ξύστασιν ἀγρίαν ποιεῖ. ΠΡΩ. Καὶ μάλ' ἀληθὲς τὸ νῦν δὴ λεγόμενον. ΣΩ. Οὐκοῦν αἱ τοιαῦται μίξεις, αἱ μὲν ἐξ ἴσων εἰσὶ λυπῶν τε καὶ ἡδονῶν, αἱ δ' ἐκ τῶν ἑτέρων πλειόνων; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Λέγε δὴ τὰς μέν, ὅταν πλείους λῦπαι τῶν ἡδονῶν γίγνωνται, τὰς τῆς ψώρας λεγομένας, νῦν δὴ ταύτας εἶναι, καὶ τὰς τῶν γαργαλισμῶν, ὁπόταν ἐντὸς τὸ ζέον ᾖ καὶ τὸ φλεγμαῖνον, τῇ τρίψει δὲ καὶ τῇ κνήσει μὴ ἐφικνῆταί τις, τὰ δ' ἐπιπολῆς μόνον διαχέῃ, τοτὲ φέροντες εἰς πῦρ αὐτά, καὶ εἰς τοὐναντίον ἀπορίαις μεταβάλλοντες ἐνίοτε ἀμηχάνους ἡδονάς· τοτὲ δὲ τοὐναντίον τοῖς ἐντὸς πρὸς τὰς τῶν ἔξω λύπας ἡδονὰς ξυγκερασθείσας, εἰς ὁπότερ' ἂν ῥέψῃ, παρέσχοντο, τῷ τὰ ξυγκεκριμένα βίᾳ διαχεῖν, ἢ τὰ διακεκριμένα ξυγχεῖν, καὶ ὁμοῦ λύπας ἡδοναῖς παρατιθέναι. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Οὐκοῦν, ὁπόταν αὖ πλείων ἡδονὴ κατὰ τὰ τοιαῦτα πάντα ξυμμιχθῇ, τὸ μὲν ὑπομεμιγμένον τῆς λύπης γαργαλίζει τε καὶ ἠρέμα ἀγανακτεῖν ποιεῖ, τὸ δ' αὖ τῆς ἡδονῆς πολὺ πλέον ἐγκεχυμένον ξυντείνει τε καὶ ἐνίοτε πηδᾶν ποιεῖ, καὶ παντοῖα μὲν χρώματα, παντοῖα δὲ σχήματα, παντοῖα δὲ πνεύματα ἀπεργαζόμενον πᾶσαν ἔκπληξιν καὶ βοὰς μετὰ ἀφροσύνης ἐνεργάζεται. ΠΡΩ. Μάλα γε. ΣΩ. Καὶ λέγειν γε, ὦ ἑταῖρε, αὐτόν τε περὶ ἑαυτοῦ ποιεῖ καὶ ἄλλον, ὡς ταύταις ταῖς ἡδοναῖς τερπόμενος οἷον ἀποθνήσκει· καὶ ταύτας γε δὴ παντάπασιν ἀεὶ

μεταδιώκει τοσούτῳ μᾶλλον, ὅσῳ ἂν ἀκολαστότερός τε καὶ ἀφρονέστερος ὢν τυγχάνῃ· καὶ καλεῖ δὴ μεγίστας ταύτας, καὶ τὸν ἐν αὐταῖς ὅτι μάλιστ' ἀεὶ ζῶντα εὐδαιμονέστατον καταριθμεῖται. ΠΡΩ. Πάντα, ὦ Σώκρατες, τὰ ξυμβαίνοντα πρὸς τῶν πολλῶν ἀνθρώπων εἰς δόξαν διεπέρανας. ΣΩ. Περί γε τῶν ἡδονῶν, ὦ Πρώταρχε, τῶν ἐν τοῖς κοινοῖς παθήμασιν αὐτοῦ τοῦ σώματος τῶν ἐπιπολῆς τε καὶ ἐντὸς κερασθέντων· περὶ δὲ τῶν ἐν ψυχῇ σώματι τἀναντία ξυμβάλλεται, λύπην τε ἅμα πρὸς ἡδονήν, καὶ ἡδονὴν πρὸς λύπην, ὥστ' εἰς μίαν ἀμφότερα κρᾶσιν ἰέναι· ταῦτα ἔμπροσθεν μὲν διήλθομεν, ὡς, ὁπόταν αὖ κενῶται, πληρώσεως ἐπιθυμεῖ, καὶ ἐλπίζων μὲν χαίρει, κενούμενος δὲ ἀλγεῖ. ταῦτα δὲ τότε μὲν οὐκ ἐμαρτυράμεθα, νῦν δὲ λέγομεν, ὡς ψυχῆς πρὸς σῶμα διαφερομένης ἐν πᾶσι τούτοις πλήθει ἀμηχάνοις οὖσι, μίξις μία λύπης τε καὶ ἡδονῆς ξυμπίπτει γενομένη. ΠΡΩ. Κινδυνεύεις ὀρθότατα λέγειν. XXIX. ΣΩ. Ἔτι τοίνυν ἡμῖν τῶν μίξεων λύπης τε καὶ ἡδονῆς λοιπὴ μία. ΠΡΩ. Ποίαν φῄς; ΣΩ. Ἣν αὐτὴν τὴν ψυχὴν αὐτῇ πολλάκις λαμβάνειν ξύγκρισιν ἔφαμεν. ΠΡΩ. Πῶς οὖν τοῦτ' αὐτὸ λέγομεν; ΣΩ. Ὀργὴν καὶ φόβον καὶ πόθον καὶ θρῆνον καὶ ἔρωτα καὶ ζῆλον καὶ φθόνον, καὶ ὅσα τοιαῦτα· ἆρ' οὐκ αὐτῆς τῆς ψυχῆς τίθεσαι ταύτας λύπας τινάς; ΠΡΩ. Ἔγωγε. ΣΩ. Οὐκοῦν αὐτὰς ἡδονῶν μεστὰς εὑρήσομεν ἀμηχάνων; ἢ δεόμεθα ὑπομιμνήσκεσθαι τό· ὅς τ' ἐφέηκε [τοῖς θυμοῖς καὶ ταῖς ὀργαῖς,] τὸ πολύφρονά περ χα-

λειφῆναι, Ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο — καὶ τὰς ἐν τοῖς θρήνοις καὶ πόθοις ἡδονὰς ἐν λύπαις οὔσας ἀναμεμιγμένας; ΠΡΩ. Οὔκ, ἀλλ' οὕτω ταῦτά γε καὶ οὐκ ἄλλως ἂν ξυμβαίνοι γιγνόμενα. ΣΩ. Καὶ μὴν καὶ τάς γε τραγικὰς θεωρήσεις, ὅταν ἅμα χαίροντες κλάωσι, μέμνησαι. ΠΡΩ. Τί δ' οὔ; ΣΩ. Τὴν δ' ἐν ταῖς κωμῳδίαις διάθεσιν ἡμῶν τῆς ψυχῆς, ἆρ' οἶσθ' ὡς ἔστι κἀν τούτοις μίξις λύπης τε καὶ ἡδονῆς; ΠΡΩ. Οὐ πάνυ κατανοῶ. ΣΩ. Παντάπασι γὰρ οὐ ῥᾴδιον, ὦ Πρώταρχε, ἐν τούτῳ ξυννοεῖν τὸ τοιοῦτον ἑκάστοτε πάθος. ΠΡΩ. Οὔκουν, ὥς γ' ἔοικεν ἐμοί. ΣΩ. Λάβωμέν γε μὴν αὐτὸ τοσούτῳ μᾶλλον, ὅσῳ σκοτεινότερόν ἐστιν, ἵνα καὶ ἐν ἄλλοις ῥᾷον καταμαθεῖν τις οἷός τ' ᾖ μίξιν λύπης τε καὶ ἡδονῆς. ΠΡΩ. Λέγοις ἄν. ΣΩ. Τὸ τοίνυν δὴ ῥηθὲν ὄνομα φθόνου πότερα λύπην τινὰ ψυχῆς θήσεις, ἢ πῶς; ΠΡΩ. Οὕτω. ΣΩ. Ἀλλὰ μὴν ὁ φθονῶν γε ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται. ΠΡΩ. Σφόδρα γε. ΣΩ. Κακὸν μὴν ἄγνοια, καὶ ἣν δὴ λέγομεν ἀβελτέραν ἕξιν. ΠΡΩ. Τί μήν; ΣΩ. Ἐκ δὴ τούτων ἴδε τὸ γελοῖον ἥντινα φύσιν ἔχει. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Ἔστι δὴ πονηρία μέν τις, τὸ κεφάλαιον, ἕξεώς τινος ἐπίκλην λεγομένη, τῆς δ' αὖ πάσης πονηρίας ἐστὶ τοὐναντίον πάθος ἔχον ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων. ΠΡΩ. Τὸ Γνῶθι σαυτὸν λέγεις, ὦ Σώκρατες; ΣΩ. Ἔγωγε. τοὐναντίον μὴν ἐκείνῳ δηλονότι τὸ μηδαμῇ γιγνώσκειν αὑτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη.

ΠΡΩ. Τί μήν; ΣΩ. Ὦ Πρώταρχε, πειρῶ δὴ αὐτὸ τοῦτο τριχῆ τέμνειν. ΠΡΩ. Πῆ φῄς; οὐ γὰρ μὴ δυνατὸς ὦ. ΣΩ. Λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τανῦν; ΠΡΩ. Λέγω καὶ δέομαί γε πρὸς τῷ λέγειν. ΣΩ. Ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὑτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον; ΠΡΩ. Πῶς; ΣΩ. Πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον, ἢ κατὰ τὴν αὐτῶν οὐσίαν. ΠΡΩ. Πολλοὶ γοῦν εἰσι τὸ τοιοῦτον πάθος ἔχοντες. ΣΩ. Πλείους δέ γε, οἳ μείζους καὶ καλλίους αὑτοὺς δοξάζουσι, καὶ πάντα, ὅσα κατὰ τὸ σῶμα, εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας. ΠΡΩ. Πάνυ γε. ΣΩ. Πολὺ δὲ πλεῖστοί γε, οἶμαι, περὶ τὸ τρίτον εἶδος ἐν ταῖς ψυχαῖς τούτων διημαρτήκασιν ἀρετῆς, δοξάζοντες βελτίους ἑαυτούς, οὐκ ὄντες. ΠΡΩ. Σφόδρα μὲν οὖν. ΣΩ. Τῶν ἀρετῶν δ' ἆρ' οὐ σοφίας [πέρι] τὸ πλῆθος πάντως ἀντεχόμενον μεστὸν ἐρίδων καὶ δοξοσοφίας ἐστὶ καὶ ψεύδους; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπών, ὀρθῶς ἂν εἴποι, πάθος. ΠΡΩ. Σφόδρα γε. ΣΩ. Τοῦτο τοίνυν ἔτι διαιρετέον, ὦ Πρώταρχε, δίχα, εἰ μέλλομεν, τὸν παιδικὸν ἰδόντες φθόνον, ἄτοπον ἡδονῆς καὶ λύπης ὄψεσθαι μίξιν. Πῶς οὖν τέμνωμεν δίχα, λέγεις; ΠΡΩ. Ναί. ΣΩ. Πάντες ὁπόσοι ταύτην τὴν ψευδῆ δόξαν περὶ ἑαυτῶν ἀνοήτως δοξάζουσι, καθάπερ ἁπάντων ἀνθρώπων, καὶ τούτων ἀναγκαιότατον ἕπεσθαι τοῖς μὲν ῥώμην αὐτῶν καὶ δύναμιν, τοῖς δέ, οἶμαι, τοὐναντίον. ΠΡΩ. Ἀνάγκη.

ΣΩ. Ταύτῃ τοίνυν δίελε· καὶ ὅσοι μὲν αὐτῶν εἰσὶ μετ' ἀσθενείας τοιοῦτοι, καὶ ἀδύνατοι καταγελώμενοι τιμωρεῖσθαι, γελοίους τούτους φάσκων εἶναι, τἀληθῆ φθέγξῃ, τοὺς δὲ δυνατοὺς τιμωρεῖσθαι, φοβεροὺς καὶ ἰσχυροὺς καὶ ἐχθροὺς προσαγορεύων, ὀρθότατον τοῦτο σαυτῷ λόγον ἀποδώσεις. ἄγνοια γὰρ ἡ μὲν τῶν ἰσχυρῶν, ἐχθρά τε καὶ αἰσχρά· βλαβερὰ γὰρ καὶ τοῖς πέλας αὐτή τε καὶ ὅσαι εἰκόνες ταύτης εἰσίν· ἡ δ' ἀσθενὴς ἡμῖν τὴν τῶν γελοίων εἴληχε φύσιν. ΠΡΩ. Ὀρθότατα λέγεις. ἀλλὰ γὰρ ἡ τῶν ἡδονῶν καὶ λυπῶν μῖξις ἐν τούτοις οὔπω μοι καταφανής. ΣΩ. Τὴν τοίνυν τοῦ φθόνου δύναμιν λάβε πρῶτον. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Λύπη τις ἄδικός ἐστι καὶ ἡδονή; ΠΡΩ. Τοῦτο μὲν ἀνάγκη. ΣΩ. Οὐκοῦν ἐπὶ μὲν τοῖς τῶν ἐχθρῶν κακοῖς οὔτ' ἄδικον οὔτε φθονερόν ἐστι τὸ χαίρειν; ΠΡΩ. Τί μήν; ΣΩ. Τὰ γε τῶν φίλων ὁρῶντας ἔστιν ὅτε κακὰ μὴ λυπεῖσθαι, χαίρειν δέ, ἆρ' οὐκ ἄδικόν ἐστι; ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Οὐκοῦν τὴν ἄγνοιαν εἴπομεν ὅτι κακὸν πᾶσιν; ΠΡΩ. Ὀρθῶς. ΣΩ. Τί οὖν; τῶν φίλων δοξοσοφίαν καὶ δοξοκαλίαν, καὶ ὅσα νῦν διήλθομεν, ἐν τρισὶ λέγοντες εἴδεσι γίγνεσθαι, γελοῖα μέν, ὁπόσα ἀσθενῆ, μισητὰ δ', ὁπόσ' ἂν ᾖ ἐρρωμένα· ἢ μὴ φῶμεν, ὅπερ εἶπον ἄρτι, τὴν τῶν φίλων ἕξιν ταύτην, ὅταν ἔχῃ τις τὴν ἀβλαβῆ τοῖς ἄλλοις, γελοίαν εἶναι; ΠΡΩ. Πάνυ γε. ΣΩ. Κακὸν δὲ οὐχ ὁμολογοῦμεν αὐτήν, ἄγνοιάν γε οὖσαν; ΠΡΩ. Σφόδρα γε. ΣΩ. Χαίρομεν δὲ ἢ λυπούμεθα, ὅταν ἐπ' αὐτῇ γελῶμεν;

ΠΡΩ. Δῆλον ὅτι χαίρομεν. ΣΩ. Ἡδονὴν δὲ ἐπὶ τοῖς
τῶν φίλων κακοῖς, οὐ φθόνον ἔφαμεν εἶναι τὸν τοῦ-
το ἀπεργαζόμενον; ΠΡΩ. Ἀνάγκη. ΣΩ. Γελῶντας
ἄρα ἡμᾶς ἐπὶ τοῖς τῶν φίλων γελοίοις, φησὶν ὁ λό-
γος, κεραννύντας ἡδονὴν φθόνῳ, λύπῃ τὴν ἡδονὴν
ξυγκεραννύναι· τὸν γὰρ φθόνον ὡμολογῆσθαι λύπην
ψυχῆς ἡμῖν πάλαι, τὸ δὲ γελᾶν, ἡδονήν· ἅμα δὲ
γίγνεσθαι τοῦτο ἐν τούτοις τοῖς χρόνοις. ΠΡΩ.
Ἀληθῆ. ΣΩ. Μηνύει δὲ νῦν ὁ λόγος ἡμῖν ἐν θρή-
νοις τε καὶ ἐν τραγῳδίαις, μὴ τοῖς δράμασι μόνον,
ἀλλὰ καὶ τῇ τοῦ βίου ξυμπάσῃ τραγῳδίᾳ καὶ κωμῳ-
δίᾳ, λύπας ἡδοναῖς ἅμα κεράννυσθαι, καὶ ἐν ἄλλοις
δὴ μυρίοις. ΠΡΩ. Ἀδύνατον μὴ ὁμολογεῖν ταῦτα,
ὦ Σώκρατες, εἰ καί τις φιλονεικοῖ πάντῃ πρὸς τἀ-
ναντία. XXX. ΣΩ. Ὀργὴν μὴν καὶ πόθον καὶ
θρῆνον καὶ φόβον καὶ ἔρωτα καὶ ζῆλον καὶ φθό-
νον προὐθέμεθα, καὶ ὁπόσα τοιαῦτα, ἐν οἷς ἔφαμεν
εὑρήσειν μιγνύμενα τὰ νῦν πολλάκις λεγόμενα· ἢ
γάρ; ΠΡΩ. Ναί. ΣΩ. Μανθάνομεν οὖν ὅτι θρή-
νου πέρι καὶ φθόνου καὶ ὀργῆς πάντα ἐστὶ τὰ νῦν
δὴ διαπερανθέντα. ΠΡΩ. Πῶς γὰρ οὐ μανθάνο-
μεν; ΣΩ. Οὐκοῦν πολλὰ ἔτι τὰ λοιπά; ΠΡΩ. Καὶ
πάνυ γε. ΣΩ. Διὰ δὴ τί μάλισθ' ὑπολαμβάνεις με
δεῖξαί σοι τὴν ἐν τῇ κωμῳδίᾳ μῖξιν; ἆρ' οὐ πίστεως
χάριν, ὅτι τήν γε ἐν τοῖς φόβοις καὶ ἔρωσι καὶ τοῖς
ἄλλοις ῥᾴδιον κρᾶσιν ἐπιδεῖξαι; λαβόντα δὲ τοῦτο
παρὰ σαυτῷ, ἀφεῖναί με μηκέτι ἐπ' ἐκεῖνα ἰόντα
δεῖν μηκύνειν τοὺς λόγους, ἀλλ' ἁπλῶς λαβεῖν τοῦτο,

ὅτι καὶ σῶμα ἄνευ ψυχῆς, καὶ ψυχὴ ἄνευ σώματος, καὶ κοινῇ μετ' ἀλλήλων ἐν τοῖς παθήμασι μεστά ἐστι ξυγκεκραμένης ἡδονῆς λύπαις. νῦν οὖν λέγε, πότερα ἀφίης με, ἢ μέσας ποιήσεις νύκτας· εἰπὼν δὲ σμικρά. οἶμαι σοῦ τεύξεσθαι μεθεῖναί με. τούτων γὰρ ἁπάντων αὔριον ἐθελήσω σοι λόγον δοῦναι, τανῦν δὲ ἐπὶ τὰ λοιπὰ βούλομαι στέλλεσθαι, πρὸς τὴν κρίσιν, ἣν Φίληβος ἐπιτάττει. ΠΡΩ. Καλῶς εἶπες, ὦ Σώκρατες· ἀλλ' ὅσα λοιπὰ ἡμῖν διέξελθε, ὅπῃ σοι φίλον. XXXI. *ΣΩ. Κατὰ φύσιν τοίνυν, μετὰ τὰς μιχθείσας ἡδονάς, ὑπὸ δή τινος ἀνάγκης ἐπὶ τὰς ἀμίκτους πορευοίμεθ' ἂν ἐν τῷ μέρει. ΠΡΩ. Κάλλιστ' εἶπες. ΣΩ. Ἐγὼ δὴ πειράσομαι μεταβαλὼν σημαίνειν ὑμῖν αὐτάς· τοῖς γὰρ φάσκουσι, λυπῶν εἶναι παῦλαν πάσας τὰς ἡδονάς, οὐ πάνυ πως πείθομαι, ἀλλ', ὅπερ εἶπον, μάρτυσι καταχρῶμαι πρὸς τὸ τινὰς ἡδονὰς εἶναι δοκούσας, οὔσας δ' οὐδαμῶς, καὶ μεγάλας ἑτέρας τινὰς ἅμα καὶ πολλὰς φαντασθείσας, εἶναι δ' αὐτὰς ξυμπεφυρμένας ὁμοῦ λύπαις τε καὶ ἀναπαύσεσιν ὀδυνῶν τῶν μεγίστων, περί τε σώματος καὶ ψυχῆς ἀπορίας. ΠΡΩ. Ἀληθεῖς δ' αὖ τίνας, ὦ Σώκρατες, ὑπολαμβάνων ὀρθῶς τις διανοοῖτ' ἄν; ΣΩ. Τὰς περί τε τὰ καλὰ λεγόμενα χρώματα, καὶ περὶ τὰ σχήματα, καὶ τῶν ὀσμῶν τὰς πλείστας, καὶ τὰς τῶν φθόγγων, καὶ ὅσα, τὰς ἐνδείας ἀναισθήτους ἔχοντα καὶ ἀλύπους, τὰς πληρώσεις αἰσθητὰς καὶ ἡδείας καθαρὰς λυπῶν παραδίδωσι. ΠΡΩ. Πῶς δὴ ταῦτα, ὦ Σώκρατες, αὖ λέγομεν οὕτω;*

ΣΩ. Πάνυ μὲν οὖν οὐκ εὐθὺς δῆλά ἐστιν ἃ λέγω, πειρατέον μὴν δηλοῦν. σχημάτων τε γὰρ κάλλους οὐχ ὅπερ ἂν ὑπολάβοιεν οἱ πολλοί, πειρῶμαι νῦν λέγειν, οἷον ζώων ἤ τινων ζωγραφημάτων, ἀλλ' εὐθύ τι λέγω, φησὶν ὁ λόγος, καὶ περιφερὲς, καὶ ἀπὸ τούτων δὴ τά τε τοῖς τόρνοις γιγνόμενα ἐπίπεδά τε καὶ στερεά, καὶ τὰ τοῖς κανόσι καὶ γωνίαις, εἴ μου μανθάνεις· ταῦτα γὰρ οὐκ εἶναι πρός τι καλὰ λέγω, καθάπερ ἄλλα, ἀλλ' ἀεὶ καλὰ καθ' αὑτὰ πεφυκέναι καί τινας ἡδονὰς οἰκείας ἔχειν, οὐδὲν ταῖς τῶν κνήσεων προσφερεῖς· καὶ χρώματα δήπου τοῦτον τὸν τύπον ἔχοντα, καλά, καὶ ἡδονάς· ἀλλ' ἆρα μανθάνομεν, ἢ πῶς; ΠΡΩ. Πειρῶμαι μέν, ὦ Σώκρατες· πειράθητι δὲ καὶ σὺ σαφέστερον ἔτι λέγειν. ΣΩ. Λέγω δὴ τὰς τῶν φθόγγων τὰς λείας καὶ λαμπράς, τὰς ἕν τι καθαρὸν ἱείσας μέλος, οὐ πρὸς ἕτερον καλάς, ἀλλ' αὐτὰς καθ' αὑτὰς εἶναι, καὶ τούτων ξυμφύτους ἡδονὰς ἑπομένας. ΠΡΩ. Ἔστι γὰρ οὖν καὶ τοῦτο. ΣΩ. Τὸ δὲ περὶ τὰς ὀσμὰς ἧττον μὲν θεῖον γένος ἡδονῶν· τὸ δὲ μὴ ξυμμεμίχθαι ἐν αὐταῖς ἀναγκαίας λύπας, καὶ ὅπῃ τοῦτο καὶ ἐν ὅτῳ τυγχάνει γεγονὸς ἡμῖν, τοῦτ' ἐκείνης τίθημι ἀντίστροφον ἅπαν. ἀλλ', εἰ κατανοεῖς, ταῦτα εἴδη δύο λεγομένων ἡδονῶν. ΠΡΩ. Κατανοῶ. ΣΩ. Ἔτι δὴ τοίνυν τούτοις προσθῶμεν τὰς περὶ τὰ μαθήματα ἡδονάς, εἰ ἄρα δοκοῦσιν ἡμῖν αὗται πείνας μὲν μὴ ἔχειν τοῦ μανθάνειν, μηδὲ διὰ μαθημάτων πείνην ἀλγηδόνας ἐξ ἀρχῆς γιγνομένας. ΠΡΩ. Ἀλλ' οὕτω ξυνδοκεῖ. ΣΩ. Τί δέ; μαθημάτων

πληρωθεῖσιν ἐὰν ὕστερον ἀποβολαὶ διὰ τῆς λήθης γίγνωνται, καθορᾷς τινὰς ἐν αὐταῖς ἀλγηδόνας; ΠΡΩ. Οὔτι φύσει γε, ἀλλ' ἔν τισι λογισμοῖς τοῦ παθήματος, ὅταν τις στερηθεὶς λυπηθῇ διὰ τὴν χρείαν. ΣΩ. Καὶ μὴν, ὦ μακάριε, νῦν γε ἡμεῖς αὐτὰ καὶ τὰ τῆς φύσεως μόνον παθήματα χωρὶς τοῦ λογισμοῦ διαπεραίνομεν. ΠΡΩ. Ἀληθῆ τοίνυν λέγεις, ὅτι χωρὶς λύπης ἡμῖν λήθη γίγνεται ἑκάστοτε ἐν τοῖς μαθήμασι. ΣΩ. Ταύτας τοίνυν τὰς τῶν μαθημάτων ἡδονὰς ἀμίκτους τε εἶναι λύπαις ῥητέον, καὶ οὐδαμῶς τῶν πολλῶν ἀνθρώπων, ἀλλὰ τῶν σφόδρα ὀλίγων. ΠΡΩ. Πῶς γὰρ οὐ ῥητέον; XXXII. ΣΩ. Οὐκοῦν ὅτε μετρίως ἤδη διακεκρίμεθα χωρὶς τάς τε καθαρὰς ἡδονὰς καὶ τὰς σχεδὸν ἀκαθάρτους ὀρθῶς ἂν λεχθείσας, προςθῶμεν τῷ λόγῳ ταῖς μὲν σφοδραῖς ἡδοναῖς ἀμετρίαν, ταῖς δὲ μὴ τοὐναντίον ἐμμετρίαν, καὶ τὸ μέγα καὶ τὸ σφοδρὸν αὖ, καὶ πολλάκις καὶ ὀλιγάκις γιγνομένας τοιαύτας, [τῆς] τοῦ ἀπείρου τέ γ' ἐκείνου καὶ ἧττον καὶ μᾶλλον διά τε σώματος καὶ ψυχῆς φερομένου προςθῶμεν αὐταῖς εἶναι γένους, τὰς δὲ μὴ, τῶν ἐμμέτρων. ΠΡΩ. Ὀρθότατα λέγεις, ὦ Σώκρατες. ΣΩ. Ἔτι τοίνυν πρὸς τούτοις μετὰ ταῦτα τόδε αὐτῶν διαθεατέον. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Τί ποτε χρὴ φάναι πρὸς ἀλήθειαν εἶναι τὸ καθαρόν τε καὶ εἰλικρινές, ἢ τὸ σφόδρα τε καὶ τὸ πολὺ καὶ τὸ μέγα καὶ τὸ ἱκανόν; ΠΡΩ. Τί ποτ' ἄρα, ὦ Σώκρατες, ἐρωτᾷς βουλόμενος; ΣΩ. Μηδὲν, ὦ Πρώταρχε, ἐπιλείπειν ἐλέγχων ἡδονῆς τε καὶ ἐπιστήμης,

εἰ τὸ μὲν ἄρ' αὐτῶν ἑκατέρου καθαρόν ἐστι, τὸ δ' οὐ καθαρόν, ἵνα καθαρὸν ἑκάτερον ἰὸν εἰς τὴν κρίσιν ἐμοὶ καὶ σοὶ καὶ ξυνάπασι τοῖσδε ῥάω παρέχῃ τὴν κρίσιν. ΠΡΩ. Ὀρθότατα. ΣΩ. Ἴθι δή, περὶ πάντων, ὅσα καθαρὰ γένη λέγομεν, οὑτωσὶ διανοηθῶμεν, προελόμενοι πρῶτον αὐτῶν ἕν τι διασκοπῶμεν. ΠΡΩ. Τί οὖν προελώμεθα; ΣΩ. Τὸ λευκὸν ἐν τοῖς πρώτοις, εἰ βούλει, θεασώμεθα γένος. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Πῶς οὖν αὖ λευκοῦ καὶ τίς καθαρότης ἡμῖν εἴη; πότερα τὸ μέγιστόν τε καὶ πλεῖστον, ἢ τὸ ἀκρατέστατον, ἐν ᾧ χρώματος μηδεμία μοῖρα ἄλλη μηδενὸς ἂν εἴη; ΠΡΩ. Δῆλον ὅτι τὸ μάλιστ' εἰλικρινὲς ὄν. ΣΩ. Ὀρθῶς. ἆρ' οὖν τοῦτο ἀληθέστατον, ὦ Πρώταρχε, καὶ ἅμα δὴ κάλλιστον τῶν λευκῶν πάντων θήσομεν, ἀλλ' οὐ τὸ πλεῖστον, οὐδὲ τὸ μέγιστον; ΠΡΩ. Ὀρθότατά γε. ΣΩ. Σμικρὸν ἄρα καθαρὸν λευκὸν μεμιγμένου πολλοῦ λευκοῦ λευκότερον ἅμα καὶ κάλλιον καὶ ἀληθέστερον ἐὰν φῶμεν γίγνεσθαι, παντάπασιν ἐροῦμεν ὀρθῶς. ΠΡΩ. Ὀρθότατα μὲν οὖν. ΣΩ. Τί οὖν; οὐ δήπου πολλῶν δεησόμεθα παραδειγμάτων τοιούτων ἐπὶ τὸν τῆς ἡδονῆς πέρι λόγον, ἀλλ' ἀρκεῖ νοεῖν ἡμῖν αὐτόθεν, ὡς ἄρα καὶ ξύμπασα ἡδονὴ σμικρὰ μεγάλης καὶ ὀλίγη πολλῆς καθαρὰ λύπης ἡδίων καὶ ἀληθεστέρα καὶ καλλίων γίγνοιτ' ἄν. ΠΡΩ. Σφόδρα μὲν οὖν, καὶ τό γε παράδειγμα ἱκανόν. ΣΩ. Τί δὲ τὸ τοιόνδε; ἆρα περὶ ἡδονῆς οὐκ ἀκηκόαμεν, ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τοπαράπαν ἡδονῆς; κομψοὶ γὰρ δή τινες αὖ τοῦτον τὸν λόγον

ἐπιχειροῦσι μηνύειν ἡμῖν, οἷς δεῖ χάριν ἔχειν. ΠΡΩ. Τί δή; ΣΩ. Διαπεραίνομαί σοι τοῦτ' αὐτὸ ἐπανερωτῶν, ὦ Πρώταρχε φίλε. ΠΡΩ. Λέγε, καὶ ἐρώτα μόνον. XXXIII. ΣΩ. Ἐστὸν δή τινε δύο, τὸ μὲν αὐτὸ καθ' αὑτό, τὸ δὲ ἀεὶ ἐφιέμενον ἄλλου. ΠΡΩ. Πῶς τούτω καὶ τίνε λέγεις; ΣΩ. Τὸ μὲν σεμνότατον ἀεὶ πεφυκός, τὸ δ' ἐλλιπὲς ἐκείνου. ΠΡΩ. Λέγ' ἔτι σαφέστερον. ΣΩ. Παιδικά που καλὰ καὶ ἀγαθὰ τεθεωρήκαμεν ἅμα καὶ ἐραστὰς ἀνδρείους αὐτῶν. ΠΡΩ. Σφόδρα γε. ΣΩ. Τούτοις τοίνυν ἐοικότα δυοῖν οὖσι δύ' ἄλλα ζήτει κατὰ πάντα, ὅσα λέγομεν εἶναι τὸ τρίτον ἑτέρῳ. ΠΡΩ. Λέγε σαφέστερον, ὦ Σώκρατες, ὅ τι λέγεις. ΣΩ. Οὐδέν τι ποικίλον, ὦ Πρώταρχε, ἀλλ' ὁ λόγος ἐρεσχελεῖ νῷν. λέγει δ' ὅτι τὸ μὲν ἕνεκά του τῶν ὄντων ἔστ' ἀεί, τὸ δ' οὗ χάριν ἑκάστοτε τὸ τινὸς ἕνεκα γιγνόμενον ἀεὶ γίγνεται. ΠΡΩ. Μόγις ἔμαθον, διὰ τὸ πολλάκις λεχθῆναι. ΣΩ. Τάχα δ' ἴσως, ὦ παῖ, μᾶλλον μαθησόμεθα προελθόντος τοῦ λόγου. ΠΡΩ. Τί γὰρ οὔ; ΣΩ. Δύο δὴ τάδε ἕτερα λάβωμεν. ΠΡΩ. Ποῖα; ΣΩ. Ἓν μέν τι, γένεσιν πάντων, τὴν δὲ οὐσίαν, ἕτερον ἕν. ΠΡΩ. Δύο ἀποδέχομαί σου ταῦτα, οὐσίαν καὶ γένεσιν. ΣΩ. Ὀρθότατα. πότερον οὖν τούτων ἕνεκα ποτέρου; τὴν γένεσιν οὐσίας ἕνεκα φῶμεν, ἢ τὴν οὐσίαν εἶναι γενέσεως ἕνεκα; ΠΡΩ. Τοῦτο ὃ προσαγορεύεται οὐσία, εἰ γενέσεως ἕνεκα τοῦτ' ἔστιν, ὅπερ ἐστι, νῦν πυνθάνῃ; ΣΩ. Φαίνομαι. ΠΡΩ. Πρὸς θεῶν, ἆρ' οὖν ἐπερωτᾷς με; ΣΩ. Τοιόνδε τι λέγω, ὦ Πρώταρχε,

ὡδὶ, πότερα πλοίων ναυπηγίαν ἕνεκα φῂς γίγνεσθαι μᾶλλον, ἢ πλοῖα ναυπηγίας; καὶ πάνθ᾽ ὁπόσα τοιαῦτ᾽ ἐστὶ, λέγω τοῦτ᾽ αὐτό, ὦ Πρώταρχε. ΠΡΩ. Τί οὖν οὐκ αὐτὸς ἀπεκρίνω σαυτῷ, ὦ Σώκρατες; ΣΩ. Οὐδὲν ὅτι οὔ· σὺ μέντοι τοῦ λόγου μέτεχε. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Φημὶ δή, γενέσεως μὲν ἕνεκα, φάρμακά τε καὶ πάντα ὄργανα καὶ πᾶσαν ὕλην παρατίθεσθαι πᾶσιν, ἑκάστην δὲ γένεσιν, ἄλλην ἄλλης οὐσίας τινὸς ἑκάστης ἕνεκα γίγνεσθαι, ξύμπασαν δὲ γένεσιν οὐσίας ἕνεκα γίγνεσθαι ξυμπάσης. ΠΡΩ. Σαφέστατα μὲν οὖν. ΣΩ. Οὐκοῦν ἡδονή γε, εἴπερ γένεσίς ἐστιν, ἕνεκά τινος οὐσίας ἐξ ἀνάγκης γίγνοιτ᾽ ἄν; ΠΡΩ. Τί μήν; ΣΩ. Τό γε μὴν οὗ ἕνεκα τὸ ἕνεκά του γιγνόμενον ἀεὶ γίγνοιτ᾽ ἄν, ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ ἐκεῖνό ἐστι, τὸ δὲ τινὸς ἕνεκα γιγνόμενον, εἰς ἄλλην, ὦ ἄριστε, μοῖραν θετέον. ΠΡΩ. Ἀναγκαιότατον. ΣΩ. Ἆρ᾽ οὖν ἡδονή γε εἴπερ γένεσίς ἐστιν, εἰς ἄλλην ἢ τὴν τοῦ ἀγαθοῦ μοῖραν αὐτὴν τιθέντες ὀρθῶς θήσομεν; ΠΡΩ. Ὀρθότατα μὲν οὖν. ΣΩ. Οὐκοῦν, ὅπερ ἀρχόμενος εἶπον τούτου τοῦ λόγου, τῷ μηνύσαντι τῆς ἡδονῆς πέρι, τὸ γένεσιν μὲν, οὐσίαν δὲ μηδ᾽ ἡντινοῦν αὐτῆς εἶναι, χάριν δεῖ ἔχειν; δῆλον γὰρ ὅτι οὗτος τῶν φασκόντων ἡδονὴν ἀγαθὸν εἶναι καταγελᾷ. ΠΡΩ. Σφόδρα γε. ΣΩ. Καὶ μὴν αὐτὸς οὗτος ἑκάστοτε καὶ τῶν ἐν ταῖς γενέσεσιν ἀποτελουμένων καταγελάσεται. ΠΡΩ. Πῶς δὴ καὶ ποίων λέγεις; ΣΩ. Τῶν ὅσοι ἐξιώμενοι ἢ πείνην ἢ δίψαν ἤ τι τῶν τοιούτων, ὅσα

γένεσις ἐξιᾶται, χαίρουσι διὰ τὴν γένεσιν, ὡς τε ἡδονῆς οὔσης αὐτῆς, καὶ φασὶ ζῆν οὐκ ἂν δέξασθαι μὴ διψῶντές τε καὶ πεινῶντες καὶ τἆλλα, ἅ τις ἂν εἴποι πάντα τὰ ἑπόμενα τοῖς τοιούτοις παθήμασι, μὴ πάσχοντες. ΠΡΩ. Ἐοίκασι γοῦν. ΣΩ. Οὐκοῦν τῷ γίγνεσθαί γε τοὐναντίον ἅπαντες τὸ φθείρεσθαι φαῖμεν ἄν; ΠΡΩ. Ἀναγκαῖον. ΣΩ. Τὴν δὴ φθορὰν καὶ γένεσιν αἱροῖτ' ἄν ὁ τοῦθ' αἱρούμενος, ἀλλ' οὐ τὸν τρίτον ἐκεῖνον βίον, τὸν ἐν ᾧ μήτε χαίρειν μήτε λυπεῖσθαι, φρονεῖν δ' ἦν δυνατὸν ὡς οἷόν τε καθαρώτατα. ΠΡΩ. Πολλή τις, ὡς ἔοικεν, ὦ Σώκρατες, ἀλογία ξυμβαίνει γίγνεσθαι, ἐάν τις τὴν ἡδονὴν ὡς ἀγαθὸν ἡμῖν τιθῆται. ΣΩ. Πολλή, ἐπεὶ καὶ τῇδε ἔτι λέγωμεν. ΠΡΩ. Πῇ; ΣΩ. Πῶς οὐκ ἄλογόν ἐστι, μηδὲν ἀγαθὸν εἶναι μηδὲ καλὸν μήτε ἐν σώμασι μήτ' ἐν πολλοῖς ἄλλοις, πλὴν ἐν ψυχῇ, καὶ ἐνταῦθα ἡδονὴν μόνον, ἀνδρίαν δὲ ἢ σωφροσύνην ἢ νοῦν, ἤ τι τῶν ἄλλων ὅσα ἀγαθὰ εἴληχε ψυχή, μηδὲν τοιοῦτον εἶναι· πρὸς τούτοις δὲ ἔτι, τὸν μὴ χαίροντα, ἀλγοῦντα δέ, ἀναγκάζεσθαι φάναι κακὸν εἶναι τότε ὅταν ἀλγῇ, κἂν ᾖ ἄριστος πάντων, καὶ τὸν χαίροντα αὖ, ὅσῳ μᾶλλον χαίρει, τότε ὅταν χαίρῃ, τοσούτῳ διαφέρειν πρὸς ἀρετήν. ΠΡΩ. Πάντ' ἐστὶ ταῦτα, ὦ Σώκρατες, ὡς δυνατὸν ἀλογώτατα. XXXIV. ΣΩ. Μὴ τοίνυν ἡδονῆς μέντοι ἐξέτασιν πᾶσαν ἐπιχειρῶμεν ποιήσασθαι, νοῦ δὲ καὶ ἐπιστήμης οἷον φειδόμενοι σφόδρα φανῶμεν· γενναίως δέ, εἴ πῃ τι σαθρὸν ἔχει,

ἀκολουθήσειαν, εἰ μὴ μονάδα μονάδος ἑκάστης τῶν μυρίων μηδεμίαν ἄλλην ἄλλης διαφέρουσαν τις θήσει. ΠΡΩ. Καὶ μάλα εὖ λέγεις οὐ σμικρὰν διαφορὰν τῶν περὶ ἀριθμὸν τευταζόντων, ὥστε λόγον ἔχειν, δύο αὐτὰς εἶναι. ΣΩ. Τί δέ; λογιστικὴ καὶ μετρητικὴ κατὰ τεκτονικὴν καὶ κατ' ἐμπορικὴν τῆς κατὰ φιλοσοφίαν γεωμετρίας τε καὶ λογισμῶν καταμελετωμένων; πότερον ὡς μία ἑκατέρα λεκτέον, ἢ δύο τιθῶμεν; ΠΡΩ. Τῇ πρόσθεν ἑπόμενος ἔγωγ' ἂν δύο, κατὰ τὴν ἐμὴν ψῆφον, τιθείην ἑκατέραν τούτων. ΣΩ. Ὀρθῶς· οὗ δ' ἕνεκα ταῦτα προηνεγκάμεθα εἰς τὸ μέσον, ἆρα ἐννοεῖς; ΠΡΩ. Ἴσως. ἀλλὰ σὲ βουλοίμην ἂν ἀποφήνασθαι τὸ νῦν ἐρωτώμενον. ΣΩ. Δοκεῖ τοίνυν ἔμοιγε οὗτος ὁ λόγος οὐχ ἧττον ἢ ὅτε λέγειν αὐτὸν ἠρχόμεθα, ταῖς ἡδοναῖς ζητῶν ἀντίστροφον ἐνταῦθα προβεβληκέναι, σκοπῶν, ἆρά ἐστί τις ἑτέρας ἄλλη καθαρωτέρα ἐπιστήμης ἐπιστήμη, καθάπερ ἡδονῆς ἡδονή. ΠΡΩ. Καὶ μάλα σαφὲς τοῦτό γε, ὅτι ταῦθ' ἕνεκα τούτων ἐπικεχειρημε. XXXV. ΣΩ. Τί οὖν; ἆρ' οὐκ ἐν μὲν τοῖς ἔμπροσθεν ἐπ' ἄλλης ἄλλην τέχνην οὖσαν ἀνεύρισκε σαφεστέραν οὖσαν καὶ ἀσαφεστέραν ἄλλην ἄλλης; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Ἐν τούτοις δέ, ἆρ' οὔ τινα τέχνην ὡς ὁμώνυμον φθεγξάμενος, εἰς δόξαν καταστήσας ὡς μιᾶς, πάλιν ὡς δυοῖν, ἐπανερωτᾷ τούτοιν αὐτοῖν τὸ σαφὲς καὶ τὸ καθαρόν τε περὶ ταῦτα, πότερον ἡ τῶν φιλοσοφούντων ἢ μὴ φιλοσοφούντων ἀκριβέστερον ἔχει; ΠΡΩ. Καὶ μάλα

δοκεῖ μοι τοῦτο διερωτᾶν. ΣΩ. Τίν' οὖν, ὦ Πρώταρχε, αὐτῷ διδῶμεν ἀπόκρισιν; ΠΡΩ. Ὦ Σώκρατες, εἰς θαυμαστὸν διαφορᾶς μέγεθος εἰς σαφήνειαν προεληλύθαμεν ἐπιστημῶν. ΣΩ. Οὐκοῦν ἀποκρινούμεθα ῥᾷον; ΠΡΩ. Τί μήν; καὶ εἰρήσθω γε, ὅτι πολὺ μὲν αὗται τῶν ἄλλων τεχνῶν διαφέρουσι, τούτων δ' αὐτῶν αἱ περὶ τὴν τῶν ὄντως φιλοσοφούντων ὁρμὴν ἀμήχανον ἀκριβείᾳ καὶ ἀληθείᾳ περὶ τὰ μέτρα τε καὶ ἀριθμοὺς διαφέρουσιν. ΣΩ. Ἔστω ταῦτα κατὰ σέ· καὶ σοὶ δὴ πιστεύοντες, θαῤῥοῦντες ἀποκρινώμεθα τοῖς δεινοῖς περὶ λόγων ὁλκήν. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς εἰσὶ δύο ἀριθμητικαί, καὶ ταύταις ἄλλαι δύο τοιαῦται ξυνεπόμεναι συχναί, τὴν διδυμότητα ἔχουσαι ταύτην, ὀνόματος ἑνὸς κεκοινωνημέναι. ΠΡΩ. Διδῶμεν τύχῃ ἀγαθῇ τούτοις, οὓς φῂς δεινοὺς εἶναι, ταύτην τὴν ἀπόκρισιν, ὦ Σώκρατες. ΣΩ. Ταύτας οὖν λέγομεν ἐπιστήμας ἀκριβεῖς μάλιστα εἶναι; ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Ἀλλ' ἡμᾶς, ὦ Πρώταρχε, ἀναίνοιτ' ἂν ἡ τοῦ διαλέγεσθαι δύναμις, εἴ τινα πρὸ αὐτῆς ἄλλην κρίναιμεν. ΠΡΩ. Τίνα δὲ ταύτην αὖ δεῖ λέγειν; ΣΩ. Δῆλον ὅτι ἡ πᾶσαν τήν γε νῦν λεγομένην γνοίη· τὴν γὰρ περὶ τὸ ὂν καὶ τὸ ὄντως, καὶ τὸ κατὰ ταὐτὸν ἀεὶ πεφυκός, πάντως ἔγωγε οἶμαι ἡγεῖσθαι ξύμπαντας, ὅσοις νοῦ καὶ σμικρὸν προσήρτηται, μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν. σὺ δὲ τί πῶς, ὦ Πρώταρχε, διακρίνοις ἄν; ΠΡΩ. Ἤκουον μὲν ἔγωγε, ὦ Σώκρατες, ἑκάστοτε Γοργίου

πολλάκις, ὡς ἡ τοῦ πείθειν πολὺ διαφέροι πασῶν τεχνῶν· πάντα γὰρ ὑφ᾽ αὑτῇ δοῦλα δι᾽ ἑκόντων, ἀλλ᾽ οὐ διὰ βίας, ποιοῖτο, καὶ μακρῷ πασῶν ἀρίστη εἴη τῶν τεχνῶν. νῦν δ᾽ οὔτε σοὶ οὔτε δὴ ἐκείνῳ βουλοίμην ἂν ἐναντία τίθεσθαι. ΣΩ. Τὰ ὅπλα μοι δοκεῖς, βουληθεὶς εἰπεῖν, αἰσχυνθεὶς ἀπολιπεῖν. ΠΡΩ. Ἔστω νῦν ταῦτα ταύτῃ, ὅπῃ σοι δοκεῖ. ΣΩ. Ἆρ᾽ οὖν αἴτιος ἐγὼ τοῦ μὴ καλῶς ὑπολαβεῖν σε; ΠΣΩ. Τὸ ποῖον; ΣΩ. Οὐκ, ὦ φίλε Πρώταρχε, τοῦτο ἔγωγε ἐζήτουν πω, τίς τέχνη ἢ τίς ἐπιστήμη πασῶν διαφέρει τῷ μεγίστη καὶ ἀρίστη καὶ πλεῖστα ὠφελοῦσα ἡμᾶς, ἀλλά, τίς ποτε τὸ σαφὲς καὶ τὸ ἀκριβὲς καὶ τὸ ἀληθέστατον ἐπισκοπεῖ, κἂν ᾖ σμικρὰ καὶ σμικρὰ ὀνίνασα· τοῦτ᾽ ἔστιν ὃ νῦν δὴ ζητοῦμεν. ἀλλ᾽ ὅρα· οὐδὲ γὰρ ἀπεχθήσῃ Γοργίᾳ, τῇ μὲν ἐκείνου ὑπάρχειν τέχνῃ διδοὺς πρὸς χρείαν τοῖς ἀνθρώποις κρατεῖν· ᾗ δ᾽ εἶπον νῦν ἐγὼ πραγματείᾳ, καθάπερ τοῦ λευκοῦ πέρι τότε ἔλεγον, κἂν εἰ σμικρόν, καθαρὸν δὲ εἴη, τοῦ πολλοῦ καὶ μὴ τοιούτου διαφέρειν, τούτῳ γ᾽ αὐτῷ τῷ ἀληθεστάτῳ. καὶ νῦν δὴ σφόδρα διανοηθέντες καὶ ἱκανῶς διαλογισάμενοι, μήτ᾽ εἴς τινας ὠφελείας ἐπιστημῶν βλέψαντες μήτε τινας εὐδοκιμίας, ἀλλ᾽ εἴ τις πέφυκε τῆς ψυχῆς ἡμῶν δύναμις ἐρᾷν τε τοῦ ἀληθοῦς, καὶ πάντα ἕνεκα τούτου πράττειν, ταύτην εἴπωμεν, διεξερευνησάμενοι τὸ καθαρὸν νοῦ τε καὶ φρονήσεως, εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων κεκτῆσθαι φαῖμεν ἄν, ἤ τινα ἑτέραν ταύτης κυριω-

τέρων ἡμῖν ζητητέον. ΠΡΩ. Ἀλλὰ σκοπῶ, καὶ χαλεπὸν οἶμαι ξυγχωρῆσαι, τινὰ ἄλλην ἐπιστήμην ἢ τέχνην τῆς ἀληθείας ἀντέχεσθαι μᾶλλον ἢ ταύτην. ΣΩ. Ἆρ' οὖν ἐννοήσας τὸ τοιόνδε εἴρηκας, ὃ λέγεις νῦν, ὡς αἱ πολλαὶ τέχναι καὶ ὅσαι περὶ ταῦτα πεπόνηνται, πρῶτον μὲν δόξαις χρῶνται, καὶ τὰ περὶ δόξας ζητοῦσι ξυντεταγμένως; εἰ δὲ καὶ περὶ φύσεως ἡγεῖταί τις ζητεῖν, οἶσθ' ὅτι τὰ περὶ τὸν κόσμον τόνδε ὅπῃ γέγονε, καὶ ὅπῃ πάσχει τί καὶ ὅπῃ ποιεῖ, ταῦτα ζητεῖ διὰ βίου; φαῖμεν ἂν ταῦτα, ἢ πῶς; ΠΡΩ. Οὕτω. ΣΩ. Οὐκοῦν οὐ περὶ τὰ ὄντα ἀεί, περὶ δὲ τὰ γιγνόμενα καὶ γενησόμενα καὶ γεγονότα ἡμῶν ὁ τοιοῦτος ἀνῄρηται τὸν πόνον; ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Τούτων οὖν τι σαφὲς ἂν φαῖμεν τῇ ἀκριβεστάτῃ ἀληθείᾳ γίγνεσθαι, ὧν μήτε ἔσχε μηδὲν πώποτε κατὰ ταυτὰ μήθ' ἕξει μήτε εἰς τὸ νῦν παρὸν ἔχει; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Περὶ οὖν τὰ μὴ κεκτημένα βεβαιότητα μηδ' ἡντινοῦν πῶς ἄν ποτε βέβαιον γίγνοιθ' ἡμῖν καὶ ὁτιοῦν; ΠΡΩ. Οἶμαι μὲν οὐδαμῶς. ΣΩ. Οὐδ' ἄρα νοῦς, οὐδέ τις ἐπιστήμη περὶ αὐτά ἐστι τὸ ἀληθέστατον ἔχουσα. ΠΡΩ. Οὔκουν εἰκός γε. XXXVI. ΣΩ. Τὸν μὲν δὴ σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾶν, τόδε δὲ διαμαρτύρασθαι τῷ λόγῳ. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς ἢ περὶ ἐκεῖνα ἔσθ' ἡμῖν τό τε βέβαιον καὶ τὸ καθαρὸν καὶ ἀληθὲς καὶ ὃ δὴ λέγομεν εἰλικρινές, περὶ τὸ ἀεὶ καὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἀμικτότατα ἔχον, ἢ δεύτερος, ἐκείνων ὅ τι μάλι-

πολλάκις, ὡς ἡ τοῦ πείθειν πολὺ διαφέροι πασῶν
τεχνῶν· πάντα γὰρ ὑφ᾽ αὑτῇ δοῦλα δι᾽ ἑκόντων,
ἀλλ᾽ οὐ διὰ βίας, ποιοῖτο, καὶ μακρῷ πασῶν ἀρί-
στη εἴη τῶν τεχνῶν. νῦν δ᾽ οὔτε σοὶ οὔτε δὴ ἐκεί-
νῳ βουλοίμην ἂν ἐναντία τίθεσθαι. ΣΩ. Τὰ ὅπλα
μοι δοκεῖς, βουληθεὶς εἰπεῖν, αἰσχυνθεὶς ἀπολιπεῖν.
ΠΡΩ. Ἔστω νῦν ταῦτα ταύτῃ, ὅπῃ σοι δοκεῖ. ΣΩ.
Ἆρ᾽ οὖν αἴτιος ἐγὼ τοῦ μὴ καλῶς ὑπολαβεῖν σε;
ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Οὐκ, ὦ φίλε Πρώταρχε,
τοῦτο ἔγωγε ἐζήτουν πω, τίς τέχνη ἢ τίς ἐπιστήμη
πασῶν διαφέρει τῷ μεγίστη καὶ ἀρίστη καὶ πλεῖ-
στα ὠφελοῦσα ἡμᾶς, ἀλλά, τίς ποτε τὸ σαφὲς καὶ τὸ
ἀκριβὲς καὶ τὸ ἀληθέστατον ἐπισκοπεῖ, κἂν ᾖ σμι-
κρὰ καὶ σμικρὰ ὀνίνασα· τοῦτ᾽ ἔστιν ὃ νῦν δὴ
ζητοῦμεν. ἀλλ᾽ ὅρα· οὐδὲ γὰρ ἀπεχθήσῃ Γοργίᾳ,
τῇ μὲν ἐκείνου ὑπάρχειν τέχνῃ διδοὺς πρὸς χρείαν
τοῖς ἀνθρώποις κρατεῖν· ἣ δ᾽ εἶπον νῦν ἐγὼ πραγ-
ματεία, καθάπερ τοῦ λευκοῦ πέρι τότε ἔλεγον,
κἂν εἰ σμικρόν, καθαρὸν δὲ εἴη, τοῦ πολλοῦ καὶ
μὴ τοιούτου διαφέρειν, τούτῳ γ᾽ αὐτῷ τῷ ἀλη-
θεστάτῳ. καὶ νῦν δὴ σφόδρα διανοηθέντες καὶ
ἱκανῶς διαλογισάμενοι, μήτ᾽ εἰς τινας ὠφελείας
ἐπιστημῶν βλέψαντες μήτε τινὰς εὐδοκιμίας, ἀλλ᾽
εἴ τις πέφυκε τῆς ψυχῆς ἡμῶν δύναμις ἐρᾶν τε τοῦ
ἀληθοῦς, καὶ πάντα ἕνεκα τούτου πράττειν, ταύ-
την εἴπωμεν, διεξερευνησάμενοι τὸ καθαρὸν νοῦ τε
καὶ φρονήσεως, εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων
κεκτῆσθαι φαῖμεν ἄν, ἢ τινα ἑτέραν ταύτης κυριω-

τέρον ἡμῖν ζητητέον. ΠΡΩ. Ἀλλὰ σκοπῶ, καὶ χαλεπὸν οἶμαι ξυγχωρῆσαι, τινὰ ἄλλην ἐπιστήμην ἢ τέχνην τῆς ἀληθείας ἀντέχεσθαι μᾶλλον ἢ ταύτην. ΣΩ. Ἆρ' οὖν ἐννοήσας τὸ τοιόνδε εἴρηκας, ὃ λέγεις νῦν, ὡς αἱ πολλαὶ τέχναι καὶ ὅσοι περὶ ταῦτα πεπόνηνται, πρῶτον μὲν δόξαις χρῶνται, καὶ τὰ περὶ δόξας ζητοῦσι ξυντεταγμένως; εἰ δὲ καὶ περὶ φύσεως ἡγεῖταί τις ζητεῖν, οἶσθ' ὅτι τὰ περὶ τὸν κόσμον τόνδε ὅπῃ γέγονε, καὶ ὅπῃ πάσχει τι καὶ ὅπῃ ποιεῖ, ταῦτα ζητεῖ διὰ βίου; φαῖμεν ἂν ταῦτα, ἢ πῶς; ΠΡΩ. Οὕτω. ΣΩ. Οὐκοῦν οὐ περὶ τὰ ὄντα ἀεί, περὶ δὲ τὰ γιγνόμενα καὶ γενησόμενα καὶ γεγονότα ἡμῶν ὁ τοιοῦτος ἀνήρηται τὸν πόνον; ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Τούτων οὖν τι σαφὲς ἂν φαῖμεν τῇ ἀκριβεστάτῃ ἀληθείᾳ γίγνεσθαι, ὧν μήτε ἔσχε μηδὲν πώποτε κατὰ ταυτὰ μήθ' ἕξει μήτε εἰς τὸ νῦν παρὸν ἔχει; ΠΡΩ. Καὶ πῶς; ΣΩ. Περὶ οὖν τὰ μὴ κεκτημένα βεβαιότητα μηδ' ἡντινοῦν πῶς ἄν ποτε βέβαιον γίγνοιθ' ἡμῖν καὶ ὁτιοῦν; ΠΡΩ. Οἶμαι μὲν οὐδαμῶς. ΣΩ. Οὐδ' ἄρα νοῦς, οὐδέ τις ἐπιστήμη περὶ αὐτά ἐστι τὸ ἀληθέστατον ἔχουσα. ΠΡΩ. Οὔκουν εἰκός γε. XXXVI. ΣΩ. Τὸν μὲν δὴ σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾷν, τόδε δὲ διαμαρτύρασθαι τῷ λόγῳ. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὡς ἢ περὶ ἐκεῖνα ἔσθ' ἡμῖν τό τε βέβαιον καὶ τὸ καθαρὸν καὶ ἀληθὲς καὶ ὃ δὴ λέγομεν εἰλικρινές, περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἀμικτότατα ἔχον, ἢ δευτέρως, ἐκείνων ὅ τι μάλι-

σιά ἐστι ξυγγενές, τὰ δ' ἄλλα πάντα δεύτερά τε καὶ
ὕστερα λεκτέον. ΠΡΩ. Ἀληθέστατα λέγεις. ΣΩ. Τὰ
δὴ τῶν ὀνομάτων περὶ τὰ τοιαῦτα κάλλιστα ἆρ' οὐ
τοῖς καλλίστοις δικαιότατον ἀπονέμειν; ΠΡΩ. Εἰκός
γε. ΣΩ. Οὐκοῦν νοῦς ἐστι καὶ φρόνησις, ἅ γ' ἄν τις
τιμήσειε μάλιστα ὀνόματα; ΠΡΩ. Ναί. ΣΩ. Ταῦτ'
ἄρα ἐν ταῖς περὶ τὸ ὂν ὄντως ἐννοίαις ἐστὶν ἀπηκρι-
βωμένα ὀρθῶς κείμενα καλεῖσθαι. ΠΡΩ. Πάνυ μὲν
οὖν. ΣΩ. Καὶ μὴν, ἅ γε εἰς τὴν κρίσιν ἐγὼ τότε
παρεσχόμην, οὐκ ἄλλ' ἐστιν ἢ ταῦτα τὰ ὀνόματα.
ΠΡΩ. Τί μήν, ὦ Σώκρατες; ΣΩ. Εἶεν. τὸ μὲν
δὴ φρονήσεώς τε καὶ ἡδονῆς πέρι πρὸς τὴν ἀλλήλων
μίξιν εἴ τις φαίη καθαπερεὶ δημιουργοῖς ἡμῖν, ἐξ ὧν
ἢ ἐν οἷς δεῖ δημιουργεῖν τι παρακεῖσθαι, καλῶς ἂν
τῷ λόγῳ ἀπεικάζοι. ΠΡΩ. Καὶ μάλα. ΣΩ. Τὸ δὴ
μετὰ ταῦτα ἆρ' οὐ μιγνύναι ἐπιχειρητέον; ΠΡΩ.
Τί μήν; ΣΩ. Οὐκοῦν τάδε προειποῦσι καὶ ἀναμνή-
σασιν ἡμᾶς αὐτοὺς ὀρθότερον ἂν ἔχοι; ΠΡΩ. Τὰ
ποῖα; ΣΩ. Ἃ καὶ πρότερον ἐμνήσθημεν. εὖ δ' ἡ
παροιμία δοκεῖ ἔχειν, τὸ δὶς καὶ τρὶς τό γε καλῶς
ἔχον ἐπαναπολεῖν τῷ λόγῳ δεῖν. ΠΡΩ. Τί μήν;
ΣΩ. Φέρε δὴ πρὸς Διός· οἶμαι γὰρ οὑτωσί πως τὰ
τότε λεχθέντα ῥηθῆναι. ΠΡΩ. Πῶς; ΣΩ. Φίληβος
φησὶ τὴν ἡδονὴν σκοπὸν ὀρθὸν πᾶσι ζῴοις γεγονέ-
ναι, καὶ δεῖν πάντας τούτου στοχάζεσθαι, καὶ δὴ
καὶ τἀγαθὸν τοῦτ' αὐτὸ εἶναι ξύμπασι, καὶ δύο
ὀνόματα, ἀγαθὸν καὶ ἡδύ, ἑνί τινι καὶ φύσει μιᾷ
τούτω ὀρθῶς τεθέντ' ἔχειν· Σωκράτης δὲ πρῶτον μὲν

οὔ φησι ταὐτὸν εἶναι, δύο δέ, καθάπερ τὰ ὀνόματα,
καὶ τό τε ἀγαθὸν καὶ ἡδὺ διάφορον ἀλλήλων φύ-
σιν ἔχειν, μᾶλλον δὲ μετέχον εἶναι τῆς τοῦ ἀγα-
θοῦ μοίρας τὴν φρόνησιν ἢ τὴν ἡδονήν. οὐ ταῦτ'
ἐστί τε καὶ ἦν τὰ τότε λεγόμενα, ὦ Πρώταρχε;
ΠΡΩ. Σφόδρα μὲν οὖν. ΣΩ. Οὐκοῦν καὶ τόδε καὶ
τότε καὶ νῦν ἡμῖν ἂν ξυνομολογοῖτο; ΠΡΩ. Τὸ ποῖον;
ΣΩ. Τὴν τἀγαθοῦ διαφέρειν φύσιν τῷδε μᾶλλον
τῶν ἄλλων. ΠΡΩ. Τίνι; ΣΩ. Ὧι παρείη τοῦτ' ἀεὶ
τῶν ζώων διὰ τέλους πάντως καὶ πάντη, μηδενὸς
ἑτέρου ποτὲ ἔτι προσδεῖσθαι, τὸ δὲ ἱκανὸν τελεώ-
τατον ἔχειν· οὐχ οὕτω; ΠΡΩ. Οὕτω μὲν οὖν. ΣΩ.
Οὐκοῦν τῷ λόγῳ ἐπειράθημεν χωρὶς ἑκάτερον ἑκα-
τέρου θέντες εἰς τὸν βίον ἑκάστων, ἄμικτον μὲν ἡδο-
νὴν φρονήσει, φρόνησιν δὲ ἡδονῆς ὡσαύτως μηδὲ τὸ
σμικρότατον ἔχουσαν; ΠΡΩ. Ἦν ταῦτα. ΣΩ. Μῶν
οὖν ἡμῖν αὐτῶν τότε πότερον ἱκανὸν ἔδοξεν εἶναί
τῳ; ΠΡΩ. Καὶ πῶς; XXXVII. ΣΩ. Εἰ δέ γε
παρηνέχθημέν τι τότε, νῦν ὁςτισοῦν ἐπαναλαβὼν
ὀρθότερον εἰπάτω, μνήμην καὶ ἐπιστήμην καὶ
φρόνησιν καὶ ἀληθῆ δόξαν τῆς αὐτῆς ἰδέας τιθέ-
μενος, καὶ σκοπῶν, εἴ τις ἄνευ τούτων δέξαιτ' ἄν οἱ
καὶ ὁτιοῦν εἶναι ἢ καὶ γίγνεσθαι, μὴ ὅτι δή γε ἡδο-
νήν, εἴθ' ὡς πλείστην εἴθ' ὡς σφοδροτάτην, ἣν
μήτε ἀληθῶς δοξάζοι χαίρειν, μήτε τοπαράπαν γι-
γνώσκοι, τί ποτε πέπονθε πάθος, μήτ' αὖ μνήμην
τοῦ πάθους μηδ' ὁντινοῦν χρόνον ἔχοι. ταῦτα δὲ
λέγω καὶ περὶ φρονήσεως, εἴ τις ἄνευ πάσης ἡδονῆς

καὶ τῆς βραχυτάτης δέξαιτ' ἂν φρόνησιν ἔχειν μᾶλ-
λον, ἢ μετά τινων ἡδονῶν· ἢ πάσας ἡδονὰς χωρὶς
φρονήσεως μᾶλλον ἢ μετὰ φρονήσεως αὖ τινος. ΠΡΩ.
Οὐκ ἔστιν, ὦ Σώκρατες· ἀλλ' οὐδὲν δεῖ ταῦτά γε
πολλάκις ἐπερωτᾶν. ΣΩ. Οὐκοῦν τό γε τέλεον καὶ
πᾶσιν αἱρετὸν, καὶ τὸ παντάπασιν ἀγαθὸν, οὐδέτε-
ρον ἂν τούτων εἴη; ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Τὸ
τοίνυν ἀγαθὸν ἤτοι σαφῶς, ἢ καί τινα τύπον αὐτοῦ
ληπτέον, ἵν', ὅπερ ἐλέγομεν, δευτερεῖα ὅτῳ δώσο-
μεν, ἔχωμεν. ΠΡΩ. Ὀρθότατα λέγεις. ΣΩ. Οὐκ-
οῦν ὁδὸν μέν τινα ἐπὶ τἀγαθὸν εἰλήφαμεν; ΠΡΩ.
Τίνα; ΣΩ. Καθάπερ, εἴ τις τινὰ ἄνθρωπον ζητῶν
τὴν οἴκησιν πρῶτον ὀρθῶς, ἵνα οἰκεῖ, πύθοιτο αὐ-
τοῦ, μέγα τι δήπου πρὸς τὴν εὕρεσιν ἂν ἔχοι τοῦ
ζητουμένου. ΠΡΩ. Πῶς δ' οὔ; ΣΩ. Καὶ νῦν δή
τις λόγος ἐμήνυσεν ἡμῖν, ὥσπερ καὶ κατ' ἀρχάς, μὴ
ζητεῖν ἐν τῷ ἀμίκτῳ βίῳ τἀγαθὸν, ἀλλ' ἐν τῷ μι-
κτῷ. ΠΡΩ. Πάνυ γε. ΣΩ. Ἐλπὶς μὴν πλείων ἐν
τῷ μιχθέντι καλῶς τὸ ζητούμενον ἔσεσθαι φανερώτε-
ρον, ἢ ἐν τῷ μή; ΠΡΩ. Πολύ γε. ΣΩ. Τοῖς δὴ
θεοῖς, ὦ Πρώταρχε, εὐχόμενοι κεραννύωμεν, εἴτε
Διόνυσος εἴτε Ἥφαιστος εἴθ' ὅστις θεῶν ταύτην
τὴν τιμὴν εἴληχε τῆς ξυγκράσεως. ΠΡΩ. Πάνυ μὲν
οὖν. ΣΩ. Καὶ μὴν καθάπερ ἡμῖν οἰνοχόοις τισὶ
παρεστᾶσι κρῆναι, καὶ μέλιτος μὲν ἂν ἀπεικάζοι τις
τὴν τῆς ἡδονῆς, τὴν δὲ τῆς φρονήσεως, νηφαντικὴν
καὶ ἄοινον, αὐστηροῦ καὶ ὑγιεινοῦ τινος ὕδατος, ἃς
προθυμητέον ὡς κάλλιστα ξυμμιγνύναι. ΠΡΩ. Πῶς

γὰρ οὔ; ΣΩ. Φέρε δὴ πρότερον· ἆρα πᾶσαν ἡδονὴν πάσῃ φρονήσει μιγνύντες, τοῦ καλῶς ἂν μάλιστα ἐπιτύχοιμεν; ΠΡΩ. Ἴσως. ΣΩ. Ἀλλ' οὐκ ἀσφαλές· ᾗ δὲ ἀκινδυνότερον ἂν μιγνύοιμεν, δόξαν μοι δοκῶ τινὰ ἀπομήνασθαι ἄν. ΠΡΩ. Λέγε, τίνα. ΣΩ. Ἦν ἡμῖν ἡδονή τε ἀληθής, ὡς οἰόμεθα, μᾶλλον ἑτέρας ἄλλη, καὶ δὴ τέχνη τέχνης ἀκριβεστέρα; ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Καὶ ἐπιστήμη δὴ ἐπιστήμης διάφορος, ἡ μὲν ἐπὶ τὰ γιγνόμενα καὶ ἀπολλύμενα ἀποβλέπουσα, ἡ δέ, ἐπὶ τὰ μήτε γιγνόμενα μήτε ἀπολλύμενα, κατὰ ταυτὰ δὲ καὶ ὡσαύτως ὄντα ἀεί· ταύτην, εἰς τὸ ἀληθὲς ἐπισκοπούμενοι, ἡγησάμεθα ἐκείνης ἀληθεστέραν εἶναι. ΠΡΩ. Πάνυ μὲν οὖν ὀρθῶς. ΣΩ. Οὐκοῦν εἰ τἀληθέστατα τμήματα ἑκατέρας ἴδοιμεν πρῶτον ξυμμίξαντες, ἆρα ἱκανὰ ταῦτα ξυγκεκραμένα τὸν ἀγαπητότατον βίον ἀπεργασάμενα παρέχειν ἡμῖν, ἤ τινος ἔτι προσδεόμεθα καὶ τῶν μὴ τοιούτων; ΠΡΩ. Ἐμοὶ γοῦν δοκεῖ δρᾷν οὕτως. XXXVIII. ΣΩ. Ἔστω δή τις ἡμῖν φρονῶν ἄνθρωπος αὐτῆς πέρι δικαιοσύνης, ὅ τι ἔστι, καὶ λόγον ἔχων ἑπόμενον τῷ νοεῖν, καὶ δὴ καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν ὄντων ὡσαύτως διανοούμενος. ΠΡΩ. Ἔστω γὰρ οὖν. ΣΩ. Ἆρ' οὖν οὗτος ἱκανῶς ἐπιστήμης ἕξει, κύκλου μὲν καὶ σφαίρας αὐτῆς τῆς θείας τὸν λόγον ἔχων, τὴν δὲ ἀνθρωπίνην ταύτην σφαῖραν καὶ τοὺς κύκλους τούτους ἀγνοῶν, καὶ χρώμενος ἐν οἰκοδομίᾳ καὶ τοῖς ἄλλοις ὁμοίως κανόσι καὶ τοῖς κύκλοις; ΠΡΩ. Γελοίαν διάθεσιν ἡμῶν,

ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν; ΠΡΩ. Εἰκός. ΣΩ. Ὁ δέ γ' ἡμέτερος λόγος μετὰ τοῦτ' ἐστὶν ὅδε· πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς, φήσομεν, ἆρ' ἔτι προσδεῖσθ' ὑμῖν τὰς μεγίστας ἡδονὰς ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; καὶ πῶς, ὦ Σώκρατες; — ἴσως φαῖεν ἂν — αἵ γ' ἐμποδίσματά τε μυρία ἡμῖν ἔχουσι, τὰς ψυχάς, ἐν αἷς οἰκοῦμεν, ταράττουσαι διὰ μανικὰς ἡδονάς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι, τά τε γιγνόμενα ἡμῶν τέκνα, ὥςτο-πολὺ δι' ἀμέλειαν λήθην ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν· ἄλλας δὲ ἡδονάς, ἀληθεῖς καὶ καθαράς, ἃς εἶπες σχεδόν, οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς μεθ' ὑγιείας καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ ξυμπάσης ἀρετῆς ὁπόσαι, καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι, αὐτῇ ξυνακολουθοῦσι πάντῃ, ταύτας μίγνυ· τὰς δ' ἀεὶ μετ' ἀφροσύνης καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία τῷ νῷ μιγνύναι τὸν βουλόμενον, ὅτι καλλίστην ἰδόντα καὶ ἀστασιαστοτάτην μίξιν καὶ κρᾶσιν, μαθεῖν ἐν ταύτῃ πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθόν, καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον. ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ τε ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; ΠΡΩ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἀλλὰ μὴν καὶ τόδε γε ἀναγκαῖον, καὶ οὐκ ἄλλως ἄν ποτε γίγνοιτο οὐδ' ἂν ἕν. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. ᾧ μὴ μίξομεν ἀλήθειαν, οὐκ ἄν ποτε τοῦτο ἀληθῶς γίγνοιτο ὂν οὐδ'

ἂν γενόμενον εἴη. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐδαμῶς. ἀλλ' εἴ τινος ἔτι προςδεῖ τῇ ξυγκράσει ταύτῃ, λέγετε σὺ καὶ Φίληβος· ἐμοὶ μὲν γάρ, καθαπερεὶ κόσμος τις ἀσώματος ἄρξων καλῶς ἐμψύχου σώματος, ὁ νῦν λόγος ἀπειργάσθαι φαίνεται. ΠΡΩ. Καὶ ἐμοὶ τοίνυν, ὦ Σώκρατες, οὕτω λέγε δεδόχθαι. XL. ΣΩ. Ἆρ' οὖν, ἐπὶ μὲν τοῖς τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις καὶ τῆς οἰκήσεως ἐφεστάναι τῆς τοῦ τοιούτου λέγοντες, ἴσως ὀρθὸν ἄν τινα τρόπον φαῖμεν; ΠΡΩ. Ἐμοὶ γοῦν δοκεῖ. ΣΩ. Τί δῆτα ἐν τῇ ξυμμίξει τιμιώτατον ἅμα καὶ μάλιστ' αἴτιον εἶναι δόξειεν ἂν ἡμῖν τοῦ πᾶσι γεγονέναι προςφιλῆ τὴν τοιαύτην διάθεσιν; τοῦτο γὰρ ἰδόντες, μετὰ τοῦτ' ἐπισκεψώμεθα, εἴθ' ἡδονῇ εἴτε νῷ προςφυέστερον καὶ οἰκειότερον ἐν τῷ παντὶ ξυνέστηκεν. ΠΡΩ. Ὀρθῶς· τοῦτο γὰρ εἰς τὴν κρίσιν ἡμῖν ἐστὶ ξυμφορώτατον. ΣΩ. Καὶ μὴν ξυμπάσης γε μίξεως οὐ χαλεπὸν ἰδεῖν τὴν αἰτίαν, δι' ἣν ἢ παντὸς ἀξία γίγνεται ἡτισοῦν ἢ τοπαράπαν οὐδενός. ΠΡΩ. Πῶς λέγεις; ΣΩ. Οὐδείς που τοῦτο ἀνθρώπων ἀγνοεῖ. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὅτι μέτρου καὶ τῆς ξυμμέτρου φύσεως μὴ τυχοῦσα ἡτισοῦν καὶ ὁπωσοῦν ξύγκρασις πᾶσα, ἐξ ἀνάγκης ἀπόλλυσι τά τε κεραννύμενα καὶ πρώτην ἑαυτήν. οὐδὲ γὰρ κρᾶσις, ἀλλά τις ἄκρατος ξυμπεφορημένη ἀληθῶς ἡ τοιαύτη γίγνεται ἑκάστοτε ὄντως τοῖς κεκτημένοις ξυμφορά. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Νῦν δὴ καταπέφευγεν

ποίων, φαῖεν ἂν ἴσως, ἡδονῶν; ΠΡΩ. Εἰκός. ΣΩ. Ὁ δέ γ' ἡμέτερος λόγος μετὰ τοῦτ' ἐστὶν ὅδε· πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς, φήσομεν, ἆρ' ἔτι προσδεῖσθ' ὑμῖν τὰς μεγίστας ἡδονὰς ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; καὶ πῶς, ὦ Σώκρατες; — ἴσως φαῖεν ἂν — αἵ γ' ἐμποδίσματά τε μυρία ἡμῖν ἔχουσι, τὰς ψυχάς, ἐν αἷς οἰκοῦμεν, ταράττουσαι διὰ μανικὰς ἡδονάς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι, τά τε γιγνόμενα ἡμῶν τέκνα, ὡς τὸ πολὺ δι' ἀμέλειαν λήθην ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν· ἄλλας δὲ ἡδονάς, ἀληθεῖς καὶ καθαράς, ἃς εἶπες, σχεδὸν, οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς μεθ' ὑγιείας καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ ξυμπάσης ἀρετῆς ὁπόσαι, καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι, αὐτῇ ξυνακολουθοῦσι πάντῃ, ταύτας μίγνυ· τὰς δ' ἀεὶ μετ' ἀφροσύνης καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία τῷ νῷ μιγνύναι τὸν βουλόμενον, ὅτι καλλίστην ἰδόντα καὶ ἀστασιαστοτάτην μίξιν καὶ κρᾶσιν, μαθεῖν ἐν ταύτῃ πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθόν, καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον. ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ τε ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; ΠΡΩ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἀλλὰ μὴν καὶ τόδε γε ἀναγκαῖον, καὶ οὐκ ἄλλως ἄν ποτε γένοιτο οὐδ' ἂν ἕν. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. ᾯ μὴ μίξομεν ἀλήθειαν, οὐκ ἄν ποτε τοῦτο ἀληθῶς γίγνοιτο ἂν οὐδ'

ἂν γενόμενον εἴη. ΠΡΩ. Πῶς γὰρ ἄν; ΣΩ. Οὐδαμῶς. ἀλλ' εἴ τινος ἔτι προσδεῖ τῇ ξυγκράσει ταύτῃ, λέγετε σὺ καὶ Φίληβος· ἐμοὶ μὲν γὰρ, καθαπερεὶ κόσμος τις ἀσώματος ἄρξων καλῶς ἐμψύχου σώματος, ὁ νῦν λόγος ἀπειργάσθαι φαίνεται. ΠΡΩ. Καὶ ἐμοὶ τοίνυν, ὦ Σώκρατες, οὕτω λέγε δεδόχθαι. XL. ΣΩ. Ἆρ' οὖν, ἐπὶ μὲν τοῖς τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις καὶ τῆς οἰκήσεως ἐφεστάναι τῆς τοῦ τοιούτου λέγοντες, ἴσως ὀρθὸν ἄν τινα τρόπον φαῖμεν; ΠΡΩ. Ἐμοὶ γοῦν δοκεῖ. ΣΩ. Τί δῆτα ἐν τῇ ξυμμίξει τιμιώτατον ἅμα καὶ μάλιστ' αἴτιον εἶναι δόξειεν ἂν ἡμῖν τοῦ πᾶσι γεγονέναι προσφιλῆ τὴν τοιαύτην διάθεσιν; τοῦτο γὰρ ἰδόντες, μετὰ τοῦτ' ἐπισκεψώμεθα, εἴθ' ἡδονῇ εἴτε νῷ προσφυέστερον καὶ οἰκειότερον ἐν τῷ παντὶ ξυνέστηκεν. ΠΡΩ. Ὀρθῶς· τοῦτο γὰρ εἰς τὴν κρίσιν ἡμῖν ἐστὶ ξυμφορώτατον. ΣΩ. Καὶ μὴν ξυμπάσης γε μίξεως οὐ χαλεπὸν ἰδεῖν τὴν αἰτίαν, δι' ἣν ἢ παντὸς ἀξία γίγνεται ἡτισοῦν ἢ τοπαράπαν οὐδενός. ΠΡΩ. Πῶς λέγεις; ΣΩ. Οὐδεὶς πω τοῦτο ἀνθρώπων ἀγνοεῖ. ΠΡΩ. Τὸ ποῖον; ΣΩ. Ὅτι μέτρου καὶ τῆς ξυμμέτρου φύσεως μὴ τυχοῦσα ἡτισοῦν καὶ ὁπωσοῦν ξύγκρασις πᾶσα, ἐξ ἀνάγκης ἀπόλλυσι τά τε κεραννύμενα καὶ πρώτην ἑαυτήν. οὐδὲ γὰρ κρᾶσις, ἀλλά τις ἄκρατος ξυμπεφορημένη ἀληθῶς ἡ τοιαύτη γίγνεται ἑκάστοτε ὄντως τοῖς κεκτημένοις ξυμφορά. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Νῦν δὴ καταπέφευγεν

ἡμᾶς ἡ τἀγαθοῦ δύναμις εἰς τὴν τοῦ καλοῦ φύσιν. μετριότης γὰρ καὶ ξυμμετρία, κάλλος δήπου καὶ ἀρετὴ πανταχοῦ ξυμβαίνει γίγνεσθαι. ΠΡΩ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ μὴν ἀλήθειάν γε ἔφαμεν αὐταῖς ἐν τῇ κράσει μεμίχθαι. ΠΡΩ. Πάνυ γε. ΣΩ. Οὐκοῦν εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι, ξὺν τρισὶ λαβόντες, κάλλει καὶ ξυμμετρίᾳ καὶ ἀληθείᾳ, λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ᾽ ἂν αἰτιασαίμεθ᾽ ἂν τῶν ἐν τῇ ξυμμίξει, καὶ διὰ τοῦτο, ὡς ἀγαθὸν ὄν, τοιαύτην αὐτὴν γεγονέναι. ΠΡΩ. Ὀρθότατα μὲν οὖν. XLI. ΣΩ. Ἤδη τοίνυν, ὦ Πρώταρχε, ἱκανὸς ἡμῖν γένοιτ᾽ ἂν ὁστισοῦν κριτὴς ἡδονῆς τε πέρι καὶ φρονήσεως, ὁπότερον αὐτοῖν τοῦ ἀρίστου ξυγγενέστερόν τε καὶ τιμιώτερον ἐν ἀνθρώποις τέ ἐστι καὶ θεοῖς. ΠΡΩ. Δῆλον μέν· ὅμως δ᾽ οὖν τῷ λόγῳ ἐπεξελθεῖν βέλτιον. ΣΩ. Καθ᾽ ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν ἡδονὴν καὶ τὸν νοῦν κρίνωμεν· δεῖ γὰρ ἰδεῖν, ποτέρῳ μᾶλλον ξυγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν. ΠΡΩ. Κάλλους καὶ ἀληθείας καὶ μετριότητος πέρι λέγεις; ΣΩ. Ναί. πρῶτον δέ γε ἀληθείας λαβοῦ, ὦ Πρώταρχε, καὶ λαβόμενος, βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ ἡδονήν, πολὺν ἐπισχὼν χρόνον, ἀπόκριναι σαυτῷ, πότερον ἡδονὴ ξυγγενέστερον, ἢ νοῦς, ἀληθείᾳ. ΠΡΩ. Τί δὲ χρόνου δεῖ; πολὺ γάρ, οἶμαι, διαφέρετον. ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονέστατον· ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδο-

ναῖς ταῖς περὶ τὰ ἀφροδίσια, αἳ δὴ μέγισται δοκοῖαιν εἶναι, καὶ τὸ ἐπιορκεῖν ξυγγνώμην εἴληφε παρὰ θεῶν, ὡς, καθάπερ παίδων, τῶν ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων· νοῦς δὲ ἤτοι ταὐτὸν καὶ ἀλήθειά ἐστιν, ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον. ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο τὴν μετριότητα ὡς οὕτως σκέψαι, πότερον ἡδονὴ φρονήσεως, ἢ φρόνησις ἡδονῆς πλείω κέκτηται; ΠΡΩ. Εὐσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας. οἶμαι γὰρ, ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων πεφυκὸς ἀμετρότερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ ἐπιστήμης ἐμμετρότερον οὐδ' ἂν ἕν ποτε. ΣΩ. Καλῶς εἴρηκας· ὅμως δ' ἔτι λέγε τὸ τρίτον· νοῦς ἡμῖν κάλλους μετείληφε πλεῖον ἢ τὸ τῆς ἡδονῆς γένος, ὥστε εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον; ΠΡΩ. Ἆρ' οὖν φρόνησιν μὲν καὶ νοῦν, ὦ Σώκρατες, οὐδεὶς πώποτε, οὔθ' ὕπαρ οὔτ' ὄναρ, αἰσχρὸν οὔτε εἶδεν οὔτε ἐπενόησεν οὐδαμῇ οὐδαμῶς οὔτε γιγνόμενον, οὔτε ὄντα, οὔτε ἐσόμενον. ΣΩ. Ὀρθῶς. ΠΡΩ. Ἡδονάς δέ γέ που, καὶ ταύτας σχεδὸν τὰς μεγίστας, ὅταν ἴδωμεν ἡδόμενον ὁντινοῦν, ἢ τὸ γελοῖον ἐπ' αὐταῖς ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες, αὐτοί τε αἰσχυνόμεθα καὶ ἀφανίζοντες κρύπτομεν ὅτι μάλιστα, νυκτὶ πάντα τὰ τοιαῦτα διδόντες, ὡς φῶς οὐ δέον ὁρᾷν αὐτά. ΣΩ. Πάντῃ δὴ φήσεις, ὦ Πρώταρχε, ὑπό τε ἀγγέλων πέμπων καὶ παροῦσι φράζων, ὡς ἡδονὴ κτῆμα οὐκ ἔστι πρῶτον οὐδ' αὖ δεύτερον, ἀλλὰ πρῶτον

μέν πῃ περὶ μέτρον καὶ τὸ μέτριον καὶ καίριον, καὶ πάντα ὁπόσα τοιαῦτα χρὴ νομίζειν τὴν ἀΐδιον ᾑρῆσθαι φύσιν. ΠΡΩ. Φαίνεται οὖν ἐκ τῶν νῦν λεγομένων. ΣΩ. Δεύτερον μὴν περὶ τὸ ξύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενεᾶς ταύτης αὖ ἐστιν. ΠΡΩ. Ἔοικε γοῦν. ΣΩ. Τὸ τοίνυν τρίτον, ὡς ἡ ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν τιθεὶς οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις. ΠΡΩ. Ἴσως. ΣΩ. Ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς ἔθεμεν αὐτῆς, ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθείσας, ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέταρτα; εἴπερ τοῦ ἀγαθοῦ γέ ἐστι μᾶλλον ἢ τῆς ἡδονῆς ξυγγενῆ. ΠΡΩ. Τάχ' ἄν. ΣΩ. Πέμπτας τοίνυν, ἃς ἡδονὰς ἔθεμεν, ἀλύπους ὁρισάμενοι, καθαρὰς ἐπονομάσαντες τῆς ψυχῆς αὐτῆς ἐπιστήμαις, τὰς δὲ αἰσθήσεσιν ἑπομένας. ΠΡΩ. Ἴσως. ΣΩ. Ἕκτῃ δ' ἐν γενεᾷ, φησὶν Ὀρφεύς, καταπαύσατε κόσμον ἀοιδῆς. ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει· τὸ δὴ μετὰ ταῦθ' ἡμῖν οὐδὲν λοιπόν, πλὴν ὥσπερ κεφαλὴν ἀποδοῦναι τοῖς εἰρημένοις. ΠΡΩ. Οὐκοῦν χρή. XLII. ΣΩ. Ἴθι δή, τὸ τρίτον τῷ σωτῆρι τὸν αὐτὸν διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν. ΠΡΩ. Ποῖον δή; ΣΩ. Φίληβος τἀγαθὸν ἐτίθετο ἡμῖν ἡδονὴν εἶναι πᾶσαν καὶ παντελῆ. ΠΡΩ. Τὸ τρίτον, ὦ Σώκρατες, ὡς ἔοικας, ἔλεγες ἀρτίως τὸν ἐξ ἀρχῆς ἐπαναλαβεῖν δεῖν λόγον. ΣΩ. Ναί· τὸ δέ γε μετὰ τοῦτο ἀκούωμεν. ἐγὼ γὰρ δὴ

κατιδὼν, ἅπερ νυνὶ διελήλυθα, καὶ δυσχεράνας τὸν Φιλήβου λόγον οὐ μόνον, ἀλλὰ καὶ ἄλλων πολλάκις μυρίων, εἶπον, ὡς ἡδονῆς γε νοῦς εἴη ἂν μακρῷ βέλτιόν τε καὶ ἄμεινον τῷ τῶν ἀνθρώπων βίῳ. ΠΡΩ. Ἦν ταῦτα. ΣΩ. Ὑποπτεύων δέ γε καὶ ἄλλα εἶναι πολλά, εἶπον, ὡς εἰ φανείη τὸ τούτοιν ἀμφοῖν βέλτιον, ὑπὲρ τῶν δευτερείων νῷ πρὸς ἡδονὴν ξυνδιαμαχοίμην, ἡδονὴ δὲ καὶ δευτερείων στερήσοιτο. ΠΡΩ. Εἶπες γὰρ οὖν. ΣΩ. Καὶ μετὰ ταῦτά γε πάντων ἱκανώτατα τούτοιν οὐδέτερον ἱκανὸν ἐφάνη. ΠΡΩ. Ἀληθέστατα. ΣΩ. Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονή, μήτοι τἀγαθόν γε αὐτὸ μηδ᾽ ἕτερον αὐτοῖν εἶναι στερομένων αὐταρκείας, καὶ τῆς τοῦ ἱκανοῦ καὶ τελείου δυνάμεως. ΠΡΩ. Ὀρθότατα. ΣΩ. Φανέντος δέ γε ἄλλου τρίτου κρείττονος τούτοιν ἑκατέρου, μυρίῳ γ᾽ αὖ νοῦς ἡδονῆς οἰκειότερον καὶ προσφυέστερον πέφανται νῦν τῇ τοῦ νικῶντος ἰδέᾳ. ΠΡΩ. Πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν πέμπτον, κατὰ τὴν κρίσιν, ἣν νῦν ὁ λόγος ἀπεφήνατο, γίγνοιτ᾽ ἂν ἡ τῆς ἡδονῆς δύναμις; ΠΡΩ. Ἔοικε. ΣΩ. Πρῶτον δέ γε οὐκ ἂν οἱ πάντες βόες τε καὶ ἵπποι καὶ τἄλλα ξύμπαντα θηρία φῶσι τῷ τὸ χαίρειν διώκειν; οἷς πιστεύοντες, ὥσπερ μάντεις ὄρνισιν, οἱ πολλοὶ κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι, καὶ τοὺς θηρίων ἔρωτας οἴονται κυρίους εἶναι μάρτυρας μᾶλλον, ἢ τοὺς τῶν ἐν Μούσῃ φιλοσόφῳ μεμαντευμένων ἑκάστοτε λόγων. ΠΡΩ.

Ἀληθέστατα, ὦ Σώκρατες, εἰρῆσθαί σοι νῦν ἤδη φαμὲν ἅπαντες. ΣΩ. Οὐκοῦν καὶ ἀφίετέ με; ΠΡΩ. Σμικρὸν ἔτι λοιπόν, ὦ Σώκρατες· οὐ γάρ δήπου σύ γε ἀπαρεῖς πρότερός ἡμῶν· ὑπομνήσω δέ σε τὰ λειπόμενα.

ΜΕΝΩΝ.

Η

ΠΕΡΙ ΑΡΕΤΗΣ.

ΠΕΙΡΑΣΤΙΚΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.

ΜΕΝΩΝ, ΣΩΚΡΑΤΗΣ, ΠΑΙΣ ΜΕΝΩΝΟΣ, ΑΝΥΤΟΣ.

ἜΧΕΙΣ μοι εἰπεῖν, ὦ Σώκρατες, ἆρα διδακτὸν ἡ ἀρετή, ἢ οὐ διδακτὸν ἀλλ' ἀσκητόν, ἢ οὔτε ἀσκητὸν οὔτε μαθητόν, ἀλλὰ φύσει παραγίγνεται τοῖς ἀνθρώποις, ἢ ἄλλῳ τινὶ τρόπῳ; ΣΩ. Ὦ Μένων, πρὸ τοῦ μὲν Θετταλοὶ εὐδόκιμοι ἦσαν ἐν τοῖς Ἕλλησι, καὶ ἐθαυμάζοντο ἐφ' ἱππικῇ τε καὶ πλούτῳ, νῦν δέ, ὡς ἐμοὶ δοκεῖ, καὶ ἐπὶ σοφίᾳ· καὶ οὐχ ἥκιστα οἱ τοῦ σοῦ ἑταίρου Ἀριστίππου πολῖται, τοῦ Λαρισσαίου. τούτου δὲ ὑμῖν αἴτιός ἐστι Γοργίας. ἀφικόμενος γὰρ εἰς τὴν πόλιν, ἐραστὰς ἐπὶ σοφίᾳ εἴληφεν Ἀλευαδῶν τε τοὺς πρώτους, ὧν ὁ σὸς ἐραστής ἐστιν Ἀριστιπ-

πος, καὶ τῶν ἄλλων Θετταλῶν. καὶ δὴ καὶ τοῦτο τὸ ἔθος ὑμᾶς εἴθικεν, ἀφόβως τε καὶ μεγαλοπρεπῶς ἀποκρίνεσθαι, ἐάν τίς τι ἔρηται, ὥσπερ εἰκὸς τοὺς εἰδότας, ἅτε καὶ αὐτὸς παρέχων αὑτὸν ἐρωτᾶν τῶν Ἑλλήνων τῷ βουλομένῳ ὅ τι ἄν τις βούληται, καὶ οὐδενὶ ὅτῳ οὐκ ἀποκρινόμενος. ἐνθάδε δέ, ὦ φίλε Μένων, τὸ ἐναντίον περιέστηκεν· ὥσπερ αὐχμός τις τῆς σοφίας γέγονε, καὶ κινδυνεύει ἐκ τῶνδε τῶν τόπων παρ' ὑμᾶς οἴχεσθαι ἡ σοφία. εἰ γοῦν τινα ἐθέλεις οὕτως ἐρέσθαι τῶν ἐνθάδε, οὐδεὶς ὅστις οὐ γελάσεται, καὶ ἐρεῖ, ,,Ὦ ξένε, κινδυνεύω σοι δοκεῖν μακάριός τις εἶναι, ἀρετὴν γοῦν, εἴτε διδακτὸν εἴθ' ὅτῳ τρόπῳ παραγίγνεται, εἰδέναι· ἐγὼ δὲ τοσοῦτον δέω, εἴτε διδακτόν, εἴτε μὴ διδακτόν, εἰδέναι, ὡς οὐδὲ αὐτὸ ὅ τι ποτ' ἐστὶ τοπαράπαν ἀρετή, τυγχάνω εἰδώς. ,,II. Ἐγὼ οὖν καὶ αὐτός, ὦ Μένων, οὕτως ἔχω· ξυμπένομαι τοῖς πολίταις τούτου τοῦ πράγματος καὶ ἐμαυτὸν καταμέμφομαι, ὡς οὐκ εἰδὼς περὶ ἀρετῆς τοπαράπαν. ὃ δὲ μὴ οἶδα τί ἐστι, πῶς ἄν, ὁποῖόν γέ τι, εἰδείην; ἢ δοκεῖ σοι οἷόν τε εἶναι, ὅστις Μένωνα μὴ γιγνώσκει τοπαράπαν ὅστις ἐστί, τοῦτο εἰδέναι, εἴτε καλὸς εἴτε πλούσιος εἴτε καὶ γενναῖός ἐστιν, εἴτε καὶ τἀναντία τούτων; δοκεῖ σοι οἷόν τ' εἶναι; ΜΕΝ. Οὐκ ἔμοιγε. ἀλλὰ σύ, ὦ Σώκρατες, ἀληθῶς οὐδ', ὅ τι ἀρετή ἐστιν οἶσθα; ἀλλὰ ταῦτα περὶ σοῦ καὶ οἴκαδε ἀπαγγέλλωμεν; ΣΩ. Μὴ μόνον γε, ὦ ἑταῖρε, ἀλλὰ καὶ ὅτι οὐδ' ἄλλῳ πω ἐνέτυχον εἰδότι, ὡς ἐμοὶ δοκῶ. ΜΕΝ. Τί δέ; Γοργίᾳ οὐκ ἐνέτυχες, ὅτε ἐνθάδε ἦν;

ΣΩ. Ἔγωγε. ΜΕΝ. Εἶτα οὐκ ἐδόκει σοι εἰδέναι;
ΣΩ. Οὐ πάνυ εἰμὶ μνήμων, ὦ Μένων, ὥςτε οὐκ ἔχω
εἰπεῖν ἐν τῷ παρόντι, πῶς μοι τότε ἔδοξεν. ἀλλ' ἴσως
ἐκεῖνός τε οἶδε καὶ σύ, ἃ ἐκεῖνος ἔλεγεν. ἀνάμνησον
οὖν με πῶς ἔλεγεν· εἰ δὲ μὴ βούλει, αὐτὸς εἰπέ. δοκεῖ
γὰρ δήπου σοί, ἅπερ ἐκείνῳ. ΜΕΝ. Ἔμοιγε. ΣΩ.
Ἐκεῖνον μὲν τοίνυν ἐῶμεν, ἐπειδὴ καὶ ἄπεστι· σὺ δὲ
αὐτός, ὦ, πρὸς θεῶν, Μένων, τί φῂς ἀρετὴν εἶναι;
εἰπὸν καὶ μὴ φθονήσῃς, ἵνα εὐτυχέστατον ψεῦσμα
ἐψευσμένος ὦ, ἂν φανῇς σὺ μὲν εἰδὼς καὶ Γοργίας,
ἐγὼ δὲ εἰρηκὼς μηδενὶ πώποτε εἰδότι ἐντετυχηκέναι.

III. ΜΕΝ. Ἀλλ' οὐ χαλεπόν, ὦ Σώκρατες, εἰπεῖν.
πρῶτον μέν, εἰ βούλει, ἀνδρὸς ἀρετήν, ῥᾴδιον, ὅτι
αὕτη ἐστὶν ἀνδρὸς ἀρετή, ἱκανὸν εἶναι τὰ τῆς πόλεως
πράττειν, καὶ πράττοντα τοὺς μὲν φίλους εὖ ποιεῖν,
τοὺς δ' ἐχθροὺς κακῶς, καὶ αὐτὸν εὐλαβεῖσθαι, μη-
δὲν τοιοῦτον παθεῖν. εἰ δὲ βούλει, γυναικὸς ἀρετήν
οὐ χαλεπὸν διελθεῖν, ὅτι δεῖ αὐτὴν τὴν οἰκίαν εὖ οἰ-
κεῖν, σώζουσάν τε τὰ ἔνδον, καὶ κατήκοον οὖσαν τοῦ
ἀνδρός. καὶ ἄλλη ἐστὶ παιδὸς ἀρετὴ καὶ θηλείας καὶ
ἄῤῥενος καὶ πρεσβυτέρου ἀνδρός, εἰ μὲν βούλει, ἐλευ-
θέρου, εἰ δὲ βούλει, δούλου· καὶ ἄλλαι πάμπολλαι
ἀρεταί εἰσιν· ὥςτε οὐκ ἀπορία εἰπεῖν ἀρετῆς πέρι, ὅ
τι ἐστί. καθ' ἑκάστην γὰρ τῶν πράξεων καὶ τῶν ἡλι-
κιῶν πρὸς ἕκαστον ἔργον ἑκάστῳ ἡμῶν ἡ ἀρετή ἐστι.
ὡσαύτως δέ, οἶμαι, ὦ Σώκρατες, καὶ ἡ κακία. ΣΩ.
Πολλῇ γέ τινι εὐτυχίᾳ ἔοικα κεχρῆσθαι, ὦ Μένων,
εἰ μίαν ζητῶν ἀρετὴν σμῆνός τι ἀνεύρηκα ἀρετῶν

παρά σοι κειμένων. ἀτάρ, ὦ Μένων, κατὰ ταύτην τὴν εἰκόνα τὴν περὶ τὰ σμήνη, εἴ μου ἐρομένου μελίττης περὶ οὐσίας, ὅ τι ποτ' ἐστί, πολλὰς καὶ παντοδαπὰς ἔλεγες αὐτὰς εἶναι, τί ἂν ἀπεκρίνω μοι, εἴ σε ἠρόμην, „ἆρα τούτῳ φῂς πολλὰς καὶ παντοδαπὰς εἶναι καὶ διαφερούσας ἀλλήλων, τῷ μελίττας εἶναι; ἢ τούτῳ μὲν οὐδὲν διαφέρουσιν, ἄλλῳ δέ τῳ, οἷον, ἢ κάλλει, ἢ μεγέθει, ἢ ἄλλῳ τῳ τῶν τοιούτων;“ εἰπέ, τί ἂν ἀπεκρίνω οὕτως ἐρωτηθείς; MEN. Τοῦτ' ἔγωγε, ὅτι οὐδὲν διαφέρουσιν, ᾗ μέλιτταί εἰσιν, ἡ ἑτέρα τῆς ἑτέρας. ΣΩ. Εἰ οὖν εἶπον μετὰ ταῦτα, „τοῦτο τοίνυν μοι αὐτὸ εἰπέ, ὦ Μένων, ᾧ οὐδὲν διαφέρουσιν, ἀλλὰ ταὐτόν εἰσιν ἅπασαι, τί τοῦτο φῂς εἶναι;“ εἶχες δή που ἄν τί μοι εἰπεῖν; MEN. Ἔγωγε. IV. ΣΩ. Οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντοδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταὐτὸν ἅπασαι ἔχουσι, δι' ὃ εἰσὶν ἀρεταί, εἰς ὃ καλῶς που ἔχει ἀποβλέψαντα τὸν ἀποκρινόμενον τῷ ἐρωτήσαντι, ἐκεῖνο δηλῶσαι, ὃ τυγχάνει οὖσα ἀρετή. ἢ οὐ μανθάνεις, ὅ τι λέγω; MEN. Δοκῶ γέ μοι μανθάνειν, οὐ μέντοι ὡς βούλομαί γέ πω κατέχω τὸ ἐρωτώμενον. ΣΩ. Πότερον δὲ περὶ ἀρετῆς μόνον σοι οὕτω δοκεῖ, ὦ Μένων, ἄλλη μὲν ἀνδρὸς εἶναι, ἄλλη δὲ γυναικὸς καὶ τῶν ἄλλων, ἢ καὶ περὶ ὑγιείας καὶ περὶ μεγέθους καὶ περὶ ἰσχύος ὡσαύτως; ἄλλη μὲν ἀνδρὸς δοκεῖ σοι εἶναι ὑγίεια, ἄλλη δὲ γυναικός, ἢ ταὐτὸν πανταχῇ εἶδός ἐστιν, ἐάν περ ὑγίεια ᾖ, ἐάν τε ἐν ἀνδρὶ ἐάν τε ἐν ἄλλῳ ὁτῳοῦν ᾖ; MEN. Ἡ αὐτή μοι δοκεῖ

ὑγιεία τε εἶναι καὶ ἀνδρὸς καὶ γυναικός. ΣΩ. Οὐκοῦν καὶ μέγεθος καὶ ἰσχύς; ἐάν περ ἰσχυρὰ γυνὴ ᾖ, τῷ αὐτῷ εἴδει καὶ τῇ αὐτῇ ἰσχύϊ ἰσχυρὰ ἔσται; τὸ γὰρ τῇ αὐτῇ τοῦτο λέγω, οὐδὲν διαφέρει πρὸς τὸ ἰσχὺς εἶναι ἡ ἰσχύς, ἐάν τε ἐν ἀνδρὶ ᾖ, ἐάν τε ἐν γυναικί. ἢ δοκεῖ τί σοι διαφέρειν; MEN. Οὐκ ἔμοιγε. ΣΩ. Ἡ δὲ ἀρετὴ πρὸς τὸ ἀρετὴ εἶναι διοίσει τι, ἐάν τε ἐν παιδὶ ᾖ ἐάν τε ἐν πρεσβύτῃ, ἐάν τε ἐν γυναικὶ ἐάν τε ἐν ἀνδρί; MEN. Ἔμοιγέ πως δοκεῖ, ὦ Σώκρατες, τοῦτο οὐκέτι ὅμοιον εἶναι τοῖς ἄλλοις τούτοις. ΣΩ. Τί δέ; οὐκ ἀνδρὸς μὲν ἀρετὴν ἔλεγες, πόλιν εὖ διοικεῖν, γυναικὸς δέ, οἰκίαν; MEN. Ἔγωγε. ΣΩ. Ἆρ᾽ οὖν οἷόν τε εὖ διοικεῖν ἢ πόλιν ἢ οἰκίαν ἢ ἄλλο ὁτιοῦν, μὴ σωφρόνως καὶ δικαίως διοικοῦντα; MEN. Οὐ δῆτα. ΣΩ. Οὐκοῦν, ἄν περ δικαίως καὶ σωφρόνως διοικῶσι, δικαιοσύνῃ καὶ σωφροσύνῃ διοικήσουσιν; MEN. Ἀνάγκη. ΣΩ. Τῶν αὐτῶν ἄρα ἀμφότεροι δέονται, εἴπερ μέλλουσιν ἀγαθοὶ εἶναι, καὶ ἡ γυνὴ καὶ ὁ ἀνήρ, δικαιοσύνης καὶ σωφροσύνης. MEN. Φαίνονται. ΣΩ. Τί δέ; παῖς καὶ πρεσβύτης μῶν, ἀκόλαστοι ὄντες καὶ ἄδικοι, ἀγαθοὶ ἄν ποτε γένοιντο; MEN. Οὐ δῆτα. ΣΩ. Ἀλλὰ σώφρονες καὶ δίκαιοι; MEN. Ναί. ΣΩ. Πάντες ἄρ᾽ ἄνθρωποι τῷ αὐτῷ τρόπῳ ἀγαθοί εἰσι· τῶν αὐτῶν γὰρ τυχόντες ἀγαθοὶ γίγνονται. MEN. Ἔοικεν. ΣΩ. Οὐκ ἂν δή που, εἴγε μὴ ἡ αὐτὴ ἀρετὴ ἦν αὐτῶν, τῷ αὐτῷ ἂν τρόπῳ ἀγαθοὶ ἦσαν. MEN. Οὐ δῆτα. V. ΣΩ. Ἐπειδὴ τοίνυν ἡ αὐτὴ ἀρετὴ πάντων ἐστί, πειρῶ

παρά σοι κειμένων. ἀτάρ, ὦ Μένων, κατὰ ταύτην τὴν εἰκόνα τὴν περὶ τὰ σμήνη, εἴ μου ἐρομένου μελίττης περὶ οὐσίας, ὅ τι ποτ' ἐστί, πολλὰς καὶ παντοδαπὰς ἔλεγες αὐτὰς εἶναι, τί ἂν ἀπεκρίνω μοι, εἴ σε ἠρόμην, „ἆρα τούτῳ φῂς πολλὰς καὶ παντοδαπὰς εἶναι καὶ διαφερούσας ἀλλήλων, τῷ μελίττας εἶναι; ἢ τούτῳ μὲν οὐδὲν διαφέρουσιν, ἄλλῳ δέ τῳ, οἷον, ἢ κάλλει, ἢ μεγέθει, ἢ ἄλλῳ τῳ τῶν τοιούτων;“ εἰπέ, τί ἂν ἀπεκρίνω οὕτως ἐρωτηθείς; ΜΕΝ. Τοῦτ' ἔγωγε, ὅτι οὐδὲν διαφέρουσιν, ᾗ μέλιτταί εἰσιν, ἡ ἑτέρα τῆς ἑτέρας. ΣΩ. Εἰ οὖν εἶπον μετὰ ταῦτα, „τοῦτο τοίνυν μοι αὐτὸ εἰπέ, ὦ Μένων, ᾧ οὐδὲν διαφέρουσιν, ἀλλὰ ταὐτόν εἰσιν ἅπασαι, τί τοῦτο φῂς εἶναι;“ εἶχες δή που ἄν τί μοι εἰπεῖν; ΜΕΝ. Ἔγωγε. IV. ΣΩ. Οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντοδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταὐτὸν ἅπασαι ἔχουσι, δι' ὃ εἰσὶν ἀρεταί, εἰς ὃ καλῶς που ἔχει ἀποβλέψαντα τὸν ἀποκρινόμενον τῷ ἐρωτήσαντι, ἐκεῖνο δηλῶσαι, ὃ τυγχάνει οὖσα ἀρετή. ἢ οὐ μανθάνεις, ὅ τι λέγω; ΜΕΝ. Δοκῶ γέ μοι μανθάνειν, οὐ μέντοι ὡς βούλομαί γέ πω κατέχω τὸ ἐρωτώμενον. ΣΩ. Πότερον δὲ περὶ ἀρετῆς μόνον σοι οὕτω δοκεῖ, ὦ Μένων, ἄλλη μὲν ἀνδρὸς εἶναι, ἄλλη δὲ γυναικὸς καὶ τῶν ἄλλων, ἢ καὶ περὶ ὑγιείας καὶ περὶ μεγέθους καὶ περὶ ἰσχύος ὡσαύτως; ἄλλη μὲν ἀνδρὸς δοκεῖ σοι εἶναι ὑγίεια, ἄλλη δὲ γυναικός, ἢ ταὐτὸν πανταχῇ εἶδός ἐστιν, ἐάν περ ὑγίεια ᾖ, ἐάν τε ἐν ἀνδρὶ ἐάν τε ἐν ἄλλῳ ὁτῳοῦν ᾖ; ΜΕΝ. Ἡ αὐτή μοι δοκεῖ

ὑγιεία τε εἶναι καὶ ἀνδρὸς καὶ γυναικός. ΣΩ. Οὐκοῦν καὶ μέγεθος καὶ ἰσχὺς; ἐάν περ ἰσχυρὰ γυνὴ ᾖ, τῷ αὐτῷ εἴδει καὶ τῇ αὐτῇ ἰσχύϊ ἰσχυρὰ ἔσται; τὸ γὰρ τῇ αὐτῇ τοῦτο λέγω, οὐδὲν διαφέρει πρὸς τὸ ἰσχὺς εἶναι ἡ ἰσχύς, ἐάν τε ἐν ἀνδρὶ ᾖ, ἐάν τε ἐν γυναικί. ἢ δοκεῖ τί σοι διαφέρειν; MEN. Οὐκ ἔμοιγε. ΣΩ. Ἡ δὲ ἀρετὴ πρὸς τὸ ἀρετὴ εἶναι διοίσει τι, ἐάν τε ἐν παιδὶ ᾖ ἐάν τε ἐν πρεσβύτῃ, ἐάν τε ἐν γυναικὶ ἐάν τε ἐν ἀνδρί; MEN. Ἔμοιγέ πως δοκεῖ, ὦ Σώκρατες, τοῦτο οὐκέτι ὅμοιον εἶναι τοῖς ἄλλοις τούτοις. ΣΩ. Τί δέ; οὐκ ἀνδρὸς μὲν ἀρετὴν ἔλεγες, πόλιν εὖ διοικεῖν, γυναικὸς δέ, οἰκίαν; MEN. Ἔγωγε. ΣΩ. Ἆρ᾽ οὖν οἷόν τε εὖ διοικεῖν ἢ πόλιν ἢ οἰκίαν ἢ ἄλλο ὁτιοῦν, μὴ σωφρόνως καὶ δικαίως διοικοῦντα; MEN. Οὐ δῆτα. ΣΩ. Οὐκοῦν, ἄν περ δικαίως καὶ σωφρόνως διοικῶσι, δικαιοσύνῃ καὶ σωφροσύνῃ διοικήσουσιν; MEN. Ἀνάγκη. ΣΩ. Τῶν αὐτῶν ἄρα ἀμφότεροι δέονται, εἴπερ μέλλουσιν ἀγαθοὶ εἶναι, καὶ ἡ γυνὴ καὶ ὁ ἀνήρ, δικαιοσύνης καὶ σωφροσύνης. MEN. Φαίνονται. ΣΩ. Τί δέ; παῖς καὶ πρεσβύτης μῶν, ἀκόλαστοι ὄντες καὶ ἄδικοι, ἀγαθοὶ ἄν ποτε γένοιντο; MEN. Οὐ δῆτα. ΣΩ. Ἀλλὰ σώφρονες καὶ δίκαιοι; MEN. Ναί. ΣΩ. Πάντες ἄρ᾽ ἄνθρωποι τῷ αὐτῷ τρόπῳ ἀγαθοί εἰσι· τῶν αὐτῶν γὰρ τυχόντες ἀγαθοὶ γίγνονται. MEN. Ἔοικεν. ΣΩ. Οὐκ ἂν δή που, εἴγε μὴ ἡ αὐτὴ ἀρετὴ ἦν αὐτῶν, τῷ αὐτῷ ἂν τρόπῳ ἀγαθοὶ ἦσαν. MEN. Οὐ δῆτα. V. ΣΩ. Ἐπειδὴ τοίνυν ἡ αὐτὴ ἀρετὴ πάντων ἐστί, πειρῶ

εἰπεῖν καὶ ἀναμνησθῆναι, τί αὐτό φησι Γοργίας εἶναι, καὶ σὺ μετ' ἐκείνου. ΜΕΝ. Τί ἄλλο γ' ἢ ἄρχειν οἷόν τ' εἶναι τῶν ἀνθρώπων; εἴπερ ἕν γέ τι ζητεῖς κατὰ πάντων. ΣΩ. Ἀλλὰ μὴν ζητῶ γε. ἀλλ' ἆρα καὶ παιδὸς ἀρετὴ ἡ αὐτή, ὦ Μένων; καὶ δούλου, ἄρχειν οἵῳ τε εἶναι τοῦ δεσπότου; καὶ δοκεῖ σοι ἔτι ἂν δοῦλος εἶναι ὁ ἄρχων; ΜΕΝ. Οὐ πάνυ μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Οὐ γὰρ εἰκός, ὦ ἄριστε· ἔτι γὰρ καὶ τόδε σκόπει· ἄρχειν φῂς οἷόν τ' εἶναι. οὐ προσθήσομεν αὐτόσε τὸ δικαίως, ἀδίκως δὲ μή; ΜΕΝ. Οἶμαι ἔγωγε. ἡ γὰρ δικαιοσύνη, ὦ Σώκρατες, ἀρετή ἐστι. ΣΩ. Πότερον ἀρετή, ὦ Μένων, ἢ ἀρετή τις; ΜΕΝ. Πῶς τοῦτο λέγεις; ΣΩ. Ὡς περὶ ἄλλου ὁτουοῦν. οἷον, εἰ βούλει, στρογγυλότητος πέρι εἴποιμ' ἂν ἔγωγε, ὅτι σχῆμά τι ἐστίν, οὐχ οὕτως ἁπλῶς ὅτι σχῆμα. διὰ ταῦτα δὲ οὕτως ἂν εἴποιμι, ὅτι καὶ ἄλλα ἔστι σχήματα. ΜΕΝ. Ὀρθῶς γε λέγων σύ· ἐπεὶ καὶ ἐγὼ λέγω οὐ μόνον δικαιοσύνην, ἀλλὰ καὶ ἄλλας εἶναι ἀρετάς. ΣΩ. Τίνας ταύτας, εἰπέ· οἷον καὶ ἐγώ σοι εἴποιμι ἂν καὶ ἄλλα σχήματα, εἴ γε κελεύοις, καὶ σὺ οὖν ἐμοὶ εἰπὲ ἄλλας ἀρετάς. ΜΕΝ. Ἡ ἀνδρία τοίνυν ἔμοιγε δοκεῖ ἀρετὴ εἶναι, καὶ σωφροσύνη, καὶ σοφία, καὶ μεγαλοπρέπεια, καὶ ἄλλαι πάμπολλαι. ΣΩ. Πάλιν, ὦ Μένων, ταὐτὸν πεπόνθαμεν. πολλὰς αὖ ηὑρήκαμεν ἀρετάς, μίαν ζητοῦντες, ἄλλον τρόπον ἢ νῦν δή, τὴν δὲ μίαν, ἣ διὰ πάντων τούτων ἐστίν, οὐ δυνάμεθα ἀνευρεῖν. VI. ΜΕΝ. Οὐ γὰρ δύναμαί πω, ὦ Σώκρατες, ὡς σὺ ζητεῖς, μίαν

ἀρετὴν λαβεῖν κατὰ πάντων, ὥσπερ ἐν τοῖς ἄλλοις. ΣΩ. Εἰκότως γε. ἀλλ' ἐγὼ προθυμήσομαι, ἐὰν οἷός τ' ὦ, ἡμᾶς προσβιβάσαι. μανθάνεις γάρ που, ὅτι οὑτωσὶ ἔχει περὶ παντός. εἴ τίς σε ἀνέροιτο τοῦτο, ὃ νῦν δὴ ἐγὼ ἔλεγον, τί ἐστι σχῆμα, ὦ Μένων; εἰ αὐτῷ εἶπες ὅτι στρογγυλότης, εἴ σοι εἶπεν, ἅπερ ἐγώ, πότερον σχῆμα ἡ στρογγυλότης ἐστὶν, ἢ σχῆμά τι, εἶπες δή που ἂν, ὅτι σχῆμά τι· MEN. Πάνυ γε. ΣΩ. Οὐκοῦν διὰ ταῦτα, ὅτι καὶ ἄλλα ἐστὶ σχήματα; MEN. Ναί. ΣΩ. Καὶ εἴ γε προσανηρώτα σε, ὁποῖα, ἔλεγες ἄν; MEN. Ἔγωγε. ΣΩ. Καὶ αὖ εἰ περὶ χρώματος ὡσαύτως ἀνήρετο, ὅ τι ἐστί, καὶ εἰπόντος σου ὅτι τὸ λευκόν, μετὰ ταῦτα ὑπέλαβεν ὁ ἐρωτῶν, πότερον τὸ λευκὸν χρῶμά ἐστιν, ἢ χρῶμά τι, εἶπες ἄν, ὅτι χρῶμά τι, διότι καὶ ἄλλα τυγχάνει ὄντα; MEN. Ἔγωγε. ΣΩ. Καὶ εἴ γέ σε ἐκέλευε λέγειν ἄλλα χρώματα, ἔλεγες ἂν ἄλλα, ἃ οὐδὲν ἧττον τυγχάνει ὄντα χρώματα τοῦ λευκοῦ; MEN. Ναί. ΣΩ. Εἰ οὖν, ὥσπερ ἐγώ, μετῄει τὸν λόγον, καὶ ἔλεγεν, ὅτι ἀεὶ εἰς πολλὰ ἀφικνούμεθα· ἀλλὰ μή μοι οὕτως, ἀλλ' ἐπειδὴ τὰ πολλὰ ταῦτα ἑνί τινι προσαγορεύεις ὀνόματι, καὶ φῂς οὐδὲν αὐτῶν ὅ τι οὐ σχῆμα εἶναι, καὶ ταῦτα, ἐναντία ὄντα ἀλλήλοις· ὅ τι ἐστὶ τοῦτο, ὃ οὐδὲν ἧττον κατέχει τὸ στρογγύλον ἢ τὸ εὐθύ, ὃ δὴ ὀνομάζεις σχῆμα, καὶ οὐδὲν μᾶλλον φῂς τὸ στρογγύλον σχῆμα εἶναι, ἢ τὸ εὐθύ; ἢ οὐχ οὕτω λέγεις; MEN. Ἔγωγε. ΣΩ. Ἆρ' οὖν, ὅταν οὕτω λέγῃς, τότε οὐδὲν μᾶλλον φῂς τὸ στρογγύλον εἶναι στρογγύλον, ἢ εὐθύ;

οὐδὲ τὸ εὐθὺ εὐθύ, ἢ στρογγύλον; ΜΕΝ. Οὗ δή-
που, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ μὴν σχῆμά γε οὐδὲν
μᾶλλον φὴς εἶναι τὸ στρογγύλον τοῦ εὐθέος, οὐδὲ τὸ
ἕτερον τοῦ ἑτέρου. ΜΕΝ. Ἀληθῆ λέγεις. VII. ΣΩ.
Τί ποτε οὖν τοῦτο, οὗ τοῦτο ὄνομά ἐστι τὸ σχῆμα,
πειρῶ λέγειν. εἰ οὖν τῷ ἐρωτῶντι οὕτως ἢ περὶ σχή-
ματος ἢ περὶ χρώματος εἶπες, ὅτι ἀλλ᾽ οὐδὲ μανθά-
νω ἔγωγε ὅ τι βούλει, ὦ ἄνθρωπε, οὐδὲ οἶδα ὅ τι
λέγεις, ἴσως ἂν ἐθαύμασε, καὶ εἶπεν· οὐ μανθάνεις
ὅτι ζητῶ τὸ ἐπὶ πᾶσι τούτοις ταυτόν; ἢ οὐδὲ ἐπὶ
τούτοις, ὦ Μένων, ἔχοις ἂν εἰπεῖν, εἴ τις ἐρωτῴη· τί
ἐστιν ἐπὶ τῷ στρογγύλῳ καὶ εὐθεῖ καὶ ἐπὶ τοῖς ἄλ-
λοις, ἃ δὴ σχήματα καλεῖς, ταυτὸν ἐπὶ πᾶσι; πειρῶ
εἰπεῖν, ἵνα καὶ γένηταί σοι μελέτη πρὸς τὴν περὶ τῆς
ἀρετῆς ἀπόκρισιν. ΜΕΝ. Μή, ἀλλὰ σύ, ὦ Σώκρα-
τες, εἰπέ. ΣΩ. Βούλει σοι χαρίσωμαι; ΜΕΝ. Πάνυ
γε. ΣΩ. Ἐθελήσεις οὖν καὶ σὺ ἐμοὶ εἰπεῖν περὶ τῆς
ἀρετῆς; ΜΕΝ. Ἔγωγε. ΣΩ. Προθυμητέον τοίνυν·
ἄξιον γάρ. ΜΕΝ. Πάνυ μὲν οὖν. ΣΩ. Φέρε δή,
πειρώμεθά σοι εἰπεῖν, τί ἐστι σχῆμα. σκόπει οὖν, εἰ
τόδε ἀποδέχῃ αὐτὸ εἶναι. ἔστω γὰρ δὴ ἡμῖν τοῦτο τὸ
σχῆμα, ὃ μόνον τῶν ὄντων τυγχάνει χρώματι ἀεὶ
ἑπόμενον· ἱκανῶς σοι, ἢ ἄλλως πως ζητεῖς; ἐγὼ γὰρ
κἂν οὕτως ἀγαπῴην, εἴ μοι ἀρετὴν εἴποις. ΜΕΝ.
Ἀλλὰ τοῦτό γε εὔηθες, ὦ Σώκρατες. ΣΩ. Πῶς λέ-
γεις; ΜΕΝ. Ὅτι σχῆμά πού ἐστι, κατὰ τὸν σὸν
λόγον, ὃ ἀεὶ χρόᾳ ἕπεται. ΣΩ. Εἶεν. VIII. ΜΕΝ.
Εἰ δὲ δὴ τὴν χρόαν τις μὴ φαίη εἰδέναι, ἀλλὰ ὡσαύ-

τως ἀπορεῖ ὥσπερ περὶ τοῦ σχήματος, τί ἂν οἴει σοι ἀποκεκρίσθαι; ΣΩ. Τἀληθῆ ἔγωγε. καὶ εἰ μέν γε τῶν σοφῶν τις εἴη καὶ ἐριστικῶν τε καὶ ἀγωνιστικῶν ὁ ἐρόμενος, εἴποιμ' ἂν αὐτῷ· ὅτι ἐμοὶ μὲν εἴρηται, εἰ δὲ μὴ ὀρθῶς λέγω, σὸν ἔργον, λαμβάνειν λόγον καὶ ἐλέγχειν. εἰ δὲ, ὥσπερ ἐγώ τε καὶ σὺ νυνὶ φίλοι ὄντες, βούλοιντο ἀλλήλοις διαλέγεσθαι, δεῖ δὴ πρᾳότερόν πως καὶ διαλεκτικώτερον ἀποκρίνεσθαι. ἔστι δὲ ἴσως τὸ διαλεκτικώτερον, μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι, ἀλλὰ καὶ δι' ἐκείνων, ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος. πειράσομαι δὴ καὶ ἐγώ σοι οὕτως εἰπεῖν. λέγε γάρ μοι· τελευτὴν καλεῖς τι, τοιόνδε λέγων, οἷον πέρας καὶ ἔσχατον; πάντα ταῦτα ταυτόν τι λέγω. ἴσως δ' ἂν ἡμῖν Πρόδικος διαφέροιτο. ἀλλὰ σύ γε που καλεῖς πεπεράνθαι τι καὶ τετελευτηκέναι; τὸ τοιοῦτον βούλομαι λέγειν, οὐδὲν ποικίλον. MEN. Ἀλλὰ καλῶ, καὶ οἶμαι μανθάνειν ὃ λέγεις. ΣΩ. Τὸ δ' ἐπίπεδον καλεῖς τι, καὶ ἕτερον αὖ στερεόν, οἷον ταῦτα τὰ ἐν γεωμετρίαις; MEN. Ἔγωγε καλῶ. ΣΩ. Ἤδη τοίνυν ἂν μανθάνοις μου ἐκ τούτων σχῆμα ὃ λέγω· κατὰ γὰρ παντὸς σχήματος τοῦτο λέγω, εἰς ὃ τὸ στερεὸν περαίνει, τοῦτ' εἶναι σχῆμα· ὅπερ ἂν ξυλλαβὼν εἴποιμι στερεοῦ πέρας σχῆμα εἶναι. IX. MEN. Τὸ δὲ χρῶμα τί λέγεις, ὦ Σώκρατες; ΣΩ. Ὑβριστής γ' εἶ, ὦ Μένων. ἀνδρὶ πρεσβύτῃ πράγματα προστάττεις, ἀποκρίνεσθαι, αὐτὸς δὲ οὐκ ἐθέλεις ἀναμνησθεὶς εἰπεῖν, ὅ τί ποτε λέγει Γοργίας ἀρετὴν εἶναι. MEN. Ἀλλ' ἐπειδάν μοι σὺ τοῦτ' εἴπῃς, ὦ Σώκρα-

τες, ἐρῶ σοι. ΣΩ. Κἂν κατακεκαλυμμένος τις γνοίη, ὦ Μένων, διαλεγομένου σου, ὅτι καλὸς εἶ καὶ ἐρασταί σοι ἔτι εἰσί. ΜΕΝ. Τί δή; ΣΩ. Ὅτι οὐδὲν ἀλλ' ἢ ἐπιτάττεις ἐν τοῖς λόγοις, ὅπερ ποιοῦσιν οἱ τρυφῶντες, ἅτε τυραννεύοντες, ἕως ἂν ἐν ὥρᾳ ὦσι· καὶ ἅμα ἐμοῦ ἴσως κατέγνωκας, ὅτι εἰμὶ ἥττων τῶν καλῶν· χαριοῦμαι οὖν σοι καὶ ἀποκρινοῦμαι. ΜΕΝ. Πάνυ μὲν οὖν χάρισαι. ΣΩ. Βούλει οὖν σοι κατὰ Γοργίαν ἀποκρίνωμαι, ᾗ ἂν σὺ μάλιστα ἀκολουθήσαις; ΜΕΝ. Βούλομαι. πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν λέγετε ἀποῤῥοάς τινας τῶν ὄντων κατὰ Ἐμπεδοκλέα; ΜΕΝ. Σφόδρα γε. ΣΩ. Καὶ πόρους, εἰς οὓς καὶ δι' ὧν αἱ ἀποῤῥοαὶ πορεύονται; ΜΕΝ. Πάνυ γε. ΣΩ. Καὶ τῶν ἀποῤῥοῶν τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων, τὰς δὲ ἐλάττους ἢ μείζους εἶναι; ΜΕΝ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ ὄψιν καλεῖς τι; ΜΕΝ. Ἔγωγε. ΣΩ. Ἐκ τούτων δὴ ξύνες ὅ τι λέγω, ἔφη Πίνδαρος. ἔστι γὰρ χρόα ἀποῤῥοὴ σχημάτων ὄψει ξύμμετρος καὶ αἰσθητός. ΜΕΝ. Ἄριστά μοι δοκεῖς, ὦ Σώκρατες, ταύτην τὴν ἀπόκρισιν εἰρηκέναι. ΣΩ. Ἴσως γάρ σοι κατὰ ξυνήθειαν εἴρηται, καὶ ἅμα, οἶμαι, ἐννοεῖς ὅτι ἔχοις ἂν ἐξ αὐτῆς εἰπεῖν καὶ φωνήν, ὅ ἐστι, καὶ ὀσμὴν καὶ ἄλλα πολλὰ τῶν τοιούτων. ΜΕΝ. Πάνυ μὲν οὖν. ΣΩ. Τραγικὴ γάρ ἐστιν, ὦ Μένων, ἡ ἀπόκρισις. ὥστε ἀρέσκει σοι μᾶλλον ἢ ἡ περὶ τοῦ σχήματος. ΜΕΝ. Ἔμοιγε. ΣΩ. Ἀλλ' οὐκ ἔστιν, ὦ παῖ Ἀλεξιδήμου, ὡς ἐγὼ ἐμαυτὸν πείθω, ἀλλ' ἐκείνη βελτίων. οἶμαι δὲ οὐδ' ἂν σοὶ δόξαι, εἰ

μή, ὥσπερ χθὲς ἔλεγες, ἀναγκαῖόν σοι ἀπιέναι πρὸ τῶν μυστηρίων, ἀλλ' εἰ περιμείναις τε καὶ μυηθείης. ΜΕΝ. Ἀλλὰ περιμένοιμ' ἄν, ὦ Σώκρατες, εἴ μοι πολλὰ τοιαῦτα λέγοις. ΣΩ. Ἀλλὰ μὴν προθυμίας γε οὐδὲν ἀπολείψω, καὶ σοῦ ἕνεκα καὶ ἐμαυτοῦ, λέγων τοιαῦτα· ἀλλ' ὅπως μὴ οὐχ οἷός τ' ἔσομαι πολλὰ τοιαῦτα λέγειν. Χ. Ἀλλ' ἴθι δὴ πειρῶ καὶ σὺ ἐμοὶ τὴν ὑπόσχεσιν ἀποδοῦναι, κατὰ ὅλου εἰπὼν ἀρετῆς πέρι, ὅ τι ἐστί, καὶ παῦσαι πολλὰ ποιῶν ἐκ τοῦ ἑνός, ὅπερ φασὶ τοὺς ξυντρίβοντάς τι ἑκάστοτε οἱ σκώπτοντες, ἀλλὰ ἐάσας ὅλην καὶ ὑγιῆ εἰπέ, τί ἐστιν ἀρετή. τὰ δέ γε παραδείγματα παρ' ἐμοῦ εἴληφας. ΜΕΝ. Δοκεῖ τοίνυν μοι, ὦ Σώκρατες, ἀρετὴ εἶναι, καθάπερ ὁ ποιητὴς λέγει, χαίρειν τε καλοῖσι καὶ δύνασθαι. καὶ ἐγὼ τοῦτο λέγω ἀρετήν, ἐπιθυμοῦντα τῶν καλῶν δυνατὸν εἶναι πορίζεσθαι. ΣΩ. Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι; ΜΕΝ. Μάλιστά γε. ΣΩ. Ἆρα, ὡς ὄντων τινῶν, οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δέ, οἳ τῶν ἀγαθῶν; οὐ πάντες, ὦ ἄριστε, δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; ΜΕΝ. Οὐκ ἔμοιγε. ΣΩ. Ἀλλά τινες τῶν κακῶν; ΜΕΝ. Ναί. ΣΩ. Οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι, λέγεις, ἢ καὶ γιγνώσκοντες, ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμοῦσιν αὐτῶν; ΜΕΝ. Ἀμφότερα ἔμοιγε δοκεῖ. ΣΩ. Ἦ γὰρ δοκεῖ τίς σοι, ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν; ΜΕΝ. Μάλιστα. ΣΩ. Τί ἐπιθυμεῖν λέγεις; ἢ γενέσθαι αὐτῷ; ΜΕΝ. Γενέσθαι·

τί γὰρ ἄλλο; ΣΩ. Πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακὰ ὅτι βλάπτει, ᾧ ἂν παρῇ; MEN. Εἰσὶ μὲν οἳ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν, εἰσὶ δὲ καὶ οἳ γιγνώσκοντες ὅτι βλάπτει. ΣΩ. Ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν; MEN. Οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. ΣΩ. Οὐκοῦν δῆλον, ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν, οἱ ἀγνοοῦντες αὐτά, ἀλλὰ ἐκείνων ἃ ᾤοντο ἀγαθὰ εἶναι· ἔστι δὲ ταῦτά γε κακά· ὥστε οἱ ἀγνοοῦντες αὐτά, καὶ οἰόμενοι ἀγαθὰ εἶναι, δηλονότι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν· ἢ οὔ; MEN. Κινδυνεύουσιν οὗτοί γε. ΣΩ. Τί δέ; οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες, ὥς φῂς σύ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον, ᾧ ἂν γίγνηται, γιγνώσκουσι δή που, ὅτι βλαβήσονται ὑπ᾽ αὐτῶν; MEN. Ἀνάγκη. ΣΩ. Ἀλλὰ τοὺς βλαπτομένους οὗτοι οὐκ οἴονται ἀθλίους εἶναι καθ᾽ ὅσον βλάπτονται; MEN. Καὶ τοῦτο ἀνάγκη. ΣΩ. Τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας; MEN. Οἶμαι ἔγωγε. ΣΩ. Ἔστιν οὖν, ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; MEN. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Οὐκ ἄρα βούλεται, ὦ Μένων, τὰ κακὰ οὐδείς· εἴπερ μὴ βούλεται τοιοῦτος εἶναι. τί γάρ ἄλλο ἐστὶν ἄθλιον εἶναι, ἢ ἐπιθυμεῖν τῶν κακῶν καὶ κτᾶσθαι; MEN. Κινδυνεύεις ἀληθῆ λέγειν, ὦ Σώκρατες, καὶ οὐδεὶς βούλεται τὰ κακά. XI. ΣΩ. Οὐκοῦν νῦν δὴ ἔλεγες, ὅτι ἐστὶν ἡ ἀρετὴ βούλεσθαί τε τἀγαθὰ καὶ δύνασθαι; MEN. Εἶπον γάρ. ΣΩ. Οὐκοῦν τούτου

τοῦ λεχθέντος τὸ μὲν βούλεσθαι πᾶσιν ὑπάρχει, καὶ ταύτῃ γε οὐδὲν ὁ ἕτερος τοῦ ἑτέρου βελτίων; ΜΕΝ. Φαίνεται. ΣΩ. Ἀλλὰ δῆλον, ὅτι, εἴπερ ἐστὶ βελτίων ἄλλος ἄλλου, κατὰ τὸ δύνασθαι ἂν εἴη ἀμείνων. ΜΕΝ. Πάνυ γε. ΣΩ. Τοῦτ᾽ ἔστιν ἄρα, ὡς ἔοικε, κατὰ τὸν σὸν λόγον ἀρετή, δύναμις τοῦ πορίζεσθαι τἀγαθά. ΜΕΝ. Παντάπασί μοι δοκεῖ, ὦ Σώκρατες, οὕτως ἔχειν, ὡς σὺ νῦν ὑπολαμβάνεις. ΣΩ. Ἴδωμεν δὴ καὶ τοῦτο εἰ ἀληθὲς λέγεις. ἴσως γὰρ ἂν εὖ λέγοις. τὸ τἀγαθὰ φῂς οἷόν τ᾽ εἶναι πορίζεσθαι ἀρετὴν εἶναι; ΜΕΝ. Ἔγωγε. ΣΩ. Ἀγαθὰ δὲ καλεῖς οὐχί, οἷον ὑγίειάν τε καὶ πλοῦτον· καὶ χρυσίον λέγω καὶ ἀργύριον κτᾶσθαι, καὶ τιμὰς ἐν πόλει καὶ ἀρχάς; μὴ ἄλλ᾽ ἄττα λέγεις τἀγαθὰ ἢ τὰ τοιαῦτα; ΜΕΝ. Οὔκ, ἀλλὰ πάντα λέγω τὰ τοιαῦτα. ΣΩ. Εἶεν. χρυσίον δὲ δὴ καὶ ἀργύριον πορίζεσθαι ἀρετή ἐστιν, ὥς φησι Μένων, ὁ τοῦ μεγάλου βασιλέως πατρικὸς ξένος. πότερον προστίθης τι τούτῳ τῷ πόρῳ, ὦ Μένων, τὸ δικαίως καὶ ὁσίως, ἢ οὐδέν σοι διαφέρει, ἀλλά, κἂν ἀδίκως τις αὐτὰ πορίζηται, ὁμοίως σὺ αὐτὰ ἀρετὴν καλεῖς; ΜΕΝ. Οὐ δήπου, ὦ Σώκρατες, ἀλλὰ κακίαν. ΣΩ. Πάντως δή που δεῖ ἄρα, ὡς ἔοικε, τούτῳ τῷ πόρῳ δικαιοσύνην ἢ σωφροσύνην ἢ ὁσιότητα προσεῖναι, ἢ ἄλλο τι μόριον ἀρετῆς· εἰ δὲ μή, οὐκ ἔσται ἀρετή, καίπερ ἐκπορίζουσα τἀγαθά. ΜΕΝ. Πῶς γὰρ ἄνευ τούτων ἀρετὴ γένοιτ᾽ ἄν; ΣΩ. Τὸ δὲ μὴ ἐκπορίζειν χρυσίον καὶ ἀργύριον, ὅταν μὴ δίκαιον ᾖ, μήτε αὐτῷ μήτε ἄλλῳ, οὐκ ἀρετὴ καὶ

αὕτη ἐστὶν ἡ ἀπορία; ΜΕΝ. Φαίνεται. ΣΩ. Οὐδὲν ἄρα μᾶλλον ὁ πόρος τῶν τοιούτων ἀγαθῶν, ἢ ἡ ἀπορία, ἀρετὴ ἂν εἴη, ἀλλά, ὡς ἔοικεν, ὃ μὲν ἂν μετὰ δικαιοσύνης γίγνηται, ἀρετὴ ἔσται, ὃ δ' ἂν ἄνευ πάντων τῶν τοιούτων, κακία. ΜΕΝ. Δοκεῖ μοι ἀναγκαῖον εἶναι ὡς λέγεις. XII. ΣΩ. Οὐκοῦν τούτων ἕκαστον ὀλίγον πρότερον μόριον ἀρετῆς ἔφαμεν εἶναι, τὴν δικαιοσύνην καὶ σωφροσύνην καὶ πάντα τὰ τοιαῦτα; ΜΕΝ. Ναί. ΣΩ. Εἶτα, ὦ Μένων, παίζεις πρός με; ΜΕΝ. Τί δή, ὦ Σώκρατες; ΣΩ. Ὅτι ἐμοῦ ἄρτι δεηθέντος σου μὴ καταγνύναι, μηδὲ κερματίζειν τὴν ἀρετήν, καὶ δόντος παραδείγματα καθ' ἃ δέοι ἀποκρίνεσθαι, τούτου μὲν ἠμέλησας, λέγεις δέ μοι, ὅτι ἀρετή ἐστιν οἷόν τ' εἶναι τἀγαθὰ πορίζεσθαι μετὰ δικαιοσύνης, τοῦτο δὲ φῂς μόριον ἀρετῆς εἶναι. ΜΕΝ. Ἔγωγε. ΣΩ. Οὐκοῦν ξυμβαίνει, ἐξ ὧν σὺ ὁμολογεῖς, τὸ μετὰ μορίου ἀρετῆς πράττειν ὅ τι ἂν πράττῃς, τοῦτο ἀρετὴν εἶναι; τὴν γὰρ δικαιοσύνην μόριον φῂς ἀρετῆς εἶναι, καὶ ἕκαστα τούτων. ΜΕΝ. Τί οὖν δὴ τοῦτο λέγω; ΣΩ. Ὅτι ἐμοῦ δεηθέντος ὅλην εἰπεῖν τὴν ἀρετήν, αὐτὴν μὲν πολλοῦ δεῖ σ' εἰπεῖν, ὅ τι ἐστί, πᾶσαν δὲ φῂς πρᾶξιν ἀρετὴν εἶναι, ἐάνπερ μετὰ μορίου ἀρετῆς πράττηται, ὥςπερ εἰρηκὼς ὅ τι ἀρετή ἐστι τὸ ὅλον, καὶ ἤδη γνωσομένου ἐμοῦ, καὶ ἐὰν σὺ κατακερματίζῃς αὐτὴν κατὰ μόρια. δεῖ οὖν σοι πάλιν ἐξ ἀρχῆς, ὡς ἐμοὶ δοκεῖ, τῆς αὐτῆς ἐρωτήσεως, ὦ φίλε Μένων, τί ἐστιν ἀρετή, εἰ μετὰ μορίου ἀρετῆς πᾶσα πρᾶξις ἀρετὴ ἂν εἴη; τοῦτο γάρ ἐστι λέγειν, ὅταν

λέγῃ τις, ὅτι πᾶσα ἡ μετὰ δικαιοσύνης πρᾶξις ἀρετή ἐστιν· ἢ οὐ δοκεῖ σοι πάλιν δεῖσθαι τῆς αὐτῆς ἐρωτήσεως, ἀλλ' οἴει τινὰ εἰδέναι μόριον ἀρετῆς ὅ τι ἐστίν, αὐτὴν μὴ εἰδότα; ΜΕΝ. Οὐκ ἔμοιγε δοκεῖ. ΣΩ. Εἰ γὰρ καὶ μέμνησαι, ὅτ' ἐγώ σοι ἄρτι ἀπεκρινάμην περὶ τοῦ σχήματος, ἀπεβάλλομέν που τὴν τοιαύτην ἀπόκρισιν, τὴν διὰ τῶν ἔτι ζητουμένων καὶ μήπω ὡμολογημένων ἐπιχειροῦσαν ἀποκρίνεσθαι. ΜΕΝ. Καὶ ὀρθῶς γε ἀπεβάλλομεν, ὦ Σώκρατες. ΣΩ. Μὴ τοίνυν, ὦ ἄριστε, μηδὲ σύ, ἔτι ζητουμένης ἀρετῆς ὅλης ὅ τι ἐστί, οἴου διὰ τῶν ταύτης μορίων ἀποκρινόμενος δηλώσειν αὐτὴν ὁτῳοῦν, ἢ ἄλλο ὁτιοῦν τούτῳ τῷ αὐτῷ τρόπῳ λέγων, ἀλλὰ πάλιν τῆς αὐτῆς δεήσεσθαι ἐρωτήσεως, τίνος ὄντος ἀρετῆς λέγεις ἃ λέγεις; ἢ οὐδέν σοι δοκῶ λέγειν; ΜΕΝ. Ἔμοιγε δοκεῖς ὀρθῶς λέγειν. XIII. ΣΩ. Ἀπόκριναι τοίνυν πάλιν ἐξ ἀρχῆς, τί φὴς ἀρετὴν εἶναι καὶ σὺ καὶ ὁ ἑταῖρός σου; ΜΕΝ. Ὦ Σώκρατες, ἤκουον μὲν ἔγωγε πρὶν καὶ ξυγγενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς, καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν, καὶ νῦν, ὥς γ' ἐμοὶ δοκεῖς, γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπᾴδεις, ὥστε μεστὸν ἀπορίας γεγονέναι· καὶ δοκεῖς μοι παντελῶς, εἰ δεῖ τι καὶ σκῶψαι, ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ· καὶ γὰρ αὕτη τὸν ἀεὶ πλησιάζοντα καὶ ἁπτόμενον ναρκᾶν ποιεῖ. καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾶν. ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα

ναρκῶ, καὶ οὐκ ἔχω ὅ τι ἀποκρίνωμαί σοι, καίτοι μυριάκις γε περὶ ἀρετῆς παμπόλλους λόγους εἴρηκα καὶ πρὸς πολλοὺς καὶ πάνυ εὖ, ὥς γε ἐμαυτῷ ἐδόκουν· νῦν δὲ οὐδ' ὅ τι ἐστὶ τοπαράπαν ἔχω εἰπεῖν. καί μοι δοκεῖς εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε, οὐδ' ἀποδημῶν. εἰ γὰρ ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιεῖς, τάχ' ἂν ὡς γόης ἀπαχθείης. ΣΩ. Πανοῦργος εἶ, ὦ Μένων, καὶ ὀλίγου ἐξηπάτησάς με. ΜΕΝ. Τί μάλιστα, ὦ Σώκρατες; ΣΩ. Γιγνώσκω, οὗ ἕνεκά με εἴκασας. ΜΕΝ. Τίνος δὴ οἴει; ΣΩ. Ἵνα σὲ ἀντεικάσω. ἐγὼ δὲ τόδε οἶδα περὶ πάντων τῶν καλῶν, ὅτι χαίρουσιν εἰκαζόμενοι· λυσιτελεῖ γὰρ αὐτοῖς· καλαὶ γάρ, οἶμαι, τῶν καλῶν καὶ αἱ εἰκόνες. ἀλλ' οὐκ ἀντεικάσομαί σε. ἐγὼ δέ, εἰ μὲν ἡ νάρκη αὐτὴ ναρκῶσα οὕτω καὶ τοὺς ἄλλους ποιεῖ ναρκᾶν, ἔοικα αὐτῇ· εἰ δὲ μή, οὔ. οὐ γὰρ εὐπορῶν αὐτὸς τοὺς ἄλλους ποιῶ ἀπορεῖν, ἀλλὰ παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτω καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν. καὶ νῦν περὶ ἀρετῆς, ὃ ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα, σὺ μέντοι ἴσως πρότερον μὲν ᾔδεισθα, πρὶν ἐμοῦ ἅψασθαι, νῦν μέντοι ὅμοιος εἶ οὐκ εἰδότι. ὅμως δὲ ἐθέλω μετὰ σοῦ σκέψασθαι καὶ ξυζητῆσαι, ὅ τι ποτέ ἐστι. XIV. ΜΕΝ. Καὶ τίνα τρόπον ζητήσεις, ὦ Σώκρατες, τοῦτο, ὃ μὴ οἶσθα τοπαράπαν ὅ τι ἐστί; ποῖον γὰρ ὧν οὐκ οἶσθα προθέμενος, ζητήσεις; ἢ, εἰ καὶ ὅτι μάλιστα ἐντύχοις αὐτῷ, πῶς εἴσῃ, ὅ τι τοῦτό ἐστιν ὃ σὺ οὐκ ᾔδεισθα; ΣΩ. Μανθάνω, οἷον βούλει λέγειν, ὦ Μένων. ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις;

ὡς οὐκ ἄρα ἐστὶ ζητεῖν ἀνθρώπῳ οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν. οὔτε γὰρ ἄν, ὅ γε οἶδε, ζητοῖ· οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως· οὔτε ὃ μὴ οἶδεν, οὐδὲ γὰρ οἶδεν, ὅ τι ζητήσει. MEN. Οὐκ οὖν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗτος, ὦ Σώκρατες; ΣΩ. Οὐκ ἔμοιγε. MEN. Ἔχεις λέγειν ὅπῃ; ΣΩ. Ἔγωγε. ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα. MEN. Τίνα λόγον λεγόντων; ΣΩ. Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν. MEN. Τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες; ΣΩ. Οἱ μὲν λέγοντες εἰσὶ τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέληκε, περὶ ὧν μεταχειρίζονται, λόγον οἵοις τ' εἶναι διδόναι. λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν· ἃ δὲ λέγουσι, ταυτί ἐστιν. ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι· ἀπόλλυσθαι δ' οὐδέποτε· δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον," οἷσι γὰρ ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰν πάλιν. ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοί, σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται. „XV. Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατός τε οὖσα καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν ᾅδου καὶ πάντα χρήματα, οὐκ ἔστιν ὅ τι οὐ μεμάθηκεν· ὥστε οὐδὲν θαυμαστὸν καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλ-

λων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι ἅγε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης ξυγγενοῦς οὔσης, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἄλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐὰν τις ἀνδρεῖος ᾖ, καὶ μὴ ἀποκάμῃ ζητῶν. τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν. οὐκ οὖν δεῖ πείθεσθαι τούτῳ τῷ ἐριστικῷ λόγῳ. οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειε, καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι· ὅδε δὲ ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ· ᾧ ἐγὼ πιστεύων ἀληθῆ εἶναι, ἐθέλω μετὰ σοῦ ζητεῖν, ἀρετὴ ὅ τι ἐστί. ΜΕΝ. Ναί, ὦ Σώκρατες. ἀλλ' ἁπλῶς λέγεις τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς, εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι, ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. ΜΕΝ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους. ἀλλ' εἴ πως μοι ἔχεις ἐνδείξασθαι, ὅτι ἔχει ὥσπερ λέγεις, ἔνδειξαι. ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον, ὅμως δὲ ἐθέλω προθυμηθῆναι, σοῦ ἕνεκα· ἀλλά μοι προσκάλεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὅντινα βούλει, ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι. ΜΕΝ. Πάνυ γε. δεῦρο πρόσελθε. ΣΩ. Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει; ΜΕΝ. Πάνυ γε σφόδρα, οἰκογενής. ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἂν

σοι φαίνηται, ἢ ἀναμιμνησκόμενος, ἢ μανθάνων παρ' ἐμοῦ. ΜΕΝ. Ἀλλὰ προσέξω. XVI. ΣΩ. Εἰπὲ δή μοι, ὦ παῖ, γιγνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦτόν ἐστι; ΠΑΙ. Ἔγωγε. ΣΩ. Ἔστιν οὖν τετράγωνον χωρίον ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας, τέτταρας οὔσας; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου ἐστὶν ἴσας ἔχον; ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλαττον; ΠΑΙ. Πάνυ γε. ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων ἂν εἴη ποδῶν τὸ ὅλον; ὧδε δὲ σκόπει· εἰ ἦν ταύτῃ δυοῖν ποδοῖν, ταύτῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἢ ἅπαξ ἦν ἂν δυοῖν ποδοῖν τὸ χωρίον; ΠΑΙ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἢ δὶς δυοῖν γίγνεται; ΠΑΙ. Γίγνεται. ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται ποδῶν. ΠΑΙ. Ναί. ΣΩ. Πόσοι οὖν εἰσὶν οἱ δὶς δύο πόδες; λογισάμενος εἰπέ. ΠΑΙ. Τέτταρες, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν γένοιτ' ἂν τούτου τοῦ χωρίου ἕτερον διπλάσιον, τοιοῦτον δέ, ἴσας ἔχον πάσας τὰς γραμμάς, ὥσπερ τοῦτο; ΠΑΙ. Ναί. ΣΩ. Πόσων οὖν ἔσται ποδῶν; ΠΑΙ. Ὀκτώ. ΣΩ. Φέρε δή, πειρῶ μοι εἰπεῖν, πηλίκη τις ἔσται ἐκείνου ἡ γραμμὴ ἑκάστη. ἡ μὲν γὰρ τοῦδε, δυοῖν ποδοῖν· τί δὲ ἡ ἐκείνου τοῦ διπλασίου; ΠΑΙ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι διπλασία. ΣΩ. Ὁρᾷς, ὦ Μένων, ὡς ἐγὼ τοῦτον οὐδὲν διδάσκω, ἀλλ' ἐρωτῶ πάντα; καὶ νῦν οὗτος οἴεται εἰδέναι ὁποία ἐστίν, ἀφ' ἧς τὸ ὀκτάπουν χωρίον γενήσεται· ἢ οὐ δοκεῖ σοι; ΜΕΝ. Ἔμοιγε. ΣΩ. Οἶδεν οὖν; ΜΕΝ.

λων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι ἅγε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης ξυγγενοῦς οὔσης, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἄλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐὰν τις ἀνδρεῖος ᾖ, καὶ μὴ ἀποκάμῃ ζητῶν. τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν. οὐκ οὖν δεῖ πείθεσθαι τούτῳ τῷ ἐριστικῷ λόγῳ. οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειε, καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι· ὅδε δὲ ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ· ᾧ ἐγὼ πιστεύων ἀληθῆ εἶναι, ἐθέλω μετὰ σοῦ ζητεῖν, ἀρετὴ ὅ τι ἐστί. ΜΕΝ. Ναί, ὦ Σώκρατες. ἀλλ' ἁπλῶς λέγεις τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς, εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι, ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. ΜΕΝ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους. ἀλλ' εἴ πώς μοι ἔχεις ἐνδείξασθαι, ὅτι ἔχει ὥσπερ λέγεις, ἔνδειξαι. ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον, ὅμως δὲ ἐθέλω προθυμηθῆναι, σοῦ ἕνεκα· ἀλλά μοι προσκάλεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὅντινα βούλει, ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι. ΜΕΝ. Πάνυ γε. δεῦρο πρόσελθε. ΣΩ. Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει; ΜΕΝ. Πάνυ γε σφόδρα, οἰκογενής. ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἂν

σοι φαίνηται, ἢ ἀναμιμνησκόμενος, ἢ μανθάνων παρ'
ἐμοῦ. MEN. Ἀλλὰ προσέξω. XVI. ΣΩ. Εἰπὲ δή
μοι, ὦ παῖ· γιγνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦ-
τόν ἐστι; ΠΑΙ. Ἔγωγε. ΣΩ. Ἔστιν οὖν τετράγω-
νον χωρίον ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας,
τέτταρας οὔσας; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐ καὶ ταυ-
τασὶ τὰς διὰ μέσου ἐστὶν ἴσας ἔχον; ΠΑΙ. Ναί. ΣΩ.
Οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλατ-
τον; ΠΑΙ. Πάνυ γε. ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ
δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων ἂν εἴη ποδῶν τὸ
ὅλον; ὧδε δὲ σκόπει· εἰ ἦν ταύτῃ δυοῖν ποδοῖν, ταύ-
τῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἢ ἅπαξ ἦν ἂν δυοῖν
ποδοῖν τὸ χωρίον; ΠΑΙ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ
δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἢ δὶς δυοῖν γίγνε-
ται; ΠΑΙ. Γίγνεται. ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται
ποδῶν; ΠΑΙ. Ναί. ΣΩ. Πόσοι οὖν εἰσιν οἱ δὶς δύο
πόδες; λογισάμενος εἰπέ. ΠΑΙ. Τέτταρες, ὦ Σώκρα-
τες. ΣΩ. Οὐκοῦν γένοιτ' ἂν τούτου τοῦ χωρίου ἕτε-
ρον διπλάσιον, τοιοῦτον δέ, ἴσας ἔχον πάσας τὰς
γραμμάς, ὥσπερ τοῦτο; ΠΑΙ. Ναί. ΣΩ. Πόσων οὖν
ἔσται ποδῶν; ΠΑΙ. Ὀκτώ. ΣΩ. Φέρε δή, πειρῶ μοι
εἰπεῖν, πηλίκη τις ἔσται ἐκείνου ἡ γραμμὴ ἑκάστη. ἡ
μὲν γὰρ τοῦδε, δυοῖν ποδοῖν· τί δὲ ἡ ἐκείνου τοῦ δι-
πλασίου; ΠΑΙ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι διπλασία.
ΣΩ. Ὁρᾷς, ὦ Μένων, ὡς ἐγὼ τοῦτον οὐδὲν διδάσκω,
ἀλλ' ἐρωτῶ πάντα; καὶ νῦν οὗτος οἴεται εἰδέναι ὁποία
ἐστίν, ἀφ' ἧς τὸ ὀκτάπουν χωρίον γενήσεται· ἢ οὐ
δοκεῖ σοι; MEN. Ἔμοιγε. ΣΩ. Οἶδεν οὖν; MEN.

τὸ ἔργον. ΣΩ. Οὐκοῦν δέ γε, ἀπὸ τῆς διπλασίας;
ΜΕΝ. Ναί. XVII. ΣΩ. Θεῶ δὴ αὐτὸν ἀναμιμνη-
σκόμενον ἐφεξῆς, ὡς δεῖ ἀναμιμνήσκεσθαι. σὺ δέ
μοι λέγε, ἀπὸ τῆς διπλασίας γραμμῆς φῂς τὸ διπλά-
σιον χωρίον γίγνεσθαι; τοιόνδε λέγω· μὴ ταύτῃ
μὲν μακρόν, τῇ δὲ βραχύ. ἀλλὰ ἴσον πανταχῇ ἔστω,
ὥσπερ τουτί· διπλάσιον δὲ τούτου, ὀκτώπουν. ἀλ-
λὰ ὅρα, εἰ ἔτι σοι ἀπὸ τῆς διπλασίας δοκεῖ ἔσεσθαι.
ΠΑΙ. Ἔμοιγε. ΣΩ. Οὐκοῦν διπλασία αὕτη ταύτης
γίγνεται, ἂν ἑτέραν τοσαύτην προσθῶμεν ἐνθένδε;
ΠΑΙ. Πάνυ γε. ΣΩ. Ἀπὸ ταύτης δή, φῄς, ἔσται τὸ
ὀκτώπουν χωρίον, ἂν τέτταρες τοσαῦται γένωνται;
ΠΑΙ. Ναί. ΣΩ. Ἀναγραψώμεθα δὴ ἀπ' αὐτῆς ἴσας
τέτταρας. ἄλλο τι ἢ τουτὶ ἂν εἴη, ὃ φῂς τὸ ὀκτώπουν
εἶναι; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἐν αὐτῷ ἐστι
ταυτὶ τέτταρα, ὧν ἕκαστον ἴσον τούτῳ ἐστὶ τῷ τε-
τράποδι; ΠΑΙ. Ναί. ΣΩ. Πόσον οὖν γίγνεται; οὐ
τετράκις τοσοῦτον; ΠΑΙ. Πῶς δ' οὔ; ΣΩ. Διπλά-
σιον οὖν ἐστι τὸ τετράκις τοσοῦτον; ΠΑΙ. Οὐ μὰ
Δία. ΣΩ. Ἀλλὰ ποσαπλάσιον; ΠΑΙ. Τετραπλάσιον.
ΣΩ. Ἀπὸ τῆς διπλασίας ἄρα, ὦ παῖ, οὐ διπλάσιον,
ἀλλὰ τετραπλάσιον γίγνεται χωρίον. ΠΑΙ. Ἀληθῆ
λέγεις. ΣΩ. Τεττάρων γὰρ τετράκις ἐστὶν ἑκκαίδεκα·
οὐχί; ΠΑΙ. Ναί. ΣΩ. Ὀκτάπουν δ' ἀπὸ ποίας
γραμμῆς; οὐχὶ ἀπὸ μὲν ταύτης τετραπλάσιον; ΠΑΙ.
Φημί. ΣΩ. Τετράπουν δὲ ἀπὸ τῆς ἡμισέας ταυτησὶ
τουτί; ΠΑΙ. Ναί. ΣΩ. Εἶεν. τὸ δὲ ὀκτάπουν οὐ
τοῦδε μὲν διπλάσιόν ἐστι, τούτου δὲ ἥμισυ; ΠΑΙ.

Πάνυ γε. ΣΩ. Οὐκ ἀπὸ μὲν μείζονος ἔσται ἡ τοσαύτης γραμμῆς, ἀπὸ ἐλάττονος δὲ ἡ τοσησδί, ἢ οὔ; ΠΑΙ. Ἔμοιγε δοκεῖ οὕτω. ΣΩ. Καλῶς. τὸ γάρ σοι δοκοῦν, τοῦτο ἀποκρίνου, καί μοι λέγε· οὐχ ἥδε μὲν δυοῖν ποδοῖν ἦν, ἡ δὲ τεττάρων; ΠΑΙ. Ναί. ΣΩ. Δεῖ ἄρα τὴν τοῦ ὀκτάποδος χωρίου γραμμὴν μείζω μὲν εἶναι τῆσδε τῆς δίποδος, ἐλάττω δὲ τῆς τετράποδος. ΠΑΙ. Δεῖ. ΣΩ. Πειρῶ δὴ λέγειν πηλίκην τινὰ φῂς αὐτὴν εἶναι. ΠΑΙ. Τρίποδα. ΣΩ. Οὐκοῦν, ἄνπερ τρίπους ᾖ, τὸ ἥμισυ ταύτης προσληψόμεθα, καὶ ἔσται τρίπους; δύο μὲν γὰρ οἵδε, ὁ δὲ εἷς· καὶ ἐνθένδε ὡσαύτως· δύο μὲν οἵδε, ὁ δὲ εἷς· καὶ γίγνεται τοῦτο τὸ χωρίον ὃ φῄς. ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν, ἂν ᾖ τῇδε τριῶν καὶ τῇδε τριῶν, τὸ ὅλον χωρίον τριῶν τρὶς ποδῶν γίγνεται; ΠΑΙ. Φαίνεται. ΣΩ. Τρεῖς δὲ τρὶς πόσοι εἰσὶ πόδες; ΠΑΙ. Ἐννέα. ΣΩ. Ἔδει δὲ τὸ διπλάσιον πόσων εἶναι ποδῶν; ΠΑΙ. Ὀκτώ. ΣΩ. Οὐδ᾽ ἄρα ἀπὸ τῆς τρίποδός πω τὸ ὀκτάπουν χωρίον γίγνεται. ΠΑΙ. Οὐ δῆτα. ΣΩ. Ἀλλ᾽ ἀπὸ ποίας; πειρῶ ἡμῖν εἰπεῖν ἀκριβῶς, καὶ εἰ μὴ βούλει ἀριθμεῖν, ἀλλὰ δεῖξον ἀπὸ ποίας. ΠΑΙ. Ἀλλὰ μὰ τὸν Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ οἶδα. XVIII. ΣΩ. Ἐννοεῖς αὖ, ὦ Μένων, οὗ ἐστιν ἤδη βαδίζων ὅδε τοῦ ἀναμιμνήσκεσθαι; ὅτι τὸ μὲν πρῶτον ᾔδει μὲν οὔ, ἥτις ἐστὶν ἡ τοῦ ὀκτάποδος χωρίου γραμμή, ὥσπερ οὐδὲ νῦν πω οἶδεν, ἀλλ᾽ οὖν ᾤετο ταύτην τότε εἰδέναι, καὶ θαῤῥαλέως ἀπεκρίνετο, ὡς εἰδώς, καὶ οὐχ ἡγεῖτο ἀπορεῖν, νῦν δὲ ἡγεῖται ἀπορεῖν ἤδη, καὶ

ὥσπερ οὐκ οἶδεν, οὐδ' οἴεται εἰδέναι. *ΜΕΝ.* Ἀληθῆ λέγεις. *ΣΩ.* Οὐκοῦν νῦν βέλτιον ἔχει περὶ τὸ πρᾶγμα ὃ οὐκ ᾔδει; *ΜΕΝ.* Καὶ τοῦτό μοι δοκεῖ. *ΣΩ.* Ἀπορεῖν οὖν αὐτὸν ποιήσαντες καὶ ναρκᾷν, ὥσπερ ἡ νάρκη, μῶν τι ἐβλάψαμεν; *ΜΕΝ.* Οὐκ ἔμοιγε δοκεῖ. *ΣΩ.* Προὔργου γοῦν τι πεποιήκαμεν, ὡς ἔοικε, πρὸς τὸ ἐξευρεῖν ὅπῃ ἔχει. νῦν μὲν γὰρ καὶ ζητήσειεν ἂν ἡδέως, οὐκ εἰδώς, τότε δὲ ῥᾳδίως ἂν καὶ πρὸς πολλοὺς καὶ πολλάκις ᾤετ' ἂν εὖ λέγειν περὶ τοῦ διπλασίου χωρίου, ὡς δεῖ διπλασίαν τὴν γραμμὴν ἔχειν μήκει. *ΜΕΝ.* Ἔοικεν. *ΣΩ.* Οἴει οὖν ἂν αὐτὸν πρότερον ἐπιχειρῆσαι ζητεῖν ἢ μανθάνειν τοῦτο, ὃ ᾤετο εἰδέναι οὐκ εἰδώς, πρὶν εἰς ἀπορίαν κατέπεσεν, ἡγησάμενος μὴ εἰδέναι, καὶ ἐπόθησε τὸ εἰδέναι; *ΜΕΝ.* Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. *ΣΩ.* Ὤνητο ἄρα ναρκήσας. *ΜΕΝ.* Δοκεῖ μοι. XIX. *ΣΩ.* Σκέψαι δή, ἐκ ταύτης τῆς ἀπορίας ὅτι καὶ ἀνευρήσει ζητῶν μετ' ἐμοῦ, οὐδὲν ἀλλ' ἢ ἐρωτῶντος ἐμοῦ καὶ μὴ διδάσκοντος· φύλαττε δέ, ἄν που εὕρῃς με διδάσκοντα καὶ διεξιόντα αὐτῷ, ἀλλὰ μὴ τὰς τούτου δόξας ἀνερωτῶντα. λέγε γάρ μοι σύ· οὐ τὸ μὲν τετράπουν τοῦτο ἡμῖν ἐστι χωρίον; μανθάνεις; *ΠΑΙ.* Ἔγωγε. *ΣΩ.* Ἕτερον δὲ αὐτῷ προσθεῖμεν ἂν τουτὶ ἴσον; *ΠΑΙ.* Ναί. *ΣΩ.* Καὶ τρίτον τόδε ἴσον ἑκατέρῳ τούτων; *ΠΑΙ.* Ναί. *ΣΩ.* Οὐκοῦν προσαναπληρωσαίμεθ' ἂν τὸ ἐν τῇ γωνίᾳ τόδε; *ΠΑΙ.* Πάνυ γε. *ΣΩ.* Ἄλλο τι οὖν γένοιτ' ἂν τέτταρα ἴσα χωρία τάδε; *ΠΑΙ.* Ναί. *ΣΩ.* Τί οὖν; τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνε-

ται; ΠΑΙ. Τετραπλάσιον. ΣΩ. Ἔδει δὲ διπλάσιον ἡμῖν γενέσθαι· ἢ οὐ μέμνησαι; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἔστιν αὕτη γραμμὴ ἐκ γωνίας εἰς γωνίαν [τινὰ] τέμνουσα δίχα ἕκαστον τούτων τῶν χωρίων; ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν τέτταρες αὗται γίγνονται γραμμαὶ ἴσαι, περιέχουσαι τουτὶ τὸ χωρίον; ΠΑΙ. Γίγνονται. ΣΩ. Σκόπει δή, πηλίκον τί ἐστι τοῦτο τὸ χωρίον. ΠΑΙ. Οὐ μανθάνω. ΣΩ. Οὐχὶ τεττάρων ὄντων τούτων, ἥμισυ ἑκάστου ἑκάστη ἡ γραμμὴ ἀποτέτμηκεν ἐντός, ἢ οὔ; ΠΑΙ. Ναί. ΣΩ. Πόσα οὖν τηλικαῦτα ἐν τούτῳ ἔνεστι; ΠΑΙ. Τέτταρα. ΣΩ. Πόσα δὲ ἐν τῷδε; ΠΑΙ. Δύο. ΣΩ. Τὰ δὲ τέτταρα τοῖν δυοῖν τί ἐστι; ΠΑΙ. Διπλάσια. ΣΩ. Τόδε οὖν ποσάπουν γίγνεται; ΠΑΙ. Ὀκτάπουν. ΣΩ. Ἀπὸ ποίας γραμμῆς; ΠΑΙ. Ἀπὸ ταύτης. ΣΩ. Ἀπὸ τῆς ἐκ γωνίας εἰς γωνίαν τεινούσης τοῦ τετράποδος; ΠΑΙ. Ναί. ΣΩ. Καλοῦσι δέ γε ταύτην διάμετρον οἱ σοφισταί, ὥστ', εἰ ταύτῃ διάμετρος ὄνομα, ἀπὸ τῆς διαμέτρου ἄν, ὡς σὺ φῄς, ὦ παῖ Μένωνος, γίγνοιτ' ἂν τὸ διπλάσιον χωρίον. ΠΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες. XX. ΣΩ. Τί σοι δοκεῖ, ὦ Μένων; ἔστιν ἥντινα δόξαν οὐχ αὑτοῦ οὗτος ἀπεκρίνατο; ΜΕΝ. Οὔκ, ἀλλ' ἑαυτοῦ. ΣΩ. Καὶ μὴν οὐκ ᾔδει γε, ὡς ἔφαμεν ὀλίγον πρότερον. ΜΕΝ. Ἀληθῆ λέγεις. ΣΩ. Ἐνῆσαν δέ γε αὐτῷ αὗται αἱ δόξαι, ἢ οὔ; ΜΕΝ. Ναί. ΣΩ. Τῷ οὐκ εἰδότι ἄρα, περὶ ὧν ἂν μὴ εἰδῇ ἔνεισιν ἀληθεῖς δόξαι, περὶ τούτων ὧν οὐκ οἶδε. ΜΕΝ. Φαίνεται. ΣΩ. Καὶ νῦν μέν γε αὐτῷ ὥσπερ

ὄναρ ἄρτι ἀνακεκίνηνται αἱ δόξαι αὗται. εἰ δὲ αὐτόν τις ἀνερήσεται πολλάκις τὰ αὐτὰ ταῦτα καὶ πολλαχοῦ, οἶσθ' ὅτι τελευτῶν οὐδενὸς ἧττον ἀκριβῶς ἐπιστήσεται περὶ τούτων. ΜΕΝ. Ἔοικεν. ΣΩ. Οὐκοῦν οὐδενὸς διδάξαντος, ἀλλ' ἐρωτήσαντος, ἐπιστήσεται, ἀναλαβὼν αὐτὸς ἐξ αὑτοῦ τὴν ἐπιστήμην; ΜΕΝ. Ναί. ΣΩ. Τὸ δὲ ἀναλαμβάνειν αὐτὸν ἐν αὑτῷ ἐπιστήμην οὐκ ἀναμιμνήσκεσθαι ἐστί; ΜΕΝ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν οὐ τὴν ἐπιστήμην, ἣν νῦν οὗτος ἔχει, ἤτοι ἔλαβέ ποτε ἢ ἀεὶ εἶχε; ΜΕΝ. Ναί. ΣΩ. Οὐκοῦν, εἰ μὲν ἀεὶ εἶχεν, ἀεὶ καὶ ἦν ἐπιστήμων· εἰ δὲ ἔλαβέ ποτε, οὐκ ἂν ἔν γε τῷ νῦν βίῳ εἰληφὼς εἴη, ἢ δεδίδαχέ τις τοῦτον γεωμετρεῖν. οὗτος γὰρ ποιήσει περὶ πάσης γεωμετρίας ταυτὰ ταῦτα καὶ τῶν ἄλλων μαθημάτων ἁπάντων. ἔστιν οὖν ὅςτις τοῦτον πάντα δεδίδαχε; δίκαιος γάρ που εἶ εἰδέναι, ἄλλως τε ἐπειδὴ ἐν τῇ σῇ οἰκίᾳ γέγονε καὶ τέθραπται. ΜΕΝ. Ἀλλ' οἶδα ἔγωγε, ὅτι οὐδεὶς πώποτε ἐδίδαξεν. XXI. ΣΩ. Ἔχει δὲ ταύτας τὰς δόξας, ἢ οὐχί; ΜΕΝ. Ἀνάγκη, ὦ Σώκρατες, φαίνεται. ΣΩ. Εἰ δὲ μὴ ἐν τῷ νῦν βίῳ λαβὼν ἤδει τοῦτο, δῆλον ὅτι ἐν ἄλλῳ τινὶ χρόνῳ εἶχε καὶ ἐμεμαθήκει. ΜΕΝ. Φαίνεται. ΣΩ. Οὐκοῦν οὗτός γέ ἐστιν ὁ χρόνος, ὅτ' οὐκ ἦν ἄνθρωπος; ΜΕΝ. Ναί. ΣΩ. Εἰ οὖν, ὅν ἂν ᾖ χρόνον ἢ καὶ ὃν ἂν μὴ ᾖ ἄνθρωπος, ἐνέσονται αὐτῷ ἀληθεῖς δόξαι, αἵ, ἐρωτήσει ἐπεγερθεῖσαι, ἐπιστῆμαι γίγνονται, ἆρ' οὖν τὸν ἀεὶ χρόνον μεμαθηκυῖα ἔσται ἡ ψυχὴ αὐτοῦ; δῆλον γάρ, ὅτι τὸν πάντα χρόνον ἔστιν ἢ

οὐκ ἔστιν ἄνθρωπος. ΜΕΝ. Φαίνεται. ΣΩ. Οὐκοῦν, εἰ ἀεὶ ἡ ἀλήθεια ἡμῖν τῶν ὄντων ἐστὶν ἐν τῇ ψυχῇ, ἀθάνατος ἂν ἡ ψυχὴ εἴη; ὥστε θαῤῥοῦντα χρὴ ὃ μὴ τυγχάνεις ἐπιστάμενος νῦν, – τοῦτο δ' ἐστὶν ὃ μὴ μεμνημένος – ἐπιχειρεῖν ζητεῖν καὶ ἀναμιμνήσκεσθαι. ΜΕΝ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, οὐκ οἶδ' ὅπως. ΣΩ. Καὶ γὰρ ἐγὼ ἐμοί, ὦ Μένων. καὶ τὰ μέν γε ἄλλα οὐκ ἂν πάνυ ὑπὲρ τοῦ λόγου διϊσχυρισαίμην· ὅτι δ' οἰόμενοι δεῖν ζητεῖν, ἃ μή τις οἶδε, βελτίους ἂν εἴημεν καὶ ἀνδρικώτεροι καὶ ἧττον ἀργοί, ἢ εἰ οἰόμεθα, ἃ μὴ ἐπιστάμεθα, μηδὲ δυνατὸν εἶναι εὑρεῖν, μηδὲ δεῖν ζητεῖν, περὶ τούτου πάνυ ἂν διαμαχοίμην, εἰ οἷός τε εἴην, καὶ λόγῳ καὶ ἔργῳ. ΜΕΝ. Καὶ τοῦτο μέν γε δοκεῖς μοι εὖ λέγειν, ὦ Σώκρατες. XXII. ΣΩ. Βούλει οὖν, ἐπειδὴ ὁμονοοῦμεν, ὅτι ζητητέον περὶ οὗ μή τις οἶδεν, ἐπιχειρήσωμεν κοινῇ ζητεῖν, τί ποτ' ἐστὶν ἀρετή; ΜΕΝ. Πάνυ μὲν οὖν. οὐ μέντοι, ὦ Σώκρατες, ἀλλ' ἔγωγε ἐκεῖνο ἂν ἥδιστα, ὅπερ ἠρόμην τοπρῶτον, καὶ σκεψαίμην καὶ ἀκούσαιμι, πότερον ὡς διδακτῷ ὄντι αὐτῷ δεῖ ἐπιχειρεῖν, ἢ ὡς φύσει, ἢ ὡς τίνι ποτὲ τρόπῳ παραγιγνομένης τοῖς ἀνθρώποις τῆς ἀρετῆς. ΣΩ. Ἀλλ' εἰ μὲν ἐγὼ ἦρχον, ὦ Μένων, μὴ μόνον ἐμαυτοῦ ἀλλὰ καὶ σοῦ, οὐκ ἂν ἐσκεψάμεθα πρότερον, εἴτε διδακτὸν εἴτε οὐ διδακτὸν ἡ ἀρετή, πρὶν ὅ τι ἐστὶ πρῶτον αὐτὸ ἐζητήσαμεν. ἐπειδὴ δὲ σὺ σαυτοῦ μὲν οὐδ' ἐπιχειρεῖς ἄρχειν, ἵνα δὴ ἐλεύθερος ᾖς, ἐμοῦ δὲ ἐπιχειρεῖς τε ἄρχειν καὶ ἄρχεις, ξυγχωρήσομαί σοι. τί γὰρ χρὴ ποιεῖν; ἔοικεν οὖν

σκεπτέον εἶναι, ποῖόν τί ἐστιν, ὃ μήπω ἴσμεν ὅ τι ἐστίν. εἰ μή τι οὖν, ἀλλὰ σμικρόν γέ μοι τῆς ἀρχῆς χάλασον, καὶ ξυγχώρησον, ἐξ ὑποθέσεως αὐτὸ σκοπεῖσθαι, εἴτε διδακτόν ἐστιν, εἴτε ὁπωσοῦν. λέγω δὲ τὸ ἐξ ὑποθέσεως ὧδε, ὥσπερ οἱ γεωμέτραι πολλάκις σκοποῦνται, ἐπειδάν τις ἔρηται αὐτούς, οἷον περὶ χωρίου, εἰ οἷόν τε ἐς τόνδε τὸν κύκλον τόδε τὸ χωρίον τρίγωνον ἐνταθῆναι, εἴποι ἄν τις, ὅτι οὔπω οἶδα εἰ ἔστι τοῦτο τοιοῦτον, ἀλλ' ὥσπερ μέν τινα ὑπόθεσιν προὔργου οἶμαι ἔχειν πρὸς τὸ πρᾶγμα τοιάνδε· εἰ μέν ἐστι τοῦτο τὸ χωρίον τοιοῦτον, οἷον παρὰ τὴν δοθεῖσαν αὐτοῦ γραμμὴν παρατείναντα, ἐλλείπειν τοιούτῳ χωρίῳ οἷον ἂν αὐτὸ τὸ παρατεταμένον ᾖ, ἄλλο τι ξυμβαίνειν μοι δοκεῖ, καὶ ἄλλο αὖ, εἰ ἀδύνατόν ἐστι ταῦτα παθεῖν· ὑποθέμενος οὖν ἐθέλω εἰπεῖν σοι τὸ ξυμβαῖνον περὶ τῆς ἐντάσεως αὐτοῦ εἰς τὸν κύκλον, εἴτε ἀδύνατον εἴτε μή. XXIII. Οὕτω δὴ καὶ περὶ ἀρετῆς ἡμεῖς, ἐπειδὴ οὐκ ἴσμεν οὔθ' ὅ τι ἐστὶν οὔθ' ὁποῖόν τι, ὑποθέμενοι αὐτό, σκοπῶμεν, εἴτε διδακτὸν εἴτε οὐ διδακτόν ἐστιν, ὧδε λέγοντες· εἰ ὁποῖόν τί ἐστι τῶν περὶ τὴν ψυχὴν ὄντων ἀρετή, διδακτὸν ἂν εἴη, ἢ οὐ διδακτόν. πρῶτον μέν, εἰ ἔστιν ἀλλοῖον ἢ οἷον ἐπιστήμη, ἆρα διδακτόν, ἢ οὔ, ἢ (ὃ νῦν δὴ ἐλέγομεν) ἀναμνηστόν; διαφερέτω δὲ μηδὲν ἡμῖν, ὁποτέρῳ ἂν τῷ ὀνόματι χρώμεθα· ἀλλ' ἆρα διδακτόν; ἢ τοῦτό γε παντὶ δῆλον, ὅτι οὐδὲν ἄλλο διδάσκεται ἄνθρωπος, ἢ ἐπιστήμην; *MEN.* Ἔμοιγε δοκεῖ. *ΣΩ.* Εἰ δέ γ' ἐστὶν ἐπιστήμη τις ἡ ἀρετή, δῆ

λον ὅτι διδακτὸν ἂν εἴη. ΜΕΝ. Πῶς γὰρ οὔ; ΣΩ. Τούτου μὲν ἄρα ταχὺ ἀπηλλάγμεθα, ὅτι, τοιοῦδε μὲν ὄντος, διδακτόν, μὴ τοιοῦδε δ᾽, οὔ. ΜΕΝ. Πάνυ γε. ΣΩ. Τὸ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, δεῖ σκέψασθαι, πότερόν ἐστιν ἐπιστήμη ἡ ἀρετή, ἢ ἀλλοῖον ἐπιστήμης. ΜΕΝ. Ἔμοιγε δοκεῖ τοῦτο μετὰ τοῦτο σκεπτέον εἶναι. ΣΩ. Τί δὲ δή; ἄλλο τι ἢ ἀγαθὸν αὐτὸ φαμὲν εἶναι τὴν ἀρετήν, καὶ αὕτη ἡ ὑπόθεσις μένει ἡμῖν, ἀγαθὸν αὐτὸ εἶναι; ΜΕΝ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν, εἰ μέν τί ἐστιν ἀγαθὸν καὶ ἄλλο χωριζόμενον ἐπιστήμης, τάχ᾽ ἂν εἴη ἡ ἀρετὴ οὐκ ἐπιστήμη τις· εἰ δὲ μηδέν ἐστιν ἀγαθὸν ὃ οὐκ ἐπιστήμη περιέχει, ἐπιστήμην ἄν τιν᾽ ὑποπτεύοντες αὐτὸ εἶναι, ὀρθῶς ὑποπτεύοιμεν; ΜΕΝ. Ἔστι ταῦτα. ΣΩ. Καὶ μὴν ἀρετῇ γ᾽ ἐσμὲν ἀγαθοί; ΜΕΝ. Ναί. ΣΩ. Εἰ δὲ ἀγαθοί, ὠφέλιμοι; πάντα γὰρ τἀγαθὰ ὠφέλιμα· οὐχί; ΜΕΝ. Ναί. ΣΩ. Καὶ ἡ ἀρετὴ δὴ ὠφέλιμόν ἐστι; ΜΕΝ. Ἀνάγκη, ἐκ τῶν ὡμολογημένων. XXIV. ΣΩ. Σκεψώμεθα δή, καθ᾽ ἕκαστον ἀναλαμβάνοντες, ποῖά ἐστιν ἃ ἡμᾶς ὠφελεῖ. ὑγίεια, φαμέν, καὶ ἰσχύς, καὶ κάλλος, καὶ πλοῦτος δή· ταῦτα λέγομεν καὶ τὰ τοιαῦτα ὠφέλιμα· οὐχί; ΜΕΝ. Ναί. ΣΩ. Ταὐτὰ δὴ ταῦτα φαμὲν ἐνίοτε καὶ βλάπτειν· ἢ σὺ ἄλλως φῂς ἢ οὕτως; ΜΕΝ. Οὔκ, ἀλλ᾽ οὕτως. ΣΩ. Σκόπει δή, ὅταν τί ἑκάστου τούτων ἡγῆται, ὠφελεῖ ἡμᾶς, καὶ ὅταν τί, βλάπτει; ἆρ᾽ οὐχ, ὅταν μὲν ὀρθὴ χρῆσις, ὠφελεῖ, ὅταν δὲ μή, βλάπτει; ΜΕΝ. Πάνυ γε. ΣΩ. Ἔτι τοίνυν καὶ τὰ κατὰ τὴν ψυχὴν σκεψώμεθα. σωφρο-

σύνην τι καλεῖς καὶ δικαιοσύνην καὶ ἀνδρίαν καὶ εὐμαθίαν καὶ μνήμην καὶ μεγαλοπρέπειαν καὶ πάντα τὰ τοιαῦτα; ΜΕΝ. Ἔγωγε. ΣΩ. Σκόπει δή, τούτων ἅττα σοι δοκεῖ μὴ ἐπιστήμη εἶναι, ἀλλ᾽ ἄλλο ἐπιστήμης, εἰ οὐχὶ ποτὲ μὲν βλάπτει, ποτὲ δὲ ὠφελεῖ; οἷον ἀνδρία, εἰ μὴ ἔστι φρόνησις ἡ ἀνδρία, ἀλλ᾽ οἷον θάῤῥος τι· οὐχ, ὅταν μὲν ἄνευ νοῦ θαῤῥῇ ἄνθρωπος, βλάπτεται, ὅταν δὲ ξὺν νῷ, ὠφελεῖται; ΜΕΝ. Ναί. ΣΩ. Οὐκοῦν καὶ σωφροσύνη ὡσαύτως καὶ εὐμαθία, μετὰ μὲν νοῦ καὶ μανθανόμενα καὶ καταρτυόμενα, ὠφέλιμα, ἄνευ δὲ νοῦ, βλαβερά; ΜΕΝ. Πάνυ σφόδρα. ΣΩ. Οὐκοῦν ξυλλήβδην πάντα τὰ τῆς ψυχῆς ἐπιχειρήματα καὶ καρτερήματα, ἡγουμένης μὲν φρονήσεως, εἰς εὐδαιμονίαν τελευτᾷ, ἀφροσύνης δ᾽, εἰς τοὐναντίον; ΜΕΝ. Ἔοικεν. ΣΩ. Εἰ ἄρα ἀρετὴ τῶν ἐν τῇ ψυχῇ τί ἐστι, καὶ ἀναγκαῖον αὐτῷ ὠφελίμῳ εἶναι, φρόνησιν αὐτὸ δεῖ εἶναι, ἐπειδήπερ πάντα τὰ κατὰ τὴν ψυχήν, αὐτὰ μὲν καθ᾽ αὑτὰ οὔτε ὠφέλιμα οὔτε βλαβερά ἐστι, προςγενομένης δὲ φρονήσεως ἢ ἀφροσύνης, βλαβερά τε καὶ ὠφέλιμα γίγνεται· κατὰ δὴ τοῦτον τὸν λόγον, ὠφέλιμόν γε οὖσαν τὴν ἀρετήν, φρόνησιν δεῖ τιν᾽ εἶναι. ΜΕΝ. Ἔμοιγε δοκεῖ. XXV. ΣΩ. Καὶ μὲν δὴ καὶ τὰ ἄλλα, ἃ νῦν δὴ ἐλέγομεν, πλοῦτόν τε καὶ τὰ τοιαῦτα, τοτὲ μὲν ἀγαθά, τοτὲ δὲ βλαβερὰ εἶναι, ἆρ᾽ οὐχ, ὥςπερ τῇ ἄλλῃ ψυχῇ ἡ φρόνησις ἡγουμένη ὠφέλιμα τὰ τῆς ψυχῆς ἐποίει, ἡ δὲ ἀφροσύνη βλαβερά, οὕτως αὖ καὶ τούτοις

ἡ ψυχὴ ὀρθῶς μὲν χρωμένη καὶ ἡγουμένη, ὠφέλιμα αὐτὰ ποιεῖ, μὴ ὀρθῶς δέ, βλαβερά; MEN. Πάνυ γε. ΣΩ. Ὀρθῶς δέ γε ἡ ἔμφρων ἡγεῖται, ἡμαρτημένως δ' ἡ ἄφρων; MEN. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν οὕτω δὴ κατὰ πάντων εἰπεῖν ἐστι, τῷ ἀνθρώπῳ τὰ μὲν ἄλλα πάντα εἰς τὴν ψυχὴν ἀνηρτῆσθαι, τὰ δὲ τῆς ψυχῆς αὐτῆς εἰς φρόνησιν, εἰ μέλλει ἀγαθὰ εἶναι, καὶ τούτῳ τῷ λόγῳ φρόνησις ἂν εἴη τὸ ὠφέλιμον. φαμὲν δὲ τὴν ἀρετὴν ὠφέλιμον εἶναι; MEN. Πάνυ γε. ΣΩ. Φρόνησιν ἄρα φαμὲν ἀρετὴν εἶναι, ἤτοι ξύμπασαν ἢ μέρος τι. MEN. Δοκεῖ μοι καλῶς λέγεσθαι, ὦ Σώκρατες, τὰ λεγόμενα. ΣΩ. Οὐκοῦν, εἰ ταῦτα οὕτως ἔχει, οὐκ ἂν εἶεν φύσει οἱ ἀγαθοί; MEN. Οὔ μοι δοκεῖ. ΣΩ. Καὶ γὰρ ἄν που καὶ τόδ' ἦν· εἰ φύσει οἱ ἀγαθοὶ ἐγίγνοντο, ἦσάν που ἂν ἡμῖν, οἳ ἐγίγνωσκον τῶν νέων τοὺς ἀγαθοὺς τὰς φύσεις· οὓς ἡμεῖς ἂν παραλαβόντες, ἐκείνων ἀποφηνάντων, ἐφυλάττομεν ἐν ἀκροπόλει, κατασημηνάμενοι πολὺ μᾶλλον ἢ τὸ χρυσίον, ἵνα μηδεὶς αὐτοὺς διέφθειρεν, ἀλλ' ἐπειδὴ ἀφίκοιντο εἰς τὴν ἡλικίαν, χρήσιμοι γίγνοιντο ταῖς πόλεσιν. MEN. Εἰκός γέ τοι, ὦ Σώκρατες. XXVI. ΣΩ. Ἆρ' οὖν ἐπειδὴ οὐ φύσει οἱ ἀγαθοὶ ἀγαθοὶ γίγνονται, ἆρα μαθήσει; MEN. Δοκεῖ μοι ἤδη ἀναγκαῖον εἶναι, καὶ δῆλον, ὦ Σώκρατες, κατὰ τὴν ὑπόθεσιν, εἴπερ ἐπιστήμη ἐστὶν ἀρετή, ὅτι διδακτόν ἐστιν. ΣΩ. Ἴσως νὴ Δία· ἀλλὰ μὴ τοῦτο οὐ καλῶς ὡμολογήσαμεν. MEN. Καὶ μὴν ἐδόκει μὲν ἄρτι

καλῶς λέγεσθαι. ΣΩ. Ἀλλὰ μὴ οὐκ ἐν τῷ νῦν καὶ ἐν τῷ ἔπειτα, εἰ μέλλει τι αὐτοῦ ὑγιὲς εἶναι. ΜΕΝ. Τί οὖν δή; πρὸς τί βλέπων δυσχεραίνεις αὐτό, καὶ ἀπιστεῖς, μὴ οὐκ ἐπιστήμη ᾖ ἡ ἀρετή; ΣΩ. Ἐγώ σοι ἐρῶ, ὦ Μένων. τὸ μὲν γὰρ διδακτὸν αὐτὸ εἶναι, εἴπερ ἐπιστήμη ἐστίν, οὐκ ἀνατίθεμαι μὴ οὐ καλῶς λέγεσθαι· ὅτι δ' οὐκ ἔστιν ἐπιστήμη, σκέψαι, ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν. τόδε γάρ μοι εἰπέ, εἰ ἔστι διδακτὸν ὁτιοῦν πρᾶγμα, μὴ μόνον ἀρετή, οὐκ ἀναγκαῖον, αὐτοῦ καὶ διδασκάλους καὶ μαθητὰς εἶναι; ΜΕΝ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν τοὐναντίον αὖ, οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, καλῶς ἂν αὐτὸ εἰκάζοντες, εἰκάζοιμεν μὴ διδακτὸν εἶναι; ΜΕΝ. Ἔστι ταῦτα. ἀλλ' ἀρετῆς διδάσκαλοι οὐ δοκοῦσί σοι εἶναι; ΣΩ. Πολλάκις γοῦν ζητῶν, εἴ τινες αὐτῆς εἶεν διδάσκαλοι, πάντα ποιῶν οὐ δύναμαι εὑρεῖν· καίτοι μετὰ πολλῶν γε ζητῶ, καὶ τούτων μάλιστα, οἵους ἂν οἴωμαι ἐμπειροτάτους εἶναι τοῦ πράγματος. καὶ δὴ καὶ νῦν, ὦ Μένων, εἰς καλὸν ἡμῖν αὐτὸς ὅδε παρεκαθέζετο, ᾧ μεταδῶμεν τῆς ζητήσεως· εἰκότως δ' αὖ μεταδοῖμεν ἄν. αὐτὸς γὰρ ὅδε πρῶτον μέν ἐστι πατρὸς πλουσίου τε καὶ σοφοῦ, Ἀνθεμίωνος, ὃς ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου, οὐδὲ δόντος τινός, ὥσπερ ὁ νῦν νεωστὶ εἰληφὼς τὰ Πολυκράτους χρήματα, Ἰσμηνίας ὁ Θηβαῖος, ἀλλὰ τῇ αὐτοῦ σοφίᾳ κτησάμενος καὶ ἐπιμελείᾳ. ἔπειτα καὶ τὰ ἄλλα, οὐχ ὑπερήφανος δοκῶν εἶναι πολίτης, οὐδὲ ὀγκώδης τε καὶ ἐπαχθής,

ἀλλὰ κόσμιος καὶ εὐσταλὴς ἀνήρ· ἔπειτα τοῦτον εὖ ἔθρεψε καὶ ἐπαίδευσεν, ὡς δοκεῖ Ἀθηναίων τῷ πλήθει. αἱροῦνται γοῦν αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. δίκαιον δὴ μετὰ τοιούτων ζητεῖν ἀρετῆς πέρι διδασκάλους, εἴτ' εἰσὶν εἴτε μή, καὶ οἵτινες. XXVII. Σὺ οὖν ἡμῖν, ὦ Ἄνυτε, ξυζήτησον ἐμοί τε καὶ τῷ σαυτοῦ ξένῳ Μένωνι τῷδε περὶ τούτου τοῦ πράγματος, τίνες ἂν εἶεν διδάσκαλοι. ὧδε δὲ σκέψαι· εἰ βουλοίμεθα Μένωνα τόνδε ἀγαθὸν ἰατρὸν γενέσθαι, παρὰ τίνας ἂν αὐτὸν πέμποιμεν διδασκάλους; ἆρ' οὐ παρὰ τοὺς ἰατρούς; ΑΝ. Πάνυ γε. ΣΩ. Τί δ', εἰ σκυτοτόμον ἀγαθὸν βουλοίμεθα γενέσθαι, ἆρ' οὐ παρὰ τοὺς σκυτοτόμους; ΑΝ. Ναί. ΣΩ. Καὶ τἆλλα οὕτως; ΑΝ. Πάνυ γε. ΣΩ. Ὧδε δή μοι πάλιν περὶ τῶν αὐτῶν εἰπέ· παρὰ τοὺς ἰατρούς, φαμέν, πέμποντες τόνδε καλῶς ἂν ἐπέμπομεν, βουλόμενοι ἰατρὸν γενέσθαι· ἆρ' ὅταν τοῦτο λέγωμεν, τόδε λέγομεν, ὅτι παρὰ τούτους πέμποντες αὐτὸν σωφρονοῖμεν ἄν, τοὺς ἀντιποιουμένους τε τῆς τέχνης μᾶλλον ἢ τοὺς μή, καὶ τοὺς μισθὸν πραττομένους, ἐπ' αὐτῷ τούτῳ ἀποφήναντας αὑτοὺς διδασκάλους τοῦ βουλομένου ἰέναι τε καὶ μανθάνειν; ἆρ' οὐ πρὸς ταῦτα βλέψαντες καλῶς ἂν πέμποιμεν; ΑΝ. Ναί. ΣΩ. Οὐκοῦν καὶ περὶ αὐλήσεως καὶ τῶν ἄλλων τὰ αὐτὰ ταῦτα; πολλὴ ἄνοιά ἐστι, βουλομένους αὐλητήν τινα ποιῆσαι παρὰ μὲν τοὺς ὑπισχνουμένους διδάξειν τὴν τέχνην, καὶ μισθὸν πραττομένους, μὴ ἐθέλειν πέμπειν, ἄλλοις δέ τισι πράγματα παρέχειν,

ζητοῦντα μανθάνειν παρὰ τούτων, οἳ μήτε προσποιοῦνται διδάσκαλοι εἶναι, μήτ' ἔστιν αὐτῶν μαθητὴς μηδεὶς τούτου τοῦ μαθήματος, ὃ ἡμεῖς ἀξιοῦμεν μανθάνειν παρ' αὐτῶν, ὃν ἂν πέμπωμεν. οὐ πολλή σοι δοκεῖ ἀλογία εἶναι; *ΑΝ*. Ναὶ μὰ Δία ἔμοιγε, καὶ ἀμαθία γε πρός. XXVIII. *ΣΩ*. Καλῶς λέγεις. νῦν τοίνυν ἔξεστί σοι μετ' ἐμοῦ κοινῇ βουλεύεσθαι περὶ τοῦ ξένου τουτουῒ Μένωνος· οὗτος γάρ, ὦ Ἄνυτε, πάλαι λέγει πρός με, ὅτι ἐπιθυμεῖ ταύτης τῆς σοφίας καὶ ἀρετῆς, ᾗ οἱ ἄνθρωποι τάς τε οἰκίας καὶ τὰς πόλεις καλῶς διοικοῦσι, καὶ τοὺς γονέας τοὺς αὐτῶν θεραπεύουσι, καὶ πολίτας καὶ ξένους ὑποδέξασθαί τε καὶ ἀποπέμψαι ἐπίστανται, ἀξίως ἀνδρὸς ἀγαθοῦ. ταύτην οὖν τὴν ἀρετὴν σκόπει, παρὰ τίνας ἂν πέμποντες αὐτὸν ὀρθῶς πέμποιμεν· ἢ δῆλον δή, κατὰ τὸν ἄρτι λόγον, ὅτι παρὰ τούτους τοὺς ὑπισχνουμένους ἀρετῆς διδασκάλους εἶναι, καὶ ἀποφήναντας αὑτοὺς κοινοὺς τῶν Ἑλλήνων τῷ βουλομένῳ μανθάνειν, μισθὸν τούτου ταξαμένους τε καὶ πραττομένους; *ΑΝ*. Καὶ τίνας λέγεις τούτους, ὦ Σώκρατες; *ΣΩ*. Οἶσθα δήπου καὶ σύ, ὅτι οὗτοί εἰσιν οὓς οἱ ἄνθρωποι καλοῦσι σοφιστάς. *ΑΝ*. Ἡράκλεις, εὐφήμει, ὦ Σώκρατες. μηδένα τῶν ξυγγενῶν, μήτε οἰκείων, μήτε φίλων, μήτε ἀστῶν, μήτε ξένων, τοιαύτη μανία λάβοι, ὥστε παρὰ τούτους ἐλθόντα λωβηθῆναι· ἐπεὶ οὗτοί γε φανερά ἐστι λώβη τε καὶ διαφθορὰ τῶν ξυγγιγνομένων. *ΣΩ*. Πῶς λέγεις, ὦ Ἄνυτε; οὗτοι ἄρα μόνοι τῶν ἀντιποιουμένων τι ἐπίστασθαι

εὐεργετεῖν, τοσοῦτον τῶν ἄλλων διαφέρουσιν, ὅσον οὐ μόνον οὐκ ὠφελοῦσιν, ὥσπερ οἱ ἄλλοι, ὅ τι ἄν τις αὐτοῖς παραδῷ, ἀλλὰ καὶ τὸ ἐναντίον διαφθείρουσι; καὶ τούτων φανερῶς χρήματα ἀξιοῦσι πράττεσθαι;
XXIX. Ἐγὼ μὲν οὖν οὐκ ἔχω ὅπως σοι πιστεύσω. οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρήματα κτησάμενον ἀπὸ ταύτης τῆς σοφίας, ἢ Φειδίαν γε, ὃς οὕτω περιφανῶς καλὰ ἔργα εἰργάζετο, καὶ ἄλλους δέκα τῶν ἀνδριαντοποιῶν. καίτοι τέρας λέγεις, εἰ οἱ μὲν τὰ ὑποδήματα ἐργαζόμενοι τὰ παλαιά, καὶ τὰ ἱμάτια ἐξακούμενοι, οὐκ ἂν δύναιντο λαθεῖν τριάκονθ᾽ ἡμέρας μοχθηρότερα ἀποδιδόντες ἢ παρέλαβον τὰ ἱμάτιά τε καὶ ὑποδήματα, ἀλλ᾽ εἰ τοιαῦτα ποιοῖεν, ταχὺ ἂν τῷ λιμῷ ἀποθάνοιεν, Πρωταγόρας δὲ ἄρα ὅλην τὴν Ἑλλάδα ἐλάνθανε διαφθείρων τοὺς ξυγγιγνομένους, καὶ μοχθηροτέρους ἀποπέμπων ἢ παρελάμβανε, πλέον ἢ τετταράκοντα ἔτη. οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς ἑβδομήκοντα ἔτη γεγονότα, τετταράκοντα δὲ ἐν τῇ τέχνῃ ὄντα. καὶ ἐν ἅπαντι τῷ χρόνῳ τούτῳ ἔτι εἰς τὴν ἡμέραν ταυτηνὶ εὐδοκιμῶν οὐδὲν πέπαυται. καὶ οὐ μόνον Πρωταγόρας, ἀλλὰ καὶ ἄλλοι πάμπολλοι, οἱ μὲν πρότεροι γεγονότες ἐκείνου, οἱ δὲ καὶ νῦν ἔτι ὄντες. πότερον δὴ οὖν φῶμεν, κατὰ τὸν σὸν λόγον, εἰδότας αὐτοὺς ἐξαπατᾷν καὶ λωβᾶσθαι τοὺς νέους, ἢ λεληθέναι καὶ ἑαυτούς; καὶ οὕτω μαίνεσθαι ἀξιώσομεν τούτους, οὓς ἔνιοί φασι σοφωτάτους ἀνθρώπων εἶναι; AN. Πολλοῦ γε δέουσι μαίνεσθαι, ὦ Σώκρατες, ἀλλὰ πολὺ

μᾶλλον οἱ τούτοις διδόντες ἀργύριον τῶν νέων, τού-
των δ' ἔτι μᾶλλον οἱ τούτοις ἐπιτρέποντες, οἱ προσ-
ήκοντες, πολὺ δὲ μάλιστα πάντων αἱ πόλεις, ἐῶσαι
αὐτοὺς εἰσαφικνεῖσθαι καὶ οὐκ ἐξελαύνουσαι, εἴτε
τις ξένος ἐπιχειρεῖ τοιοῦτόν τι ποιεῖν, εἴτε ἀστός.
XXX. ΣΩ. Πότερον δέ, ὦ Ἄνυτε, ἠδίκηκέ τίς σε τῶν
σοφιστῶν; ἢ τί οὕτως αὐτοῖς χαλεπὸς εἶ; ΑΝ. Οὐδὲ
μὰ Δία ἔγωγε ξυγγέγονα πώποτε αὐτῶν οὐδενί, οὐδ'
ἂν ἄλλον ἐάσαιμι τῶν ἐμῶν οὐδένα. ΣΩ. Ἄπειρος
ἄρ' εἶ παντάπασι τῶν ἀνδρῶν. ΑΝ. Καὶ εἴην γε.
ΣΩ. Πῶς οὖν ἄν, ὦ δαιμόνιε, εἰδείης περὶ τούτου
τοῦ πράγματος, εἴτε τι ἀγαθὸν ἔχει ἐν ἑαυτῷ εἴτε
φλαῦρον, οὗ παντάπασιν ἄπειρος εἴης; ΑΝ. Ῥᾳδίως.
τούτους γοῦν οἶδα οἵ εἰσιν, εἴτ' οὖν ἄπειρος αὐτῶν εἰ-
μι, εἴτε μή. ΣΩ. Μάντις εἶ ἴσως, ὦ Ἄνυτε. ἐπεὶ
ὅπως γε ἄλλως οἶσθα τούτων πέρι, ἐξ ὧν αὐτὸς λέγεις,
θαυμάζοιμ' ἄν. ἀλλὰ γὰρ οὐ τούτους ἐζητοῦμεν τί-
νες εἰσί, παρ' οὓς ἂν Μένων ἀφικόμενος μοχθηρὸς
γένοιτο. οὗτοι μὲν γάρ, εἰ σὺ βούλει, ἔστωσαν οἱ σο-
φισταί. ἀλλὰ δὴ ἐκείνους εἰπὲ ἡμῖν, καὶ τὸν πατρι-
κὸν τόνδε ἑταῖρον εὐεργέτησον, φράσας αὐτῷ παρὰ
τίνας ἀφικόμενος ἐν τοσαύτῃ πόλει τὴν ἀρετήν, ἣν
νῦν δὴ ἐγὼ διῆλθον, γένοιτ' ἂν ἄξιος λόγου. ΑΝ. Τί
δὲ αὐτῷ οὐ σὺ ἔφρασας; ΣΩ. Ἀλλ' οὓς μὲν ἐγὼ ᾤμην
διδασκάλους τούτων εἶναι, εἶπον, ἀλλὰ τυγχάνω οὐ-
δὲν λέγων, ὡς σὺ φῄς. ΑΝ. Καὶ ἴσως τι λέγεις. ΣΩ.
Ἀλλὰ σὺ δὴ ἐν τῷ μέρει αὐτῷ εἰπέ, παρὰ τίνας ἔλθῃ
Ἀθηναίων· εἰπὲ ὄνομα ὅτου βούλει. XXXI. ΑΝ. Τί

δὲ ἑνὸς ἀνθρώπου ὄνομα δεῖ ἀκοῦσαι; ὅτῳ γὰρ ἂν ἐντύχῃ Ἀθηναίων τῶν καλῶν κἀγαθῶν, οὐδείς ἐστιν ὃς οὐ βελτίω αὐτὸν ποιήσει ἢ οἱ σοφισταί, ἐάνπερ ἐθέλῃ πείθεσθαι. ΣΩ. Πότερον δὲ οὗτοι οἱ καλοὶ κἀγαθοὶ ἀπὸ τοῦ αὐτομάτου ἐγένοντο τοιοῦτοι, παρ' οὐδενὸς μαθόντες, ὅμως μέντοι ἄλλους διδάσκειν οἷοί τε ὄντες ταῦτα, ἃ αὐτοὶ οὐκ ἔμαθον; ΑΝ. Καὶ τούτους ἔγωγε ἀξιῶ παρὰ τῶν προτέρων μαθεῖν, ὄντων καλῶν κἀγαθῶν. ἢ οὐ δοκοῦσί σοι πολλοὶ καὶ ἀγαθοὶ γεγονέναι ἐν τῇδε τῇ πόλει ἄνδρες; ΣΩ. Ἔμοιγε, ὦ Ἄνυτε, καὶ εἶναι δοκοῦσιν ἐνθάδε ἀγαθοὶ τὰ πολιτικά, καὶ γεγονέναι ἔτι οὐχ ἧττον ἢ εἶναι· ἀλλὰ μῶν καὶ διδάσκαλοι ἀγαθοὶ γεγόνασι τῆς αὐτῶν ἀρετῆς; τοῦτο γάρ ἐστι, περὶ οὗ ὁ λόγος ἡμῖν τυγχάνει ὤν, οὐκ, εἰ εἰσὶν ἀγαθοὶ ἢ μὴ ἄνδρες ἐνθάδε, οὐδ', εἰ γεγόνασιν ἐν τῷ πρόσθεν· ἀλλ' εἰ διδακτόν ἐστιν ἀρετή, πάλαι σκοποῦμεν. τοῦτο δὲ σκοποῦντες τόδε σκοποῦμεν· ἆρα οἱ ἀγαθοὶ ἄνδρες καὶ τῶν νῦν καὶ τῶν πρότερον ταύτην τὴν ἀρετήν, ἣν αὐτοὶ ἀγαθοὶ ἦσαν, ἠπίσταντο καὶ ἄλλῳ παραδοῦναι, ἢ οὐ παραδοτὸν τοῦτο ἀνθρώπῳ, οὐδὲ παραληπτὸν ἄλλῳ παρ' ἄλλου; τοῦτ' ἔστιν, ὃ πάλαι ζητοῦμεν ἐγώ τε καὶ Μένων. XXXII. Ὧδε οὖν σκόπει, ἐκ τοῦ σαυτοῦ λόγου· Θεμιστοκλέα οὐκ ἀγαθὸν ἂν φαίης ἄνδρα γεγονέναι; ΑΝ. Ἔγωγε πάντων γε μάλιστα. ΣΩ. Οὐκοῦν καὶ διδάσκαλον ἀγαθόν, εἴπερ τις ἄλλος τῆς αὐτοῦ ἀρετῆς διδάσκαλος ἦν, κἀκεῖνον εἶναι; ΑΝ. Οἶμαι ἔγωγε, εἴπερ ἐβούλετό γε. ΣΩ. Ἀλλ', οἴει, οὐκ ἂν

ἐβουλήθη ἄλλους τέ τινας καλοὺς κἀγαθοὺς γενέσθαι, μάλιστα δέ που τὸν υἱὸν τὸν αὑτοῦ; ἢ οἴει αὐτὸν φθονεῖν αὐτῷ, καὶ ἐξεπίτηδες οὐ παραδιδόναι τὴν ἀρετὴν, ἣν αὐτὸς ἀγαθὸς ἦν; ἢ οὐκ ἀκήκοας, ὅτι Θεμιστοκλῆς Κλεόφαντον τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο ἀγαθόν; ἐπέμενε γοῦν ἐπὶ τῶν ἵππων ὀρθὸς ἑστηκὼς, καὶ ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθὸς, καὶ ἄλλα πολλὰ καὶ θαυμαστὰ εἰργάζετο, ἃ ἐκεῖνος αὐτὸν ἐπαιδεύσατο, καὶ ἐποίησε σοφὸν, ὅσα διδασκάλων ἀγαθῶν εἴχετο· ἢ ταῦτα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων; ΑΝ. Ἀκήκοα. ΣΩ. Οὐκ ἂν ἄρα τήν γε φύσιν τοῦ υἱέος αὐτοῦ ᾐτιάσατ᾽ ἄν τις εἶναι κακήν. ΑΝ. Ἴσως οὐκ ἄν. ΣΩ. Τί δὲ τόδε; ὡς Κλεόφαντος ὁ Θεμιστοκλέους ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο ἅπερ ὁ πατὴρ αὐτοῦ, ἤδη του ἀκήκοας ἢ νεωτέρου ἢ πρεσβυτέρου; ΑΝ. Οὐ δῆτα. ΣΩ. Ἆρ᾽ οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν αὑτοῦ υἱὸν παιδεῦσαι, ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφὸς, οὐδὲν τῶν γειτόνων βελτίω ποιῆσαι, εἴπερ ἦν γε διδακτὸν ἡ ἀρετή; ΑΝ. Ἴσως μὰ Δί᾽ οὔ. XXXIII. ΣΩ. Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν καὶ σὺ ὁμολογεῖς ἐν τοῖς ἀρίστοις τῶν προτέρων εἶναι. ἄλλον δὲ δὴ σκεψώμεθα, Ἀριστείδην τὸν Λυσιμάχου· ἢ τοῦτον οὐχ ὁμολογεῖς ἀγαθὸν γεγονέναι; ΑΝ. Ἔγωγε πάντως δήπου. ΣΩ. Οὐκοῦν καὶ οὗτος τὸν υἱὸν τὸν αὑτοῦ Λυσίμαχον, ὅσα μὲν διδασκάλων εἴχετο, κάλλιστα Ἀθηναίων ἐπαίδευσεν, ἄνδρα δὲ βελτίω δοκεῖ σοι ὁτουοῦν πεποιηκέναι; τούτῳ γάρ που καὶ σὺ ξυγγέγο-

νας, καὶ ὁρᾷς οἷός ἐστιν. εἰ δὲ βούλει, Περικλέα, οὕτω μεγαλοπρεπῶς σοφὸν ἄνδρα, οἶσθ' ὅτι δύο υἱεῖς ἔθρεψε, Πάραλον καὶ Ξάνθιππον. ΑΝ. Ἔγωγε. ΣΩ. Τούτους μέντοι, ὡς οἶσθα καὶ σύ, ἱππέας μὲν ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων, καὶ μουσικὴν καὶ ἀγωνίαν καὶ τἆλλα ἐπαίδευσεν, ὅσα τέχνης ἔχεται, οὐδενὸς χείρους· ἀγαθοὺς δὲ ἄνδρας ἄρα οὐκ ἐβούλετο ποιῆσαι; δοκῶ μέν, ἐβούλετο· ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν. ἵνα δὲ μὴ ὀλίγους οἴῃ καὶ τοὺς φαυλοτάτους Ἀθηναίων ἀδυνάτους γεγονέναι τοῦτο τὸ πρᾶγμα, ἐνθυμήθητι ὅτι Θουκυδίδης αὖ δύο υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον, καὶ τούτους ἐπαίδευσε τά τε ἄλλα εὖ, καὶ ἐπάλαισαν κάλλιστα Ἀθηναίων. τὸν μὲν γὰρ Ξανθίᾳ ἔδωκε, τὸν δὲ Εὐδώρῳ· οὗτοι δέ που ἐδόκουν τῶν τότε κάλλιστα παλαίειν· ἢ οὐ μέμνησαι; ΑΝ. Ἔγωγε, ἀκοῇ. XXXIV. ΣΩ. Οὐκοῦν δῆλον, ὅτι οὗτος οὐκ ἄν ποτε, οἷ μὲν ἔδει δαπανώμενον διδάσκειν, ταῦτα μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς αὑτοῦ· οἷ δὲ οὐδὲν ἔδει ἀναλώσαντα ἀγαθοὺς ἄνδρας ποιῆσαι, τοῦτο δὲ οὐκ ἐδίδαξεν, εἰ διδακτὸν ἦν. ἀλλὰ γὰρ ἴσως ὁ Θουκυδίδης φαῦλος ἦν, καὶ οὐκ ἦσαν αὐτῷ πλεῖστοι φίλοι Ἀθηναίων καὶ τῶν ξυμμάχων; καὶ οἰκίας μεγάλης ἦν, καὶ ἐδύνατο μέγα ἐν τῇ πόλει καὶ ἐν τοῖς ἄλλοις Ἕλλησιν. ὥστε, εἴπερ ἦν τοῦτο διδακτόν, ἐξευρεῖν ἄν, ὅστις ἔμελλεν αὐτοῦ τοὺς υἱεῖς ἀγαθοὺς ποιήσειν, ἢ τῶν ἐπιχωρίων τὶς ἢ τῶν ξένων, εἰ αὐτὸς μὴ ἐσχόλαζε διὰ τὴν τῆς πόλεως ἐπιμέλειαν. ἀλλὰ γάρ, ὦ ἑταῖρε Ἄνυτε, μὴ οὐκ ᾖ δι-

δακτὸν ἀρετή. ΑΝ. Ὦ Σώκρατες, ῥᾳδίως μοι δοκεῖς κακῶς λέγειν ἀνθρώπους. ἐγὼ μὲν οὖν ἄν σοι ξυμβουλεύσαιμι, εἰ ἐθέλεις ἐμοὶ πείθεσθαι, εὐλαβεῖσθαι· ὡς ἴσως μὲν καὶ ἐν ἄλλῃ πόλει ῥᾷόν ἐστι κακῶς ποιεῖν ἀνθρώπους, ἢ εὖ, ἐν τῇδε δὲ καὶ πάνυ. οἶμαι δέ σε καὶ αὐτὸν εἰδέναι. XXXV. ΣΩ. Ὦ Μένων, Ἄνυτος μέν μοι δοκεῖ χαλεπαίνειν, καὶ οὐδὲν θαυμάζω· οἴεται γάρ με πρῶτον μὲν κακηγορεῖν τούτους τοὺς ἄνδρας· ἔπειτα ἡγεῖται καὶ αὐτὸς εἶναι εἷς τούτων. ἀλλ᾽ οὗτος μέν, ἐάν ποτε γνῷ, οἷόν ἐστι τὸ κακῶς λέγειν, παύσεται χαλεπαίνων· νῦν δὲ ἀγνοεῖ. σὺ δέ μοι εἰπέ· οὐ καὶ παρ᾽ ὑμῖν εἰσὶ καλοὶ κἀγαθοὶ ἄνδρες; ΜΕΝ. Πάνυ γε. ΣΩ. Τί οὖν; ἐθέλουσιν οὗτοι παρέχειν αὑτοὺς διδασκάλους τοῖς νέοις, καὶ ὁμολογεῖν διδάσκαλοί τε εἶναι καὶ διδακτὸν ἀρετήν; ΜΕΝ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλὰ τοτὲ μὲν ἂν αὐτῶν ἀκούσαις ὡς διδακτόν, τοτὲ δὲ ὡς οὔ. ΣΩ. Φῶμεν οὖν τούτους διδασκάλους εἶναι τούτου τοῦ πράγματος, οἷς μηδὲ αὐτὸ τοῦτο ὁμολογεῖται; ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Τί δὲ δή; οἱ σοφισταί σοι οὗτοι, οἵπερ μόνοι ἐπαγγέλλονται, δοκοῦσι διδάσκαλοι εἶναι ἀρετῆς; ΜΕΝ. Καὶ Γοργίου μάλιστα, ὦ Σώκρατες, ταῦτα ἄγαμαι, ὅτι οὐκ ἄν ποτε αὐτοῦ τοῦτο ἀκούσαις ὑπισχνουμένου, ἀλλὰ καὶ τῶν ἄλλων καταγελᾷ, ὅταν ἀκούσῃ ὑπισχνουμένων· ἀλλὰ λέγειν οἴεται δεῖν ποιεῖν δεινούς. ΣΩ. Οὐδ᾽ ἄρα σοὶ δοκοῦσιν οἱ σοφισταὶ διδάσκαλοι εἶναι. ΜΕΝ. Οὐκ ἔχω λέγειν, ὦ Σώκρατες. καὶ γὰρ αὐτὸς ὅπερ οἱ πολ-

λοὶ πέπονθα· τοτὲ μὲν μοι δοκοῦσι, τοτὲ δὲ οὔ. ΣΩ. Οἶσθα δὲ ὅτι οὐ μόνον σοί τε καὶ τοῖς ἄλλοις τοῖς πολιτικοῖς τοῦτο δοκεῖ τοτὲ μὲν εἶναι διδακτόν, τοτὲ δ᾽ οὔ, ἀλλὰ καὶ Θέογνιν τὸν ποιητὴν οἶσθ᾽ ὅτι ταυτὰ ταῦτα λέγει; MEN. Ἐν ποίοις ἔπεσιν; XXXVI. ΣΩ. Ἐν τοῖς ἐλεγείοις, οὗ λέγει,

Καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε· καὶ μετὰ τοῖσιν
 Ἵζε καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
Ἐσθλῶν μὲν γὰρ ἄπ᾽ ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
 Συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Οἶσθ᾽ ὅτι ἐν τούτοις μὲν ὡς διδακτοῦ οὔσης τῆς ἀρετῆς λέγει; MEN. Φαίνεταί γε. ΣΩ. Ἐν ἄλλοις δέ γε ὀλίγον μεταβάς,

Εἰ δ᾽ ἦν ποιητόν τε (φησὶν) καὶ ἔνθετον ἀνδρὶ νόημα;

λέγει πως ὅτι

Πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον

οἱ δυνάμενοι τοῦτο ποιεῖν. καί,

Οὔποτ᾽ ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
Πειθόμενος μύθοισι σαόφροσιν· ἀλλὰ διδάσκων
 Οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ᾽ ἀγαθόν.

Ἐννοεῖς ὅτι αὐτὸς αὑτῷ πάλιν περὶ τῶν αὐτῶν τἀναντία λέγει; MEN. Φαίνεται. ΣΩ. Ἔχεις οὖν εἰπεῖν ἄλλου ὁτουοῦν πράγματος, οὗ οἱ μὲν φάσκοντες διδάσκαλοι εἶναι, οὐχ ὅπως ἄλλων διδάσκαλοι ὁμολογοῦνται, ἀλλ᾽ οὐδὲ αὐτοὶ ἐπίστασθαι, ἀλλὰ πονηροὶ εἶναι περὶ αὐτὸ τοῦτο τὸ πρᾶγμα, οὗ φασὶ διδάσκαλοι εἶναι; οἱ δὲ ὁμολογούμενοι αὐτοὶ καλοὶ κἀγαθοὶ

ποτὲ μὲν φασιν αὐτὸ διδακτὸν εἶναι, ποτὲ δὲ οὔ; τοὺς οὖν οὕτω τεταραγμένους περὶ ὅτουοῦν φαίης ἂν σὺ κυρίως διδασκάλους εἶναι; MEN. Μὰ Δί' οὐκ ἔγωγε. XXXVII. ΣΩ. Οὐκοῦν, εἰ μήτε οἱ σοφισταὶ, μήτε οἱ αὐτοὶ καλοὶ κἀγαθοὶ ὄντες, διδάσκαλοί εἰσι τοῦ πράγματος, δῆλον ὅτι οὐκ ἂν ἄλλοι γε. MEN. Οὔ μοι δοκεῖ. ΣΩ. Εἰ δέ γε μὴ διδάσκαλοι, οὐδὲ μαθηταί. MEN. Δοκεῖ μοι ἔχειν, ὡς λέγεις. ΣΩ. Ὡμολογήκαμεν δέ γε, πράγματος οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, τοῦτο διδακτὸν μὴ εἶναι; MEN. Ὡμολογήκαμεν. ΣΩ. Οὐκοῦν ἀρετῆς οὐδαμοῦ φαίνονται διδάσκαλοι; MEN. Ἔστι ταῦτα. ΣΩ. Εἰ δέ γε μὴ διδάσκαλοι, οὐδὲ μαθηταί; MEN. Φαίνεται οὕτως. ΣΩ. Ἀρετὴ ἄρα οὐκ ἂν εἴη διδακτόν. MEN. Οὐκ ἔοικεν, εἴπερ ὀρθῶς ἡμεῖς ἐσκεψάμεθα. ὥστε καὶ θαυμάζω δή, ὦ Σώκρατες, πότερόν ποτε οὐδ' εἰσὶν ἀγαθοὶ ἄνδρες, ἢ τίς ἂν εἴη τρόπος τῆς γενέσεως τῶν ἀγαθῶν γιγνομένων. ΣΩ. Κινδυνεύομεν, ὦ Μένων, ἐγώ τε καὶ σὺ, φαῦλοί τινες εἶναι ἄνδρες, καὶ σέ τε Γοργίας οὐχ ἱκανῶς πεπαιδευκέναι, καὶ ἐμὲ Πρόδικος. παντὸς μᾶλλον οὖν προσεκτέον τὸν νοῦν ἡμῖν αὐτοῖς, καὶ ζητητέον, ὅστις ἡμᾶς ἑνί γέ τῳ τρόπῳ βελτίους ποιήσει. λέγω δὲ ταῦτα, ἀποβλέψας πρὸς τὴν ἄρτι ζήτησιν· ὡς ἡμᾶς ἔλαθε καταγελάστως, ὅτι οὐ μόνον ἐπιστήμης ἡγουμένης, ὀρθῶς τε καὶ εὖ τοῖς ἀνθρώποις πράττεται τὰ πράγματα, ἢ, εἰ μὴ τοῦτο δοίημεν, ὡς οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ ἄλλου τινός, ἴσως καὶ διαφεύγειν ἡμᾶς τὸ γνῶναι, τίνα

ποτὲ τρόπον γίγνονται οἱ ἀγαθοὶ ἄνδρες. MEN. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες; ΣΩ. Ὧδε. ὅτι τοὺς μὲν ἀγαθοὺς ἄνδρας δεῖ ὠφελίμους εἶναι, ὀρθῶς ὡμολογήκαμεν τοῦτό γε, ὅτι οὐκ ἂν ἄλλως ἔχοι· ἦ γάρ; MEN. Ναί. ΣΩ. Καὶ ὅτι γε ὠφέλιμοι ἔσονται, ἂν ὀρθῶς ἡμῖν ἡγῶνται τῶν πραγμάτων, καὶ τοῦτό που καλῶς ὡμολογοῦμεν; MEN. Ναί. ΣΩ. Ὅτι δ' οὐκ ἔστιν ὀρθῶς ἡγεῖσθαι, ἐὰν μὴ φρόνιμος ᾖ, τοῦτο ὅμοιοί ἐσμεν οὐκ ὀρθῶς ὡμολογηκόσι. MEN. Πῶς δὴ ὀρθῶς λέγεις; XXXVIII. ΣΩ. Ἐγὼ ἐρῶ. εἴ τις εἰδὼς τὴν ὁδὸν τὴν εἰς Λάρισσαν ἢ ὅποι βούλοιο ἄλλοσε, εἰ βαδίζοι καὶ ἄλλοις ἡγοῖτο, ἄλλο τι ἢ ὀρθῶς ἂν καὶ εὖ ἡγοῖτο; MEN. Πάνυ γε. ΣΩ. Τί δ', εἴ τις ὀρθῶς μὲν εἴη δοξάζων, ἥτις ἐστὶν ἡ ὁδὸς, ἐληλυθὼς δὲ μή, μηδ' ἐπιστάμενος, οὐ καὶ οὗτος ἂν ὀρθῶς ἡγοῖτο; MEN. Πάνυ γε. ΣΩ. Καὶ ἕως γ' ἂν που ὀρθὴν δόξαν ἔχῃ περὶ ὧν ὁ ἕτερος ἐπιστήμην, οὐδὲν χείρων ἡγεμὼν ἔσται, οἰόμενος μὲν ἀληθῆ, φρονῶν δὲ μή, τοῦ τοῦτο φρονοῦντος. MEN. Οὐδὲν γάρ. ΣΩ. Δόξα ἄρα ἀληθὴς πρὸς ὀρθότητα πράξεως οὐδὲν χείρων ἡγεμὼν φρονήσεως. καὶ τοῦτό ἐστιν, ὃ νῦν δὴ παρελείπομεν ἐν τῇ περὶ τῆς ἀρετῆς σκέψει, ὁποῖόν τι εἴη, λέγοντες, ὅτι φρόνησις μόνον ἡγεῖται τοῦ ὀρθῶς πράττειν· τὸ δὲ ἄρα καὶ δόξα ἦν ἀληθής. MEN. Ἔοικε. ΣΩ. Οὐδὲν ἄρα ἧττον ὠφέλιμόν ἐστιν ὀρθὴ δόξα ἐπιστήμης. MEN. Τοσούτῳ γε, ὦ Σώκρατες, ὅτι ὁ μὲν τὴν ἐπιστήμην ἔχων, ἀεὶ ἂν ἐπιτυγχάνοι, ὁ δὲ τὴν ὀρθὴν δόξαν, τοτὲ μὲν ἂν ἐπιτυγχάνοι, τοτὲ

θ' οὖ. ΣΩ. Πῶς λέγεις; ὁ ἀεὶ ἔχων ὀρθὴν δόξαν, οὐκ ἀεὶ τυγχάνοι, ἕωσπερ ἂν ὀρθὰ δοξάζοι; XXXIX. MEN. Ἀνάγκη μοι φαίνεται· ὥςτε θαυμάζω, ὦ Σώκρατες, τούτου οὕτως ἔχοντος, ὅ τι δή ποτε πολὺ τιμιώτερα ἡ ἐπιστήμη τῆς ὀρθῆς δόξης, καὶ δι' ὅ τι τὸ μὲν ἕτερον, τὸ δὲ ἕτερόν ἐστιν αὐτῶν. ΣΩ. Οἶσθα οὖν διότι θαυμάζεις, ἢ ἐγώ σοι εἴπω; MEN. Πάνυ γ' εἰπέ. ΣΩ. Ὅτι τοῖς Δαιδάλου ἀγάλμασιν οὐ προσέσχηκας τὸν νοῦν· ἴσως δὲ οὐδ' ἔστι παρ' ὑμῖν. MEN. Πρὸς τί δὲ δὴ τοῦτο λέγεις; ΣΩ. Ὅτι καὶ ταῦτα, ἐὰν μὲν μὴ δεδεμένα ᾖ, ἀποδιδράσκει καὶ δραπετεύει, ἐὰν δὲ δεδεμένα, παραμένει. MEN. Τί οὖν δή; ΣΩ. Τῶν ἐκείνου ποιημάτων λελυμένον μὲν ἐκτῆσθαι, οὐ πολλῆς τινος ἄξιόν ἐστι τιμῆς, ὥςπερ δραπέτην ἄνθρωπον· οὐ γὰρ παραμένει· δεδεμένον δέ, πολλοῦ ἄξιον· πάνυ γὰρ καλὰ τὰ ἔργα ἐστί. πρὸς τί οὖν δὴ λέγω ταῦτα; πρὸς τὰς δόξας τὰς ἀληθεῖς. καὶ γὰρ αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρόνον παραμένωσι, καλὸν τὸ χρῆμα, καὶ πάντα τἀγαθὰ ἐργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου· ὥςτε οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν τις αὐτὰς δήσῃ αἰτίας λογισμῷ. τοῦτο δ' ἐστί, Μένων ἑταῖρε, ἀνάμνησις, ὡς ἐν τοῖς πρόσθεν ἡμῖν ὡμολόγηται. ἐπειδὰν δὲ δεθῶσι, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι. καὶ διὰ ταῦτα δὴ τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστί, καὶ διαφέρει δεσμῷ ἐπιστήμη ὀρθῆς δόξης. MEN. Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔοικε τοιούτῳ

τινί. XL. ΣΩ. Καὶ μὴν καὶ ἐγὼ ὡς οὐκ εἰδὼς λέγω, ἀλλὰ εἰκάζω. ὅτι δέ ἐστί τι ἀλλοῖον ὀρθὴ δόξα καὶ ἐπιστήμη, οὐ πάνυ μοι δοκῶ τοῦτο εἰκάζειν· ἀλλ' εἴπερ τι ἄλλο φαίην ἂν εἰδέναι – ὀλίγα δ' ἂν φαίην – ἓν δ' οὖν καὶ τοῦτο ἐκείνων θείην ἂν ὧν οἶδα. MEN. Καὶ ὀρθῶς γε, ὦ Σώκρατες, λέγεις. ΣΩ. Τί δέ; τόδε οὐκ ὀρθῶς, ὅτι ἀληθὴς δόξα ἡγουμένη τὸ ἔργον ἑκάστης τῆς πράξεως οὐδὲν χεῖρον ἀπεργάζεται ἢ ἐπιστήμη; MEN. Καὶ τοῦτο δοκεῖς μοι ἀληθῶς λέγειν. ΣΩ. Οὐδὲν ἄρα ὀρθὴ δόξα ἐπιστήμης χεῖρον οὐδὲ ἧττον ὠφελίμη ἔσται εἰς τὰς πράξεις, οὐδὲ ἀνὴρ ὁ ἔχων ὀρθὴν δόξαν, ἢ ὁ ἐπιστήμην. MEN. Ἔστι ταῦτα. ΣΩ. Καὶ μὴν ὅ γε ἀγαθὸς ἀνὴρ ὠφέλιμος ἡμῖν ὡμολόγηται εἶναι. MEN. Ναί. ΣΩ. Ἐπειδὴ τοίνυν οὐ μόνον δι' ἐπιστήμην ἀγαθοὶ ἄνδρες ἂν εἶεν καὶ ὠφέλιμοι ταῖς πόλεσιν, εἴπερ εἶεν, ἀλλὰ καὶ δι' ὀρθὴν δόξαν, τούτοιν δὲ οὐδέτερον φύσει ἐστὶ τοῖς ἀνθρώποις, οὔτε ἐπιστήμη, οὔτε δόξα ἀληθής, οὔτ' ἐπίκτητα – ἢ δοκεῖ σοι φύσει ὁποτερονοῦν αὐτοῖν εἶναι; MEN. Οὐκ ἔμοιγε. ΣΩ. Οὐκοῦν, ἐπειδὴ οὐ φύσει, οὐδὲ οἱ ἀγαθοὶ φύσει εἶεν ἄν; MEN. Οὐ δῆτα. ΣΩ. Ἐπειδὴ δέ γε οὐ φύσει, ἐσκοποῦμεν τὸ μετὰ τοῦτο, εἰ διδακτόν ἐστι. MEN. Ναί. ΣΩ. Οὐκοῦν διδακτὸν ἔδοξεν εἶναι, εἰ φρόνησις ἡ ἀρετή; MEN. Ναί. ΣΩ. Καὶ εἴ γε διδακτὸν εἴη, φρόνησις ἂν εἶναι; MEN. Πάνυ γε. ΣΩ. Καὶ εἰ μέν γε διδάσκαλοι εἶεν, διδακτὸν ἂν εἶναι; μὴ ὄντων δέ, οὐ διδακτόν; MEN. Οὕτως. ΣΩ. Ἀλλὰ μὴν ὡμολογή-

καμεν μὴ εἶναι αὐτοῦ διδασκάλους. ΜΕΝ. Ἔστι ταῦτα. ΣΩ. Ὡμολογήκαμεν ἄρα μήτε διδακτὸν αὐτὸ μήτε φρόνησιν εἶναι; ΜΕΝ. Πάνυ γε. ΣΩ. Ἀλλὰ μὴν ἀγαθόν γε αὐτὸ ὁμολογοῦμεν εἶναι. ΜΕΝ. Ναί. ΣΩ. Ὠφέλιμον δὲ καὶ ἀγαθὸν εἶναι τὸ ὀρθῶς ἡγούμενον. ΜΕΝ. Πάνυ γε. ΣΩ. Ὀρθῶς δέ γε ἡγεῖσθαι δύο ὄντα ταῦτα μόνα, δόξαν τε ἀληθῆ καὶ ἐπιστήμην, ἃ ἔχων ἄνθρωπος ὀρθῶς ἡγεῖται. τὰ γὰρ ἀπὸ τύχης γιγνόμενα, οὐκ ἀνθρωπίνῃ ἡγεμονίᾳ γίγνεται· ὧ δὲ ἄνθρωπος ἡγεμών ἐστιν ἐπὶ τὸ ὀρθόν, δύο ταῦτα, δόξα ἀληθὴς καὶ ἐπιστήμη. ΜΕΝ. Δοκεῖ μοι οὕτως. XLI. ΣΩ. Οὐκοῦν, ἐπειδὴ οὐ διδακτόν ἐστιν, οὐδ᾽ ἐπιστήμη δὴ ἔτι γίγνεται ἡ ἀρετή; ΜΕΝ. Οὐ φαίνεται. ΣΩ. Δυοῖν ἄρα ὄντοιν ἀγαθοῖν καὶ ὠφελίμοιν, τὸ μὲν ἕτερον ἀπολέλυται, καὶ οὐκ ἂν εἴη ἐν πολιτικῇ πράξει ἐπιστήμη ἡγεμών. ΜΕΝ. Οὔ μοι δοκεῖ. ΣΩ. Οὐκ ἄρα σοφίᾳ τινὶ οὐδὲ σοφοὶ ὄντες οἱ τοιοῦτοι ἄνδρες ἡγοῦντο ταῖς πόλεσιν οἱ ἀμφὶ Θεμιστοκλέα τε καὶ οὓς ἄρτι Ἄνυτος ὅδε ἔλεγε. διὸ καὶ οὐχ οἷοί τε ἄλλους ποιεῖν τοιούτους οἷοι αὐτοί εἰσιν, ἅτε οὐ δι᾽ ἐπιστήμην ὄντες τοιοῦτοι. ΜΕΝ. Ἔοικεν οὕτως ἔχειν, ὦ Σώκρατες, ὡς λέγεις. ΣΩ. Οὐκοῦν, εἰ μὴ ἐπιστήμῃ, εὐδοξίᾳ δὴ τὸ λοιπὸν γίγνεται, ᾗ οἱ πολιτικοὶ ἄνδρες χρώμενοι τὰς πόλεις ὀρθοῦσιν, οὐδὲν διαφερόντως ἔχοντες πρὸς τὸ φρονεῖν, ἢ οἱ χρησμῳδοί τε καὶ οἱ θεομάντεις. καὶ γὰρ οὗτοι λέγουσι μὲν ἀληθῆ καὶ πολλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. ΜΕΝ. Κινδυνεύει οὕτως ἔχειν.

ΣΩ. Οὐκοῦν, ὦ Μένων, ἄξιον τούτους θείους καλεῖν τοὺς ἄνδρας, οἵτινες νοῦν μὴ ἔχοντες πολλὰ καὶ μεγάλα κατορθοῦσιν ὧν πράττουσι καὶ λέγουσι; ΜΕΝ. Πάνυ γε. ΣΩ. Ὀρθῶς ἂν οὖν καλοῖμεν θείους τε, οὓς νῦν δὴ ἐλέγομεν, χρησμῳδοὺς καὶ μάντεις καὶ τοὺς ποιητικοὺς ἅπαντας· καὶ τοὺς πολιτικοὺς οὐχ ἥκιστα τούτων φαῖμεν ἂν θείους τε εἶναι καὶ ἐνθουσιάζειν, ἐπίπνους ὄντας καὶ κατεχομένους ἐκ τοῦ θεοῦ, ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα, μηδὲν εἰδότες ὧν λέγουσι. ΜΕΝ. Πάνυ γε. ΣΩ. Καὶ αἵ γε γυναῖκες δήπου, ὦ Μένων, τοὺς ἀγαθοὺς ἄνδρας θείους καλοῦσι, καὶ οἱ Λάκωνες, ὅταν τινὰ ἐγκωμιάζωσιν ἀγαθὸν ἄνδρα, Σεῖος ἀνήρ, φασίν, οὗτος. ΜΕΝ. Καὶ φαίνονταί γε, ὦ Σώκρατες, ὀρθῶς λέγειν· καίτοι ἴσως Ἄνυτος ὅδε σοι ἄχθεται λέγοντι. XLII. ΣΩ. Οὐδὲν μέλει ἔμοιγε. τούτῳ μέν, ὦ Μένων, καὶ αὖθις διαλεξόμεθα· εἰ δὲ νῦν ἡμεῖς ἐν παντὶ τῷ λόγῳ τούτῳ καλῶς ἐζητήσαμέν τε καὶ ἐλέγομεν, ἀρετὴ ἂν εἴη οὔτε φύσει, οὔτε διδακτόν, ἀλλὰ θείᾳ μοίρᾳ παραγιγνομένη, ἄνευ νοῦ, οἷς ἂν παραγίγνηται· εἰ μή τις εἴη τοιοῦτος τῶν πολιτικῶν ἀνδρῶν, οἷος καὶ ἄλλον ποιῆσαι πολιτικόν. εἰ δὲ εἴη, σχεδὸν ἄν τι οὗτος λέγοιτο τοιοῦτος ἐν τοῖς ζῶσιν, οἷον ἔφη Ὅμηρος ἐν τοῖς τεθνεῶσι τὸν Τειρεσίαν εἶναι, λέγων περὶ αὐτοῦ ὅτι Οἶος πέπνυται (τῶν ἐν ᾅδου), τοὶ δὲ σκιαὶ ἀΐσσουσι. ταυτὸν ἂν καὶ εὐθὺς οὗτος τοιοῦτος, ὥσπερ παρὰ σκιὰς ἀληθὲς ἂν πρᾶγμα εἴη πρὸς ἀρετήν. ΜΕΝ. Κάλλιστα δοκεῖς μοι λέγειν, ὦ

Σώκρατες. ΣΩ. Ἐκ μὲν τοίνυν τούτου τοῦ λογισμοῦ, ὦ Μένων, θείᾳ μοίρᾳ ἡμῖν φαίνεται παραγιγνομένη ἡ ἀρετὴ οἷς παραγίγνεται. τὸ δὲ σαφὲς περὶ αὐτοῦ εἰσόμεθα τότε, ὅταν, πρὶν ᾧ τινι τρόπῳ τοῖς ἀνθρώποις παραγίγνεται ἡ ἀρετή, πρότερον ἐπιχειρήσωμεν αὐτὸ καθ' αὑτὸ ζητεῖν, τί ποτ' ἐστὶν ἀρετή. νῦν δ' ἐμοὶ μὲν ὥρα ποι ἰέναι· σὺ δὲ ταῦτα, ἅπερ αὐτὸς πέπεισαι, πεῖθε καὶ τὸν ξένον τόνδε Ἄνυτον, ἵνα πρᾳότερος ᾖ· ὡς, ἐὰν πείσῃς τοῦτον, ἔστιν ὅ τι καὶ Ἀθηναίους ὀνήσεις.

ΣΧΟΛΙΑ
ΕΙΣ
ΠΛΑΤΩΝΑ

ΕΙΣ ΤΟΝ ΓΟΡΓΙΑΝ.

P. 1. L. 1. Πολέμου] *Πολέμου καὶ μάχης μεταλαγχάνεις, πρὸς τὸν ἀπολειπόμενον τῆς θυσίας καὶ ὑστερήσαντα. παρεγγυᾷ δὲ, ὅτι χρὴ πολέμου καὶ μάχης ἀπολιμπάνεσθαι, λόγων δὲ οὔ.* [*παροιμία ἐπὶ τῶν ἔν τινι ὑστεριζόντων λεγομένη· πολέμου καὶ μάχης μεταλαγχάνεις.* Schol. Clark.]

L. 2. *Μεταλαγχάνειν*] *Ἐλλειπτικῶς εἴρηται τῷ Πλάτωνι. λείπει γὰρ τῇ διανοίᾳ τὸ, ἀλλ' οὐχὶ τῆς ἐν λόγοις ἡδονῆς, οἵαν δὴ νῦν παρέσχετο Γοργίας:* [*κατὰ τὰ τελευταῖα, ἀλλ' οὐκ ἐν ἀρχῇ.* Schol. Clark.

[Ib. *ἀλλ' ἤ· ἀλλ' ἄρα.* Sch. Cl. *τὸ λεγόμενον. οὐ πάνυ τὸ λεχθὲν ἀποδέχεται Σωκράτης· διὸ καὶ ἐπάγει ἀλλ' ἢ τὸ λεγόμενον ἀντὶ τοῦ ἀλλ' ὄντως τὸ λεγόμενον· λείπει δὲ τὸ, πεπόνθαμεν. ἵν' ᾖ τοιοῦτο· ἀλλ' ὄντως τὸ λεγόμενον πεπόνθαμεν ὅπερ οἱ κατόπιν ἑορτῆς παραγινόμενοι καὶ τῆς ἐν τῇ ἑορτῇ θυμηδίας ὑστεροῦντες.* Ib.]

L. 3. *Κατόπιν ἑορτῆς*] ἐπὶ τῶν ἐπί τινι καλῷ πράγματι ἀπολιμπανομένων.

L. 4. *Ἀναγκάσας*] Ἡ ἀνάγκη διττή· ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. κατὰ ταύτην οὖν ἠναγκάσθη Σωκράτης ἐν ἀγορᾷ διατρίβειν, ὅπως πολλοὺς ὠφελοῖ. τοῦτο γὰρ σπουδαίων ἀνδρῶν ἴδιον, καὶ πρὸ τούτων θεοῦ.

L. 7. *Οὐδὲν πρᾶγμα*] οὐδὲν ἐργῶδες ἢ δυσχερές.

L. 8. *Ἰάσομαι*] Παροιμιακὸν τοῦτο, ἀπὸ Τηλέφου καὶ τοῦ τρώσαντος Ἀχιλλέως καὶ τοῦ χρηστηρίου ἀνελόντος, ὅτι ὁ τρώσας καὶ ἰάσεται.

P. 2. L. 6. *Ἀλλ' ἄρα*] Ἀρχή τις αὕτη τῶν ἐν τῷ διαλόγῳ προκειμένων τοῦ πρώτου μέρους, ὅ ἐστι τὸ περὶ τῆς ποιητικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν.

L. 15. *Ἔρου*] Ταῦτα διελέγοντο, εἰς τὸν τοῦ Καλλικλέους εἰσιόντες οἶκον· εἶτα ἔσωθεν αὐτοῖ Γοργίου ἐντυγχάνουσι.

L. 24. *Πολλῶν ἐτῶν*] Ἀττικὸν τὸ σχῆμα. δηλοῖ δὲ τὸ ἐπὶ πολὺν χρόνον. Τὸ δὲ, Οὐδείς πω, ἀντὶ τοῦ, οὐ πώποτε. καὶ Θουκυδίδης [Hist. III, 45.]· οὐδείς πω καταγνούς.

P. 3. L. 6. *Ἡρόδικος*] οὗτος οὐχ ὁ Σηλυμβριανός ἐστιν Ἡρόδικος, ἀλλ' ὁ Λεοντῖνος, Γοργίου ἀδελφός. [ἄλλος Ἡρόδικος Σηλυμβριανὸς ἐν Πολιτείᾳ, Sch. Clark.]

L. 10. *Ἀδελφός αὐτοῦ*] Οὗτος Πολύγνωτος ἐκαλεῖτο, οὗ ἐν Δελφοῖς ἡ θαυμαστὴ γραφή, ἢ ἐπιγέγραπται·

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
Υἱὸς, περθομένην Ἰλίου ἀκρόπολιν.

L. 14. *Ὦ Χαιρεφῶν*] Φασί, μὴ ἐξ αὐτοσχεδίου τὸν Πῶλον ταῦτα εἰπεῖν, προσυγγραψάμενον δέ.

L. 15. *Ἐμπειρία*] Σκόπει τὰ πάρισα τοῦ Πώ-

λου, ἐμπειρία, ἀπειρία, τέχνη, τύχη, ἄλλοι, ἄλλων, ἄλλως.

[L. 16. τὸν αἰῶνα· ἀντὶ τοῦ, τὸν βίον, τὴν ζωήν. Sch. Clark.]

L. 24. Οὐ πάνυ μοι] Οὐ γάρ, τί ἐστιν ἡ ῥητορικὴ, εἶπεν, ἀλλ' ὁποῖόν τι ἐστι.

L. 28. Καλουμένην] Αὕτη γὰρ ἡ παρὰ τοῖς πολλοῖς· ἄλλη δὲ, ἡ κατ' ἀλήθειαν.

[P. 4. l. 12. τίνος ἐπιστήμονα τέχνης· τὰ, τοιῆς τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι. Sch. Cl.]

[L. 14. ἀγαθόν γε. Ἀριστοτέλης μὲν καὶ οἱ σοφισταὶ μίαν φασὶν εἶναι ῥητορικὴν ἐπ' ἀμφότερα δυναμένην ἀγωνίζεσθαι· Πλάτων δὲ φησιν δύο εἶναι, τὴν μὲν τέχνην, τὴν δὲ κολάκειαν, ἥτις καὶ εἴδωλον λέγεται πολιτικῆς μορίου. ὁ γοῦν Γοργίας ἀξιῶν ἀγαθὸς εἶναι ῥήτωρ τῆς τεχνικῆς φησὶν εἶναι οὐ τῆς εἰδωλικῆς ῥητορικῆς ἔμπειρος. δεῖ δὲ γινώσκειν, ὅτι περὶ μὲν τῆς ἐντέχνου ῥητορικῆς ἐν Φαίδρῳ διαλαμβάνει, περὶ δὲ δημώδους καὶ κολακικῆς ἐνταῦθα. Sch. Cl.

[P. 5. l. 16. Περὶ τί τῶν ὄντων] Ἡ ἐρώτησις, περὶ τίνα τῶν ὄντων ἡ ῥητορικὴ καταγίνεται, ἢ ἔχει τὴν ἐνέργειαν;

[L. 14. πάνυ. δύο ἐπιτάσεις ἀντὶ ὑπερθετικοῦ. Sch. Cl.]

[L. 17. Περὶ λόγους. ὁ μὲν Σωκράτης τὸ τέλος ἠρώτησεν τῆς ῥητορικῆς· ὁ δὲ Γοργίας τὸ ὄργανον ἀπεκρίνατο. — Sch. Cl.]

L. 21. Λέγειν γε ποιεῖ δυνατοὺς] ἀντὶ τοῦ, διδάσκειν δύναται ἄλλους λέγειν.

L. 26. Ἰατρικὴ] Ἰατρική ἐστιν ἀπούσης ὑγείας οἰστική· Γυμναστικὴ δὲ, παρούσης ὑγείας φυλακτική.

P. 6. l. 12. Χειρούργημα] Χειρούργημα καὶ Κυ-

ρωσις οὐκ εἴρηται· αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι. Λεοντῖνος γὰρ ἦν.

[P. 6. l. 19. βραχέος· ὡς ἡ ἰατρική. οὐδενός· ὡς ἡ γραφική, ἡ ὀρχηστική. Sch. Cl.]

[L. 26. S. οὐδενός· ὡς ἡ διαλεκτική· βραχέος· ὡς ἡ ῥητορική διὰ τὸ ὑποκρίνεσθαι πολλάκις. Sch. Cl.]

[Ib. δεῖ γινώσκειν, ὅτι τὰς τέχνας ἐνταῦθα διαιρεῖ καὶ ἐν Σοφιστῇ καὶ ἐν Πολιτικῷ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλ' ἐνταῦθα μὲν κατὰ τὸ δι' οὗ, καλῶς, τὰς μὲν διὰ λόγου, τὰς δὲ ἄνευ λόγου, τὰς δὲ μεταξύ· ἐν δὲ Σοφιστῇ κατὰ τὸν τρόπον τῆς ἐνεργείας, καλῶς, τὰς μὲν ποιητικάς, τὰς τὸ μὴ ὂν εἰς τὸ ὂν ἀγούσας, τὰς δὲ κτητικάς, τὰς τὸ ὂν οἰκειουμένας· ἐν δὲ τῷ Πολιτικῷ κατὰ τὸ εἶδος τῆς ἕξεως, καλῶς, τὰς μὲν γνωστικάς, τὰς δὲ πρακτικάς. Sch. Cl.]

[P. 7. l. 2.] ἴσους· ὡς ἡ πεττευτικὴ καὶ κιθαρῳδία. Sch. Cl.

P. 7. l. 4. Διὰ λόγων] Ψεύδεται. οὐ γὰρ περὶ λόγους μόνους, ἀλλὰ καὶ περὶ σιωπὴν, καὶ περὶ ὑπόκρισιν.

Ib. Κῦρος] Σκόπει, ὡς Κῦρος εἶπε Πλάτων, οὐ Κύρωσις, καθὰ Γοργίας.

[L. 9. ὑπολάβοι· ἀντὶ τοῦ ἀποκριθήσεται. Sch. Cl.]

[Lin. 20. τῶν τεχνῶν αἱ μὲν περὶ ἔργα μόνον καταγίνονται, ὡς ζωγραφική, αἱ δὲ περὶ λόγους μόνους ὡς ἡ διαλεκτική, αἱ δὲ περί τε ἔργα καὶ λόγους, καὶ αὗται τριχῶς· ἢ μᾶλλον μὲν ἔργων χρῶνται ἢ λόγων ὡς ἰατρική, ἢ μᾶλλον μὲν λόγων ὡς ἡ ἀριθμητική, ἢ ἐπίσης καὶ ἔργων καὶ λόγων, ὡς ἡ πεττευτική. Sch. Cl.]

P. 8. l. 1. Οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι] Ἐν ταῖς ἐκκλησίαις ἐπὶ τῶν ψηφισμάτων ἢ νόμων εἰσηγήσει,

ὁ κήρυξ ἐπὶ μὲν τοῦ πρώτου ψηφίσματος ἢ νόμου, τό, τε ὄνομα τοῦ ψηφιζομένου καὶ τιθέντος τὸν νόμον, καὶ δὴ τοῦ πατρὸς αὐτοῦ, καὶ τοῦ δήμου ἔλεγεν, οἷον, Δημοσθένης Δημοσθένους, Παιανιεύς, ψηφίζεται τάδε. εἰ δὲ ἔμελλε πάλιν ὁ αὐτὸς ψηφίζεσθαι, ἔλεγεν ὁ κήρυξ, ἵνα μὴ περιττολογῇ· τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε. οὕτως οὖν καὶ ἐπὶ τοῦδε, τὰ μὲν ἄλλα, καθάπερ ἡ ἀριθμητική, ἡ λογιστικὴ ἔχει.

L. 4. Πρὸς αὐτά] Ὡς ὅταν ἄρτιος πρὸς ἄρτιον, ἢ περιττὸς πρὸς περιττὸν πολλαπλασιασθῇ. πρὸς ἄλληλα δὲ, ὅταν περιττὸς καὶ ἄρτιος, ἢ ἀνάπαλιν.

L. 18. Τὰ μέγιστα] Ὥσπερ ὁ Πῶλος οὐ, τί ἐστιν ἡ ῥητορική, εἶπεν, ἀλλ' ὁποία τις, ὅτι καλλίστη τῶν τεχνῶν, οὕτω καὶ Γοργίας, οὐ, τίνα ἐστὶ περὶ ὧν οἱ λόγοι αὐτῆς, λέγει, ἀλλ' ὁποῖά ἐστιν, ὅτι τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἄριστα.

L. 22. Σκόλιον] τὸ σκόλιον τοῦτο οἱ μὲν Σιμωνίδου φασὶν, οἱ δὲ Ἐπιχάρμου. ἔστι δὲ τοιοῦτον· [Brunck. Annal. I. 122.] Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ· δεύτερον δὲ, φυὰν καλὸν γενέσθαι· τὸ δὲ τρίτον, πλουτεῖν ἀδόλως· τέταρτον δὲ, ἡβᾶν (δ' ἡβᾶν Sieb.) μετὰ φίλων. Τοῦτο δὲ τὸ τελευταῖον παραλέλειπται, (παραλείπεται Sieb.) ὡς μὴ πρὸς ὃ βούλεται Πλάτων χρήσιμον ὄν. Ἄλλως. Σκόλιον λέγεται ἡ παροίνιος ᾠδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς· [Sieb. scribi vult: ὑπὸ πάντ. ᾀδόμενον, τὸ δὲ ὑπὸ πάντων μὲν, οὐδ' ὁμοῦ, ἀλλὰ καθ' ἕνα ἑξῆς κ. τ. λ. v. Schol. Arist. Ran. 1327. Vesp. 1231. Athen. XIV. p. 694.] τὸ δὲ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε, τῇ τάξει· ᾧ (ὃ Sieb.) δὴ καλεῖσθαι Σκόλιον. ὡς δὲ Ἀριστόξενος καὶ Φύλλις ὁ

ρωσις οὐκ εἴρηται· αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι. Λεοντῖνος γὰρ ἦν.

[P. 6. l. 19. βραχέος· ὡς ἡ ἰατρική. οὐδενός· ὡς ἡ γραφική, ἡ ὀρχηστική. Sch. Cl.]

[L. 26. S. οὐδενός· ὡς ἡ διαλεκτική· βραχέος· ὡς ἡ ῥητορικὴ διὰ τὸ ὑποκρίνεσθαι πολλάκις. Sch. Cl.]

[Ib. δεῖ γινώσκειν, ὅτι τὰς τέχνας ἐνταῦθα διαιρεῖ καὶ ἐν Σοφιστῇ καὶ ἐν Πολιτικῷ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλ' ἐνταῦθα μὲν κατὰ τὸ δι' οὗ, καλῶς, τὰς μὲν διὰ λόγου, τὰς δὲ ἄνευ λόγου, τὰς δὲ μεταξύ· ἐν δὲ Σοφιστῇ κατὰ τὸν τρόπον τῆς ἐνεργείας, καλῶς, τὰς μὲν ποιητικάς, τὰς τὸ μὴ ὂν εἰς τὸ ὂν ἀγούσας, τὰς δὲ κτητικὰς, τὰς τὸ ὂν οἰκειουμένας· ἐν δὲ τῷ Πολιτικῷ κατὰ τὸ εἶδος τῆς ἕξεως, καλῶς, τὰς μὲν γνωστικὰς, τὰς δὲ πρακτικάς. Sch. Cl.]

[P. 7. l. 2.] ἴσους· ὡς ἡ πεττευτικὴ καὶ κιθαρῳδία. Sch. Cl.

P. 7. l. 4. Διὰ λόγων] Ψεύδεται. οὐ γὰρ περὶ λόγους μόνους, ἀ ἀ καὶ περὶ σιωπὴν, καὶ περὶ ὑπόκρισιν.

Ib. Κῦρος] Σκόπει, ὡς Κῦρος εἶπε Πλάτων, οὐ Κύρωσις, καθὰ Γοργίας.

[L. 9. ὑπολάβοι· ἀντὶ τοῦ ἀποκριθήσεται. Sch. Cl.]

[Lin. 20. τῶν τεχνῶν αἱ μὲν περὶ ἔργα μόνον καταγίνονται, ὡς ζωγραφική, αἱ δὲ περὶ λόγους μόνους ὡς ἡ διαλεκτική, αἱ δὲ περί τε ἔργα καὶ λόγους, καὶ αὐταὶ τριχῶς· ἢ μᾶλλον μὲν ἔργων χρῶνται ἢ λόγων ὡς ἰατρική, ἢ μᾶλλον μὲν λόγων ὡς ἡ ἀριθμητική, ἢ ἐπίσης καὶ ἔργων καὶ λόγων, ὡς ἡ πεττευτική. Sch. Cl.]

P. 8. l. 1. Οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι] Ἐν ταῖς ἐκκλησίαις ἐπὶ τῶν ψηφισμάτων ἢ νόμων εἰσηγήσει,

ὁ κήρυξ ἐπὶ μὲν τοῦ πρώτου ψηφίσματος ἢ νόμου, τό, τε ὄνομα τοῦ ψηφιζομένου καὶ τιθέντος τὸν νόμον, καὶ δὴ τοῦ πατρὸς αὐτοῦ, καὶ τοῦ δήμου ἔλεγεν, οἷον, Δημοσθένης Δημοσθένους, Παιανιεύς, ψηφίζεται τάδε. εἰ δὲ ἔμελλε πάλιν ὁ αὐτὸς ψηφίζεσθαι, ἔλεγεν ὁ κήρυξ, ἵνα μὴ περιττολογῇ· τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε. οὕτως οὖν καὶ ἐπὶ τοῦδε, τὰ μὲν ἄλλα, καθάπερ ἡ ἀριθμητικὴ, ἡ λογιστικὴ ἔχει.

L. 4. Πρὸς αὑτά] Ὡς ὅταν ἄρτιος πρὸς ἄρτιον, ἢ περιττὸς πρὸς περιττὸν πολλαπλασιασθῇ. πρὸς ἄλληλα δὲ, ὅταν περιττὸς καὶ ἄρτιος, ἢ ἀνάπαλιν.

L. 18. Τὰ μέγιστα] Ὥσπερ ὁ Πῶλος οὐ, τί ἐστιν ἡ ῥητορικὴ, εἶπεν, ἀλλ' ὁποία τις, ὅτι καλλίστη τῶν τεχνῶν, οὕτω καὶ Γοργίας, οὐ, τίνα ἐστὶ περὶ ὧν οἱ λόγοι αὐτῆς, λέγει, ἀλλ' ὁποῖά ἐστιν, ὅτι τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἄριστα.

L. 22. Σκόλιον] τὸ σκόλιον τοῦτο οἱ μὲν Σιμωνίδου φασὶν, οἱ δὲ Ἐπιχάρμου. ἔστι δὲ τοιοῦτον· [Brunck. Annal. I. 122.] Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ· δεύτερον δὲ, φυὰν καλὸν γενέσθαι· τὸ δὲ τρίτον, πλουτεῖν ἀδόλως· τέταρτον δὲ, ἡβᾷν (δ' ἡβᾷν Sieb.) μετὰ φίλων. Τοῦτο δὲ τὸ τελευταῖον παραλέλειπται, (παραλείπεται Sieb.) ὡς μὴ πρὸς ὃ βούλεται Πλάτων χρήσιμον ὄν. Ἄλλως. Σκόλιον λέγεται ἡ παροίνιος ᾠδὴ, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς· [Sieb. scribi vult: ὑπὸ πάντ. ᾀδόμενον, τὸ δὲ ὑπὸ πάντων μὲν, οὐδ' ὁμοῦ, ἀλλὰ καθ' ἕνα ἑξῆς κ. τ. λ. v. Schol. Arist. Ran. 1327. Vesp. 1231. Athen. XIV. p. 694.] τὸ δὲ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε, τῇ τάξει· ᾧ (ὃ Sieb.) δὴ καλεῖσθαι Σκόλιον. ὡς δὲ Ἀριστόξενος καὶ Φύλλις ὁ

μουσικὸς, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυῤῥίνας ἔχοντες ἢ δάφνας, ᾖδον γνώμας, καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγένετο διὰ τὴν σύνθεσιν τῶν κλινῶν ἐπὶ οἰκημάτων πολυγωνιῶν οὐσῶν· καὶ τούτῳ καὶ τὰς ἐπ' αὐτὰς κατακλίσεις παραβύστους γίνεσθαι. Οὐ διὰ τὴν μελοποιΐαν οὖν, διὰ δὲ τὴν μυῤῥίνης σκολιὰν διάδοσιν, ταύτῃ καὶ τὰς ᾠδὰς σκολιὰς καλεῖσθαι. [Sch. Cl. Ἀθήνησιν ἐν τῷ Πρυτανείῳ παρὰ πότον σκέλια ᾔδετο εἴς τινας, ὥσπερ εἰς Ἁρμόδιον, Ἄδμητον, Τελαμῶνα· εἰρῆσθαι δὲ αὐτὰ σκόλιον κατ' ἀντίφρασιν, ὅτι ῥᾴδια καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα ᾔδετο, ἃ ἐκαλεῖτο σκόλια, ἀντιπροτεινόντων ἀλλήλοις τῶν συμποτῶν, καὶ ἠλέγχοντο οἱ μὴ ᾄδοντες ὡς ἄμουσοι.]

L. 26. *Πλουτεῖν ἀδόλως*, ὁ ποιητής φησιν. ὁ γὰρ χρηματιστὴς ὅπως ἂν τύχῃ, καὶ εἰ μετὰ τυραννίδος, πλουτεῖν βούλεται.

P. 9. l. 1. *Ἰατρὸς*] Πρῶτον φησὶ τὸν ἰατρόν. οὗτος γὰρ περὶ τὰ στοιχεῖα αὐτὰ καθ' αὑτὰ καταγίνεται. ὁ δὲ παιδοτρίβης, περὶ τὴν σύνθεσιν αὐτῶν καὶ τὴν τοιάνδε τῶν μορίων συνθήκην, καὶ τὸ κάλλος αὐτῶν.

Ib. *Χρηματιστὴς*] Ἰδού, τὸ ἀδόλως οὐ προσέθηκεν, ἐπειδὴ αὐτὸς ὁ χρηματιστὴς λέγει, ὃς πάντων καταφρονεῖ.

P. 10. l. 1. *Ἐλευθερίας*] Πῶς ἐλευθερίας αἴτιον τὸ ὑποβάλλον δουλείᾳ παντοίων παθῶν;

[L. 8. τὸ πείθειν ἔγωγ'· ἰστέον ὅτι τῆς εἰδωλικῆς ῥητορικῆς ἐστιν ὁ ἀποδοθεὶς ὅρος· δημοκοπικὴν γάρ τινα λέγει ταύτην πείθειν ἐπιχειροῦσαν τὸν πλημμελῶς κινούμενον ὄχλον. Sch. Cl.]

L. 13. *Δύναμει*] Δύναμιν τὴν ῥητορικὴν νῦν καλεῖ· προϊὼν δέ, οὐδὲ δύναμιν οὖσαν δείξει αὐτήν,

ἐπεὶ οὐχ ὁρᾷ πρὸς ἀγαθόν. δυνάμεως δὲ πάσης, τὸ πρὸς τοῦτο ὁρᾶν.

[P. 11. l. 1. ἕνα, κατὰ κοινοῦ τὸ εὖ ἴσθι. Sch. Cl.]

[L. 16. ποῦ. ἐν τῇ ποικίλῃ στοᾷ. Sch. Cl.]

[P. 12. l. 17. ταύτης τοίνυν τῆς πειθοῦς. πάλιν τὴν εἰδωλικὴν βούλεται λέγειν ὁ Γοργίας ῥητορικήν. καὶ γὰρ ἀπὸ τοῦ χείρονος ἤρξατο τοῦ δικανικοῦ· κρεῖττον δὲ δῆλον ὅτι τὸ συμβουλευτικόν· ἐκ τἀγαθοῦ γὰρ τὴν ὑπόστασιν ἔχει· μέσον δὲ τὸ πανηγυρικὸν ἀπὸ τοῦ νοῦ προελθὸν, καὶ χεῖρον τὸ δικανικὸν, ὡς ἀπὸ ψυχῆς προϊόν. Sch. Cl.]

P. 11. l. 20. Ἴθι δή] Ἄρχεται ἐντεῦθεν τὴν πειθὼ διαιρεῖν εἴς τε τὴν πιστευτικὴν, καὶ εἰς τὴν διδασκαλικήν. ἔστι δὲ προσθεῖναι, καὶ εἰς τὴν ἀπὸ τῶν κοινῶν ἐννοιῶν, οἷον, τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἴσα.

P. 15. l. 5. Οὐδ' αὐτός πω] Ἑαυτὸν ὁ Σωκράτης ποιεῖ τῷ Γοργίᾳ συμφυρόμενον, ἵνα εἰς διαλεκτικὴν αὐτὸν συνουσίαν προκαλέσηται.

[L. 5. ἡ αἵρεσις τριττή· ἢ προσώπων ἢ πραγμάτων ἢ συναμφοτέρων· ἐν πᾶσι δὲ τούτοις οἱ τεχνικώτατοι ἂν ἄριστα συμβουλεύσαιντο ἔν γε πόλει εὐνομουμένῃ – ἐν δὲ μὴ τοιαύτῃ ὁ ῥητορικὸς πάντα ὑποδύσεται. Sch. Cl.]

[P. 15. l. 5. ἀρχαιότερος Θεμιστοκλῆς Περικλέους ἔτεσι πλείοσι τῶν πεντήκοντα. Sch. Cl.]

P. 15. L. 8. Τοῦ διὰ μέσου τείχους] Διὰ μέσου τεῖχος λέγει, ὃ καὶ ἄχρι νῦν ἐστιν ἐν Ἑλλάδι. ἐν τῇ Μουνυχίᾳ γὰρ ἐποίησε καὶ τὸ μέσον τεῖχος, τὸ μὲν βάλλον ἐπὶ τὸν Πειραῖα, τὸ δὲ ἐπὶ Φάληρα, ἵν', εἰ τὸ ἓν καταβληθῇ, τὸ ἄλλο ὑπηρετοίη ἄχρι πολλοῦ. Σωκράτης δὲ νεώτερος μὲν Θεμιστοκλέους, σύγχρονος δὲ Περικλέους, ὡς διὰ τούτων δηλοῦται.

P. 17. l. 1. [Ἔμβραχυ, συντόμως ἢ εὐχερῶς εἶπεν ἢ ἁπλῶς. καὶ ἄλλως· ἔμβραχυ, συντόμως καὶ ἁπλῶς. Ὑπερίδης ἐν τῷ κατὰ Ἀριστοφῶντος (f. Ἀριστογείτονος)· οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν, ὅ, τι ἂν ἔμβραχυ βούληται. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (357.) Πῶς δ' οὐχὶ διαβέβληκεν ὅπουπερ ἔμβραχυ εἰσὶ θεαταὶ καὶ τραγῳδικοὶ χοροί; Κρατῖνος ἐν Ὥραις· Ἔδει παρέχειν, ὅ τις εὔξαιτο ἔμβραχυ. Schol. ined. ap. Heins. ad Hesych. T. I. p. 1191. et Routh. Ἔμβραχυ ἐπιῤῥηματικῶς ἀκουστέον ἀντὶ τοῦ συντόμως ἢ ἁπλῶς ἢ καθάπαξ ἢ καθόλου. Sch. Cl.]

L. 19. Ὀρθῶς] Ὀρθῶς περὶ τὴν διάνοιαν· σαφῶς περὶ τὴν φράσιν. [Cod. Reg. -τῆς διανοίας -τῆς φράσεως.]

[L. 22. Glossa cod. Meerm. τελευτῶντες· εἰς τέλος τοῦ λόγου ἐλθόντες.]

P. 18. l. 18. Ἴσως μέντοι] Δέδοικεν ὁ Γοργίας, καὶ φεύγει τὴν διάλεξιν· αἰτιᾶται δὲ τοὺς παρόντας πανούργως, ὡς οὐκ ἀνεξομένους.

L. ult. Προὐργιαίτερον] προτιμότερον.

P. 19. l. 13. Ῥητορικὸν] Ἐντεῦθεν ὁ πρῶτος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἐντρεπτικὸς ἔλεγχος.

[P. 19. l. 1. ὁ μὲν Χαιρεφῶν ἐφίεται τῶν Σωκρατικῶν λόγων ὡς ἀγαθῶν προηγουμένως, κατὰ δεύτερον δὲ λόγον, ἡδέων· φιλόσοφος γάρ ἐστιν· ὁ δὲ Καλλικλῆς ἐφίεται αὐτῶν προηγουμένως ὡς ἡδέων, κατὰ δεύτερον δὲ λόγον ὡς ἀγαθῶν· φιλήδονος γάρ ἐστιν. Sch. Cl.]

P. 20. l. 12. Αὐτίκα] εὐθέως, καὶ παραχρῆμα· νῦν δὲ, μικρὸν ὕστερον.

L. 14. Ἆρα τυγχάνει] Ὁ δεύτερος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἀποδεικτικὸς ἔλεγχος.

[P. 21. l. 6. ἔχε δὴ ἀντὶ τοῦ μέμνησο. Sch. Cl.]
P. 21. l. 26. Ἤτοι [imo Μέμνησαι οὖν λέγων ὀλίγῳ] πρότερον] Ὁ τρίτος δὲ ἐντεῦθεν ἐκ τῶν πραγμάτων ἀποδεικτικὸς ἔλεγχος.

[P. 22. l. 1. ὡσαύτως δὲ οὕτως. Ἡ ἐκ παραλλήλου χρῆσις τῶν ἐπιῤῥημάτων Ἀττική· ὡς τὶ, ἐγώ εἰμι· καὶ ὡς τὸ, ὃς καὶ αὐτὸς τῶν σπουδαίων καὶ φίλων. Sch. Cl.]

P. 23. l. 15. Ἀναθέσθαι] τὸ θέσθαι τὸ ἀντικείμενον τῷ ἤδη κειμένῳ.

P. 24. l. 16. Συγγράμματι] ἐκ τούτου δῆλον, ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐτοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα.

P. 25. l. 2. Ἐπιτηδεύσεως] Ἰστέον, ὅτι διαφέρει Ἐπιτήδευμα καὶ Ἐπιτήδευσις. αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ· ἐκεῖνο δὲ οἷον οὐσίαν, ὥς φησι Πλούταρχος. Οὕτως οὖν καὶ Ἀκοὴ, καὶ Ἄκουσις, καὶ Ψόφος, καὶ Ψόφησις, τὰ μὲν οἷον οὐσίαν τὰ πρῶτα, τὰ δὲ οἷον ἐνέργειαν.

P. 27. l. 7. Πολιτικήν] Ἡ πολιτικὴ διαιρεῖται ὡς ὅλον εἰς μέρη, τὴν νομοθετικὴν, καὶ δικαστικήν· αὗται γὰρ ἀλλήλων προσδέονται· τὰ δ' ἀντιδιαιρούμενα, οὔ. καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς τῆς διαιρέσεως τρόπος.

K. 13. Δικαιοσύνην] Δικαιοσύνην, ἀλλ' οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον, ἀλλὰ καὶ τὸ διανεμητικὸν, μᾶλλον δὲ καὶ αὐτὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν, περιλάβῃ τὸ ὄνομα.

P. 28. l. 3. Ἀποθανεῖν] Ἢ ὡς τῶν ἀνοήτων τοῦτο αὐτοῦ καταψηφισαμένων, ἢ ὡς ἀπελαθέντα ὑπ' αὐτῶν, καὶ τοῦ ἐκ τῆς ἰατρείας μισθοῦ στερούμενον, σπάνει τῆς τροφῆς ἀποθανεῖν.

P. 29. l. 1. Καὶ γὰρ ἂν κ. τ. λ.] Ἐπὶ γὰρ τῶν περὶ σῶμα ἡ διαφορὰ τούτων γνωσθῆναι εὐχερής·

ψυχὴ γὰρ τὸ κρῖνον, σωματικὸν δὲ τὸ κρινόμενον· ἐπὶ δὲ τῶν περὶ ψυχὴν, ψυχῶν οὐσῶν τῶν συμπεφυρμένων, σοφιστῶν λέγω καὶ ῥητόρων, καὶ ψυχῶν τῶν ταύτας κρινουσῶν διαστρόφων, συμπεφυρμένη καὶ ἡ διάκρισις, οὐ τῶν ἐπιτηδευμάτων· δῆλα γάρ· ἀλλ' αὐτοί τε οἱ μετιόντες, καὶ ἡ τῶν ἀνδρῶν ἐκείνων μετάληψις διὰ τὴν ἀπάτην, καὶ οἱ κρίνοντες ὑπὸ τῶν κρινομένων ἠπάτηνται.

L. 6. Σὺ γὰρ τούτων ἔμπειρος] Τοῦτο εἶπεν, ἢ διὰ τὸ ἐκ τῆς Ἀναξαγόρου δόξης εἰς παροιμίαν ἐλθεῖν· ᾔδει δὲ τοῦτο ἐκ Γοργίου, ὁ δὲ ἐξ Ἐμπεδοκλέους, τοῦ διδασκάλου αὐτοῦ· οὗτος δὲ φιλόσοφος ὢν τὰς τῶν φιλοσόφων δόξας καὶ ἠπίστατο, καὶ ἐδίδασκεν· ἢ διὰ τὴν τῶν ὀνομάτων παρίσωσιν τοῦ, ὦ φίλε Πῶλε. [Nugae.] — [Ἀναξαγόρειος γὰρ ἦν τῇ προαιρέσει ὁ Πῶλος καθάπερ ὁ Γοργίας Ἐμπεδόκλειος. Sch. Cl.]

[Schol. in Marg. cod. Meerm. τὸ δὲ ὑπ' Ἀναξαγόρου θρυλλούμενον, τοῦτ' ἦν· ὁμοῦ πάντα χρήματα, ἤγουν πράγματα.]

L. 9. Ὁ μὲν οὖν ἐγὼ] Ὁ Πλάτων ἐνταῦθα κατακέχρηται τῷ Ἀττικῷ σχηματισμῷ κατακόρως, τῷ καλουμένῳ ἀμερίστῳ. Τοῦτο δέ ἐστι, τὸ ἔχον τοὺς μὲν πολλοὺς λεγομένους συνδέσμους, μηδαμῶς δὲ τὴν Δέ. ὅρα γὰρ πῶς· ὃ μὲν οὖν ἐγώ· ἴσως μὲν οὖν· ἄξιον μέν· ἐὰν μὲν οὖν καὶ ἐγώ.

L. 10. Ἀντίστροφον] Τὸ λεῖπον τοῦ τῆς ῥητορικῆς ὅρου. ἔστι γὰρ ὅλος· Ῥητορική ἐστι κολακεία, πολιτικῆς μορίου εἴδωλον ἀντίστροφον ὀψοποιΐας ἐν ψυχῇ, ὡς ἐκείνη ἐν σώματι.

P. 29. l. 23. Τηλικοῦτος ὢν] ἤγουν νέος ὤν.

L. 25. Ἆρ' οὖν] Ἐντεῦθεν ὁ περὶ τῆς εἰδικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν λόγος, ὅτι ἀρετή τέ ἐστι, καὶ ἐπιστήμη τῶν ὄντων.

[P. 30. 9. τὸ ἀμφιγνοεῖν τοῦ ἀγνοεῖν ταύτῃ διαφέρει, ᾗ τὸ μὲν ἀναίρεσιν ἔχει παντελῆ τοῦ γινώσκειν, τὸ δὲ ἀμφιβολίαν καὶ ἄγνοιαν τοῦ ἀληθοῦς. Δωριεῖς δὲ αὐτὸ καὶ ἀμφίγνωμόν φασιν. Schl. Cl.]

P. 30. l. 12. *Δύο ἅμα*] τό, τε βούλεσθαι, καὶ τὸ δοκεῖν. Τοῦτο μὲν γὰρ κατὰ φαντασίαν ἐστὶ τὴν τυχοῦσαν· τὸ δὲ βούλεσθαι πάντως πρὸς τὸ ἀγαθὸν ἀποτείνεται.

L. 26. *Μὰ τὸν*] Ἐλλιπῶς ὄμνυσι πρός τε εὐλαβείας καὶ πραότητος ἔνδειξιν.

P. 31. 13. *Οὗτος ἀνήρ*] Ὁ Πῶλος, ὡς παρὰ πόδας τοῦ Σωκράτους ἐναντία λέγοντος πρὸς ἑαυτόν, καὶ ποιεῖν ἃ δοκεῖ αὐτῷ τὸν ῥήτορα, καὶ μὴ ποιεῖν ἃ βούλεται, ὥσπερ ἐκπεπληγμένος, ταύτην ἀφίησι τὴν φωνήν, οὗτος ἀνήρ, ὡσανεὶ ἔλεγεν· ὁ ἄνθρωπος οὗτος τί πάσχει; οὕτω τῶν ἑαυτοῦ λόγων [Cod. Par. οὗτος τοῦ ἑαυτοῦ λόγου] ἐπιλέλησται. ἐφ' οἷς ὁ Σωκράτης, ὑποτεμὼν τὸν τοῦ Πώλου λόγον, μεταξύ φησιν, ἐπιμένων τῷ παραδόξῳ τῶν λόγων· Οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε· ὡσανεὶ ἔλεγεν· Ἐμοὶ μὲν ταῦτα δοκεῖ, καὶ ἐγὼ ταῦτα φημί, τὸ τοὺς ποιοῦντας ἃ δοκεῖ αὐτοῖς δίχα νοῦ, μὴ ποιεῖν ἃ βούλονται. εἰ δὲ σοι οὕτω μὴ δοκεῖ, μὴ ἀγανάκτει, ἀλλὰ τὸν λόγον ἔλεγχε.

L. 20. *Ὦ λῷστε Πῶλε κ.τ.λ.*] Καὶ γὰρ Γοργίας, καὶ τοῖς κατ' αὐτόν, αἱ παρισώσεις ἐπετηδεύοντο.

P. 32. l. 4. *Χρηματισμὸν*] τὸν τῶν χρημάτων πόρον.

L. 19. *Ἃ ἐνίοτε*] Ταῦτα μετέχειν δύναται τῶν ἄκρων, ταῦτα δὲ οὔ.

P. 33. l. 17. τί οὐκ ἀποκρίνει [sic.] ὁ μὲν Γοργίας ἐπιεικέστερος ὢν καὶ ἑτοίμως ἀπελογεῖτο καὶ ἐτίθει τὰ ἐρωτώμενα· ὁ δὲ Πῶλος σιωπᾷ αὐθα-

δέστερος ὤν· ὁ δὲ Καλλικλῆς παντελῶς ἀνερυθριάστως οὐδὲ ἀνέχεται τῶν συλλογισμῶν κ. τ. λ. Schl. Cl.]

P. 34. l. 8. Εὐφήμει] σιώπα, μὴ ἀκαιρολόγει.

L. 10. Ἀζηλώτους] Ἀζήλωτος γάρ ἐστιν, ὅστις ἔχει τι, ὃ μὴ εὐχόμεθα γενέσθαι ἡμῖν. Ἄθλιος δὲ, ὁ πάθεσιν ἀνηκέστοις ἐνισχόμενος.

L. 20. Ἧττον] Τὸ Ἧττον ἐπὶ τοῦ ἄκοντος ἀποθνήσκοντος ἀδίκως, οὐκ ἐπὶ τοῦ ἐλπίδας ἔχοντος ἐπιδώσειν εἰς ἀρετήν· ἐπὶ δὲ τοῦ σπουδαίου ἀντὶ τοῦ οὐδαμῶς ἀποδεκτέον.

[P. 35. l. 7. ὑπὸ μάλης πάντες παλαιοὶ προφέρονται ἑνικῶς· τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον [T. II. p. 848. Reisk.]· ἀλλὰ μὴν οὐχ εἰς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ. πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν, ἀλλὰ μασχάλας, καὶ ἄνευ τῆς προθέσεως· Λυσίας ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ [T. VI. Orr. Gr. Reisk. p. 34.] καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας. Τὸ μέντοι ὑπὸ κόλπους ταυτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὑπάρχον ἀμφοτέρως ἐχρήσαντο, ἑνικῶς φημὶ καὶ πληθυντικῶς καὶ ἀεὶ μετὰ τῆς προθέσεως, οἷον, ὑπὸ κόλπον καὶ ὑπὸ κόλπους. Schl. Cl.]

P. 35. l. 11. Τεθνήξει] Ἐνεργητικὸν ἀντὶ παθητικοῦ, τοῦ Τεθνήξεται, καινοπρεπῶς παρελήφθη. [ἐνέργεια ἀντὶ πάθους, ἀττικῶς. Schl. Cl.]

[L. 12. κεφαλῆς κατεαγῆναι. καὶ τοῦτο Ἀττικῶν· τὸ γὰρ κοινὸν, τὴν κεφαλὴν κατεαγῆναι· τὸ γὰρ ἐπὶ μέρους λέγειν Ἀττικόν· οἷον ἔφαγον τοῦ ἄρτου· οὕτως οὖν καὶ κατεάγην τῆς κεφαλῆς. Sch. Cl.]

P. 36. l. 3. *Σκεψώμεθα*] *Ἐντεῦθεν ὁ περὶ δικαιοσύνης καὶ ἀδικίας ἐπεισέρχεται λόγος.*

L. 10. *Ὅρον*] *οὐχ ὁρισμὸν λέγει, ἀλλὰ τίνα τρόπον καὶ διορισμόν.*

L. 15. *Χαλεπὸν*] *Κατ' εἰρωνείαν τοῦτο φησὶν, ὡς δηλοῖ τὸ ἐπαγόμενον.*

L. 19. *Φλυαρίας*] *Φλυαρία παρὰ Πλάτωνι πανταχοῖ πᾶν τὸ περιττὸν, εἴτ' ἐν λόγοις εἴτ' ἐν πράγμασι.*

P. 37. l. 4. *Μέγαν βασιλέα*] *τὸν τῶν Περσῶν βασιλέα.*

L. 6. *Παιδείας — δικαιοσύνης*] *Παιδεία, ἡ ἐξ ἀρχῆς τροφή. Δικαιοσύνη, ἡ τελεία ἀρετή.*

L. 20. *Τὸν δεσπότην καὶ θεῖον*] *Τὸ μὲν δεσπότην ἀνελεῖν, παράνομον· τὸ δὲ θεῖον, ἀνοσιουργὸν παρίστησι τὸν Ἀρχέλαον, εἴπερ ἐν τάξει πατέρων οἱ θεῖοι.*

L. 23. *Ἀνεψιὸν*] *τὸν παρ' ἡμῖν ἐξάδελφον.*

L. 25. *Ἠφάνισεν*] *τῆς ταφῆς ἀφείλετο.*

L. ult. *Τὸν ἀδελφὸν*] *Εἰς τὸ Ἀδελφὸν στικτέον, ἵνα τὸ Γνήσιον πρὸς τὸ Περδίκκου υἱὸν ἐξακούηται.*

P. 38. l. 9. *Ἀπὸ σοῦ*] *Κατ' εἰρωνείαν καὶ τοῦτο φησί.*

L. 14. *Ἄλλο τι*] *Ὁ λόγος οὗτος οὐκ ἔλεγχός ἐστιν, ᾧ με, ἔφης πρὶν, καὶ παῖς ἂν ἐλέγξειεν, ἀλλὰ πρὸς ἄλλο τι εἰρημένος.*

L. 20. *Ῥητορικῶς*] *οὐ πρὸς ἀλήθειαν· ἀλλὰ πρὸς τὰς τῶν πολλῶν ἡμαρτημένας δόξας.*

P. 39. l. 5. *Τρίποδες*] *Τῶν λαμπρῶν ἀναθημάτων, καὶ τῶν πλουσίων, καὶ ἐν δυνάμει, μνημονεύει, ὅτι τούτοις μάλιστα οἱ δικασταὶ πιστεύουσι. Διονύσιον δὲ, τὸ τοῦ Διονύσου φησὶν ἱερόν.*

L. 10. *Ἀναγκάζεις*] *ταῖς ἀποδεικτικαῖς πίστεσι πείθεις.*

L. 12. *Οὐσίας*] Οἱ ἐν τοῖς δικαστηρίοις τὰ χρήματα Οὐσίαν φασί. διὰ τοῦτο οὖν ὡς πρὸς ῥήτορα διαλεγόμενος, οὕτως εἶπεν· ὅμως προσέθηκε καὶ τὴν προσήκουσαν αὐτῷ οὐσίαν, φημὶ δὲ τἀληθές.

L. 14. *Ὁμολογοῦντα*] οὐ μόνον πρὸς τὸν ἐλέγχοντα, ἀλλὰ πολὺ πρότερον αὐτὸν πρὸς ἑαυτόν.

P. 40. l. 13. *Ὑπὸ θεῶν*] Εἰ ὑπὸ θεῶν, ἀγαθὴ ἡ δίκη· τὰ γὰρ ἐκ τούτων τοιαῦτα.

L. 15. s. *Φίλον*] Οὐχ ὡς ὁμόφρονα, ἀλλ' ὡς εὐνοϊκῶς πρὸς πάντα ἄνθρωπον ἔχων.

L. 27. *Χαλεπώτερον*] Καὶ τοῦτο κατ' εἰρωνείαν φησὶν, ἢ κατ' ἀντίφρασιν.

P. 41. l. 1. *Ἀδύνατον*] Ὁ Σωκράτης τῷ παρ' ὑπόνοιαν λεγομένῳ χρῆται, εἰπὼν οὐ Χαλεπὸν, ἀλλ' Ἀδύνατον.

[L. 7. *καταπιττωθῇ*· μετὰ πίσσης χρίσωσιν αὐτόν. Schol. Meerm. cod.]

L. 13. *Μορμολύττῃ*] φοβεῖς. Παρῆκται δὲ τὸ ῥῆμα ἀπὸ τῶν προσωπείων τῶν ἐν ταῖς τραγῳδίαις ὑποκριτῶν, ἃ ἐκάλουν Μορμολύκεια, Δωριεῖς δὲ, Γόργια. τοιούτοις δὲ καὶ αἱ γυναῖκες τὰ παιδία φοβοῦσιν.

[L. 14. *ἐμαρτύρου* ἀντὶ τοῦ, μάρτυρας προσεκάλου. Sch. Cl.]

L. 21. *Ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου*] Τοῦτο παράγγελμα Γοργίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδικων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκκρούειν.

L. 26. *Βουλεύειν λαχὼν*] Κληρωτοὶ γὰρ ἦσαν οἱ βουλευταὶ, ἀφ' ἑκάστης τῶν δέκα φυλῶν εἷς πρὸς ἕνα ἐνιαυτόν. καθ' ὃ καὶ ἐλέγετο Πρυτανεύειν ἡ φυλή.

L. 27. *Ἐπιψηφίζειν*] Ἐπιψηφίζειν ἐστὶ, τὸ τινὸς πρυτανευούσης φυλῆς ἕνα κληρούμενον ἀπ'

αὐτῆς τὰς ψήφους ἑκάστων ἀπαριθμεῖσθαι τῶν τε τεθειμένων δεῖν γενέσθαι, περὶ οὗ ἡ σκέψις, καὶ τῶν ἀπαγορευόντων, καὶ ἔτι τὰς τῶν ἀμφιβάλλειν λεγόντων, ἀποφαίνειν τε εἰς τὸ κοινὸν, τίνες τούτων αἱ ψῆφοι, πλείους, ἢ ἐλάττους, ἢ μεταξὺ, ἐξ ὧν τὸ πρακτέον, ἢ μὴ, διεκρίνετο. καὶ ὁ τοῦτο ποιῶν, οὗτος ἦν ὁ Ἐπιψηφίζειν λεγόμενος.

P. 42. l. 1. *Ἐπιψηφίζειν τοὺς παρόντας*] ἀντὶ τοῦ, ταῖς ψήφοις τῶν παρόντων κρίνειν τὴν ἀλήθειαν. [ἀντὶ τοῦ, ἐπιμαρτυρεῖν καὶ ἐπικυροῦν τὸν λόγον ὃν σὺ λέγεις· ἡ δὲ σύνταξις πρὸς αἰτιατικήν. Sch. Cl.]

L. 10. *Καὶ ἐμὲ καὶ σὲ*] Κατὰ τὰς κοινὰς καὶ ἀληθεῖς ἐννοίας δηλονότι.

L. 19. *Λέγε δή μοι*] Τῶν δύο προβλημάτων τοῦ πρώτου ἐντεῦθεν ἡ κατασκευὴ, τὸ χεῖρον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν.

P. 43. l. 13. *Ἐπιτηδεύματα*] Ἐπιτηδεύματά ἐστι, τὰ διὰ μόνων τῶν ἐθῶν μελετώμενα.

L. 16. *Μαθημάτων*] Μαθήματά ἐστι, τὰ κατὰ τὰς τέχνας καὶ ἐπιστήμας διὰ διδασκαλίας τοῖς ἀνθρώποις παραγιγνόμενα.

P. 45. l. 8. *Μετὰ τοῦτο δὲ*] Τοῦ δευτέρου προβλήματος κατασκευὴ, ὅτι τῶν ἀδικούντων κρείττων ὁ δίκην διδοὺς, ἢ ὁ μή.

P. 45. l. 17. *Εἴ τίς τι ποιεῖ*] Ἐκ τούτου δῆλον, ὅτι τὸ νοεῖν καὶ βαδίζειν, οὐ ποιεῖν ἐστιν, ἀλλ' ἐνεργεῖν μόνον· οὐ γὰρ πρός τι πάσχον γίνονται.

P. 46. l. 15. *Κολαζόμενος*] Κολάζεσθαί ἐστι κυρίως, τὸ τῆς πονηρίας κολούεσθαι, ὅ ἐστιν ἐλαττοῦσθαι, ἢ ἐμποδίζεσθαι.

P. 46. l. 26. *Ἆρ' οὖν τοῦ μεγίστου*] Ἐντεῦθεν ἀποδείκνυται, οἵου μεγίστου κακοῦ ἀπαλλάττεται ὁ δίκας διδούς.

P. 49. l. 17. *Δεύτερος*] *Δεύτερος, οὐ πρὸς εὐδαιμονίαν, ἀλλὰ κατὰ τὸ τετάχθαι μέσος τῶν τριῶν.*

P. 50. l. 19. *Συλλογισώμεθα*] *Σημαίνηται, ὅτι Ἀριστοτέλης τοῦ συλλογισμοῦ τὸν ὅρον ἐντεῦθεν εἴληφε σχεδὸν αὐταῖς λέξεσιν.*

P. 51, 14. *Ἔξοντα*] *Προσυπακουστέον, τὸ πρὸς κακοδαιμονίαν.*

L. 17. *Δώσει δίκην*] *Τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, δηλαδὴ τὸν οἰκεῖον λογισμόν, βασανίζοντα αὐτοῦ τὰς φαντασίας, καὶ κολάζοντα τὰς παραλόγους ἐννοίας. Οὐκ εἰσάγειν οὖν εἰς δικαστήριον, ἀλλὰ νουθεσίαν καὶ ἐπίπληξιν ἐφ' ἑαυτὸν καὶ τοὺς οἰκείους ἄγειν παρακελεύεται.*

P. 52. l. 21. *Εἰ ἄρα δεῖ*] *Φησὶν ὅτι, εἰ δέ ἐστί τις ἐχθρὸς σοῦ, μὴ ἀδικεῖ δὲ σέ, ἀλλὰ ἄλλον τινά, μὴ θελήσεις αὐτὸν δοῦναι δίκην, ἀλλὰ καὶ βοηθήσεις αὐτῷ, εἰ δύνασαι, ἵνα ἔτι πλέον τιμωρηθῇ.*

P. 53. l. 14. *Οἷον*] *ἀντὶ τοῦ, θαυμαστὸν ἐνταῦθα.*

P. 54. l. 18. *Ἔμπληκτος*] *Γράφεται καί, ἔκβλητος.* [*Κλεινίειος· ὁ υἱὸς τοῦ Κλεινίου Ἀλκιβιάδης.* Cod. Meerm.]

[Lin. 25. *ὁμολογήσει Καλλικλῆς· οὐδέποτε σαυτῷ συμφωνήσεις, ἀλλ' ἐν ἅπαντι τῷ βίῳ διαφωνήσεις τυφλώττων.* Olymp. ap. Ruhnk. ad Vell. II, 63.]

P. 55. l. 4. *Νεανιεύεσθαι*] *μέγα φρονεῖν, κομπάζειν.* [*ἐπαίρεσθαι.* Meerm.]

L. 22. *Φορτικὰ καὶ δημηγορικά*] *Φορτικά ἐστι, τὰ βάρος ἐμποιοῦντα· Δημηγορικά, τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν.* [Idem in cod. Aug. superscr.]

L. 28. *Τὸ Σοφόν*] *ἀντὶ τοῦ, σόφισμα.* [ut cod. Aug.]

[P. 56. l. 5. ἐδιώκαθες. ἐδίωκες. Schol. cod. Clark. et Olymp.]

[P. 56. l. 10. προπηλακιζόμενος· ὑβριζόμενος, ἐξουθενούμενος. Schol. Clark.]

P. 58. l. 3. Ἐπὶ τὰ μείζω] Μείζω φησὶν ὁ Καλλικλῆς, τὴν κατ' αὐτὸν ῥητορικήν· ἴσως δὲ καὶ τὴν τυραννίδα, ὡς ὕστερον δηλώσει.

L. 10. Τῶν νόμων] Ἀπαρίθμησις ὧν οἴεται ψευδῶς Καλλικλῆς ἄπειρον εἶναι τὸν φιλόσοφον.

L. 12. Συμβολαίοις] Συμβόλαια παρὰ τοῖς Ἀττικοῖς, αἱ ἀσφάλειαι, καὶ συγγραφαὶ, καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλαις ἔννομον.

L. 15. Ἠθῶν] Ἤθη τὰ ἐν ἔθει κείμενά φησι.

L. 20. Τὸ τοῦ Εὐριπίδου] Τὰ ἰαμβεῖα ταῦτ' ἐστιν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου, ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα. οὗτοι δὲ Ἀντιόπης υἱοί. [add. Olymp. ad h. l. ap. Valcken. Diatrib. in Eur. Fr. p. 70.]

L. 27. Παιδείας] Παιδείαν φησὶ τὴν περὶ τὰ μαθήματα ἐν παισὶ τροφήν τε καὶ ἀγωγήν.

P. 59. l. 9. Πικρόν τί μοι δοκεῖ χρῆμα] Τὸ διαλέγεσθαι παιδάριον, πικρόν τι δοκεῖ, ὡς παρὰ φύσιν καὶ βίαιον ὄν· καταγέλαστον δὲ, ὅταν ψελλίζηται ἀνὴρ, καὶ πληγῶν ἄξιον, ὅταν παίζῃ. ἄνανδρα δὲ, ἄμφω, οὐχ ὡς γυναιξὶν, ἀλλ' ὡς παιδίοις πρέποντα.

[P. 60. l. 2. Schol. cod. Aug. ap. Fisch. ad Crit. I, 7. ἐπιεικῶς· ἱκανῶς· ἐπὶ τὸ (leg. ἐπιεικ. ἔχει καὶ) φιλικῶς, παρὰ Πλάτωνι.

P. 60. l. 6. Ὅτι ἀμελεῖς] Καὶ ταῦτα τὰ ἰαμβεῖα τοῦ Εὐριπίδου ἐκ τοῦ αὐτοῦ Ἀντιόπης δράματος εἴληφε. Σκόπει δὲ, ὅπως δεῖ χρῆσθαι ταῖς μακροτέραις ῥήσεσι τῶν ποιητῶν, μὴ αὐτοὺς διόλου τιθέναι τοὺς στίχους, ἀλλά τι καὶ λέξεως πεζοτέ-

ρας [λέξεων πεζοτέρων Sieb.] εὖ πως αὐτοῖς ἀναμίξαι. Ὁ τῶν στίχων δὲ νοῦς οὗτος· Ὁ Ζῆθος φησὶ τῷ Ἀμφίονι, μουσικῷ ὄντι· Ῥίψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις. οὕτω καὶ Καλλικλῆς λέγει Σωκράτει· Ἄφες φιλοσοφίαν, ἐλθὲ δὲ ἐπὶ τὴν πόλιν καὶ δίκαζε. [Similia Olymp. ap. Valck. Diatr. in Fr. Eur. p. 83.]

[L. 8. ὁρᾷς πῶς, Εὐριπίδου γυναικώδει εἰρηκότος, αὐτὸς μειρακιώδει εἶπε. Olymp. ap. Valck.]

[L. 21. φαύλου, ἀντὶ τοῦ εὐτελοῦς. νῦν γὰρ οὐ σημαίνει τὸ κακοῦ· ἤδη γὰρ εἶπε μοχθηροῦ. Olymp. ap. Ruhnk. ad Tim. p. 269.]

P. 61. l. 1. Ἀγροικότερον] ἀντὶ τοῦ, σκληρότερον.

L. 3. Παῦσαι δὲ ἐλέγχων] Ἐν ἄλλῳ πρόσκειται, παῦσαι μεταίζων. [Leg. ματαΐζων vel ματαιάζων ut cod. Reg. v. Routh. in Corrig. ad p. 436. et Heind.]

L. 4. Καὶ ἄσκει] Γράφεται, καὶ δόκει.

[L. 6. παῦσαι τούτων, ἐξ ὧν ἐν κενοῖς καὶ ματαίοις κατοικήσεις οἴκοις. οὐδὲν γὰρ ἐκ τούτων κερδανεῖς. Olymp.]

L. 8. Βίος] ὁ πλοῦτος. Δόξα δὲ, ἡ παρὰ τοῖς πολλοῖς εὐδοκίμησις.

L. 11. Λίθων] Ἰστέον, ὅτι τὴν λίθον δι' ἧς δοκιμάζουσι τὸν χρυσὸν, οἱ μὲν ἰδίως Βάσανον, οἱ δὲ Λυδίαν καλοῦσιν.

[P. 61. 17. ἕρμαιον, τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, (τῷ Ἑρμῇ addit Aug.) ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. Schol. Clark. et Aug. τοιούτῳ· βασανιστῇ δή. Cod. Meerm.]

[P. 61. l. 21. Τρία] Ὅτι τρία ἐστὶν οἷς κρίνεται ψυχὴ, ἐπιστήμη, δόξα ὡς φρονίμου τε καὶ εὔνου, παῤῥησία [Schol. Clark.:

σοφίας ἔνδεια ἐπιστήμη

αἰσχύνης παρουσία   παῤῥησία
ἀπάτη   δόξα ὡς φρονίμου καὶ εὔνου:
quae ad p. 62. l. ult. spectant.]

L. 22. *Πάντα ἔχεις*] *Προσυπακουστέον, ὡς σύ τε οἴει, καὶ ὁ πολὺς τῶν ἀνοήτων συρφετός.*

P. 62. l. 11. *Ἀφιδναῖον*] *Ἀφίδνα, δῆμος Αἰαντίδος φυλῆς, ἐξ οὗ οὗτος.*

L. 12. *Χολαργεὺς, δῆμος Ἀκαμαντίδος φυλῆς, ἐξ οὗ οὗτος.*

P. 63. l. 8. *Ποῖόν τινα*] *Τὸ μὲν Ποῖον τὴν εἰδικὴν σημαίνει ἀρχὴν, τουτέστι, δίκαιον, ἢ ἄδικον· τὸ δὲ, τί ἐπιτηδεύειν, τὴν ποιητικὴν, ἀντὶ τοῦ, δημαγωγίαν τε, καὶ ῥητορικὴν, ἢ φιλοσοφίαν· τὸ δὲ, καὶ μέχρι τοῦ, οἷον παιδείας χάριν, ἢ περαιτέρω μέχρι τοῦ ἀκριβοῦς.*

L. 8. *Οὐχ ἑκὼν*] *Ἰδοὺ, ἀκούσια τὰ ἁμαρτήματα φησίν· ἀκούσιον γὰρ τὸ ψεῦδος. παραλογιζόμεθα δὲ αὐτοὺς κατὰ τὴν καθόλου πρότασιν.*

L. 10. *Ἱκανῶς*] *Ἱκανῶς ἐνταῦθα τὸ μετ' ἀποδείξεως λέγεται.*

L. 14. *Βλάκα*] *Βλὰξ, ὁ χαῦνος τῇ προαιρέσει. εἴρηται δὲ ἢ ἀπὸ τοῦ βεβλάφθαι τὰς φρένας, ἢ ἀπὸ τοῦ μαλακοῦ, οἷον μάλαξ τις ὤν· ἐπειδὴ δὲ τὸ μ τῷ λ ἀσύμπλοκον, ἀντὶ τοῦ μλὰξ γέγονε βλάξ.* [Similiter Olymp. ap. Ruhnk. ad Tim. p. 61.]

P. 64. l. 1. *Ὡς τὸ κρεῖττον*] *Σημαίνηται, κατ' ἀρετὴν μᾶλλον. Βέλτιον δὲ ἄμεινον. κατὰ δὲ τὴν τοῦ σώματος ῥώμην μᾶλλον ἰσχυρότερον κρεῖττον.*

P. 64. l. 19. *Ἔστι ταῦτα, ἢ οὔ;*] *Σκόπει ἐκ τούτων τὸν πρὸς τὰς ἀποκρίσεις τοῦ Καλλικλέους ὄκνον, τοῦ, ἔστι ταῦτα, ἢ οὔ; καὶ τοῦ, νομίζουσιν, ἢ οὔ; καὶ τοῦ, μὴ φθόνει μοι ἀποκρίνασθαι.*

P. 64. l. 28. *Κινδυνεύεις*] *τουτέστι, φαίνῃ· ὅπερ*

ἀμφιβάλλων ὥςπερ εἴρηκα, τὸ βραχὺ τῶν ἐλέγχων παραμυθούμενος.

P. 65. l. 6. Οὑτοσὶ ἀνὴρ] Ὅρα τὴν πρὸς ἑτέρους τοῦ λόγου ἀποστροφὴν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτητα δείκνυσιν.

L. 12. Συρφετὸς] ἀγυρτώδης ὄχλος, ὡς νῦν, ἢ λόγος, ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος, καὶ φρυγανώδης.

L. 17. Τοπάζω] ὑπονοῶ, εἰκάζω.

L. 24. Προὐδίδασκε] Περιττεύει ἡ πρόθεσις, Ἀττικῶς.

L. 25. Εἰρωνεύῃ] Εἰρωνεία ἐστὶ προςποίησις ἀδυναμίας, ὧν τις δύναται ποιεῖν· ἐξ ἧς καὶ τὸ Εἰρωνεύω ῥῆμα. ταύτῃ δὲ τὴν Ἀλαζονείαν ἐναντίαν εἶναι. ἔστι γὰρ Ἀλαζονεία προςποίησις δυνάμεως ὧν τις οὐ δύναται ποιεῖν.

Ibid. Μὰ τὸν Ζῆθον] Ὄμνυσι κατὰ τοῦ Ζήθου, ὥς τινὸς τῶν ἡρώων ὄντος, ἢ ὡς χαριζόμενος Καλλικλεῖ, ἐπειδὴ τῇ τούτου ῥήσει πρὸ μικροῦ εἰς παραίνεσιν ἐχρήσατο.

P. 66. l. 8. Δοκεῖς βούλεσθαι λέγειν] Ὡς οὐδὲ φράσαι δυναμένου τοῦ Καλλικλέους, ἅπερ ἐθέλει, ὁ Σωκράτης καθάπτεται.

[L. 13. ἔχε δή· ἀντὶ τοῦ, μέμνησο τῶν ῥηθέντων. Schol. cod. Clark. et Reg.]

L. 14. Πολλοὶ ἀθρόοι] ἀντὶ τοῦ, ὁμοῦ. οὐ γὰρ εἴ τι πολὺ, τοῦτο καὶ ὁμοῦ. διὰ τοῦτο οὖν πολλοὶ ἀθρόοι φησίν.

[L. 21. ἑκτέον· ἄξιον ἔχειν. Schol. cod. Meerm.]

P. 67. l. 16. Ἀεὶ ταυτὰ] Οἰκειότερον γὰρ ἐπιστήμης, τὸ ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν, ἢ τὸ ἕτερα.

P. 68. l. 17. Τί ἢ τί] Ὁ Καλλικλῆς συνεὶς τούτων οὐδὲν, ὑπολαβὼν δὲ διαίρεσιν τινὰ περιέχειν τὴν ἐρώτησιν τοῦ Σωκράτους, ἀξιοῖ σαφῶς αὐτὸ

εἰπεῖν· τί ποτὲ ἐστιν ἑκάτερον, ὧν ἀντιδιαιρεῖν βούλεται. διόπερ φησί, τί ἢ τί,

L. 24. Ἡδὺς εἶ] Κατ' εἰρωνείαν τοῦτο φησὶ Καλλικλῆς.

L. 25. Οὐδεὶς ὅςτις οὐκ ἂν γνοίη] ἀντὶ τοῦ, οὐδεὶς ἐστιν, ὃς οὐκ ἄν μοι μαρτυρήσειεν, ὅτι λέγων τοὺς σώφρονας οὐ λέγω τοὺς ἠλιθίους, τουτέστιν, οὐδείς ἐστιν ἀνθρώπων, ὃς τοὺς σώφρονας ἠλιθίους λέγει. πρὸς ὃν ὁ Καλλικλῆς τοὐναντίον φησὶν, ὅτι πάνυ πολλοὶ οἱ τοὺς σώφρονας λέγοντες ἠλιθίους.

L. 27. Ἐπεὶ πῶς ἂν] Ἐντεῦθεν ὁ περὶ τῆς τελικῆς αἰτίας τῶν ἠθικῶν λόγος. ἔστι δὲ ἀρχὴ κατὰ Σωκράτην τἀγαθά· κατὰ δὲ Καλλικλέα, αἰσχρὰ ἡδονή.

P. 69. l. 27. Ἐπικουρίαν] ἢ τὴν ἐκ πλούτου καὶ περιουσίας, ἢ τὴν ἐκ τῆς παρὰ τῷ Καλλικλεῖ καλουμένης φρονήσεώς τε καὶ ἀνδρίας.

P. 70. l. 3. Οὐκ ἀγεννῶς] ἀντὶ τοῦ, ἀτενῶς καὶ ἀκάμπτως. [Imo θαῤῥαλέως. Hdf.]

L. 4. Παῤῥησιαζόμενος] ἀντὶ τοῦ, μετὰ παῤῥησίας ἀπαρακαλύπτως ὁμολογῶν.

L. 11. Οὐκ ἄρα] Ἀπόδειξις δι' ἐπιχειρημάτων ἓξ, τριῶν μὲν ἐνδόξων, τριῶν δὲ πραγματειωδεστέρων· ὧν τῶν ἐνδόξων τὸ πρῶτον ἐκ τῆς τῶν πολλῶν δόξης εἴληπται.

L. 14. Ὡς γε σὺ λέγεις] Ἐκ τῆς τῶν ποιητῶν ἐκ τῶν Πυθαγορείων.

L. 16. Τίς δ' οἶδεν] Τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου·

> Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
> Τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται.

[v. Fragm. Eurip. Phryx. 15. Polyid. 2.]

L. 18. Τῷ ὄντι ἴσως] Τὸ Ἴσως περὶ τοῦ ἀληθῆ εἶναι τὸν ἐν τῷ μύθῳ λόγον, ἢ μή. τὸ δὲ Τῷ ὄντι, ὅτι ὅ γε μῦθος αὐτὸ τοῦτο τῷ ὄντι καὶ διατεταμένα

νως διϊσχυρίζεται, τὸ θάνατον εἶναι τῆς ψυχῆς τὴν μετὰ τοῦ σώματος ζωήν.

L. 23. Κομψὸς] Οὐ τὸν πιθανὸν, ἀλλὰ τὸν τεχνικὸν, ἢ σπουδαῖον φησί. Σικελικὸς δὲ ἢ Ἰταλικὸς, οἷον Ἐμπεδοκλῆς. Πυθαγόρειος δ' οὗτος ἦν· ὑπῆρχε δὲ καὶ Ἀκραγαντῖνος. Ἀκράγας δὲ, πόλις Σικελίας, ἀπὸ τοῦ πλησίον ποταμοῦ κεκλημένη, ἀφ' ἧς οὗτός τε καὶ Ὀλύμπιος, ὁ μελοποιός. Σικελὸν δὲ ἢ Ἰταλικόν φησιν, ἐπειδὴ πλησίον Σικελίας ὅ τε Κρότων καὶ τὸ Μεταπόντιον, αἱ πόλεις, οὗ οἱ Πυθαγόρειοι διέτριβον, αἳ τῆς Ἰταλίας εἰσί.

L. 26. Ἀμυήτους] Ἀμύητοι, ἡμεῖς οἱ τεθνεῶτες, οἱ ἐν σώματι ζῶντες.

P. 71. l. 4. Ὕδωρ] τὸ ῥευστὸν καὶ ἄστατον τῶν ἡδονῶν.

L. 18. Ἐκ τοῦ αὐτοῦ γυμνασίου] Ἐκ τοῦ γυμνασίου φησὶ τοῦ αὐτοῦ, ὅτι τὸ μὲν πρὸ αὐτοῦ ἐπιχείρημα ἐν μύθου προῆκται σχήματι· τοῦτο δὲ, ἐν παραδείγματος. ἦν δὲ ἐκεῖνο μὲν τῶν Πυθαγορείων οἰκεῖον· τοῦτο δὲ Σωκράτους, ὡς σαφέστερόν τε, καὶ πληκτικώτερον.

L. 19. Σκόπει γὰρ] Ἐντεῦθεν αἱ πραγματειώδεστεραι, ὧν τὸ πρῶτον ἐπιχείρημα ἀπό τινος εἰκόνος ἄρχεται.

L. 22. Ὁ μὲν, οἴνου] Οἶνον μὲν, ὡς τροφιμώτατον, γάλα δὲ, ὡς πρώτην τροφὴν, μέλι δὲ, ὡς τὴν ἐν τῇ τροφῇ γλυκυθυμίαν παρείληφεν.

L. 26. Πληρωσάμενος] οὐκ ἐμπλησθεὶς, ἀλλὰ προσδεὴς ὤν [Cod. Aug. ἀλλὰ πληρωθεὶς ὤν.]

P. 72. l. 16. Χαραδριοῦ] Χαραδριὸς, ὄρνις τις, ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει, εἰς ὃν ἀποβλέψαντες, ὥς λόγος, οἱ ἰκτεριῶντες, ῥᾷον ἀπαλλάττονται· ὅθεν καὶ ἐγκρύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες·

Καὶ μὴν [ita Steph.; μὲν Bahn.] καλύπτει. μῶν χαραδριὸν περνάς;

ὥς φησιν Ἱππώναξ. [Olymp. Comm. ap. Ruhnk. ad Tim. p. 273. ἢ ζῶον λέγει, ὃ ἐσθίει καὶ εὐθέως ἐκκρίνει, ἢ αὐτὰ τὰ κοῖλα τῶν πετρῶν, ἃ δέχεται τὸ ὕδωρ καὶ ἀποβάλλει.]

L. 17. s. Λέγεις οἷον] Τοῦτο ἐκ τοῦ ἀπεμφαίνοντος πρόεισιν.

L. 23. Μὴ ἀπαισχυνῇ] ἀντὶ τοῦ, μὴ αἰσχυνθείης.

L. 25. Κνησιῶντα] ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι, ὅ ἐστι κνήθεσθαι.

P. 73. l. 2. Ἀνδρεῖος] ἀντὶ τοῦ, ἀναιδὴς, κατ᾽ εὐφημίαν.

L. 9. Κιναίδων] ἀσελγῶν, μαλακῶν. καὶ Κίναιδα, ἡ πόρνη, καὶ ἡ ἀσχημοσύνη, ἀπὸ τοῦ ὀρνέου, τῆς ἴϋγγος, ὃ καὶ Κιναίδιον καλεῖται.

L. 19. Ἵνα δή μοι] Τοῦτο φησίν· ἐγὼ μὲν ἕτερον εἶναι τὸ ἀγαθὸν τοῦ ἡδέος διανοοῦμαι· ἀλλ᾽ ἵνα μὴ ἀσύμφωνος ὦ ἑαυτῷ, ταῦτα εἶναι φημὶ τὰ αὐτά.

L. 22. Τοὺς πρώτους λόγους] τοὺς ἑαυτοῦ δηλονότι, ἐν οἷς ἐμέμφετο Γοργίαν καὶ Πῶλον, ὡς παρὰ τὰ δοκοῦντα αὐτοῖς δι᾽ αἰσχύνην ἀποκριναμένους. αὐτὸς δὲ ἐπηγγέλλετο παῤῥησιαζόμενος πᾶσαν εἰπεῖν τὴν ἀλήθειαν.

L. 28. Αἰνιχθέντα] τῷ γὰρ τοῦ κιναίδων βίου ὀνόματι κακὰ πολλὰ συνεσημαίνετο.

P. 74. l. 12. Ὦ σοφώτατε σὺ] Κατ᾽ εἰρωνείαν ὑπὸ Καλλικλέους εἴρηται, ὡς φησὶ Πλούταρχος.

L. 15. Ἀχαρνεὺς] Ἀχάρναι, δῆμος Οἰνηΐδος, ἐξ οὗ οὗτος.

L. 17. Σωκράτης] Τοῦτο φησὶ Καλλικλῆς καθ᾽ ὁμοιότητα Σωκράτους.

L. 18. Ἀλωπεκῆθεν] Ἀλωπεκὴ, δῆμος Ἀντιοχίδος, ἐξ οὗ οὗτος.

L. 21. Τοὺς εὖ πράττοντας] Τὸ ἀγαθὸν καὶ κακὸν εἰπεῖν βουληθεὶς, τὰ μετέχοντα λέγει.

[L. 23. τοῦ τρίτου ἐπιχειρήματος, ὅτι ἐπ' εὐθείας ἐκ τοῦ τὰ ἐναντία μήτε ἅμα συνεῖναι, μήτε ἅμα ἀπαλλάττεσθαι. Schol. Clark.]

P. 76. l. 2. Ἡδὺ] ἀντὶ τοῦ ἡδόμενον ληπτέον. [Male.]

L. 8. Αἰσθάνῃ οὖν τὸ συμβαῖνον] Εἰ προηγεῖται μὲν ἐν τῷ διψῆν λύπη, ἐν δὲ τῷ πίνειν ἐπιγίγνεται ἡδονὴ, καὶ συνυπάρχει αὐτῇ, ἅμα μὲν οὐ παραγίγνεται τἀναντία, καθὼς ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν· ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίγνεσθαι, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν· ἄλλο δὲ τὸ συνεῖναι, ὃ ἐστιν ἐπ' αὐτῷ ἐγχωροῦν.

L. 19. Ἀκκίζῃ] Τὸ Ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαι φασὶν, Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν, ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθαιρουμένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν, πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην, ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. Μέμνηται ταύτης Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς, καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι. Ἀκκίζῃ οὖν φησιν ἀντὶ τοῦ, ἀνοηταίνεις [Ἀκκίζεσθαι et ἀνοηταίνειν Sieb.] οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος [προσποιουμένη Sieb.] [ἀκκίζειν, τὸ προσποιεῖσθαι, τὸ θρύπτεσθαι, τὸ μωραίνειν. Πέπλασται δὲ ἡ λέξις ἀπὸ Ἀκκοῦς τινος μωροτάτης, ἥ τόν τε ἱστὸν διελοῦσα τοὺς στήμονας, ἐπεὶ ὑφ' ἑτέρας ἐκαλεῖτο, ἱστουργοῦσα προὔλαβεν καὶ ἡμιτέλεστον ἄλλον [ἄλλο] ἱμάτιον πεποίηται, μέρος τοῦ ἱματίου γυμνοὺς τοὺς στή-

μονὰς ἀφορίσασα. Schol. Clark. — Olympiodori et all. Gramm. explic. v. ap. Ruhnk. ad Tim. p. 19.]

L. 21. Ἔχων ληρεῖς] ἀντὶ τοῦ, ὑποκρίνῃ ἄνοιαν. Ib. Σοφὸς] ἀνόητος, κατ' εὐφημίαν.

P. 77. l. 2. Τὰ σμικρά τε καὶ στενά] Οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους? καὶ Ἱππίας γοῦν Περιτμήματα αὐτοὺς ἐκάλεσεν.

L. 4. Τὰ μεγάλα γε μεμύησαι, πρὶν τὰ σμικρὰ] δηλονότι μυστήρια. Διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις. Καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν· τὰ δὲ Μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα καὶ Δηοῖ, καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά. ἐλέγετο δὲ πρὸς τῶν μυουμένων [τὸν μυούμενον Sieb.] ταῦτα· ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα· Κέρνος δὲ τὸ λίκνον, ἤγουν τὸ πτύον ἐστιν· ὑπὸ τὸν παστὸν ὑπέδυον, [ὑπερεδύοντο S.] καὶ τὰ ἑξῆς.

P. 79. l. 16. Δίς γάρ τοι καὶ τρὶς] Δὶς καὶ τρὶς τὸ καλὸν, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὰ ἔπος, ἀφ' οὗ καὶ [καὶ deest S.] ἡ παροιμία. φησὶ γάρ·

> Καὶ δὶς γὰρ, ὃ δεῖ, [δὲ S.] καλόν ἐστιν ἐνίσπειν. [ὅ τι δὴ καλόν ἐστιν, s. Sturz. Fr. Emp. p. 519. et 586.

L. 74. Οὐκοῦν ὁμοίως] Ὑπερθετέον τὴν λέξιν, οὕτως· οὐκοῦν ὁ κακὸς ὁμοίως· εἶτα τὰ ἑξῆς.

P. 80. l. 2. Παλαιὸν λόγον] τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ πρός-

πιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας.

P. 81. l. 6. *Σὺ ἐκ τρίτων*] Τὸν Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβε.

Ib. *Τῶν ἀγαθῶν*] Μέχρι τούτου ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι, τοῦ ἀγαθοῦ τῶν ἠθικῶν ἀρχῶν λόγος.

L. 8. *Ἆρ' οὖν*] Ἐντεῦθεν ὁ περὶ τῆς εἰρετικῆς τέχνης αὐτοῦ, τάξιν εἰσαγούσης καὶ κόσμον ταῖς ψυχαῖς, ἥ ἐστι δικαιοσύνη, καὶ σωφροσύνη, καὶ ὅλως ἀρετή.

L. 14. *Παρασκευαί*] Οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις.

L. 17. *Εἶπον τῶν μὲν*] τῶν παρασκευῶν δηλαδή.

L. 20. *Φιλίου*] Διὸς ἦν ἐπώνυμον παρ' Ἀθηναίοις ὁ Φίλιος, ἐκ τοῦ εἶναι τῶν φιλικῶν καθηκόντων αὐτὸν ἔφορον.

L. 27. *Τοῦ ἀνδρὸς δή*] Ὁ Δὴ σύνδεσμος ἐμφαντικὸς εἰρωνείας ἐστί.

P. 82. l. 4. *Ἴσως οὖν*] Ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἑλεῖν, καὶ τρίτον ὁποῖον βέλτιον.

L. 14. *Ἡ δ' ἰατρική*] Τούτῳ προσθετέον ἀπὸ κοινοῦ τὸ, τέχνη εἶναι. [Imo δοκεῖ repetit Hdf.]

L. 20. *Ὅτι ἡ μὲν τούτου*] Τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην ταῦτα· γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει, ἐπίσκεψις αἰτιῶν, δι' ἃς προσφέρει ἑκάστοις ἃ προσφέρει, ἀπόδοσις λόγου τούτων ἑκάστου.

L. 26. *Διαριθμησαμένη*] ἀντὶ τοῦ, διακρίνασα, ἢ διαλογισαμένη. ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκρινται ἀπ' ἀλλήλων,

καὶ πάντα κατ' αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος.

P. 83. l. 14. *Σὺ δὲ δή*] Ὡς Γοργίου καὶ Πώλου τὰ αὐτὰ ἤδη συγχωρησάντων. [Imo ἡμῖν pro ἐμοί.]

L. 16. *Οὐκ ἔγωγε*] Ἔμφασιν ἔχει τοῦ μὴ ἀρέσκεσθαι αὐτὸν οἷς ὁμολογεῖν ἀναγκάζεται.

P. 84. l. 2. *Κιθαριστική*] Αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν· κιθαριστικὴν δὲ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. Οἶδε γὰρ ἄλλην, ἣν σώζειν τὰς πολιτείας νενόμικεν. [v. III. de Rep. p. 399. C. Steph.]

L. 15. *Ἡ σεμνή*] Ὡς εὐδοκιμοῦσα μᾶλλον τῶν ἄλλων τῆς μουσικῆς εἰδῶν κατ' ἐκείνους τοὺς χρόνους. Ἰστέον δὲ, ὅτι ἡ τραγῳδία, κολακεία τις οὖσα, ὑπὸ τὸ σοφιστικὸν ταύτης εἶδος τέτακται, ἅτε δὴ γνώμας ἀποφαινομένη, καὶ περὶ δικαίων, καλῶν τε, καὶ ἀγαθῶν ὑψηλολογουμένη· ἢ καὶ κατὰ τὸ δημηγορικὸν, καθόσον καὶ αὐτός φησιν, εἴ τις αὐτῆς τὰ μέτρα περιέλοι, μηδὲν ἕτερον αὐτὴν φανῆναι, ἢ δημηγορίαν, ἐπειδὴ καὶ παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι.

P. 85. l. 13. *Τί δέ*] Ἐντεῦθεν τῆς δημαγωγικῆς ῥητορικῆς διαβολή.

L. 15. *Ἐλευθέρων ἀνδρῶν*] Τοῦτό φησι πρὸς ἀντιδιαστολὴν τῶν ἐν τοῖς θεάτροις ὄχλων, διὰ μὲν τῶν ἐλευθέρων τοὺς δούλους περιελὼν, διὰ δὲ τῶν ἀνδρῶν παῖδάς τε καὶ γυναῖκας.

P. 86. l. 13. *Τί δὲ Θεμιστοκλέα*] Ἡ τάξις τῶν δημαγωγῶν οὐ πρὸς τὸν χρόνον, πρὸς δὲ τὸν τρόπον αὐτῶν. Πρῶτον γὰρ Θεμιστοκλέα φησὶν, ὡς μᾶλλον κατὰ νοῦν καὶ λογισμὸν τὰ τοῦ πολέμου διαθέμενον. Κίμωνα δὲ δεύτερον, ὡς ἐκείνῳ παραπλήσιον. Μιλτιάδην δὲ τρίτον, ὡς τύχῃ μᾶλλον ἢ γνώμῃ τῶν πολεμίων κρατήσαντα. Περι-

κλέα δὲ τελευταῖον, ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, καὶ δι' αὐτοῦ τὸν Σωκράτην μάλιστα προάξεσθαι ἤλπισε.

P. 88. l. 9. *Δικαιοσύνη τε καὶ σωφροσύνη*] Τῷ μὲν νομίμῳ τὴν δικαιοσύνην ἀποδέδωκε, τῷ δὲ κοσμίῳ τὴν σωφροσύνην.

P. 89. l. 21. *Αὐτὸς γνώσῃ*] ἀντὶ τοῦ, εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει.

L. 23. *Κεφαλὴν*] Αἴνιγμα τοῦτο τῶν παλαιῶν τε καὶ σοφῶν ἀνδρῶν, τὸ τέλειον πανταχῇ τετιμηκότων· ἐξαιρέτως δὲ ἐν τοῖς περὶ τὸν λογισμὸν τὸν ἡμέτερον, ὃν Μῦθον ὀνομάσαντες, ὅτι καὶ τὸν λόγον οὕτως ἐκάλουν, Κεφαλὴν αὐτοῦ τὸν νοῦν αἰνίττονται, οὐδὲν ἄλλο διὰ τούτου παρεγγυῶντες, ἢ πάντας ἡμῶν τοὺς λογισμοὺς πρὸς ἓν τέλος βλέπειν, τὴν κατὰ νοῦν ἐνέργειαν.

P. 90. l. 3. *'Επιχάρμου*] Οὗτος ὁ 'Επίχαρμος γέγονε κωμῳδοποιὸς, καὶ εἰσήγαγέ τινας ἐν ἰδίῳ δράματι δύο διαλεγομένους πρὸς ἀλλήλους, καὶ ὕστερον ἕνα τῶν δύο, πάλιν τὰ τῶν δύο διαλεγόμενον.

L. 23. *Ἕως αὐτῷ*] Τὸν ὑπὲρ φιλοσοφίας λόγον βουληθῆναι ἂν φησὶν ἀποδοῦναι Καλλικλεῖ, ὥςπερ ὁ Ἀμφίων τῷ Ζήθῳ τὸν ὑπὲρ μουσικῆς, παρὰ τῷ Εὐριπίδῃ.

P. 91. l. 4. *'Εξ ἀρχῆς*] 'Εξ ἀρχῆς, οὐ τοῦ διαλόγου φησὶ, τοῦ δὲ τελικοῦ αἰτίου τῶν ἠθικῶν ἀρχῶν. εἰ δὲ περὶ τοῦ τέλους μάλιστα προκειμένης τῆς ζητήσεως, περὶ τῆς ποιητικῆς αἰτίας καὶ τοῦ εἴδους ἐνδιέτριψε, θαυμάζειν οὐ χρή. τὸ γὰρ ἀγαθὸν, ὅπερ τὸ τέλος ἐστιν, ἄῤῥητον καθ' αὑτό. Διόπερ ἐνταῦθα μὲν διὰ τῆς ἀποφάσεως, ὧν δοκεῖ εἶναι, ὅτι οὐκ ἐστιν ἡδονὴ, δηλοῦται. ἐν Παρμενίδῃ δὲ τὸ τελεώτερον οὐ περὶ ἀγαθοῦ τινος, ἀλλ' ἁπλῶς περὶ ἀγαθοῦ ποιεῖται τὸν λόγον.

ἐν Πολιτείᾳ δὲ, δι' ἀναλογίας τινος. Νυνὶ δ' ἐνταῦθα διὰ τῆς ἐπιστήμης, καὶ τῦ εἴδες, ὃ μόνως καὶ ἐξ ἀνάγκης παραγίνεται. τοιῦτον δέ τινα τρόπον καὶ ἐν Φιλήβῳ· διὰ νῦ γὰρ καὶ τῆς ἀληθῦς ἡδονῆς. Ποιητικὴν δὲ φαμὲν αἰτίαν τὴν ἐπιστήμην τῶν καλῶν, καὶ ἀγαθῶν, καὶ δικαίων· εἰδικὴν δὲ, αὐτὰ ταῦτα· τελικὴν δὲ, τἀγαθόν.

Ib. *Οὐ ταυτὸν*] Ἐντεῦθεν ὁ Σωκράτης ἑαυτῷ ἀποκρίνεται.

L. 10. *Ἀλλὰ μὴν*] Τῦτο ὅπερ ἐλέγομεν, ὡς ἄρρητον αὐτὸ τὸ ἀγαθὸν διὰ τοῦ προπαραγενέσθαι τὴν ἀρετὴν, δηλῶσαι βούλεται· ᾗ καὶ μόνῃ καὶ ἐξ ἀνάγκης συνέπεται.

L. 15. *Ἀλλὰ τάξει*] Τῆς ἀρετῆς εἶδος, τὴν Τάξιν καὶ τὴν Ὀρθότητά φησι· τὸ δὲ Ποιητικὸν, τὴν τέχνην, ἥτις ἐφ' ἑκάστῳ τέτακται πράγματι.

P. 92. l. 11. *Οὔτε διώκειν*] Οὔτε διώκειν, τὰ κακὰ δηλονότι, οὔτε φεύγειν τὰ ἀγαθά. ταῦτα γὰρ οὐ προσήκει αὐτῷ, εἰ μὴ πρὸς ἀρετὴν καὶ εὐδαιμονίαν φέροι.

L. 26. *Ὡς ἔχει ποδῶν*] ἀντὶ τοῦ, ὅσον δυνάμεθα, ὀφείλομεν φυγεῖν τὰς κακὰς πράξεις, κατ' ἀναλογίαν οὖν εἶπε Πόδας, ὥσπερ πόδας Ἴδης τοῦ ὄρους φαμέν. κατὰ ζωὴν οὖν φεύγωμεν τὰ κακὰ, μὴ ποσὶν, ἐπεὶ καὶ ὁ Πλωτῖνος ἀνάγεσθαι λέγει τὰς ψυχὰς, οὐ ποδὶ, ἀλλὰ ζωῇ.

P. 93. l. 3. *Ὁ σκοπὸς*] Σκοπὸς καὶ Τέλος τῇ σχέσει μόνῃ διαφέρουσι. Σκοπὸς μὲν γάρ ἐστιν ἡ ἀρχή· Τέλος δὲ, σκοπὸς εἰς ἐνέργειαν ἀχθείς. ἢ Σκοπὸς, τέλος ἀνέκβατον· Τέλος δὲ, σκοπὸς ἐκβεβηκώς.

L. 12. *Οἱ σοφοὶ*] Σοφὸς ἐνταῦθα τὺς Πυθαγορείους φησὶ, καὶ διαφερόντως τὸν Ἐμπεδοκλέα, φάσκοντα, τὴν φιλίαν ἑνοῦν τὸν σφαῖρον, ἐνο-

ποιὸν εἶναι. τῦτο δὲ πρὸς τῇ μιᾷ ἐςι τῶν πάντων ἀρχῇ.

L. 18. Ἡ ἰσότης ἡ γεωμετρικὴ] τουτέστιν, ἡ δικαιοσύνη. Ταύτην δὲ τὴν γεωμετρικὴν ἀναλογίαν Διὸς κρίσιν ἐν Νόμοις [VI. p. 757. b. Steph.] ἐκάλεσεν, ὡς δι' αὐτῆς τῶν πάντων κεκριμένων τε καὶ ὡρισμένων. Ἰστέον δὲ, ὅτι ἀριθμητικὴν ἀναλογίαν εἶναί φασιν, ὅταν τριῶν ἀριθμῶν ἀνίσων ὁ μέσος ὑπερέχει τε τῷ ἴσῳ, καὶ ὑπερέχεται, οἷον, β', δ', ς'. γεωμετρικὴν δὲ, ὅταν τριῶν ἀριθμῶν ὄντων ἀνίσων, ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν δεύτερον, τῦτον καὶ ὁ δεύτερος πρὸς τὸν τρίτον, οἷον δ', ς', θ'. ἁρμονικὴν δὲ, ὅταν τριῶν ἀριθμῶν ἀνίσων, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, ὅτως ἔχει καὶ ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον β', γ', ς'.

P. 94. l. 15. Ἐπὶ κόῤῥης] ἐπὶ κεφαλῆς, ἢ γνάθου, ἢ κροτάφου. Κόῤῥην γὰρ καὶ Κόρσην, ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. τινὲς δὲ καὶ ῥάπισμα φασὶ τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν, ἁπτόμενον καὶ τῦ κροτάφου.

L. 21. Τέμνεσθαι] ἀντὶ τῦ, ζημιῦσθαι, ἐνταῦθα [imo, dissecari, lacerari.]

L. 22. Ἐμὲ] τὸν ἐκ ψυχῆς καὶ σώματος Σωκράτη, οὐ τὸν κατὰ τὴν ψυχὴν μόνον. Οὐ γὰρ θεμιτὸν, φησὶν αὐτὸς, ἄμεινον ὑπὸ χείρονος βλάπτεσθαι.

P. 95. l. 1. Ἀγροικότερον] Τῦτο φησὶ διὰ τὴν μεταφορὰν τῶν σιδηρῶν καὶ ἀδαμαντίνων λόγων.

L. 8. Ἐγὼ μὲν οὖν αὖ] Προσυπακουστέον τὰ, τῦτο ἀκριβῶς οἶδα.

L. 11. Εἰ οἷόν τε] Ἐπειδὴ μεῖζον μεγίστου οὐκ ἔστι, διὰ τοῦτο τὸ, εἰ οἷόντε, πρόσκειται.

L. 14. Ἆρα οὐ ταύτην] τὴν τῆς ψυχῆς δηλαδὴ,

δευτέραν δὲ, τὴν τῦ σώματος, καὶ τρίτην, τὴν τῶν ἐκτός.

K. 19. *Καὶ τἄλλα*] *Περὶ τῶν νομιζομένων ἀγαθῶν τῦτο λέγει, οἷς καὶ τάξιν τινὰ ἐν Νόμοις ἐπέθηκεν, εἰπὼν ὑγείαν, κάλλος, ἰσχὺν, πλῦτον.*

[P. 98. l. 27. *ὑπερήφανον, ἀντὶ τῦ καλὸν πάνυ. Πλάτων Γοργίᾳ.* Lex. Ms. Coisl. Montfauc. Bibl. Coisl. p. 484.]

[P. 105. l. 7. *τὰ ὦτα κατεαγότων. ἢ ὅτι ἐν ταῖς παλαίστραις ὑπετρίβουν τὰ ὦτα, ἢ τῦτο λέγει πρὸς τοὺς μὴ δυναμένους ὑπεῖναι τὰ ὦτα καὶ ἀκῦσαι τῶν λεγομένων.* Olymp. ap. Routh.]

P. 108. l. 5. *Σκυτοτόμον ἢ σκυτοδεψὸν*] *Σκυτοτόμον, σκυτέα, ἢ λωροτόμον· Σκυτοδεψὸν δὲ, τὸν δερματομαλάκτην; ἢ βυρσοδέψην.*

[P. 116. l. 2. *ἦν ἐν νόμος· τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφορὰν, ἵνα σημαίνῃ πρώτας καὶ δευτέρας ὑποστάσεις· ὅτι δὲ ἀχρόνως ταῦτα δεῖ νοεῖν, ἐμφαίνει τὸ, ἀεὶ ἔστιν.* Sch. Cl.]

[L. 12. *ὅ τε ὖν Πλούτων. ὅτι ὁ συνέχων καὶ τὴν λοιπὴν δυάδα ὗτός ἐστιν ὁ Ζεὺς, πρὸς ὃν καὶ ὁ Πλούτων ἐπιστρέφεται· καὶ τὸν νῦν προσείληφεν καὶ τοὺς λόγους πάντων πρὸ τῆς δυάδος.* Idem.]

[L. 14. *Δία γῦν ἀκουστέον οὐ τὸν πρὸ τῶν τριῶν, ἀλλὰ τὸν ἕνα τῶν τριῶν, πρὸς ὃν ἐπιστρέφεται ὁ Πλούτων καὶ οἱ ἐπιμεληταί· εἰσὶ δὲ δαίμονες κολαστικοὶ καὶ καθαρτικοὶ καὶ τελεσιουργοί.* Idem.]

[P. 117. 3. s. *γυμνὸς ὁ κριτὴς οὐ μόνον τῦ ὀστεώδους* [vulg. hic et mox *ὀστρεώδους*] *σώματος, ἀλλὰ καὶ τῦ ἀερώδους φυράματος καὶ μόνον ἔχων τὸ αὐτοειδὲς ὄχημα· οἱ δὲ κρινόμενοι γυμνοὶ μὲν τῆς παχύτητος τῦ ὀστεώδους, περιφέροντες δὲ τὸ ἀέριον φύραμα καὶ δεόμενοι καθάρσεως.* Idem.]

ΕΙΣ ΤΟΝ ΙΩΝΑ.

P. 124. l. 9. Ἐφέσου] Ἔφεσος, πόλις Ἰωνίας.

L. 10. Ἐπιδαύρου] Ἐπίδαυρος, πόλις ἐν Ἰλλυρίδι.

L. 11. Μῶν] μὴ αὖ, ὖ, δὴ, ἄρα.

Ib. Ῥαψῳδῶν] Ῥαψῳδὲς φασὶ τὲς τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντας. ἐκλήθησαν δὲ ὕτως, ἐπεὶ ῥάβδους ἔχοντες δαφνίνας ἀπήγγελον. Ῥαψῳδῆσαι λέγεται καὶ τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι, χωρὶς ἔργου τινός.

P. 130. l. 6. Μαγνῆτιν] Πτολεμαῖος ὁ μέγας ἐν ζ' τῶν γεωγραφικῶν ὑφηγήσεων φησὶ, κατὰ τὴν ἐκτὸς Γάγγου ποταμῦ Ἰνδικὴν μετὰ καὶ ἄλλων νήσους τινὰς σατύρων [Σατυρῶν hic et paulo post Sieb.] εἶναι τρεῖς· ὧν τὲς ἐνοικῦντας ὑρὰς ἔχειν ὁποίας διαγράφουσι τῶν σατύρων. φέρονται δὲ συνεχεῖς καὶ ἄλλαι δέκα νῆσοι, καλέμεναι Μανιόλαι, ἐν αἷς φασὶ τὰ σιδηρῦς ἔχοντα ἥλους πλοῖα κατέχεσθαι, μήποτε τῆς Ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης· καὶ διὰ τῦτο ἐπιύροις [ἐπὶ δυρίοις S.] ναυπηγεῖσθαι· κατέχειν τε αὐτὰς ἀνθρωποφάγους. Διογενιανὸς δὲ, Μαγνῆτιν μὲν πλανᾶν, λέγει, τὴν ὄψιν λίθον, ὡς εἴη ἀργύρῳ ἐμφερής· τὴν δὲ Ἡρακλεῶτιν [Ἡρακλείαν S.] ἐπισπᾶσθαι τὸν σίδηρον.

P. 137. l. 5. Πραμνείῳ] Πράμνειος οἶνος, ἤτοι ὁ ἀπὸ τῆς πραμνείας ἀμπέλου, ἢ ὁ πραΰνων τὸ μένος. τινὲς δὲ, ἐπειδὴ ἐν Πράμνῃ πρῶτον ἐφυτεύθη ἄμπελος τῇ ἐν Ἰκάρῳ.

Ib. Κνῆ τυρὸν κνήστει] ἔκοπτε τυρὸν κοπίδι.

ΕΙΣ ΤΟΝ ΦΙΛΗΒΟΝ.

P. 147. l. 1. *Πειρασόμεθα*] πειρώμεθα.

L. 22. *Ὥσπερ μῦθος, ἀπολόμενος*] Ὁ μῦθος ἀπώλετο. τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. Μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπετίσι, καὶ Κράτης [ἐν add. Sieb.] Λαμίᾳ.

P. 150. l. 2. *Μὴ κινεῖν*] Μὴ κινεῖν κακὸν εὖ κείμενον, ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας [ἀνοίας S.] πράγματα ἐγειρόντων. ταύτης μέμνηται καὶ Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα· καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν, τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον. Μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ Κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέασεν· βασιλέως δὲ βουλομένου αὐτὸν ἀναστῆσαι, φοβούμενοι οἱ Ῥόδιοι, μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο. [Eadem Schol. Aug. ap. Fisch. sed ruina colossi in multo seriora tempora incidit.]

P. 166. l. 6. *Πέρας ἔχοντ*] Γράφεται, πέρας ἐχόντων.

P. 172. l. 23. *Γεννούστης*] Γεννούστης, ὁ οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος· ὧν τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον· ἢ ὁ οἷον γεννητικός. Γεννῆται δὲ, οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας [φατρίας Sieb. et sic in sqq.]. οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττῦς, ὅτι τεσσάρων φυλῶν οὐσῶν, εἰς τρία ἑκάστην διει-

[P. 250. l. 17. *τούτου τοῦ πράγματος* ἀντὶ τοῦ, εἰς τοῦτο τὸ πρᾶγμα, ἢ ἀντὶ τοῦ, ἕνεκεν τούτου, ἢ ἀντὶ τοῦ, ἀπόρως ἔχων. Sch. Cl.]

P. 243. l. 6. *Περὶ τοῦ σχήματος*] Ἐλέγετο γὰρ, ὅτι σχῆμά ἐστιν ὃ ἀεὶ χρόα ἕπεται. αὕτη δὲ ἀγνοεῖσθαι ὑπέκειτο.

P. 244. l. 7. *Ὡς γόης ἀπαχθείης*] ὡς κακοῦργος παραδοθείης εἰς τὸ δεσμωτήριον.

P. 247. l. 5. *Γιγνώσκεις τετράγωνον*] Σημείωσαι τὸν παρὰ τῷ Μένωνι λόγον, οὗ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης μνημονεύει ἐν τῇ λογικῇ πραγματείᾳ.

P. 248. l. 5. *Μὴ ταύτῃ μὲν*] Οὕτω γὰρ ἑτερόμηκες εἴη.

P. 248. l. ult. *Διπλάσιον*] τοῦ τετράποδος.

Ἥμισυ] τοῦ ἓξ καὶ δεκάτου.

P. 249. l. 10. *Ἥμισυ ταύτης*] τῆς δίποδος δηλονότι. ἔστι δ' ἓν, ὃ σὺν αὐτῇ τῇ δίποδι ληφθὲν, τὴν τρίποδα ποιεῖ, κατά τε μῆκος καὶ πλάτος.

P. 249. l. 6. *Ὤιετο*] λέγων, εἶναι τὴν διπλασίαν τῆς δίποδος.

P. 259. l. 2. *Ἔθρεψε*] ὁ πατὴρ δηλαδή.

P. 260. l. 22. *Ἡράκλεις*] ἐπίφθεγμα θαυμαστικόν.

P. 264. l. 5. *Ἐδιδάξατο*] Ἐδιδάξατο καὶ ἐπαιδεύσατο δι' ἑτέρου τὸν υἱόν· αὐτὸς μέντοι Θεμιστοκλῆς δι' ἑαυτοῦ οὐδὲν τούτων.

P. 270. l. 11. *Δεδεμένα ᾖ*] Τῶν πάλαι δημιουργῶν πλαττόντων τὰ ζῶα συμμεμυκότας ἔχοντα τοὺς ὀφθαλμοὺς, καὶ οὐ διεστηκότας τοὺς πόδας, ἀλλ' ἑστῶτα σύμποδα, Δαίδαλος, ἄριστος ἀγαλματοποιὸς, ἐπιγεγονὼς, πρῶτος ἀναπετάννυσί τε τὰ τούτων βλέφαρα, ὡς δόξαι βλέπειν αὐτὰ, καὶ τοὺς πόδας, ὡς νομίσαι βαδίζειν, διΐστησι·

καὶ διὰ τοῦτο δεδέσθαι, ἵνα μὴ φύγοιεν, ὡς δῆθεν ἐμψύχων ἤδη γεγονότων αὐτῶν. τοῖς δεδεμένοις οὖν τὰς ἀληθεῖς ἐοικέναι δόξας φησί· τοῖς λελυμένοις δὲ τούτων, τὰς ψευδεῖς. [Id Plato non dixit.]

P. 273. l. 25. *Οἷος πέπνυται*] Ἐν τῇ κ' τῆς Ὀδυσσείας (495) φησὶν Ὅμηρος περὶ Τειρεσίου·

Μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι,
Τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια,
Οἴῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσι.

ADNOTATIONES.

IN GORGIAM.

P. 1. Inscr. Dialogus a vett. plerisque simpliciter Gorgiae nomine laudatur, et verba ἢ περὶ ῥητ. serius adiecta esse monet Schleierm. T. II. P. 1. p. 5. neque enim ad solam dicendi artem spectare hunc dialogum. Scriptum eum esse post Socratis mortem, vivente etiamnum Gorgia, coniicit Routh. — L. 1. Socratem cum Chaerephonte Calliclis aedes petentem, ut Gorgiam ibi disputantem audiat, Callicles non longe ab aedibus suis ita appellat. Pauca inter se locuti deinde domum ingrediuntur, ubi colloquium cum Gorgia instituitur. Hdf. Negat tamen Schleierm. in aedibus Calliclis Gorgiam fuisse, sed publico quodam loco colloquium habitum esse ait. — L. 7. Male Pierson. ad Moer. p. 70. sollicitavit ἐν ἀγορᾷ διατρίψαι et in ἀγοράσαι mutari voluit. οὐδὲν πρᾶγμα est, nihil refert, nihil damni inde eveniet.

P. 2. l. 1. Vulg. ἐςαῦθις. E Bass. edd. cum Hdf. dedi εἰςαῦθ. ut alibi ap. Plat. L. 4. Vulg. βούλεσθε. Emendationem et codd. plurimi et leges gramm. suppeditarunt iam Heindorfio. Hemst. ap.

Ruhnk. ad Tim. p. 181. maluit: *Οὐκοῦν ὦ τὰν βούλεσθε*, et recepit Find. L. 5. Vulg. *ἡμῖν*. *ὑμῖν* Find. et Hdf. ex Aug. dederunt. — L. 11. Cornarius formula *οὐδὲν οἷον* non intellecta male pro *οἷον* reponi iussit hic et p. 481. B. St. *δεινόν*. L. 12. Codd. nonn. *αὐτῷ*. L. 14. Posita (cum Ald.) post *ἀποκρ.* interr. nota censuerunt Bipp. ante *καὶ πρὸς* excidisse Socratis nomen, ante *ἡ* Calliclis, et ante *καλῶς* Socratis nomen esse ponendum. L. 16. Pro vulg. *ἐστιν* e codd. *ἐστι* ab Hdf. datum. L. 18. Male Find. e coniectura dedit *ἀποκρίνοιτο ἄν*, quod sit, responderet. Idem mox *ἐπαγγέλλει*, *ἀποκρίνει*, aliasque huius generis formas Atticas, codd. etiam non addicentibus, reposuit. L. 21. Bas. 2. *ἀποκρινεῖσθαι*. L. 25. Ol. post *ὦ Γοργ.* punctum. Male edd. vett. antea *ἄρα*.

P. 3. l. 7. Non scribendum *ὅνπερ*, sed genus esse mutatum recte docuit Hdf. Tamen Buttm. maluit antea *τί ἄν* scribi. Aglaophontis filii Aristophon et Polygnotus nobiles fuerunt pictores. L. 9. Bas. 2. non male *αὐτὸν* ante *ἐλέγ.* repetit. L. 11. Cum Find. e cod. Bodl. *δῆλον ὅτι* pro vulg. *δηλονότι*, ut alibi, scr. L. 12. Ol. *τινὸς τέχν.* Emendavit Hdf. L. 21. *περὶ λόγους* Bas. 2. L. 23. *δὴ* in quatuor codd. omissum, ut spurium, uncinis inclusi. L. 27. *σὲ* (pro vulg. *σὺ*) cum Find. et Hdf. e tribus codd. et Fic. dedi. Subiat. *ἐροίμην*, te lubentius interrogarem, quam Polum.

P. 4. l. 5. Articulum ante *καλλίστη* cum Hdf. e tribus codd. addidi. v. Routh. Add. L. 6. *τοῦτ'* ante *ἐρωτᾷ* addit Bas. 2. probantibus edd. nonn. L. 23. Tres codd. ante *ἀλλ' ὅπερ ὑπισχνῇ* addunt *ναί*, quod (probatum etiam Buttm.) praefixo Gorgiae nomine recepi. Nam primum omnino affirmat se voluntati Socratis satisfacturum, deinde de brevi-

tate dicendi singulatim monet. Mox nonn. Codd. θέλησον.

P. 5. l. 1. Edd. vett. ἔνεστιν, iam a Corn. correctum. L. 5. Pro φήσεις Bas. 2. φαίης δεῖν. — L. 8. περί τι cod. Bodl. et Fic. probatum Routh., receptum a Find. At vulgatum tuentur verba l. 16. et ἡ γὰρ ad ὥσπερ ἡ ὑφ. κ. τ. λ. pertinet. L. 15. οὕτω cum codd. pro vulg. οὕτως. L. 24. Vulg. ἰατρικὴν — e codd. mutavi, probante Corn. Sed λέγομεν non mutavi in ἐλέγομεν, quum νῦν δή, πάλαι etc. etiam praesentibus iungantur.

P. 6. l. 6. τέχνας, vulg. omissum, cum Find. et Hdf. e codd. addidi. L. 15. Vulg. Ἀρ' οὖν μανθ. Emendavit iam Hdf. Statim antea φημὶ non est aio, adfirmo, sed arbitror. v. Timaeus. L. 22. Schleierm. coniecit: περὶ ἃ σὺ οὐ φῄς. — L. ult. Articuli ante λογ. γεωμ. πεττ. in nonn. codd. desunt. Non tantum ante haec vocabb. sed et ante ἀριθμ. deleri iubet Heind. ad Soph. p. 442.

P. 7. l. 1. Vulg. σχεδόν γε. E tribus codd. emendatum. L. 7. οὐχ ὅτι τῷ ῥήμ. est: quamquam verbo (verbis) ita dixisti. L. 9. Vulg. ἄστεα· καὶ ὑπ. E duobus codd correctum. L. 10. δυσχερ. ἐν ταῖς λ. legi iubet Hdf. quia δυσχεραίνειν a Nostro cum quarto casu struitur. L. 14. ἴθι νυν (h. e. δή) edidit Find. L. 25. duo codd. τυγχάνοι. L. 27. Tres codd. αὐτή. L. 28. E tribus codd. adieci ἡ ante περί τι. Ita respondet verbis l. 23. s.

P. 8. l. 2. καὶ ante ἡ λογ. quatuor codd. et ed. Ald. omittunt, unde uncinis inclusi. L. 4. αὐτὰ pro αὐτῷ cum Hdf. dedi. L. 6. duo codd. inverso ordine τὸ ἄρτιον καὶ τὸ περιττὸν, ut antea. L. 7. καὶ ante ἐμοῦ λέγοντος excidisse putabat Find. Imo verba οἱ δὲ λόγοι οἱ τ. ἀστρ. (h. e. οἷς χρῆται ἡ ἀστρ. unde male tres codd. ο. δ. λ. οἱ περὶ τῆς ἀστρ.)

explicant antecedentia οἵ τινι τ. ὑστέρ. ἀλλ. L. 16. Vulgo, impedito sensu: λέγε δὴ, τῶν περὶ τί ἐστι τοῦτο etc. Correxit bene Hdf. Nam Find. dederat Fic. praeeunte: λέγε δὴ τῶν περὶ, τί ἐστι τ. τ. ἄ. Heusd. τῶν ante περὶ τί deleri et περὶ ante τὰ μέγιστα addi voluit, coll. loco p. 9, 3. L. 19. Codd. nonn. οἶμαι quod, ut Atticum, F. pro οἴομαι recepit. In marg. nonn. codd. est τὸ σκόλιον, προπαροξυτόνως. L. 26. duo codd. πρὸς τί τοῦτο λέγεις; deterius.

P. 9. l. 1. Articulum ὁ praefigi voc. ἰατρὸς vult Hdf., recte ob collocationem part. τε adversante Buttm. L. 8. Alterutrum ὑγίεια aut ὑγιείας superfluum censet Hdf. L. 11. τ᾽ post θαυμ. deleri iubet Hdf. quod pro τε accipi nequeat, sed in τοι non (ut in μέντοι) diphthongus elidi soleat. Male Find. ἔχοι reposuit. Ponitur post Optativum in altero membro cum εἰ Indicativus. L. 17. Μετὰ δὲ (pro δὴ) ex uno cod. recte dedit Hdf. L. 21. ἢ ante οὐ, quod vulgo deest, et facile ob antecedd. δὴ excidere potuit, addidi e 4. codd. L. 24. εἶναι in quatuor codd. omissum, uncinis inclusi, tanquam spurium.

P. 10. l. 7. Quia in Bodl. est τῶν ἄλλων ἀγαθ., Hdf. coniecit τοῦ τῶν ἄλλ. α. L. 12. non πᾶσι in πάντα aut πάντας mutandum, sed aliquid subintelligendum. ξύλλογος (pro vulg. συλλ.) etiam codd. dant. L. 26. ss. Temere haec sollicitavit Find. et tum form. ὡς ἐμ. π. tum anacoluthon ἐμὲ εἶναι (pro ὅτι εἰμι ἐγώ) tuitus est Hdf. ἄλλος male in nonn. codd. deest.

P. 11. l. 1. Steph. marg. „γρ. (scil. in Bas. 2) ἄξεω δ᾽ ἔγωγε καί σε" Mox pro ἐρῶ Bas. 2. ἐγώ. L. 10. Post λέγω vulg. comma. Distinctionem ed. Ald. restituit Hdf. iubente etiam Heusd. et

[illegible] Codd. [illegible] Hdf. [illegible] sequuntur, continent [illegible] ἄρα), et [illegible] Codd. duo hoc ordine: τὸν λόγον περαίνεσθαι. L. 27. ὑπονοοῦντες προαρπάζειν τὰ λεγόμενα dicuntur, qui ex suspicione et coniectura arripiunt et interpretantur alterius dicta, eius explicationem non exspectantes. Codd. nonn. mox τὰ λεγόμενα ἀλλήλων.

P. 13. l. 1. Codd. duo ὅπως βούλει, al. ὅ. βούλῃ. L. 2. duo codd. ἴθι δὲ — L. 8. Bodl. γνώσῃ γάρ εἴ τις. L. 10. Vulg. ἐγὼ μαι. Quatuor codd. habent quod dedi. L. 12. Pro οὐ δῆτα Bodl. et Bas. 2. οὐδαμῶς, et mox δῆλ. γὰρ αὖ — L. 14. Part. γε post οἴ τε e tribus codd. addidit Hdf. Iidem mox: δῆλον οὖν, ὦ Σ. L. 23. ὦ Γοργία insernit Hdf. ex 3. codd. L. 28. Steph. marg. „For.

